[v] σοφίαν] οἰκονομίαν a pr. m. O. *dispensationem* Mut. Post σοφίαν add. ἐξ ἑαυτοῦ K.Q. Sav. cet. Statim ηὕρισκεν N. εὗρεν K.Q. Sav. cet. [w] πόθεν γὰρ om. K.Q. Sav. cet. Iidem post ἐργαστηρίου add. σοφία πόθεν. [x] τῆς et τῶν om. K.Q. [y] γὰρ om. A.R. Supp. Veron. [z] ἦν] + τὸ οὕτως εἰπεῖν K.Q. Sav. cet. [a] μὲν om. K.Q. Supp. [b] δι'] ἢ δι' K.Q. Sav. cet. Mox αὐτῆς ἰσχὺν pro ἰσχὺν αὐτῆς omnes. [c] ὑψηλὸν] + ἕνα A.K.Q. Statim τινα τόπον N.O. Supp. [d] φθ. τὴν κ.] τὴν κ. φθ. K.Q. [e] ἀναγαγὼν A. Mox ἀναστήσῃ pro ἄνω στήσῃ Q. [f] καὶ om. K.Q. Mox ἰλιγγιῶντα et σκοτοδινιῶντα (corr. ex σκότω δινιῶντα) O. [g] σκοτοδ.] σκότου καὶ δίνης πληρούμενον K.Q. Statim λαβόμενος N.O.Q. Sav. cet. invito Supp. [h] καὶ om. N. [i] μαθὼν] τοῦτο μαθὼν K.Q. Supp. Sav. cet. [k] ἀνήγαγεν et κατήγαγεν R. et a pr. m. N. ἀνάγων et κατάγων K.Q. Sav. cet. [l] οὐκ] καὶ οὐκ K.Q. Sav. cet. Statim ἀφιεὶς K.O.Q. Post ἐπιπολὺ add. κατὰ τὸ αὐτὸ K.Q. Sav. cet. [m] οἵων O. [n] πρινὴ a pr. m. O. [o] σκοτοδίνῳ] Sic A. σκοτοδείνῳ R. σκότῳ δεινῷ Veron. σκοτοδίνῃ N.O. σκοτοδινίᾳ K.Q. Sav. cet. [p] καὶ δ. ἀναπν.] δ. ἀναπν. καὶ K.Q. Post υἱῷ add. καὶ πάλιν K.Q. Sav. cet. [q] τέως om. R. ante ὄνομα transp. N. [r] ἔνθα μὲν γὰρ] καὶ ἔνθα μὲν K.Q. Statim γνήσιον A. [s] τέως—ᾖ] ἔνθα δὲ ὅπως δήποτε K.Q. [t] κατασκ.] + λοιπὸν καὶ δείκνυσι K.Q. Sav. cet. [v] δὲ] + καὶ iidem. [w] αὐτὸ λέγει] πρῶτον ἐπὶ τὸν ταπεινότερον βαθμὸν ἵστησι λέγων iidem. [x] φησὶ om. K.N.Q.R. Mut. Sav. cet.

Digitized by Google

πάντων·" [y]τὸ, "κληρονόμον ἔθηκε," ταπεινόν· εἶτα ἐπὶ τὸν
C *ἀνώτερον [z]ἔστησε βαθμὸν, ἐπαγαγὼν, "Δι' οὗ καὶ τοὺς αἰῶνας*
ἐποίησεν·" εἶτα ἐπὶ τὸν ὑψηλότερον, καὶ μεθ' ὃν οὐκ ἔστιν ἕτε-
ρος· "[d]Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑπο-
στάσεως αὐτοῦ." Ὄντως εἰς ἀπρόσιτον φῶς ἤγαγεν, εἰς αὐτὸ
τὸ ἀπαύγασμα. Καὶ πρὶν ἢ σκοτωθῆναι, ὅρα πῶς πάλιν ἠρέμα
κατάγει λέγων, "Φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως
αὐτοῦ, δι' [a]ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν,
ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης." Οὐχ ἁπλῶς εἶπεν, ἐκά-
θισεν, ἀλλὰ, [b]μετὰ τὸν καθαρισμὸν ἐκάθισεν· ἐπελάβετο γὰρ
D *τῆς [c]σαρκώσεως, καὶ πάλιν [d]ταπεινὰ φθέγγεται. Εἶτα πάλιν*
[e]παραφθεγξάμενός τι μικρὸν, "Ἐν δεξιᾷ [f]γὰρ, φησὶ, τῆς με-
γαλωσύνης ἐν ὑψηλοῖς," [g]πάλιν [h]ἐπὶ τὸ ταπεινόν. "Τοσούτῳ
κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐ-
τοὺς κεκληρονόμηκεν ὄνομα." [i]Λοιπὸν δὴ ἐνταῦθα καὶ περὶ [k]τοῦ
9 *κατὰ σάρκα διαλέγεται· τὸ γὰρ, "κρείττων γενόμενος," οὐκ*
οὐσίας δηλωτικόν ἐστι τῆς κατὰ [l]πνεῦμα· ἐκείνη γὰρ οὐκ ἐγέ-
νετο, ἀλλὰ γεγέννηται· ἀλλὰ τῆς κατὰ σάρκα· αὕτη γὰρ ἐγέ-
νετο. Ἀλλ' οὐ περὶ οὐσιώσεως νῦν ὁ [m]λόγος· ἀλλ' ὥσπερ
Ἰωάννης λέγων, [8]"Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου
γέγονε," [n]τουτέστιν, ἐντιμότερος καὶ εὐδοκιμώτερος· οὕτω καὶ
[o]ἐνταῦθα, "Τοσούτῳ κρείττων γενόμενος [p]τῶν ἀγγέλων," του-
τέστιν, εὐδοκιμώτερος [q]καὶ βελτίων καὶ λαμπρότερος, "ὅσῳ
διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα." Ὁρᾷς ὅτι
B *περὶ τοῦ κατὰ σάρκα ὁ [r]λόγος; [s]τοῦτο γὰρ τὸ ὄνομα ὁ θεὸς*
λόγος ἀεὶ εἶχεν, οὐχ ὕστερον ἐκληρονόμησεν· οὐδὲ [t]ὕστερον
ἀγγέλων κρείττων ἐγένετο, ὅτε καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν

8 Joan. i. 15.

[y] *τὸ*] + *γὰρ* K.Q. Sav. cet. [z] *ἔστησε βαθμὸν* om. iidem, invitis Supp. Mut. Statim *ἐπαναγαγὼν* O. [a] *αὐτοῦ* a pr. m. O. [b] *μετὰ—ἐκάθισεν*] *μετὰ τὸ εἰπεῖν, καθαρισμὸν ποιησάμενος* K.Q. Statim *καὶ ἐπ. γὰρ* A. [c] *σαρκὸς* K.Q. Supp. [d] *ταπ. φθ.*] *φθ. καὶ ταπ.* Q. [e] *παραφθ. τι μικρὸν*] *φθεγξάμενός τι ὑψηλὸν* K.Q. Sav. cet. non Supp. [f] *γὰρ* om. N.R. et a pr. m. O. [g] *πάλιν*] *καὶ πάλιν* O. [h] *ἐπὶ τὸ*] *φθέγγεται τὸ* (*καὶ* pro *τὸ* K.) *τ. διὰ τῆς ἐπαγωγῆς τῆς* K.Q. Sav. cet. [i] *λοιπὸν δὴ ἐντ.*] *ἐντ. γὰρ* iidem. [k] *τοῦ κατὰ σ.*] *τῆς κατὰ σ. οἰκονομίας* K.N.Q.R. Supp. Sav. cet. invito Mut. [l] *πνεῦμα*] Sic Supp. *πατέρα* Codd. et Edd. [m] *λόγος*] + *αὐτῷ* Edd. *αὐτῷ* om. A.N.O.R. Mox *ὁ Ἰωάννης* N. [n] *τουτέστιν—εὐδοκιμώτερος*] *ὅτι πρῶτός μου ἦν, τοῦτο δηλοῖ, ὅτι ἐντιμότερος καὶ λαμπρότερος* K.Q. Sav. cet. invitis Supp. Mut. [o] *ἐνταῦθα*] + *Παῦλος εἰπὼν* iidem. Statim *τὸ τοσούτῳ* R. [p] *τῶν* accessit ex K.N.Q.R. Supp. [q] *καὶ β. καὶ λ.*] Sic N.O. Supp. *καὶ β.* om. Mut. *καὶ β. καὶ λ.* om. A.R. Veron. *τουτέστιν—λαμπρότερος*] *ὅτι βελτίων ἐδήλωσε καὶ εὐδοκιμώτερος* K.Q. Sav. cet. [r] *λόγος*] + *ἦν* N.O.R. Supp. Sav. cet. [s] *τοῦτο—λόγος*] *τὸ γὰρ θεὸς ὄνομα* K.Q. [t] *ὕστερον*] *τότε τῶν* K.Q. Sav. cet.

Digitized by Google

ἐποιήσατο, ἀλλ' ἀεὶ κρείττων ἦν, καὶ κρείττων ἀσυγκρίτως.
Περὶ [v]γὰρ τοῦ κατὰ σάρκα τοῦτο εἴρηται. Οὕτω γοῦν καὶ
ἡμῖν ἔθος [w]περὶ ἀνθρώπου διαλεγομένοις, καὶ ὑψηλὰ καὶ τα-
πεινὰ φθέγγεσθαι. Ὅταν μὲν γὰρ λέγωμεν, οὐδὲν ἄνθρωπος,
γῆ ἄνθρωπος, σποδὸς ἄνθρωπος, ἀπὸ τοῦ χείρονος τὸ πᾶν κα-
λοῦμεν· ὅταν δὲ λέγωμεν, ἀθάνατον ζῶον ὁ ἄνθρωπος, καὶ [x]λο-
γικὸς ὁ ἄνθρωπος, καὶ ὅτι τῶν ἄνω συγγενής, ἀπὸ τοῦ κρείτ-
τονος τὸ πᾶν πάλιν καλοῦμεν. Οὕτω [y]καὶ ἐπὶ τοῦ Χριστοῦ,
ποτὲ μὲν ἀπὸ τοῦ ἐλάττονος, ποτὲ [z]δὲ ἀπὸ τοῦ κρείττονος
διαλέγεται ὁ Παῦλος, καὶ τὴν οἰκονομίαν [a]στῆσαι βουλόμενος, C
καὶ περὶ τῆς ἀκηράτου διδάξαι φύσεως.

[b]Ἐπεὶ οὖν καθαρισμὸν ἐποίησε τῶν ἁμαρτιῶν ἡμῶν, μένωμεν
καθαροί, [c]καὶ μηδεμίαν δεξώμεθα κηλῖδα, [d]ἀλλὰ τὸ κάλλος,
ὅπερ ἡμῖν ἐνέθηκε, καὶ τὴν εὐπρέπειαν [e]διαφυλάττωμεν ἀμό-
λυντον καὶ καθαράν, [9] "μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν
τοιούτων." [f]Σπῖλός ἐστι καὶ ῥυτὶς καὶ τὰ μικρὰ τῶν ἁμαρτη-
μάτων· οἷόν τι λέγω, λοιδορία, ὕβρις, ψεῦδος· μᾶλλον δὲ οὐδὲ
ταῦτα μικρά, ἀλλὰ καὶ σφόδρα μεγάλα, καὶ οὕτω μεγάλα, ὡς
(434) καὶ τῆς βασιλείας ἀποστερεῖν τῶν οὐρανῶν. Πῶς καὶ τίνι
τρόπῳ; [10] "Ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρόν, ἔνοχός [g]ἐστι, D
φησίν, εἰς τὴν γέενναν τοῦ πυρός." Εἰ δὲ ὁ μωρὸν καλῶν, ὃ
δοκεῖ πάντων εἶναι κουφότερον, καὶ [h]παίδων μᾶλλον ὁμιλία· ὁ
κακοήθη [i]καλῶν καὶ κακοῦργον καὶ βάσκανον, καὶ μυρίοις [k]ἑτέ-
ροις βάλλων ὀνείδεσι, τίνα οὐχ ὑποστήσεται κολάσεως δίκην;
[l]Τί φρικωδέστερον τούτου; Ἀλλ' ἀνάσχεσθε, παρακαλῶ, τοῦ
λόγου. Εἰ γὰρ ὁ ποιῶν ἑνὶ τῶν ἐλαχίστων, αὐτῷ ποιεῖ, [m]καὶ
ὁ μὴ ποιῶν ἑνὶ τῶν ἐλαχίστων, αὐτῷ οὐ ποιεῖ· πῶς οὐχὶ καὶ
ἐπὶ τῆς εὐφημίας, καὶ [n]ἐπὶ τῆς κακηγορίας [o]ταὐτόν ἐστιν; Ὁ

9 Ephes. v. 27. 10 Matth. v. 22.

[v] γὰρ] δὲ N. Sav. cet. περὶ—σάρκα] περὶ (ἐπὶ K.) τοῦ κατὰ σ. τοίνυν K.Q. [w] περὶ τοῦ ἀνθ. K.Q. [x] λογικὸν in ras. O. Statim ἄνθρωπος sine artic. A. Mox πάλιν om. R. [y] καὶ]+ὁ Παῦλος K.Q. Infra ὁ Π. om. iidem. Statim περὶ pro ἐπὶ K.Q. Sav. cet. [z] δὲ]+καὶ K. [a] στῆσαι libri omnes et Supp. συστῆσαι Edd. [b] ΗΘΙΚΟΝ. Περὶ τῆς ὀφειλομένης καθαρότητος, καὶ ὅτι οὐδὲν ἄλλο ἡμῶν προστήσεται ἐν τῇ κρίσει πλὴν τῆς εὐποιΐας καὶ ἐλεημοσύνης. Veron. [c] καὶ om. K.Q. Mox δεχόμενοι K. [d] ἀλλὰ] καὶ K.Q. ὅπερ ἡ. ἐνέθηκε (ἀνέθηκε A.) om. iidem. [e] διαφυλάττειν οὕτω σπουδάζωμεν ἀμ. (ἀμ. διαφ. οὕτω σπ. alio ord. K.Q.) καὶ κ. ὥστε μηδένα σπ. ἔχειν ἢ ῥ. K.Q. Sav. cet. [f] σπῖλος]+γὰρ N. Sav. cet. Proximum καὶ om. a pr. m. O. Mox τι λέγω om. K.Q. [g] ἔσται K.N.Q. φησὶν om. K. post αὐτοῦ transp. Q. [h] παιδίων O. Statim μᾶλλον accessit ex N.O. Mut. [i] καλῶν] λέγων K.Q. [k] ἑτέροις om. R. Statim ὀνείδεσι βάλλων Q.R. ὀν. διαβάλλων K. [l] τί]+γὰρ R. [m] Haec καὶ—οὐ ποιεῖ desunt in K.Q.R. Veron. Interpp. [n] ἐπὶ om. K.Q. Statim κακηγ. pro κατηγ. ad mentem Dunaei sine libris edidimus. [o] ταὐτόν ἐστιν] τοῦτο ἔσται K.Q. οὐ ταὐτόν ἐστιν N.

Digitized by Google

[p]ὑβρίζων τὸν ἀδελφὸν αὐτοῦ, τὸν θεὸν [q]ὕβρισε· καὶ ὁ τιμῶν
τὸν ἀδελφὸν αὐτοῦ, τὸν θεὸν τιμᾷ. [r]Παιδεύωμεν οὖν τὴν
γλῶτταν εὔφημον εἶναι· [ll]"Παῦσον γὰρ, φησὶ, τὴν γλῶσσάν
σου ἀπὸ κακοῦ." Οὐ γὰρ διὰ τοῦτο αὐτὴν ἔδωκεν ὁ θεὸς, ἵνα
[s]κακηγορῶμεν, ἵνα ὑβρίζωμεν, ἵνα ἀλλήλους διαβάλλωμεν· ἀλλ'
ἵνα τὸν θεὸν ὑμνῶμεν, ἵνα ταῦτα λαλῶμεν ἃ δίδωσι χάριν τοῖς
B ἀκούουσι, τὰ πρὸς οἰκοδομὴν, τὰ πρὸς ὠφέλειαν. Εἶπες τὸν
δεῖνα κακῶς; [t]τί κερδαίνεις, καὶ σαυτὸν μετ' ἐκείνου βλάβῃ περιβάλλων;
δόξαν γὰρ ἔλαβες κακηγόρου. Οὐ γάρ ἐστιν, οὐκ
ἔστιν οὐδὲν κακὸν, ὃ μέχρι τοῦ πάσχοντος ἵσταται, [v]ἀλλὰ καὶ
τὸν ποιοῦντα περιλαμβάνει· οἷον, ὁ βάσκανος δοκεῖ μὲν ἐπιβουλεύειν
ἑτέρῳ, [w]πρότερος δὲ αὐτὸς ἀπολαύει τῆς ἁμαρτίας,
τηκόμενος καὶ φθειρόμενος καὶ παρὰ πάντων μισούμενος. Ὁ
πλεονέκτης ἀποστερεῖ χρήματα ἕτερον, ἀλλὰ καὶ [x]ἑαυτὸν τὸ
C φιλεῖσθαι, [y]καὶ παρὰ πάντων ποιεῖ κακηγορεῖσθαι. [z]Πολλῷ
δὲ κρείττων δόξα χρημάτων· τὴν μὲν γὰρ οὐ ῥᾴδιον ἀπονίψασθαι,
τὰ δὲ ῥᾴδιον [a]κτήσασθαι· μᾶλλον δὲ, τὰ μὲν οὐ παρόντα
οὐδὲν τὸν οὐκ ἔχοντα ἔβλαψεν· ἡ δὲ μὴ παροῦσα ἐπονείδιστον
ποιεῖ καὶ καταγέλαστον, καὶ πᾶσιν ἐχθρὸν καὶ πολέμιον. Ὁ
ὀργίλος [b]πάλιν πρότερον ἑαυτὸν τιμωρεῖται σπαράττων, καὶ
τότε ἐκεῖνον ᾧ ὀργίζεται. Οὕτως [c]ὁ κακήγορος πρότερον ἑαυτὸν
αἰσχύνει, καὶ τότε τὸν κακηγορούμενον· ἢ οὐδὲ [d]τοῦτο ἴσως
D δεδύνηται, ἀλλ' ἀπῆλθεν [e]ὃς μὲν μιαροῦ τινος καὶ καταπτύστου
δόξαν λαβὼν, ἐκεῖνον δὲ μᾶλλον φιλεῖσθαι παρασκευάζων.
Ὅταν γὰρ ἀκούων κακῶς, μὴ τοῖς αὐτοῖς αὐτὸν [f]ἀμύνηται, ἀλλ'
ἐπαινῇ καὶ θαυμάζῃ· οὐκ ἐκεῖνον ἐπαινέσεται, ἀλλ' ἑαυτόν.
Ὥσπερ γὰρ, [g]ὅπερ ἔφθην εἰπὼν, αἱ κατὰ τῶν [h]πλησίον κακηγορίαι
τῶν ἐπιβουλευόντων ἅπτονται πρῶτον· οὕτω καὶ τὰ εἰς
τοὺς πλησίον ἀγαθὰ τοὺς ἐργαζομένους εὐφραίνει [i]πρῶτον
ἐκείνων. Ὁ γὰρ τίκτων [k]καὶ τὸ καλὸν καὶ τὸ κακὸν, εἰκότως

ll Psal. xxxiii. 14.

[p] ὑβρίζων] + γὰρ K.Q. Sav. cet. αὐτοῦ a pr. m. bis om. O. [q] ὑβρίζει Q. [r] π. οὖν] π. τοίνυν N. et a pr. m. O. οὐκοῦν π. K.Q. [s] κατηγορῶμεν O. κακηγορήσωμεν K.Q. [t] τί κ.] οὐδὲν ἐκέρδανας, ἀλλὰ K.Q. Mox περιέβαλες iidem. [v] ἀλλὰ] ἀλλ' οὐχὶ K.Q. Post οἷον add. τι λέγω iidem. [w] πρῶτος R. Mox ἀδικίας pro ἁμαρτίας K.Q. Sav. cet. [x] ἑαυτὸν τὸ φ.] Sic Veron. τὸ ἑαυτὸν φ. K.N.O. Q.R. τὸ ἑαυτὸν μισεῖσθαι A. τὸ φ. ἑαυτὸν Sav. cet. [y] καὶ] μᾶλλον δὲ K.Q. Sav. cet. [z] πολὺ K.Q. Ante δόξα inserunt ἀγαθὴ K.Q. Sav. cet. *opinio bona* Mut. [a] ἀποκτήσασθαι K.O.Q. Sav. cet. *acquirere* Mut. [b] πάλιν πρ.] πρ. πάλιν A.R. Veron. Mox ἐκείνῳ pro ἐκεῖνον iidem. [c] ὁ] καὶ ὁ N. κατηγ. bis idem. [d] τοῦτον N.R. τούτου ex corr. O. ὄντως pro ἴσως A. [e] ὃς] Sic A.N.R. ὁ K.Q. ὡς O. οὗτος Edd. [f] ἀνταμύνηται Q. [g] ὅπερ om. A.K.Q.R. Veron. Mut. Post εἰπὼν add. ὅτι K.Q. [h] πλησίων κατηγ. N. [i] πρώτους N.R. et a pr. m. O. ἐκείνων accessit ex omnibus. [k] καὶ om. K. Mox αὐτὸς πρ. pro πρ. αὐτὸς K.N.O.Q.R.

Digitized by Google

αὐτὸς πρῶτος ἀπολαύει· καὶ καθάπερ [l]ὕδωρ τό τε ἁλμυρὸν, τό
τε πότιμον, καὶ τὰ [m]τῶν προσαγόντων ἀγγεῖα πληροῖ, καὶ 11
τὴν πηγὴν οὐκ ἐλαττοῖ τὴν ἐκφέρουσαν· οὕτω δὴ καὶ κακία καὶ
ἀρετὴ, ὅθεν ἂν ἐξίῃ, [n]ἐκεῖνον καὶ εὐφραίνει καὶ ἀπόλλυσι. Καὶ
ταῦτα μὲν ἐνταῦθα· τὰ δὲ ἐκεῖ τίς διηγήσεται λόγος, ἢ τὰ
ἀγαθὰ, ἢ τὰ κακά; Οὐκ ἔστιν οὐδείς. Τὰ χρηστὰ μὲν [o]γὰρ
καὶ πάντα νοῦν ὑπερβαίνει, οὐχὶ λόγον μόνον· τὰ ἐναντία δὲ
εἴρηται [p]μὲν τοῖς ὀνόμασι τοῖς συντρόφοις ἡμῖν· πῦρ γὰρ,
[q]φησὶν, ἐκεῖ, καὶ σκότος, καὶ δεσμὰ, καὶ σκώληξ ἀτελεύ-
τητος· οὐ ταῦτα δὲ μόνον [r]παρίστησιν, ἅπερ εἴρηται, ἀλλ'
ἕτερα χαλεπώτερα. Καὶ ἵνα μάθῃς, εὐθέως τοῦτο [s]σκόπησον B
πρῶτον. [t]Εἰ γὰρ πῦρ ἐστι, [v]πῶς σκότος ἐστίν; Ὁρᾷς ὅτι
χαλεπώτερον τούτου [w]τὸ πῦρ ἐκεῖνο; οὐ γὰρ ἔχει φῶς. Εἰ
πῦρ ἐστι, πῶς ἀεὶ κατακαίει; Ὁρᾷς [x]ὅτι τούτου χαλεπώτερον
τυγχάνει; οὐ γὰρ σβέννυται· διὰ [y]γὰρ τοῦτο ἄσβεστον λέ-
γεται. Ἐννοήσωμεν [z]οὖν ὅσον ἐστὶ κακὸν κατακαίεσθαι δια-
παντὸς, καὶ ἐν σκότῳ εἶναι, καὶ [a]μυρία οἰμώζειν, καὶ βρύχειν
τοὺς ὀδόντας, καὶ μηδὲ ἀκούεσθαι. Εἰ γὰρ εἰς δεσμωτήριόν τις
ἐμβληθεὶς ἐνταῦθα τῶν [b]εὐγενῶς τεθραμμένων, τὴν δυσωδίαν
μόνον, καὶ τὸ ἐν σκότῳ κεῖσθαι, καὶ τὸ μετὰ ἀνδροφόνων δεδέ-
σθαι, παντὸς θανάτου χαλεπώτερον εἶναί φησιν· ἐννόησον [c]τί C
ἐστιν, ὅταν μετὰ τῶν τῆς οἰκουμένης ἀνδροφόνων κατακαιώμεθα,
μήτε ὁρῶντες μήτε ὁρώμενοι, ἀλλ' ἐν πλήθει [d]τοσούτῳ νομί-
ζοντες εἶναι μόνοι. Τὸ γὰρ σκότος [e]καὶ τὸ ἀλαμπὲς οὐκ
ἀφίησιν οὐδὲ τοὺς πλησίον [f]ἡμᾶς διαγινώσκειν· ἀλλ' ὡς μόνος
τοῦτο πάσχων ἕκαστος, οὕτω διακείσεται. Εἰ δὲ σκότος
[g]θλίβει καθ' ἑαυτὸ τὰς ἡμετέρας ψυχὰς καὶ θορυβεῖ· τί ἔσται
(435) ἄρα, ὅταν μετὰ τοῦ σκότους καὶ ὀδύναι τοσαῦται ὦσι καὶ ἐμ-
πρησμοί;

Διὸ δέομαι ταῦτα διαπαντὸς στρέφειν παρ' ἑαυτοῖς, καὶ τῆς

[l] ὕδωρ] + πηγαῖον K.Q. Sav. cet. τό τε ἁ. τό τε π. om. K.Q. [m] τῶν om. K.Q. [n] ἐκείνην A.R. Veron. ἐκεῖνον om. Q. Mox σώζει pro εὐφραίνει K.Q. Post ἀπόλλυσι add. πρῶτον O.R. et ex corr. N. *primitus* Mut. [o] γὰρ] οὖν R. οὖν vel γὰρ οὖν N. Post γὰρ repetit χρηστὰ O. [p] μὲν] δὲ A. [q] φησὶν] + ἐστὶν N.O. Sav. cet. [r] παρίστησιν] ἐστὶν K.Q. [s] σκ. πρῶτον] πρῶτον σκ. N.O. [t] εἰ γὰρ] εἰπὲ γὰρ (+ μοι K.Q.) εἰ K.Q. Sav. cet. [v] πῶς] + καὶ K.N.Q. Sav. cet. λέγεται pro ἐστὶν K.Q. [w] τὸ πῦρ] τοῦ πυρὸς N. [x] ὅτι] + καὶ O. Statim χαλ. τούτου inverso ord. Sav. cet. invitis omnibus. [y] γὰρ τ.] τ. γὰρ N.O. [z] οὖν] Sic A.K.N.O.Q. τοίνυν Edd. Neutrum habet R. [a] μυρία οἰ.] οἰ. διαπαντὸς R. [b] εὐγενῶν Q. Statim ἐντεθραμμένων ex corr. O. [c] τί ἐστιν] τίνες ἐσόμεθα K.Q. Mox καιώμεθα R. [d] τοσούτων A. [e] [καὶ] Sav. καὶ om. K.R. erasum in O. [f] ἡμᾶς om. Q. ante οὐδὲ τοὺς πλ. transp. K. Mox οὕτως ἕκαστος hoc ord. K. [g] καθ' ἑ. θλίβει et mox καὶ θορ. ψυχὰς alio ord. N.O. τὰς ἡμ. in textu om. O.

Digitized by Google

D ἀπὸ τῶν [h] ῥημάτων λύπης ἀνέχεσθαι, ἵνα μὴ τὴν διὰ τῶν πρα-
γμάτων ὑπομείνωμεν τιμωρίαν. Πάντως γὰρ ταῦτα πάντα
ἔσται, καὶ [i] τοὺς ἄξια πράξαντας τῶν ἐκεῖ κολαστηρίων οὐδεὶς
ἐξαιρήσεται, οὐ πατὴρ, οὐ μήτηρ, οὐκ ἀδελφός· [12] "Ἀδελφὸς
γὰρ [k] οὐ λυτροῦται· λυτρώσεται ἄνθρωπος;" κἂν πολλὴν παρ-
ρησίαν ἔχῃ, κἂν μεγάλα ἰσχύῃ πρὸς τὸν θεόν. Αὐτὸς γάρ
12 ἐστιν ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, καὶ ἀπὸ τού-
των καὶ σωθῆναι ἔνι καὶ κολασθῆναι. [l] Ποιήσωμεν τοίνυν ἡμῖν
φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας· [m] τουτέστιν, ἐργασώμεθα
ἐλεημοσύνην, κενώσωμεν εἰς [n] τούτους τὰ χρήματα, ἵνα κενώσω-
μεν ἐκεῖνο τὸ πῦρ, ἵνα σβέσωμεν αὐτὸ, ἵνα [o] παρρησίαν ἔχωμεν
ἐκεῖ. Καὶ γὰρ ἐκεῖ οὐχ οὗτοί εἰσιν οἱ δεχόμενοι ἡμᾶς, ἀλλὰ τὸ
ἔργον τὸ ἡμέτερον. Ὅτι [p] γὰρ οὐχ ἁπλῶς τὸ φίλους ἡμῖν τού-
B τους εἶναι σῶσαι δύναται, [q] ὅρα τὴν προσθήκην. Διὰ τί γὰρ
οὐκ εἶπε, ποιήσατε [r] ὑμῖν φίλους, ἵνα δέξωνται ὑμᾶς εἰς τὰς αἰω-
νίους αὐτῶν σκηνὰς, ἀλλὰ προσέθηκε καὶ τὸν τρόπον; Εἰπὼν
γὰρ, "ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας," ἔδειξεν ὅτι ἀπὸ τῶν χρη-
μάτων προσήκει ποιῆσαι [s] τούτους φίλους, [t] δηλῶν ὡς οὐχ ἁπλῶς
φιλία προστήσεται ἡμῶν, ἐὰν μὴ ἔργα ἔχωμεν ἀγαθὰ, ἐὰν μὴ
τὸν ἀδίκως συλλεγέντα πλοῦτον δικαίως κενώσωμεν. Οὗτος δὲ
ὁ λόγος ἡμῖν, οὐ πρὸς τοὺς πλουσίους μόνον, [v] ὁ τῆς ἐλεημο-
C σύνης, ἁρμόσει, ἀλλὰ καὶ πρὸς τοὺς πένητας. Κἂν ᾖ τις ἐκ
τοῦ προσαιτεῖν τρεφόμενος, καὶ πρὸς αὐτόν [w] ἐστιν ὁ λόγος
οὗτος· οὐ γάρ [x] ἐστιν οὕτως οὐδεὶς πένης, κἂν σφόδρα πένης ᾖ,
ὡς δύο λεπτῶν μὴ εὐπορεῖν. [y] Ἔνεστιν οὖν καὶ ἐξ ὀλίγων
ὀλίγα δόντα, τοὺς πολλὰ κεκτημένους [z] ὑπερβαλέσθαι πλείονα

12 Psal. xlviii. 8.

[h] ῥημάτων] + τούτων O. [i] τὸν . . πράξαντα R. ἄδικα pro ἄξια A.K.Q.R. Veron. Mox κολαστηρίων om. A.K.Q. Veron. [k] οὐ λ.] οὐ λ. φησὶ N.O. Sav. cet. φησὶν, οὐ λ. R. Mox haec κἂν—θεὸν ante ἀδελφὸς γὰρ transp. K.Q. Sav. cet. invito Mut. [l] π. τοίνυν ἡμῖν] ποιήσατε ὑμῖν (+ φησὶ Q.) K.Q. Sav. cet. [m] τουτέστιν] οὐκοῦν ὑπακούσωμεν, δεσποτικὴ γάρ ἐστιν (+ ἡ K.Q) ἐντολὴ, καὶ τὰ περιττὰ τοῦ πλούτου εἰς τοὺς δεομένους σκορπίσωμεν K.Q. Sav. cet. Post ἐλεημοσύνην iidem add. ἕως ἐσμὲν κύριοι· τοῦτο γάρ ἐστι τὸ φίλους ποιεῖν ἐκ τοῦ μαμωνᾶ. Nostra verterunt Interpp. [n] τούτους] τοὺς δεομένους N.R. *istos* Mut. εἰς τούτους τὰ χρ.] τὰ χρ. εἰς τοὺς πένητας K.Q. Sav. cet. [o] παρ. ἔχωμεν (σχῶμεν N.O.) omnes. ἔχωμεν παρ. Edd. [p] γὰρ om. A. Mox ἡμῶν pro ἡμῖν et ὀνῆσαι pro σῶσαι O. [q] ὅρα τὴν πρ.] ἔνι τοῦτο μαθεῖν ἀπὸ τῆς προσθήκης K.Q. Sav. cet. [r] ἡμῖν et ἡμᾶς A. [s] τούτους] τοὺς R. et a pr. m. O. [t] δηλῶν ὡς] δηλῶν ὅτι N.O. Sav. cet. ὥστε δῆλον ὅτι K.Q. Mox φιλία πρ. ἡμῶν omnes. πρ. ἡμῶν φιλία Edd. [v] ὁ τῆς ἐλ. ante οὐ πρὸς τ. πλ. μ. transp. K.Q. Sav. cet. [w] ἔσται K.Q. Mox οὗτος om. in text. O. [x] ἐστιν] + οὐκ ἔστιν K.Q. Sav. cet. [y] ἔνεστιν οὖν] Sic A.N.R. ἔστιν οὖν O. ἔνεστι K.Q. ἔνεστι γοῦν Edd. *potest ergo* Mut. [z] ὑπερβ. πλ. δ.] καὶ πλ. δ. ὑπερβ. K.Q. ἐκείνη pro κἀκείνη iidem.

Digitized by Google

διδόντας, καθάπερ κἀκείνη ἡ χήρα. Οὐ γὰρ τῷ μέτρῳ τῶν
διδομένων, ἀλλὰ τῇ δυνάμει καὶ τῇ προαιρέσει τῶν διδόντων
κρίνεται τῆς ἐλεημοσύνης τὸ [a]μέγεθος. [b]Πανταχοῦ προαιρέ-
σεως δεῖ, [c]πανταχοῦ γνώμης ὀρθῆς, πανταχοῦ τῆς πρὸς τὸν
θεὸν ἀγάπης. [d]Ἐὰν μετὰ ταύτης ἅπαντα πράττωμεν, κἂν
μικρὰ ἔχοντες μικρὰ δῶμεν, οὐκ ἀποστρέψει ὁ θεὸς τὸ πρόσω- D
πον αὐτοῦ, ἀλλὰ δέξεται ὡς μεγάλα καὶ θαυμαστά. Τῇ γὰρ
προαιρέσει, οὐ τοῖς διδομένοις προσέχει· κἂν ἐκείνην ἴδῃ μεγάλην
οὖσαν, ταύτῃ [e]τίθεται τὰς ψήφους καὶ [f]κρίνει, καὶ τῶν αἰωνίων
ἀγαθῶν ποιεῖ μετόχους· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν,
χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή,
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Β. 13

[1]Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, [a]δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν.

ΠΑΝΤΑΧΟΥ μὲν εὐλαβοῦς διανοίας δεῖ, μάλιστα δὲ
ὅταν περὶ θεοῦ λέγωμέν τι καὶ ἀκούωμεν· [b]ἐπεὶ μήτε εἰπεῖν ἡ
γλῶττα, μήτε ἀκοῦσαι ἡ διάνοια πρὸς ἀξίαν [c]τοῦ θεοῦ τι δύνα-
ται· καὶ τί λέγω γλῶτταν καὶ [d]διάνοιαν; οὐδὲ [e]γὰρ ὁ νοῦς ὁ
πολὺ τούτων πλέον ἔχων, δυνήσεταί τι περιλαβεῖν ἀκριβῶς, B
ὅταν περὶ θεοῦ τι φθέγγεσθαι βουλώμεθα. Εἰ γὰρ ἡ εἰρήνη
[f]τοῦ θεοῦ ὑπερέχει πάντα νοῦν, καὶ τὰ ἡτοιμασμένα τοῖς ἀγα-
πῶσιν αὐτὸν ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· πολλῷ μᾶλλον
αὐτὸς ὁ τῆς εἰρήνης θεὸς, ὁ τῶν ἁπάντων δημιουργὸς, ὑπερ-
βαίνει πολλῷ [g]τῷ μέτρῳ τὸν ἡμέτερον λογισμόν. Δεῖ τοίνυν
μετὰ πίστεως καὶ εὐλαβείας ἅπαντα δέχεσθαι· καὶ ὅταν ὁ

[1] Cap. I. v. 3.

[a] μέγεθος] μέτρον O. [b] πανταχοῦ] Sic A.N. Mut. πανταχοῦ γὰρ O.R. Veron. ὥστε πανταχοῦ K.Q. Sav. cet. Statim τῆς πρ. A. Post προαιρέσεως add. ἡμῖν K.Q. Sav. cet. [c] Haec πανταχοῦ γν. ὀρθῆς accesserunt ex uno libro O. *ubique recto proposito* Mut. [d] ἐὰν] + γὰρ N. Mox ἂν pro κἂν K.Q. [e] τίθεται] θήσει K.Q. Mox ποιήσει iidem. [f] κρίνει] Sic O.R. κρινεῖ A.K.Q. Edebatur κρίσεις. Mox ποιεῖ μ. ἀγαθῶν hoc ord. N.O.
Hom. II. [a] δι' αὐτοῦ A. et a pr. m. O. δι' ἑαυτοῦ—ἡμῶν om. K. [b] ἐπεὶ—διάνοια] οὔτε γὰρ γλῶσσα (γλῶττα K.) εἰπεῖν, οὔτε οὖς ἀκοῦσαι K.Q. Sav. cet. invitis Supp. Mut. [c] τοῦ θ. τι δύναται (δυνήσεται a pr. m. O.)] δύναταί τι αὐτοῦ K.Q. [d] διάνοιαν] οὖς K.Q. Sav. cet. [e] γὰρ om. K.Q. ὑπερέχων pro πλέον ἔχων K.Q. Sav. cet. Mox τι om. K.Q. [f] τοῦ θεοῦ om. A. Infra post αὐτὸν add. ἀγαθὰ R. [g] τῷ μέτρῳ] τρόπῳ A.R. Veron.

Digitized by Google

λόγος [h]ἐξασθενήσῃ, καὶ μὴ δύνηται παραστῆσαι τὰ λεγόμενα
μετὰ ἀκριβείας, τότε μάλιστα [i]δοξάζειν τὸν θεὸν, ὅτι θεὸν
C τοιοῦτον ἔχομεν, [k]καὶ τὴν διάνοιαν ἡμῶν καὶ τὴν ἔννοιαν ὑπερ-
βαίνοντα. Πολλὰ γὰρ ὧν [l]περὶ θεοῦ νοοῦμεν, [m]οὐ φράσαι (436)
δυνάμεθα· ἢ πολλὰ [n]φράζομεν μὲν, νοῆσαι δὲ οὐκ ἰσχύομεν·
οἷόν τι λέγω, ὅτι [o]πανταχοῦ ὁ θεὸς ἴσμεν, πῶς δὲ, οὐκέτι νοοῦ-
μεν· ὅτι ἔστι τις ἀσώματος δύναμις πάντων αἰτία τῶν ἀγαθῶν,
ἴσμεν, πῶς δέ ἐστιν, ἢ τίς ἐστιν, οὐκ ἴσμεν. Ἰδοὺ φράζομεν,
καὶ [p]οὐ νοοῦμεν. Εἶπον ὅτι πανταχοῦ ἐστιν, ἀλλ' οὐ νοῶ·
εἶπον ὅτι ἄναρχός ἐστιν, ἀλλ' οὐ νοῶ· εἶπον ὅτι ἐγέννησεν ἐξ
[q]ἑαυτοῦ, καὶ οὐκ οἶδα πῶς [r]πάλιν νοήσω. Ἔστι [s]δέ τινα, ἃ
D μηδὲ φράσαι ἔνι· οἷόν τι λέγω, νοεῖ ἡ διάνοια, ἀλλ' εἰπεῖν οὐ
δύναται. Καὶ ἵνα [t]εἰδῇς καὶ Παῦλον ἀσθενοῦντα, καὶ μὴ πρὸς
ἀκρίβειαν τὰ ὑποδείγματα λέγοντα, καὶ φρίξῃς, καὶ μηδὲν πε-
ραιτέρω ζητήσῃς, ἄκουε· εἰπὼν γὰρ υἱὸν, καὶ θεὶς δημιουργὸν,
τί [v]φησιν; "Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς
ὑποστάσεως αὐτοῦ." Τοῦτο [w]δὲ μετ' εὐλαβείας ἐκλαμβάνειν
δεῖ, [x]καὶ τὰ ἄτοπα περικόψαι. " Ἀπαύγασμα τῆς δόξης,"
14 [y]φησίν. Ἀλλ' ὅρα πρὸς τί αὐτὸ ἐκλαμβάνει, καὶ οὕτω καὶ
αὐτὸς δέχου· ὅτι ἐξ αὐτοῦ, ὅτι ἀπαθῶς, ὅτι οὐ μειωθέντος [z]οὐδὲ
ἐλαττωθέντος· ἐπειδὴ εἰσί τινες ἄτοπά τινα ἐκ τοῦ ὑποδείγμα-
τος ἐκλαμβάνοντες. Τὸ γὰρ ἀπαύγασμα, [a]φασὶν, ἐνυπόστατον
οὐκ ἔστιν, ἀλλ' ἐν ἑτέρῳ ἔχει τὸ εἶναι. Μὴ τοῦτο τοίνυν ἐκ-
λάβῃς, ἄνθρωπε, μηδὲ Μαρκέλλου καὶ Φωτεινοῦ νοσήσῃς [b]τὴν
νόσον. Ἐγγύθεν [c]γάρ σε θεραπεύει, ὥστε μὴ εἰς ἐκείνην [d]ἐμ-
πεσεῖν τὴν διάνοιαν, οὐδὲ ἀφίησί σε εἰς τὸ ὀλέθριον ἐκεῖνο νό-
B σημα κατενεχθῆναι. [e]Τί δέ φησι; " Καὶ χαρακτὴρ τῆς ὑπο-

[h] ἐξατονῇ K.Q. ἐξατονήσῃ Sav. marg. [i] δοξάζειν] + χρὴ O. [k] καὶ τὴν δ. ἡμῶν om. A. Supp. Statim τὸν λόγον pro τὴν ἔννοιαν K.Q. Sav. cet. [l] περὶ τοῦ θ. A.O. [m] οὐ φρ.] οὔτε φρ. K.O.Q.R. Veron. φρ. οὐ Supp. οὐ φράσαι—φράζομεν μὲν om. A. [n] φράζομεν μὲν] Sic N.O. μὲν om. Veron. Supp. μὲν φράζομεν K.Q.R. Sav. cet. Post ἰσχύομεν add. ἀκριβῶς K.Q. [o] πανταχοῦ] + μὲν N. Sav. cet. [p] οὐ om. A. Statim εἶπον (in 1mo loco)—νοῶ (in 2do loco) om. idem. εἶπον (in 2do loco)—νοῶ om. K. inclusum a Sav. [q] αὐτοῦ A. [r] πάλιν—δὲ] ἄρα καλῶς ἔλεγον ὅτι ἐστὶ (ἔτι Q.) K.Q. Mox καὶ γὰρ pro οἷόν τι λέγω iidem. [s] δὲ] Sic N.R. Supp. Sav. cet. οὖν A.O. Veron. [t] ἴδῃς Supp. et ex corr. O. *videas* Mut. [v] φησιν] ἐπάγει K.Q. Supp. Sav. cet. [w] δὲ assumtum ex A.N.O.R. Mut. οὖν pro δὲ Supp. [x] καὶ] + πάντα K.Q. Mox περικόπτεται iidem. [y] φησίν. ἀλλ' om. K.Q. Supp. [z] οὐδὲ] ἀλλ' οὐδὲ A. Veron. [a] φησὶν O. Supp. *inquiunt* Mut. φασὶν om. A. Cat. Veron. τὸ γὰρ—φασὶν] οἳ λέγουσιν ὅτι τὸ ἀπ. K.Q. [b] τὴν ante Μαρκέλλου transp. K.Q. [c] γάρ σε θ.] ἔχεις τὴν θεράπειαν K.Q. Post ὥστε add. γὰρ Q. [d] ἐκπεσεῖν A. ἐμπεσεῖν σε Edd. σε om. A.K.O.Q.R. Cat. Supp. Mox ἐκείνων pro ἐκεῖνο N. Supp. [e] τί δέ φησι] εὐθέως ἐπάγων (ἐπαγαγὼν Supp.) K.Q. Supp.

Digitized by Google

στάσεως αὐτοῦ·" [f]οἷον ὥσπερ ἐστὶν αὐτὸς ἐνυπόστατος, οὐδενὸς δεόμενος, οὕτω καὶ ὁ υἱός. Ἐνταῦθα [g]γὰρ τὸ ἀπαράλλακτον δεικνὺς τοῦτό φησι, καὶ [h]τὸν ἰδιάζοντα χαρακτῆρα τοῦ πρωτοτύπου, [i]ὡς ἐν ὑποστάσει ἐστὶ καθ' ἑαυτόν. [k]Ὁ γὰρ ἀνωτέρω εἰπὼν, ὅτι δι' αὐτοῦ [l]ἐποίησε τὰ πάντα, ἐνταῦθα [m]δίδωσιν αὐτῷ τὴν αὐθεντίαν. Τί γὰρ ἐπάγει; "Φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ·" [n]ἵνα ἐκ τούτου μὴ μόνον τὸν χαρακτῆρα τῆς ὑποστάσεως ἐκλάβωμεν, ἀλλὰ καὶ τὸ μετὰ αὐθεντίας C ἅπαντα κυβερνᾶν. Ὅρα [o]τοίνυν πῶς, ὅπερ ἐστὶν ἴδιον τοῦ πατρὸς, τοῦτο προσάπτει [p]τῷ υἱῷ. Διὰ γὰρ τοῦτο οὐχ ἁπλῶς εἶπε, "Φέρων τε τὰ πάντα," [q]οὐδὲ εἶπε, τῇ δυνάμει αὐτοῦ, ἀλλὰ, "τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ." [r]Ὥσπερ γὰρ πρώην ἡμῖν ἀνῄει κατὰ μικρὸν καὶ κατῄει, οὕτω καὶ νῦν, καθάπερ [s]ἀπὸ ἀναβαθμῶν, ἀναβαίνει εἰς ὕψος, εἶτα πάλιν καταβαίνει, καί φησι, "Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν." Ὅρα πῶς καὶ ἐνταῦθα [t]δύο ὁδοὺς ὁδεύει, τὴν μὲν ἀπάγων ἡμᾶς Σαβελλίου, τὴν δὲ Ἀρείου· D καὶ ἑτέραν [v]τινὰ, ὥστε μὴ νομισθῆναι ἄναρχον αὐτὸν εἶναι, ὃ καὶ αὐτὸς ἄνω καὶ κάτω ποιεῖ, μηδὲ ἀλλότριον τοῦ θεοῦ. Εἰ γὰρ καὶ μετὰ τοσαῦτα εἰσί τινες οἱ ἀλλότριον [w]αὐτὸν φήσαντες, καὶ ἕτερον αὐτῷ [x]δόντες πατέρα, καὶ τούτῳ πολεμεῖν αὐτὸν λέγοντες· εἰ μὴ ταῦτα εἶπε, τί οὐκ ἂν ἐφθέγξαντο; [y]Πῶς οὖν τοῦτο ποιεῖ; Ὅταν θεραπεύειν ἀναγκάζηται, [z]τότε ἀναγκάζεται

[f] οἷον—ἐνυπόστατος] δηλῶν διὰ τῆς ἐπαγωγῆς, ὅτι ὥσπερ ἐστὶν ὁ πατὴρ ἐνυπ. καὶ πρὸς ὑπόστασιν K.Q. Sav. cet. [g] γὰρ om. K. γὰρ τὸ om. Q. Mox εἶπεν pro φησι K.Q. Proximum καὶ om. Q. [h] τὸν] πρὸς τὸν (et post πρωτοτύπου add. παραπέμπων σε καὶ διδάσκων) K.Q. Sav. cet. invitis Cat. Supp. Mut. [i] ὡς] ὅτι K.Q. καὶ πῶς, φησὶν O.R. Mut. Mox καὶ καθ' ἑ. K.Q. [k] ὁ—εἰπὼν] εἰπὼν δὲ ἀνωτέρω K.Q. Sav. cet. [l] ἐποίησεν ὁ θεὸς Edd. ὁ θεὸς om. K.O.Q.R. Mut. [m] δίδωσιν—ἐπάγει] διδοὺς αὐτῷ τὴν αὐθεντείαν, ἐπάγει K.Q. [n] ἵνα]+γὰρ K.Q. Post ὑποστάσεως add. αὐτοῦ O. Mox ἐκ τοῦ pro τὸ O. Cat. Mut. [o] τοίνυν πῶς] τί ποιεῖ K.Q. [p] τῷ] καὶ τῷ K.Q.R. Supp. et corr. O. invita Cat. [q] οὐδὲ εἶπε—τῆς δ. αὐτοῦ] ἀλλὰ τῷ ῥ. τῆς δ. αὐτοῦ, οὐδὲ εἶπε, τῇ δ. αὐτοῦ, ἀλλὰ προσέθηκε, τῷ ῥ. N.R. τῷ ῥ. τῆς δ. αὐτοῦ, οὐδὲ εἶπε, τῇ δ. αὐτοῦ, ἀλλὰ τῷ ῥ. a pr. m. O. ἀλλὰ προσέθηκε, τῷ ῥ. οὐδὲ εἶπε (λέγει K.Q.) τῇ δ. αὐτοῦ, ἀλλὰ τῷ ῥ. τῆς δ. αὐτοῦ K.Q. et ex corr. O. ἀλλὰ τῷ ῥ. τῆς δ. αὐτοῦ Cat. *verbo virtutis suae, neque dixit, virtute ipsius* Mut. [r] ὥσπερ—κατῄει] ὥσπερ οὖν ἔμπροσθεν ἀνῄει καὶ πάλιν κατῄει K.Q. [s] ἀπὸ (ἐπὶ Supp.) ἀναβαθμῶν] ἀπὸ τινῶν βαθμῶν K.Q. Sav. cet. Mox κατάγει pro καταβαίνει A.N.O. [t] δύο—τοσαῦτα] δύο τέμνει ὁδούς. βουλόμενος γὰρ ἡμᾶς ἀπαγαγεῖν τῆς Σαβελλίου καὶ Ἀρείου καινοτομίας, τοῦ μὲν τὸ τριττὸν (περιττὸν Sav. cet.) τῆς ὑποστάσεως (τῶν ὑποστάσεων Q.) ἀναιροῦντος, τοῦ δὲ τὴν μίαν φύσιν εἰς ἀνισότητα κατατέμνοντος, ἐκ περιουσίας ἀμφότερα, (ἀμφοτέρους Q.) ἀναιρεῖ. πῶς οὖν τοῦτο ποιεῖ; ἄνω καὶ κάτω τὰ αὐτὰ στρέφει καὶ φθέγγεται, ὥστε μὴ νομ. αὐτὸν ἄναρχον, μηδὲ ἀλλ. τοῦ θεοῦ. καὶ μὴ ξενισθῇς τὸν λόγον, ἀγαπητέ· εἰ γὰρ καὶ μετὰ τοσαύτην ἀπόδειξιν K.Q. Sav. cet. [v] τινα]+ἐνάγων N.R. [w] αὐτὸν om. K. Statim εἶναι φήσαντες K.O.Q. Sav. cet. φ. εἶναι N. εἶναι om. A.R. Veron. [x] διδόντες O. [y] πῶς—ὅταν] ὅταν οὖν K.Q. Sav. cet. [z] τότε] ταῦτα, τότε O. ἀναγκάζεται post ταπεινὰ transp. idem.

Digitized by Google

καὶ [a]*τὰ ταπεινὰ φθέγγεσθαι· οἷον ὅτι ἔθηκε,* [b]*φησὶν, αὐτὸν
κληρονόμον πάντων,* [c]*καὶ δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησεν.* [d]*Ἵνα
δὲ μὴ ἑτέρως* [e]*λυμήνηται, εἰς αὐθεντίαν πάλιν αὐτὸν ἀνάγει, καὶ
δείκνυσιν ὁμότιμον ὄντα τῷ πατρὶ, καὶ οὕτως ὁμότιμον, ὡς
πολλοὺς νομίσαι τὸν αὐτὸν εἶναι πατέρα.* Καὶ θέα *τὴν σύνεσιν
αὐτοῦ τὴν πολλήν· πρότερον ἐκεῖνο τίθησι, καὶ ἀσφαλίζεται
αὐτὸ μετὰ ἀκριβείας·* [f]*καὶ ὅταν τοῦτο δειχθῇ, ὅτι* [g]*τοῦ θεοῦ
ἐστιν υἱὸς, καὶ ὅτι οὐκ ἀλλότριος αὐτοῦ, μετὰ* [h]*ἀσφαλείας λοι-*
B *πὸν ἅπαντα, ὅσα βούλεται, φθέγγεται τὰ ὑψηλά.* Ἐπειδὴ
γὰρ τὸ μέγα [i]*τι περὶ αὐτοῦ εἰπεῖν εἰς ἐκείνην τὴν ἔννοιαν πολ-
λοὺς ἤγαγε, πρότερον θεὶς τὰ ταπεινὰ, μετὰ ἀσφαλείας τότε
εἰς ὕψος* [k]*ἀνέρχεται ὅσον βούλεται· καὶ εἰπὼν, "Ὃν ἔθηκε
κληρονόμον πάντων," καὶ ὅτι δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησε,
τότε ἐπάγει, "*Φέρων *τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως
αὐτοῦ."* Ὁ *γὰρ ῥήματι μόνῳ τὰ πάντα διακυβερνῶν, οὐκ ἂν
δεηθείη τινὸς εἰς τὸ παραγαγεῖν τὰ* [l]*πάντα.* (437)

Καὶ *ὅτι τοῦτό ἐστιν, ὅρα πῶς πάλιν προϊὼν δίδωσιν αὐτῷ*
C *τὴν αὐθεντίαν, καὶ τὸ, "δι' οὗ," ἐξελών.* Ἐπειδὴ *γὰρ εἰργά-
σατο δι' αὐτοῦ ὃ ἤθελε, λοιπὸν ἀποστὰς* [m]*ἀπ' αὐτοῦ, τί φησι;*
[2] "Κατ' *ἀρχὰς σὺ, κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν
χειρῶν σού εἰσιν οἱ οὐρανοί."* Οὐδαμοῦ *τὸ, "δι' οὗ,"* [n]*οὐδὲ ὅτι
ἐποίησε δι' αὐτοῦ τοὺς αἰῶνας.* Τί *οὖν; οὐχ ὑπ' αὐτοῦ γεγέ-
νηνται;* Ναί· *ἀλλ' οὐχ ὡς σὺ λέγεις,* [o]*οὐδὲ ὡς ὑπονοεῖς, ὡς δι'
ὀργάνου, οὐδὲ ὡς οὐκ ἂν ποιήσαντος, εἰ μὴ χεῖρα αὐτῷ ὤρεξεν
ὁ πατήρ.* Ὥσπερ *γὰρ οὐδένα* [p]*κρίνει, καὶ λέγεται κρίνειν διὰ
τοῦ υἱοῦ,* [q]*ᾗ κριτὴν ἐγέννησεν· οὕτω* [r]*καὶ δημιουργεῖν,* [s]*ᾗ δημι-*
D *ουργὸν ἐγέννησεν.* Εἰ *γὰρ αὐτοῦ αἴτιος ὁ πατὴρ,* [t]*καθ' ὃ
πατὴρ, πολλῷ μᾶλλον τῶν δι' αὐτοῦ γεγενημένων.* Ὅταν *μὲν*

2 Hebr. i. 10.

[a] *τὰ* om. A.K.O. [b] *φησὶν* om. K. post *αὐτὸν* transp. N. post *κληρονόμον* R. [c] *καὶ*]+*ὅτι* K.Q. Sav. cet. [d] *ἵνα δὲ*] Sic Supp. Veron. *ἵνα* A.R. *καὶ ἵνα* N. *εἶτα ἵνα* K.Q. Sav. cet. *εἶτα πάλιν ἵνα* O. *deinde ne* Mut. [e] *λυμήνηται*]+*ἀπὸ τῶν λόγων τῆς ταπεινότητος* K.Q. Sav. cet. Mox *αὐτὸν πάλιν* inverso ord. N.O.Q. [f] *καὶ—δειχθῇ*] *εἶτα ἐπεὶ τοῦτο ἔδειξεν* K.Q. [g] *τοῦ* om. A.R. Veron. Proximum *καὶ* om. A.N.O. Veron. [h] *ἀσφαλείας*] *ἀδείας* K.Q. Sav. cet. *ὅσα βούλεται* om. K.Q. Supp. invito Mut. Mox *φθ. καὶ τὰ* K. [i] *τι* om. O. Post *εἰπεῖν* add. *ἐκ προοιμίων ἀφεὶς* K.Q. [k] *ἔρχεται* R. Veron. [l] *πάντα*] *ὄντα* O. [m] *ἀπ'* et *τί* om. a pr. m. O. *λοιπὸν—φησι*] *ὅρα λοιπὸν τί ἀπ. ἀπ' αὐτοῦ λέγει* K.Q. [n] *οὐδὲ*]+*τὸ* R. [o] *οὐδὲ* pro *οὐδ'* K.N.O. Supp. *ὡς* om. K.Q. *οὐδ' ὡς σὺ ὑπ.* R. [p] *κρίνει*]+*ἐκεῖνος* K.Q. Sav. cet. [q] *ᾗ*] Sic Supp. *ἡ* A.N.O.R. Veron. *ὅτι* K.Q. Sav. cet. Post *κριτὴν* add. *αὐτὸν* K.Q. Sav. cet. [r] *καὶ*]+*λέγεται* K.Q. Post *δημιουργεῖν* add. *δι' αὐτοῦ* K.Q. Sav. cet. [s] *ᾗ*] Sic Supp. *ἡ* A.N. Veron. *εἰ* O. *ὅτι* K.Q. Sav. cet. *δημιουργεῖν ᾗ* om. R. Post *δημιουργὸν* add. *αὐτὸν* K.Q. Sav. cet. [t] Haec *καθ' ὃ πατὴρ* accesserunt ex O. Mut.

Digitized by Google

οὖν βούληται δεῖξαι ὅτι ἐξ αὐτοῦ, ἀναγκαίως τὰ ταπεινὰ φθέγ-
γεται· ὅταν δὲ [v]βούληται ὑψηλὰ φθέγγεσθαι, λαβὴν Μάρ-
κελλος λαμβάνει καὶ Σαβέλλιος. Ἀλλ' ἀμφοτέρων τὴν ἀμε-
τρίαν [w]φυγὼν, μέσην ὥδευσεν. Οὔτε γὰρ ἐπὶ τῆς ταπεινότητος
ἐμμένει, ἵνα μὴ Παῦλος ὁ Σαμοσατεὺς [x]λάβῃ χώραν, οὔτε ἀεὶ
τοῖς ὑψηλοῖς ἐναπομένει· καὶ δείκνυσιν αὐτοῦ [y]πάλιν τὴν ἐγγύ- 16
τητα τὴν πολλὴν, ἵνα μὴ Σαβέλλιος ἐπιπηδήσῃ. Εἶπεν υἱὸν,
[z]καὶ εὐθέως ἐφέστηκε Παῦλος ὁ Σαμοσατεὺς, λέγων αὐτὸν εἶναι
υἱὸν ὡς τοὺς πολλούς. Ἀλλ' ἔδωκεν αὐτῷ καιρίαν πληγὴν,
εἰπὼν κληρονόμον. Ἀλλ' ἔτι ἀναισχυντεῖ μετὰ Ἀρείου· τὸ
γὰρ, "ἔθηκεν αὐτὸν κληρονόμον," ἀμφότεροι κατέχουσιν· ἐκεῖνος
μὲν [a]ἀσθενείας λέγων εἶναι, οὗτος δὲ [b]ἔτι ἐνέστηκεν, ἐπισκήπτειν
ἐπιχειρῶν τῷ ἑξῆς. Εἰπὼν γὰρ, "Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίη-
σεν," ἔβαλε [c]μὲν ὕπτιον ἀναισχυντοῦντα τὸν Σαμοσατέα, [d]ὁ δὲ
Ἄρειος ἔτι ἰσχυρὸς εἶναι δοκεῖ. Ἀλλ' ὅρα καὶ τοῦτον πῶς
[e]πλήττει πάλιν εἰπὼν, "Ὃς ὢν ἀπαύγασμα τῆς δόξης αὐτοῦ." B
[f]Ἀλλ' ἰδοὺ πάλιν ἐπιπηδᾷ Σαβέλλιος, καὶ Μάρκελλος, καὶ
Φωτεινός. Ἀλλὰ κἀκείνοις πᾶσι μίαν πληγὴν δίδωσιν, [g]εἰπὼν,
"Καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα
τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ." Ἐνταῦθα πάλιν καὶ Μαρ-
κίωνα πλήττει, οὐ σφόδρα μὲν ἰσχυρῶς, πλήττει δ' οὖν ὅμως·
δι' ὅλης γὰρ τῆς ἐπιστολῆς πρὸς αὐτοὺς μάχεται. Ἀλλ' ὅπερ
[h]ἔφη, "ἀπαύγασμα [i]τῆς δόξης," [k]ἄκουε καὶ αὐτοῦ τοῦ Χριστοῦ
λέγοντος, [3] "Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου." [l]Διὰ τοῦτό φησιν
ἀπαύγασμα, δεικνὺς ὅτι κἀκεῖνο οὕτως εἴρηται, ὡς φῶς ἐκ φωτός. C
Οὐ τοῦτο δὲ μόνον [m]δείκνυσιν, ἀλλ' ὅτι καὶ ἐφώτισε τὰς ἡμετέρας
ψυχάς· [n]καὶ τὸν πατέρα αὐτὸς ἐσήμανε, καὶ διὰ τοῦ ἀπαυγά-

3 Joan. viii. 12.

v βούληται—ἀμφοτέρων] ὅτι θεὸς ἴσος τῷ πατρὶ, τὰ ὑψ. φθέγγεται. ἵν' οὖν λαβὴν Μ. μὴ λάβῃ, ἀμφοτέρων K.Q. w φυγὼν] Sic K.Q. Mut. Sav. Mor. ἡ ἐκκλησία φυγοῦσα A.N.O.R. Veron. Supp. Ben. Post ὥδευσεν add. ὁδὸν K.O.Q.R. Supp. Sav. cet. x λάβῃ] σχῇ K.Q. y πάλιν] παρὰ A. Post Σαβέλλιος add. πάλιν A.N.O. Veron. z καὶ om. A. Veron. a ἀσθενείας] +αὐτὸ K.Q. b ἔτι—τῷ (τὸ A.N.R. Veron. non Supp.) ἑξῆς] ἐπισκήπτειν ἐπιχ. καὶ τῷ ἑξῆς K.Q. Sav. cet. Statim εἰπὼν δὲ Παῦλος δι' οὗ iidem. c μὲν om. K.N.Q. Sav. cet. d ὁ δὲ] ἀλλ' ὁ in rasura O. Mox ἔτι ὡς ἰσχ. idem. ὁ δὲ—δοκεῖ] ὁ (+δὲ Q.) Ἄ. τέως ἔτι ἵσταται K.Q. e πλήττει πάλιν] κατα-βάλλει K.Q. κατ. πάλιν Sav. cet. πλήττει om. Veron. f ἀλλ' ἰδοὺ] ἀλλὰ τούτῳ K.Q. g εἰπὼν] ἐπαγαγὼν K.Q. Haec φέρων—αὐτοῦ om. K. inclusa a Sav. Mox οὐ σφόδρα—ὅμως om. a pr. m. N. h ἔφη] Vid. Annot. ἀλλ' ὅπερ ἔφη ἀπ.] ἀπ. γὰρ N. i τῆς (τῆς om. Q.) δόξης]+φησὶν N.+εἴρηκε τὸν υἱόν· καὶ ὅτι καλῶς K.Q. Sav. cet. In O. rasura est. k ἄκουε]+δὲ N. καὶ αὐτοῦ om. K.Q. Sav. cet. sed iidem post λέγοντος add. περὶ αὐτοῦ. l διὰ τοῦτο—εἴρηται] διὰ τοῦτο δὲ ἀπ. εἶπεν αὐτὸς, ἵνα δείξῃ ὅτι κἀκεῖ οὕτως εἴρηται· δῆλον δὲ K.Q. Sav. cet. m δείκνυσιν] Sic A.K.O.Q.R. Supp. δεικνὺς N. δείκνυται Edd. n καὶ—ἔδειξεν] διὰ δὲ τοῦ ἀπ. τὸ ἴσον ἐσήμανε τῆς οὐσίας, καὶ τὴν πρὸς τὸν πατέρα ἐγγύτητα K.Q. Sav. cet. Statim ἐνν. δὲ τὴν N.O. Supp.

Digitized by Google

σματος τῆς οὐσίας τὴν ἐγγύτητα ἔδειξεν. Ἐννόησον τὴν λε-
πτότητα τῶν εἰρημένων· οὐσίαν μίαν ἔλαβε καὶ ὑπόστασιν εἰς
δύο ὑποστάσεων παράστασιν· ὃ καὶ ἐπὶ τῆς γνώσεως τοῦ πνεύ-
ματος ποιεῖ. Ὥσπερ γὰρ μίαν εἶναί φησι τὴν γνῶσιν [o]τὴν τοῦ
πατρὸς καὶ τοῦ πνεύματος, ὡς ὄντως μίαν, καὶ οὐδὲν πρὸς ἑαυ-
D τὴν [p]διεστηκυῖαν· οὕτω καὶ ἐνταῦθα ἑνός τινος [q]ἐπελάβετο εἰς
τὴν τῶν δύο [r]ὑπόστασιν. [s]Καὶ ἐπήγαγεν ὅτι χαρακτήρ. [t]Ὁ
γὰρ χαρακτὴρ ἄλλος τίς ἐστι παρὰ τὸ πρωτότυπον· ἄλλος δὲ
οὐ πάντη, ἀλλὰ κατὰ τὸ ἐνυπόστατον εἶναι· ἐπεὶ καὶ ἐνταῦθα ὁ
χαρακτὴρ τὸ ἀπαράλλακτον δηλοῖ οὗ ἐστι χαρακτὴρ, τὸ ὅμοιον
17 κατὰ πάντα. Ὅταν οὖν καὶ μορφὴν αὐτὸν καλῇ, καὶ χαρα-
κτῆρα, τί ἐροῦσιν; Ἀλλὰ καὶ [v]θεοῦ εἴρηται εἰκὼν ὁ ἄνθρωπος,
φησί. Τί οὖν; οὕτως ὡς [w]ὁ υἱός; Οὔ, φησὶν, ἀλλ' ὅτι [x]ἡ
εἰκὼν οὐ δείκνυσι τὸ ὅμοιον. Καίτοιγε καθ' ὃ εἴρηται [y]ὁ ἄν-
θρωπος εἰκὼν, δείκνυσι τὸ ὅμοιον ὡς ἐν ἀνθρώπῳ. Ὅπερ γάρ
ἐστιν ὁ θεὸς ἐν τῷ οὐρανῷ, τοῦτο [z]ὁ ἄνθρωπος ἐπὶ τῆς γῆς,
κατὰ τὴν ἀρχὴν λέγω· καὶ ὥσπερ τῶν [a]ἐπὶ γῆς πάντων οὗτος
κρατεῖ, οὕτω καὶ ὁ θεὸς πάντων κρατεῖ τῶν [b]ἐν οὐρανῷ καὶ τῶν
ἐπὶ τῆς γῆς. Ἄλλως δὲ, ὁ ἄνθρωπος οὐκ εἴρηται [c]χαρακτὴρ,
B οὐκ εἴρηται μορφή· ὅπερ τὴν οὐσίαν ἐμφαίνει, ἢ [d]καὶ οὐσίαν καὶ
ὁμοιότητα τὴν κατ' οὐσίαν. Ὥσπερ οὖν ἡ μορφὴ τοῦ δούλου
οὐδὲν ἄλλο ἐμφαίνει ἢ ἄνθρωπον ἀπαράλλακτον· οὕτω [e]καὶ ἡ
μορφὴ τοῦ θεοῦ οὐδὲν ἄλλο ἐμφαίνει ἢ θεόν.

"Ὃς ὢν ἀπαύγασμα, φησὶ, τῆς δόξης." Ὅρα τὸν Παῦλον
τί ποιεῖ. Εἰπὼν, "Ὃς ὢν [f]ἀπαύγασμα τῆς δόξης," ἐπήγαγε
πάλιν, "ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης·" [g]ὀνόμασιν οἵοις
κέχρηται, οὐδαμοῦ τῆς οὐσίας ὄνομα εὑρών. Οὔτε γὰρ ἡ μεγα- (438)
λωσύνη, οὔτε ἡ δόξα τὸ ὄνομα παρίστησιν, [h]ὃ βούλεται εἰπεῖν,
ἀλλ' οὐκ ἔχει ὄνομα εὑρεῖν. Τοῦτο [i]γάρ ἐστιν ὃ ἔλεγον ἐξ
ἀρχῆς, ὅτι πολλάκις τινὰ νοοῦμεν, καὶ οὐ δυνάμεθα φράζειν·
C ἐπεὶ οὐδὲ τὸ, θεὸς, ὄνομα οὐσίας ἐστὶν, οὐδὲ ἔστιν ὅλως τῆς οὐ-

[o] τὴν om. R. Mox καὶ τὴν τοῦ πν. a pr. m. O. [p] ἑστηκυῖαν K. [q] ἐπελάβετο] + ῥήματος K.Q. Supp. Sav. cet. [r] ὑπόστασιν] ὑποστάσεων δήλωσιν iidem. [s] καὶ] εἶτα K.Q. Sav. cet. non Supp. Mox ὅτι καὶ χ. Edd. καὶ om. K.O.Q.R. Supp. [t] ὁ γὰρ] εἰ δὲ K.Q. [v] θεοῦ] Sic R. et ex corr. O. εἰκόνος A.N.O. Veron. Ben. θεοῦ εἴρηται absunt a K.Q. Sav. Mor. [w] ὁ om. R. [x] ἡ accessit ex N.O.Q.R. [y] ὁ om. R. Mox δείκνυσι—ἀνθρώπῳ om. A. [z] ὁ om. N.O. [a] ἐπὶ τῆς γῆς N.O. [b] ἐν [τῷ] οὐρανῷ καὶ [τῶν] ἐπὶ [τῆς] γῆς Sav. τῷ om. K.O. Supp. τῶν om. K.Q. τῆς om. K.O.Q. [c] χαρακτὴρ] + ἀπαύγασμα οὐκ εἴρ. N. + οὐκ εἴρ. ἀπ. K.Q. Sav. cet. invitis Supp. Mut. [d] καὶ οὐσίαν om. K.Q. Sav. cet. Mox τὴν κατὰ τὴν οὐσίαν R. [e] καὶ assumtum ex omnibus. [f] ἀπ.] + φησὶν O. [g] ὀνόμ. οἵοις] ὅρα οἵοις ὀνόμ. K.Q. Supp. Post οὐσίας add. αὐτῆς K.Q. Supp. Sav. cet. [h] [ὃ] Sav. ὃ om. K.Q. ἀλλὰ β. μὲν εἰπεῖν, οὐκ ἔχει δὲ εὑρεῖν Supp. [i] γὰρ] ἄρα K.Q. Mox ἔλεγεν A.

Digitized by Google

σίας ἐκείνης ὄνομα εὑρεῖν. Καὶ τί θαυμαστὸν εἰ ἐπὶ θεοῦ, ὅπου γε οὐδὲ ἐπὶ ἀγγέλου εὕροι τις ἂν ὄνομα τῆς οὐσίας δηλωτικόν; τάχα δὲ οὐδὲ ἐπὶ ψυχῆς· οὐ γάρ [k] *μοι δοκεῖ τοῦτο τὸ ὄνομα παραστατικὸν εἶναι τῆς οὐσίας αὐτῆς, ἀλλὰ τοῦ ψύχειν. Τὴν γὰρ αὐτὴν καὶ ψυχὴν, καὶ καρδίαν, καὶ νοῦν καλουμένην ἴδοι τις ἄν.* [4] *"Καρδίαν γὰρ, φησὶ, καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ* [l] *θεός·" καὶ πνεῦμα* [m] *πολλαχοῦ ἴδοι τις ἂν λεγομένην αὐτήν. "Φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως* [n] *αὐτοῦ."* [o] *Εἰπέ μοι·* D
[5] *"Εἶπε, φησὶν, ὁ θεὸς, γενηθήτω φῶς·"* [p] *ὁ πατὴρ, φησὶν, ἐπέταξεν, ὁ δὲ υἱὸς ὑπήκουσεν;* [q] *'Αλλ' ἰδοὺ καὶ ἐνταῦθα ῥήματι αὐτὸς ποιεῖ. "Φέρων τε γὰρ, φησὶ, τὰ πάντα" τουτέστι, κυβερνῶν·* [r] *τὰ διαπίπτοντα συγκρατεῖ. Τοῦ γὰρ ποιῆσαι τὸν κόσμον οὐχ ἧττόν ἐστι τὸ* [s] *συγκρατεῖν, ἀλλ', εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, καὶ μεῖζον. Τὸ μὲν γὰρ ἐξ οὐκ ὄντων ἐστί τι* 18
[t] *παράγειν· τὸ δὲ τὰ γεγονότα, εἰς τὸ μὴ εἶναι μέλλοντα* [v] *ἀναχωρεῖν, συνέχειν καὶ συνάπτειν πρὸς ἄλληλα διαστασιάζοντα, τοῦτό ἐστι τὸ μέγα καὶ θαυμαστὸν, καὶ πολλῆς δυνάμεως τεκμήριον.* [w] *Εἶτα τὸ εὔκολον δηλῶν* [x] *εἶπε, "φέρων." Οὐκ εἶπε, κυβερνῶν, ἀπὸ μεταφορᾶς τῶν* [y] *ἁπλῶς τῷ δακτύλῳ τι κινούντων, καὶ ποιούντων περιφέρεσθαι. 'Ενταῦθα καὶ τὸν ὄγκον τῆς κτίσεως ἔδειξε μέγαν ὄντα, καὶ τὸ μέγα οὐδὲν αὐτῷ ὄν. Εἶτα πάλιν τὸ ἀπονητὶ δείκνυσιν, εἰπὼν, "τῷ ῥήματι τῆς δυνάμεως* B
αὐτοῦ." Καλῶς εἶπε, "τῷ ῥήματι." 'Επειδὴ γὰρ τὸ ῥῆμα παρ' ἡμῖν ψιλὸν εἶναι δοκεῖ, δείκνυσιν ὅτι [z] *οὐκ ἔστι ψιλὸν ἐπὶ* [a] *θεοῦ. Τὸ δὲ πῶς τῷ ῥήματι φέρει, οὐκέτι προσέθηκεν· οὐδὲ γὰρ δυνατὸν εἰδέναι. Εἶτα* [b] *ἐπήγαγε περὶ τῆς μεγαλειότητος αὐτοῦ. Οὕτω γὰρ καὶ ὁ 'Ιωάννης πεποίηκεν·* [c] *εἰπὼν ὅτι θεός ἐστιν, ἐπήγαγε τῆς κτίσεως τὴν δημιουργίαν. Ὅπερ γὰρ ἐκεῖνος*

4 Psal. l. 12. 5 Gen. i. 3.

[k] *μοι* om. A. Mox *ψυχὴν* pro *ψύχειν* A. Supp. [l] *θεὸς*] + *οὐ μόνον δὲ ταῦτα, ἀλλὰ* (*ἀλλὰ* om. Q.) K.Q. Supp. Sav. cet. [m] [*πολλαχοῦ*] Sav. Abest a N. Statim *ἴδοις ἂν* K.Q. Supp. [n] *αὐτοῦ*] + *ὁρᾷς τί φησι;* K.Q. Sav. cet. [o] *εἰπέ μοι*] *πῶς οὖν, εἰπέ μοι, λέγεις, αἱρετικὲ, διὰ τὸ λέγεσθαι παρὰ τῇ γραφῇ* K.Q. Sav. cet. Statim *φησὶν* om. iidem. [p] *ὁ πατὴρ, φ.*] *ὅτι ὁ π.* iidem. *φησὶν* om. N. Mox *ὑπήκουσεν* Q. Supp. *obedierit* Mut. *ἐπήκουσεν* Edd. [q] *ἀλλ'* om. K.Q. [*ἀλλ'*] Sav. [r] *τὰ* om. A.N. Veron. et a pr. m. O. Mox *συγκρατῶν* K.Q. Sav. cet. [s] *κρατεῖν* K. [t] *παραγαγεῖν* R. et a pr. m. O. *παρ. τι* hoc ord. O.Q. [v] *χωρεῖν* K.Q. Supp. Statim *συνέχειν τε καὶ* K.N. Sav. cet. [w] *εἶτα*] + *καὶ* K.Q. Sav. cet. [x] *εἶπε, φ.*] *καὶ φ. εἶπεν* N. [y] [*ἁπλῶς*] Sav. Mox *τι* om. K.Q. Infra *φέρεσθαι* pro *περιφ.* K.Q. [z] *οὐκ ἔστι ψ.*] *οὐχ οὕτως ἐστὶν* K.Q. [a] *θεοῦ*] + *ἀλλ' ὅτι μὲν τῷ ῥ. φέρει, εἶπε* K.O.Q. Sav. cet. invitis Supp. Mut. Mox *τῷ ῥ. φέρει* om. K.Q. inclusum a Sav. [b] *ἐπήγαγε*] *θέλων εἰπεῖν* K.Q. Mox *οὕτω—πεποίηκεν* om. iidem, sed post *δημιουργίαν* add. *οὕτω καὶ ὁ εὐαγγελιστὴς πεποίηκεν.* [c] *εἰπὼν γὰρ* Edd. *γὰρ* deest in nostris.

Digitized by Google

ἠνίξατο εἰπὼν, [6] "Ἐν ἀρχῇ ἦν ὁ λόγος," καὶ, "Πάντα δι' αὐτοῦ ἐγένετο," τοῦτο καὶ οὗτος διὰ τοῦ ῥήματος καὶ [d] τοῦ εἰπεῖν, "Δι' οὗ καὶ τοὺς αἰῶνας [e] ἐποίησεν," ἐνέφηνε. Καὶ γὰρ καὶ
C δημιουργὸν, καὶ πρὸ πάντων ὄντα τῶν αἰώνων αὐτὸν δείκνυσι. Τί [f] οὖν; ὅταν περὶ μὲν τοῦ πατρὸς λέγῃ ὁ προφήτης, [7] "Ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ·" περὶ δὲ τοῦ υἱοῦ, ὅτι πρὸ πάντων ἐστὶ τῶν αἰώνων, καὶ τῶν ἁπάντων δημιουργὸς, τί ἂν [g] εἴποιεν; μᾶλλον [h] δὲ ὃ περὶ τοῦ πατρὸς ἐλέγετο, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, τοῦτο καὶ περὶ τοῦ υἱοῦ ἴδοι τις ἂν εἰρημένον. Καὶ [i] ὅπερ ἐκεῖνός φησι, "Ζωὴ ἦν," τὸ διακρατητικὸν τῆς κτίσεως δηλῶν, ὅτι πάντων αὐτός ἐστιν ἡ ζωή· οὕτω καὶ οὗτός φησι, "Φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ·" οὐ καθάπερ Ἕλληνες, καὶ τῆς δημιουργίας αὐτῆς, [k] τὸ εἰς αὐτοὺς
D ἧκον, ἀποστεροῦντες αὐτὸν, καὶ τῆς προνοίας, μέχρι σελήνης συγκλείοντες αὐτοῦ [l] τὴν δύναμιν.

"Δι' ἑαυτοῦ, [m] φησὶ, καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν." Εἰπὼν περὶ τῶν θαυμαστῶν ἐκείνων καὶ μεγάλων, τῶν [n] ἀνωτάτω, λέγει λοιπὸν καὶ περὶ τῆς εἰς ἀνθρώπους αὐτοῦ κηδεμονίας. Μάλιστα μὲν γὰρ καὶ ἐκεῖνο καθολικὸν ἦν, τὸ, "[o] Φέρων τε τὰ πάντα·" πλὴν ἀλλὰ τοῦτο πολλῷ μεῖζον. Καὶ
19 τοῦτο [p] γὰρ καθολικόν· τὸ γὰρ αὐτοῦ μέρος, [q] πάντες ἐπίστευσαν· ἐπεὶ καὶ [r] ὁ Ἰωάννης εἰπὼν, "[s] Ζωὴ ἦν," καὶ τὴν πρόνοιαν δηλώσας, πάλιν λέγει, "[t] Καὶ φῶς ἦν." "[v] Δι' ἑαυτοῦ, φησὶ, καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς." Δύο τίθησιν ἐνταῦθα τῆς κηδεμονίας αὐτοῦ τεκμήρια μέγιστα· τό τε καθαρίσαι τῶν ἁμαρτιῶν ἡμᾶς, καὶ τὸ δι' [w] ἑαυτοῦ τοῦτο ποιῆσαι. Καὶ πολλαχοῦ ὁρᾷς αὐτὸν ἐπὶ τούτῳ σεμνυνόμενον, οὐ μόνον [x] ἐπὶ τῇ καταλ-

6 Joan. i. 1, 3. 7 Psal. lxxxix. 2.

[d] τοῦ] τῷ K.Q. et a pr. m. O. Post εἰπεῖν add. δὲ K.Q. [e] ἐποίησεν] + τὸ ἀΐδιον O. Statim ἐνέφηνε· καὶ γὰρ om. K.Q. καὶ ante δημιουργὸν om. N. Mox αὐτὸν ὄντα τῶν αἰ. N. τῶν αἰ. ὄντα αὐτὸν K.Q. [f] οὖν] + ἂν εἴποιμεν K.Q. Statim ὅταν μὲν περὶ τ. π. N.O. ὅταν περὶ τ. π. μὲν K.Q. Sav. cet. [g] εἴποιμεν N. τί ἂν εἴποιεν om. K. [h] δὲ om. Veron. Post δὲ add. ὅταν A.N.O.R. Veron. invito Supp. ὅπερ pro ὃ K.Q. Sav. cet. non Supp. Mox λέγεται a pr. m. O. λέγηται R. [i] ὅπερ A.N.O.R. Supp. ὥσπερ Edd. Statim ἐκεῖνος om. Veron. [k] τὸ] + γε N. Sav. cet. [l] τὴν] + πολλὴν O. [m] φησὶ] γὰρ, φησὶ N. Sav. cet. [n] ἀνωτάτων R. Veron. Post h. v. add. πράξεων O. [o] φέρων τε] φέρων τε λέγειν K. φέρειν τε λέγειν Q. [p] γὰρ] δὲ K.Q. Supp. Sav. cet. [q] πάντες ἐπ.] πάντας ἔσωσεν K.Q. Sav. cet. invitis Supp. Mut. [r] ὁ om. K.Q.R. [s] ζωὴ ἦν] ζωὴν A.R. Supp. Veron. invito Mut. Post πρόνοιαν add. αὐτοῦ N.O. Mut. Sav. cet. [t] καὶ φ. ἦν] ὅτι καὶ φ. K.Q. Sav. cet. Statim subjungunt τὸ αὐτὸ τοῦτο δηλῶν K.Q. Supp. Sav. cet. [v] δι'] καὶ δι' A. et a pr. m. O. [w] αὐτοῦ A.K.Q. [x] ἐπὶ om. N. Veron.

Digitized by Google

λαγῇ τῇ πρὸς τὸν θεὸν, ἀλλὰ καὶ ἐπὶ τῷ διὰ τοῦ υἱοῦ τοῦτο
γεγενῆσθαι. Καὶ γὰρ [y] ὄντως μέγα τὸ δῶρον, καὶ μεῖζον γεγέ-
νηται τῷ διὰ τοῦ υἱοῦ. Εἰπὼν [z] γὰρ, "Ἐκάθισεν ἐν δεξιᾷ," B
καὶ, "Καθαρισμὸν δι' ἑαυτοῦ ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν,"
(439) καὶ ἀναμνήσας τοῦ σταυροῦ, ταχέως τὸν περὶ τῆς ἀναστάσεως
καὶ [a] ἀναλήψεως λόγον ἐπήγαγε. [b] Καὶ ὅρα τὴν σύνεσιν αὐτοῦ
τὴν ἄφατον· οὐκ εἶπεν, ἐκελεύσθη καθίσαι· ἀλλ', "ἐκάθισεν."
Εἶτα πάλιν, ἵνα μὴ νομίσῃς αὐτὸν ἑστάναι, [c] ἐπάγει· "Τίνι
γὰρ τῶν ἀγγέλων εἶπέ ποτε, Κάθου ἐκ δεξιῶν μου;" "Ἐκάθισε,
[d] φησὶν, ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς." [e] Τί ἐστιν,
"ἐν ὑψηλοῖς;" εἰς τόπον περικλείει τὸν θεόν; [f] Ἄπαγε· ἀλλ' C
ὥσπερ εἰπὼν, "ἐν δεξιᾷ," οὐκ ἐσχημάτισεν αὐτὸν, ἀλλὰ τὸ ὁμό-
τιμον ἔδειξε τὸ πρὸς τὸν πατέρα· οὕτως [g] εἰπὼν, "ἐν ὑψηλοῖς,"
οὐκ ἀπέκλεισεν αὐτὸν ἐκεῖ, ἀλλὰ [h] τὸ πάντων ἔδειξεν ὑψηλότερον,
καὶ [i] πάντα ἀναβεβηκός· [k] τουτέστι, πρὸς αὐτὸν ἔφθασε τὸν
θρόνον τὸν πατρικόν. Ὥσπερ οὖν ὁ πατὴρ ἐν ὑψηλοῖς, οὕτω
καὶ αὐτός· ἡ γὰρ [l] συνεδρία οὐδὲν ἕτερον δείκνυσιν, ἢ τὸ ὁμό-
τιμον. Εἰ δὲ λέγουσιν ὅτι εἶπε, κάθου, ἐρώμεθα [m] αὐτούς· τί
οὖν; ἑστῶτι [n] εἶπεν; Ἄλλως δὲ οὐκ εἶπεν, ὅτι ἐκέλευσεν, [o] οὐδὲ D
προσέταξεν, [p] ἀλλ' ὅτι εἶπε· δι' οὐδὲν ἕτερον, ἀλλ' ἵνα μὴ ἄναρ-
χον αὐτὸν νομίσῃς καὶ ἀναίτιον. Ὅτι γὰρ διὰ τοῦτο [q] εἴρηκε,
δῆλον ἐκ τοῦ τόπου τῆς καθέδρας· εἰ γὰρ ἐλάττωσιν ἤθελε
δηλῶσαι, οὐκ ἂν εἶπεν, "ἐκ δεξιῶν," ἀλλ', ἐξ ἀριστερῶν.
[8] "Τοσούτῳ κρείττων γενόμενος, [r] φησὶ, τῶν ἀγγέλων, ὅσῳ δια-
φορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα." Τὸ, "γενό-
μενος," ἐνταῦθα ἀντὶ τοῦ, ἀποδειχθεὶς, ὡς ἂν εἴποι [s] τις. Εἶτα

8 v. 4.

[y] ὄντως—καὶ] οὕτω τὸ μέγα δῶρον K.Q. Sav. cet. Mox τὸ διὰ A.N.R. et ex corr. O. [τῷ] διὰ Sav. τῷ om. K.Q. [z] γὰρ om. K.Q. Sav. Mor. εἰπὼν γὰρ ἐκ.] ἐκ. γὰρ O. [a] τῆς ἀν. Edd. τῆς om. K.O.Q.R. Supp. Mox ἐπάγει K.Q. [b] καὶ om. K.Q. [c] ἐπήγαγε K.Q. Mox εἶπέ π. τῶν ἀ. hoc ord. N.O. [d] φησὶν om. K.Q. [e] τί—ὑψηλοῖς] ἰδού φησιν, ἐν ὑ. εἶπεν, καὶ K.Q. Statim οὐκ εἰς τόπον O. [f] ἄπαγε] + οὐχ ἵνα τοῦτο ὑποπτεύσωμεν, οὕτως εἴρηκεν K.Q. Sav. cet. [g] εἰπὼν ἐν ὑ.] ἐν ὑ. εἰπὼν N.O. Statim οὐ περιέκλεισεν K.Q. Supp. αὐτὸν om. A. [h] τὸ om. K.Q. Sav. cet. invitis Cat. Supp. [i] πάντων N.O.R. Cat. Veron. Statim ἀναβεβηκὸς (—κὼς A.N.) A.N.O.R. Veron. Cat. ὑπεραναβεβηκότα K.Q. Supp. Sav. cet. [k] τουτέστι, πρὸς] ὡσανεὶ (ὡσεὶ Q. Supp.) ἔλεγεν, εἰς K.Q. Supp. Sav. cet. non Cat. [l] συνεδρεία N. [m] αὐτοὺς] πρὸς αὐτοὺς R. [n] εἶπεν] + ἀλλ' οὐκ ἂν ἔχοιεν δεῖξαι K.Q. Supp. Sav. cet. [o] οὐδὲ] Sic libri omnes et Cat. ἢ Supp. Edd. [p] ἀλλ' ὅτι εἶπε] Sic A.N.O.R. Cat. Mut. ἀλλ' ὅτι εἶπε καὶ τοῦτο (+ εἶπε Supp.) K.Q. Supp. ἀλλ' εἶπε, κάθου Veron. ἀλλ' ὅτι εἶπε, κάθου· καὶ τοῦτο Sav. cet. [q] οὕτως εἴρηκε Edd. οὕτως om. A.O.R. Cat. Supp. [r] φησὶ om. K.Q.R. post ἀγγέλων transp. N. Statim τῶν assumtum ex K.N.O.R. [s] τις] + ἐστίν K.Q. Sav. cet.

Digitized by Google

καὶ [t]*πόθεν ἰσχυρίζεται; Ἀπὸ τοῦ* [v]*ὀνόματος. Ὁρᾷς ὅτι* [w]*οἶδε τὸ, υἱὸς, ὄνομα τὴν γνησιότητα δηλοῦν; Καὶ μὴν, εἰ μὴ* [x]*γνήσιος ἦν* [y]*υἱός· γνήσιος δὲ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ἐξ αὐτοῦ· πῶς ἀπὸ τούτου ἰσχυρίζεται; Εἰ* [z]*γὰρ χάριτί ἐστιν υἱὸς, οὐ μόνον οὐ διαφορώτερος, ἀλλὰ καὶ ἐλάττων ἐστὶν ἀγγέλων. Πῶς; Ὅτι καὶ ἄνθρωποι δίκαιοι ἐκλήθησαν υἱοὶ, καὶ τὸ υἱὸς ὄνομα, ἂν μὴ* [a]*γνήσιος ᾖ, οὐκ ἰσχύει δεῖξαι τὸ* [b]*διάφορον. Καὶ δηλῶν ὅτι διαφορά τις ἐστὶ κτισμάτων καὶ δημιουργοῦ, ἄκουσον τί φησι·* [9]*“Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων, Υἱός μου εἶ σὺ,*
B *ἐγὼ σήμερον γεγέννηκά σε; καὶ πάλιν,* [c]*Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν;” Ταῦτα* [d]*γὰρ εἴρηται μὲν καὶ εἰς* [e]*τὴν σάρκα· τὸ, “Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς* [f]*υἱόν·” τὸ δὲ, “Υἱός μου εἶ σὺ,* [g]*ἐγὼ σήμερον γεγέννηκά σε,” οὐδὲν ἕτερον δηλοῖ, ἢ ὅτι ἐξ* [h]*οὗ ἐστιν ὁ θεός. Ὥσπερ* [i]*γὰρ ὢν λέγεται ἀπὸ τοῦ ἐνεστῶτος καιροῦ·* [k]*οὗτος γὰρ μάλιστα ἁρμόζει αὐτῷ· οὕτω καὶ* [l]*τὸ, “σήμερον,” ἐνταῦθά μοι δοκεῖ εἰς* [m]*τὴν σάρκα εἰρῆσθαι. Ὅταν γὰρ αὐτῆς ἐπιλάβηται, πάντα λοιπὸν ἀδεῶς φθέγγεται. Καὶ γὰρ ἡ σὰρξ*
C *κοινωνεῖ τῶν ὑψηλῶν, ὥσπερ οὖν καὶ ἡ θεότης τῶν ταπεινῶν.* [n]*Ὁ γὰρ ἄνθρωπος γενέσθαι μὴ ἀπαξιώσας, καὶ τὸ πρᾶγμα μὴ παραιτησάμενος, πῶς ἂν τὰ ῥήματα παρῃτήσατο;*

[o]*Ταῦτ' οὖν εἰδότες, μηδὲν ἐπαισχυνώμεθα,* [p]*μηδὲ μέγα φρονῶμεν. Εἰ γὰρ αὐτὸς, θεὸς ὢν καὶ δεσπότης καὶ θεοῦ υἱὸς, οὐ παρῃτήσατο μορφὴν δούλου λαβεῖν· πολλῷ μᾶλλον ἡμᾶς* [q]*ἅπαντα δεῖ ποιεῖν, κἂν ταπεινὰ ᾖ. Πόθεν* [r]*γὰρ, εἰπέ μοι, ἄνθρωπε, μέγα φρονεῖς; ἀπὸ τῶν βιωτικῶν; Ἀλλὰ ταῦτα*

[9] v. 5.

[t] *πόθεν ἰσχυρίζεται* (*διϊσχ.* N.R.)] *ἰσχυρίζεται.* (*διϊσχ.* Sav. cet.) *πόθεν;* K.Q. Supp. Sav. cet. [v] *ὀνόματος*] + *πῶς;* A.O.Veron. [w] *εἶδε* R. Veron. [x] *γνήσιος—ἰσχυρίζεται*] *γνήσιος ἦν, οὐκ ἂν τοῦτο εἶπε. πῶς; ὅτι δι' οὐδὲν ἕτερον γνήσιός ἐστιν, ἀλλ' ἢ τὸ* (“Fort. *τῷ*.” *Heyse*) *ἐξ αὐτοῦ εἶναι. ἀπὸ τούτου τοίνυν ἰσχυρίζεται* K.Q. Sav. cet. [y] *υἱὸς*] Sic N.R. Cat. *ὁ υἱὸς* A. Veron. *υἱὸς ὁ υἱὸς* O. Statim *γνήσιος* R. Cat. Mut. et a pr. m. O. *γνησίου* A.N. Veron. [z] *γὰρ*] *δὲ* K.Q. Sav. cet. [a] *γνήσιον* R. Supp. et a pr. m. O. [b] *διάφορον*] + *τῶν οὐσιῶν* O. [c] *κἀγὼ* R. [d] *γὰρ* om. K.Q. Sav. cet. Haec *ταῦτα γὰρ—εἰς υἱὸν* desunt in Veron. [e] *τὴν*] *τὸ κατὰ* N. Statim *τὸ γὰρ ἐγὼ* K.Q. Supp. Sav. cet. *γὰρ* om. A.O.R. *γὰρ ἐγὼ* om. N. Cat. [f] *υἱὸν*] + *τῆς ἐνανθρωπήσεώς ἐστι παραστατικὸν* K.Q. Supp. Sav. cet. [g] Haec *ἐγὼ—σε* om. K.Q. Supp. Sav. cet. non Cat. [h] *οὗ ἐστιν ὁ θ.*] *αὐτοῦ ἐστιν* iidem. [i] *γὰρ*] *δὲ* K.Q. Sav. cet. [k] *οὕτως* R. et ex corr. O. *τοῦτο* K.Q. *οὗτος—αὐτῷ* om. A. [l] *τὸ σήμερον*] *σήμερον. ἐγὼ σήμ. γεγέννηκά σε* K.Q. [m] *τὴν σ.*] *τοῦτο* K. *τὴν σ. καὶ τοῦτο* Q. [n] *ὁ γὰρ ἄνθ.*] *ὁ θεὸς γὰρ ἄνθ.* N. Sav. cet. [o] ΗΘΙΚΟΝ. *Περὶ τοῦ μὴ μέγα φρονεῖν ἐν τοῖς βιωτικοῖς, μηδὲ ἐπαισχύνεσθαι πενίαν, ἀλλὰ κατὰ δύναμιν ἐκτείνεσθαι πρὸς τὰ θεοφιλῆ.* Veron. [p] *μηδὲ*] Sic O.R. *μὴ* Edd. [q] *πάντα* K.Q. [r] *γὰρ* om. R. Mox *μεγαλοφρονεῖς* O.

Digitized by Google

πρὶν ἢ φανῆναι παρατρέχει. Ἀλλ' ἀπὸ τῶν πνευματικῶν; D
Ἀλλ' ἓν καὶ τοῦτό ἐστι κατόρθωμα πνευματικὸν, τὸ μὴ μέγα
φρονεῖν. Διὰ τί τοίνυν μέγα φρονεῖς; ὅτι κατορθοῖς; Ἄκουσον
τοῦ Χριστοῦ λέγοντος, [s]ὅτι [10] "Ὅταν ποιήσητε πάντα, λέγετε
ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιή-
καμεν." Ἀλλὰ διὰ τὸν πλοῦτον μέγα [t]φρονεῖς; Οὐχ ὁρᾷς
τοὺς πρὸ σοῦ [v]γυμνοὺς καὶ ἐρήμους ἀπελθόντας; Οὐχὶ γυμνοὶ 21
εἰσήλθομεν εἰς τὸν βίον, γυμνοὶ καὶ ἀπελευσόμεθα; Τίς τὰ
ἀλλότρια ἔχων μέγα φρονεῖ; [w]Οἱ γὰρ βουλόμενοι αὐτοῖς
χρῆσθαι εἰς οἰκείαν [x]μόνην ἀπόλαυσιν, ἀφαιροῦνται αὐτὰ καὶ
ἄκοντες, καὶ πρὸ μὲν τῆς τελευτῆς πολλάκις, ἐν δὲ τῇ τελευτῇ
[y]πάντως. Ἀλλ' ἡμεῖς ζῶντες αὐτοῖς, φησὶν, ὡς βουλόμεθα,
χρώμεθα. Μάλιστα μὲν οὐδένα ἄν τις ἴδοι ταχέως, ὡς βού-
λεται τοῖς οὖσι χρώμενον· εἰ δέ [z]τις καὶ χρῷτο ὡς βούλεται,
(440) [a]οὐδὲ τοῦτο μέγα· βραχὺς γὰρ ὁ παρὼν καιρὸς πρὸς τοὺς
αἰῶνας τοὺς ἀτελευτήτους. Μέγα φρονεῖς, ἄνθρωπε, ὅτι πλου-
τεῖς; [b]διὰ τί; τίνος ἕνεκεν; [c]τοῦτο γὰρ καὶ λησταῖς παρα- B
γίνεται καὶ κλέπταις καὶ ἀνδροφόνοις καὶ μαλακοῖς καὶ πόρνοις
καὶ πᾶσι τοῖς πονηροῖς. Διὰ τί οὖν μέγα φρονεῖς; Εἰ μὲν γὰρ
εἰς δέον [d]αὐτῷ κέχρησαι, οὐκ ὀφείλεις μέγα φρονεῖν, ἵνα μὴ
λυμήνῃ τὴν ἐντολήν· εἰ δὲ οὐκ εἰς δέον, [e]ταύτῃ μάλιστα, ὅτι
δοῦλος γέγονας τῶν χρημάτων καὶ κτημάτων, καὶ κρατῇ ὑπ'
αὐτῶν. Εἰπέ [f]μοι γάρ, εἴ τις πυρέττων ὕδωρ ἐκπίοι πολὺ, τὸ
πρὸς βραχὺ μὲν [g]σβεννύον τὴν δίψαν, ὕστερον δὲ ἀνάπτον τὴν C
φλόγα, μέγα ὀφείλει φρονεῖν; Τί δὲ, εἴ τις [h]πλείονα φρον-
τίζει εἰκῇ, διὰ τοῦτο [i]ὀφείλει μέγα φρονεῖν; Διὰ τί, εἰπέ μοι;
ἐπειδὴ πολλοὺς [k]ἔχεις δεσπότας; ἐπειδὴ μυρίας μερίμνας;
ἐπειδὴ κολακεύουσί σε πολλοί; [l]Καὶ γὰρ δουλεύεις αὐτοῖς· καὶ

10 Luc. xvii. 10.

[s] ὅτι assumtum ex A.O.R. Mut. Mox ὀφείλομεν K. [t] φρονεῖς] + διὰ τί, εἰπέ μοι; οὐκ ἤκουσας ὅτι γυμνοὶ εἰσ. εἰς τ. β. γ. κ. ἀπελευσόμεθα; μᾶλλον δὲ K.Q. Sav. cet. Mox οὐχὶ γυμνοὶ—ἀπελευσόμεθα om. iidem. [v] γ. καὶ ἐ.] ἐ. καὶ γ. K. Sav. cet. [w] οἱ γὰρ] ἄλλως δὲ οἱ K.Q. Mox ἑαυτοῖς O. Statim χρήσασθαι R. et a pr. m. O. [x] μόνον K.Q. μόνην om. Veron. ἀπολ. μ. pro μ. ἀπολ. K.Q.R. Statim ἀφ. μὲν αὐτὰ (et mox om. μὲν) K.Q. [y] πάντως] καὶ π. Q.R. et ex corr. O. [z] τις καὶ] καί τις N.O. Statim χρῆται N. [a] οὐδὲ] οὐδὲν N. πλὴν οὐδὲ A.R. Veron. μέγα om. N. [b] διὰ τί; om. A.K.O.Q. Sav. cet. invitis Interpp. [c] τοῦτο] οὗτος K.Q. Mox περιγίνεται N. [d] αὐτὸ R. αὐτὰ A. [e] ταυτὶ ex corr. O. Post μάλιστα add. συστέλλεσθαι δεῖ K.Q. Sav. cet. Mox τῶν τε χρ. Q. [f] μοι γὰρ] γάρ μοι N.O. Sav. cet. γὰρ om. K.Q. Mox ἐκπίῃ Q. et ex corr. N.O. [g] σβεννύων A.K.Q. et a pr. m. O. Mox ἀνάπτων K.Q. et a pr. m. O. [h] πλεῖον K.Q. [i] ὀφείλει—εἰπέ μοι] οὖν μέγα φρονεῖς K.Q. [k] ἔχει Veron. [l] καὶ γὰρ—μάθης] ἀλλὰ τοῦτο δουλεύειν ἐστί· καὶ ἵνα μάθης ὅτι δουλεύεις αὐτοῖς K.Q. Sav. cet. Mox [σαφῶς] Sav. σαφῶς om. K.Q.

Digitized by Google

ἵνα μάθῃς, ἄκουε σαφῶς. Τὰ ἄλλα τῶν παθῶν τῶν ἐν ἡμῖν
ἔστιν ὅπου χρήσιμά [m]ἐστιν, οἷον ἡ ὀργὴ πολλαχοῦ χρησίμη·
[11] "Θυμὸς γὰρ, φησὶν, ἄδικος οὐκ ἀθῳωθήσεται·" [n]ὥστε ἔστι
D καὶ δικαίως θυμωθῆναι. Καὶ πάλιν, "Ὁ ὀργιζόμενος τῷ
ἀδελφῷ [o]αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ γεέννῃ." [p]Οἷον πάλιν ὁ
ζῆλος, ἡ ἐπιθυμία· ἡ μὲν, ὅταν εἰς παιδοποιΐαν γίνηται, [q]ὁ δὲ,
ὅταν πρὸς τὰ καλὰ [r]τὸν ζῆλον ἔχῃ· [s]καθὼς καὶ Παῦλός φησι,
[12] "Καλὸν [t]δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε·" [v]καὶ, "Ζη-
λοῦτε τὰ χαρίσματα τὰ κρείττονα·" [w]ἀμφότερα χρήσιμα. Ἡ
μέντοι ἀπόνοια οὐδαμοῦ καλὸν, ἀλλὰ πανταχοῦ ἄχρηστον καὶ
βλαβερόν. Πλὴν εἰ δεῖ μέγα φρονεῖν, ἐπὶ πενίᾳ, οὐκ ἐπὶ
22 [x]πλούτῳ. Διὰ τί; Ὅτι ὁ ἐν ὀλίγοις δυνάμενος ζῆν, τοῦ [y]μὴ
δυναμένου πολλῷ μείζων καὶ κρείττων ἐστίν. Εἰπὲ γάρ μοι,
εἰ κληθέντων εἰς βασιλικὴν πόλιν τινῶν, οἱ μὲν αὐτῶν μήτε
ὑποζυγίων δέοιντο, μήτε οἰκετῶν, μήτε σκιαδίων, μήτε κατα-
γωγίων, μήτε ὑποδημάτων, μήτε σκευῶν, ἀλλ' ἀπόχρη αὐτοῖς
[z]ἄρτον ἔχειν, καὶ ὕδωρ ἐκ τῶν πηγῶν λαμβάνειν· ἐκεῖνοι δὲ
B λέγοιεν, ὅτι ἐὰν [a]μὴ ὀχήματα δῶτε καὶ στρωμνὴν ἁπαλὴν, οὐ
δυνάμεθα παραγενέσθαι, ἐὰν μὴ [b]καὶ πολλοὺς ἔχωμεν τοὺς ἀκο-
λουθοῦντας, ἐὰν μὴ συνεχῶς ἐξῇ διαναπαύεσθαι, οὐ δυνάμεθα, ἐὰν
μὴ ὑποζυγίοις [c]χρησώμεθα, ἐὰν μὴ καὶ μικρὸν [d]ὁδεύωμεν τῆς ἡμέρας
μέρος· δεῖ δὲ ἡμῖν καὶ ἑτέρων πλειόνων· τίνας ἂν θαυμάσαιμεν;
ἐκείνους, ἢ τούτους; Δῆλον ὅτι τούτους τοὺς [e]οὐδενὸς δεομένους.
Οὕτω δὴ καὶ ἐνταῦθα, οἱ μὲν πρὸς τὴν ὁδὸν τοῦ βίου τούτου
πολλῶν δέονται, οἱ δὲ οὐδενός. Ὥστε τοὺς ἐπὶ πενίᾳ [f]μᾶλλον
μέγα φρονεῖν ἐχρῆν, εἴγε καὶ ἐχρῆν. Ἀλλ' εὐκαταφρόνητός
C ἐστιν ὁ πένης, φησίν. Οὐκ ἐκεῖνος, ἀλλ' οἱ τούτου καταφρο-
νοῦντες. Διὰ τί γὰρ ἐγὼ μὴ καταφρονῶ τῶν οὐκ εἰδότων θαυ-
μάζειν ἃ χρή; Ἀλλ' ἂν μὲν ζωγράφος ᾖ τις, πάντων καταγε-
λάσεται τῶν σκωπτόντων [g]αὐτὸν, ἕως ἂν ὦσιν ἀμαθεῖς, [h]καὶ

11 Sirac. i. 22. Matth. v. 22. 12 Gal. iv. 18. 1 Cor. xii. 31.

[m] εἰσιν Q.R. Veron. et ex corr. O. [n] Haec ὥστε—θυμωθῆναι post γεέννῃ transp. K.Q. [o] αὐτοῦ] + οὐχ ἁπλῶς, ἀλλ' O.R. Mut. Mox ἐστιν pro ἔσται R. [p] οἷον om. K.O.Q. Sav. cet. Post ζῆλος add. καλὸν (+ καὶ Sav. cet.) K.Q. Sav. cet. [q] ὁ] ἡ K. [r] τὸν ζῆλον] τὴν μίμησιν K.Q. Sav. cet. [s] καθὼς] Sic A.K.O.Q.R. ὥσπερ Edd. Mox φησι A.K.N.O. λέγει Edd. [t] δὲ om. K.Q. [v] καὶ] + πάλιν K.N.Q. Sav. cet. [w] ἀμφ.] ἀμφ. δὲ R. ὥστε ἀμφ. K.N.Q. [x] πλούτῳ] + δεῖ A.K.Q. Sav. cet. Mox δυν. ζῆν pro ζῆν δυν. omnes. [y] μὴ om. Q. πολὺ pro πολλῷ O. Mox εἰπέ μοι γὰρ idem. [z] ἄρτον] + μόνον A.K.Q. Sav. cet. [a] μὴ] + καὶ N.O. Sav. cet. [b] καὶ om. K.Q. [c] χρώμεθα K.Q. Sav. cet. Statim ἐὰν μὴ om. iidem. Proximum καὶ om. N. [d] ὁδεύσωμεν O. Mox μέρος om. R. [e] οὐδὲν K. [f] μᾶλλον om. R. Statim μ. φρ. ἐχρῆν pro ἐχρῆν μ. φρ. A.K.Q.R. [g] αὐτοῦ ex corr. et τοὺς μαθητὰς in marg. a 2da m. O. [h] καὶ οὔτε] τί λέγω τοῦτο; οὐδὲ K.Q.

Digitized by Google

οὔτε πρὸς τὰ παρ' ἐκείνων λεγόμενα ἐπιστρέφεται, ἀλλὰ τῇ
ἑαυτοῦ ἀρκεῖται μαρτυρίᾳ· ἡμεῖς δὲ τῆς τῶν πολλῶν δόξης [i]ἐξ-
αρτήσομεν ἑαυτούς; Διὰ τοῦτό ἐσμεν ἄξιοι καταφρονεῖσθαι,
[k]ὅταν τῶν καταφρονούντων ἡμῶν διὰ τὴν πενίαν [l]μὴ κατα-
φρονῶμεν, [m]μηδὲ ταλανίζωμεν αὐτούς. Καὶ παρίημι ὅσα μὲν D
ἁμαρτήματα [n]ἀπὸ τοῦ πλούτου τίκτεται, ὅσα δὲ ἀγαθὰ [o]ἀπὸ
τῆς πενίας· μᾶλλον δὲ [p]οὐδὲ πλοῦτος, οὐδὲ πενία καθ' ἑαυτὸ
καλὸν, ἀλλὰ παρὰ τοὺς χρωμένους. Ὁ [q]Χριστιανὸς ἐν πενίᾳ
μᾶλλον διαφαίνεται, ἢ ἐν [r]τῷ πλούτῳ. [s]Πῶς; Ἀτυφότερος
ἔσται, σωφρονέστερος, σεμνότερος, ἐπιεικέστερος, συνετώτερος·
[t]ὁ δὲ ἐν τῷ πλούτῳ ὢν, πολλὰ πρὸς ταῦτα ἔχει τὰ κωλύματα.
Ἴδωμεν οὖν τίνα ἐστὶν ἃ ὁ [v]πλούσιος ἐργάζεται, μᾶλλον δὲ ὁ
κακῶς τῷ πλούτῳ κεχρημένος. Ἐκεῖνος ἁρπάζει, πλεονεκτεῖ,
βιάζεται· [w]τοὺς ἔρωτας τοὺς ἀτόπους, τὰς ἀθεμίτους μίξεις, 23
τὰς γοητείας, τὰς φαρμακείας, τὰ ἄλλα [x]πάντα δεινὰ οὐκ ἀπὸ
τοῦ πλούτου εὑρήσεις τικτόμενα; Ὁρᾷς ὅτι ἐν πενίᾳ μᾶλλον
[y]ἀκοπιώτερόν ἐστιν, ἢ ἐν [z]τῷ πλούτῳ τὴν ἀρετὴν μετιέναι; Μὴ
γάρ μοι, ἐπειδὴ δίκην οὐ διδόασιν ἐνταῦθα οἱ πλούσιοι, νομίσῃς
αὐτοὺς μηδὲ ἁμαρτάνειν· ὡς εἴγε ἦν εὔκολον [a]πλούσιον δίκην δι-
(441) δόναι, ἐκ τούτων ἂν εὗρες ἐμπεπλησμένα τὰ δεσμωτήρια· ἀλλὰ
μετὰ τῶν ἄλλων καὶ τοῦτο ἔχει κακὸν ὁ πλοῦτος, ὅτι ἐν πονηρίᾳ
ἀτιμωρητὶ [b]πλημμελῶν ὁ τοῦτον κεκτημένος, οὐδέποτε στή-
σεται τοῦτο ποιῶν, ἀλλὰ λήψεται τραύματα ἄνευ φαρμάκων, B
καὶ χαλινὸν οὐδεὶς ἐπιθήσει αὐτῷ. Εἰ δὲ βούλοιτό τις, καὶ
πρὸς ἡδονὴν εὑρήσει τὴν πενίαν [c]πλείους παρέχουσαν ἡμῖν τὰς
ἀφορμάς. Πῶς; Ὅτι φροντίδων ἀπήλλακται, μίσους, [d]μάχης,
φιλονεικίας, ἔριδος, μυρίων δεινῶν. Μὴ τοίνυν διώκωμεν τὸ
πλουτεῖν, μηδὲ τούτους [e]ζηλώσωμεν ἀεὶ τοὺς πολλὰ κεκτημέ-
νους· ἀλλ' οἱ μὲν ἔχοντες, εἰς δέον [f]τῷ πλούτῳ χρώμεθα· οἱ δὲ

[i] ἐξαρτήσαμεν (ἐξηρτ. ex corr. recenti) N. οὐκ ἐξαρτήσομεν (–σωμεν A.) A. Veron. Post ἑαυτοὺς add. καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; K.Q. Sav. cet. invito Mut. [k] ὅταν] Sic A.N.O.R. ὅτι Edd. [l] μὴ] οὐ K. Statim καταφρονοῦμεν K.Q. [m] μηδὲ] μὴ Veron. et a pr. m. O. μηδὲ ταλ. αὐτοὺς] ὅτι ταλανίζομεν ἑαυτοὺς K.Q. [n] ἀπὸ] ἐκ A.R. [o] ἀπὸ] τὰ ἀπὸ N. [p] οὔτε bis N.O. Mox κακὸν pro καλὸν O. Post χρωμένους add. τούτῳ (τοῦτο Q.) γίνεται K.Q. Sav. cet. [q] Χριστιανὸς] + δόκιμος Edd. δόκιμος om. A.N.O.R. Interpp. inclusum a Sav. [r] τῷ om. K.N.O.Q. [s] πῶς;] + ἐν πενίᾳ μὲν γὰρ ὢν K.Q. Sav. cet. Mox σεμνότερος, ἐπιεικ. om. K.Q. ἐπιεικ. om. A.R. Veron. συνετώτ. ἐπιεικ. inverso ord. N. [t] ὁ δὲ ἐν τῷ πλ. ὢν (μένων Veron.)] ἐν τῷ πλ. δὲ μένων K.Q. Sav. cet. [v] πλοῦτος a pr. m. O. [w] τοὺς] τοὺς δὲ N.O. τί δαί; τοὺς K.Q. Sav. cet. Mox πράξεις pro μίξεις K. [x] ἅπαντα A.R. [y] εὐκολώτερον N.O. [z] τῷ accessit ex A.K.O.R. [a] πλούσιον om. K. [b] πλημμελεῖ K.Q.R. πλοῦτον pro τοῦτον R. Mox λήψ. καὶ τρ. K.Q. [c] πλείω A.K.O.Q.R. [d] μάχης om. K.Q. [e] ζηλῶμεν O. [f] τὸν πλοῦτον R. Statim χρησώμεθα N.

Digitized by Google

[g]μὴ ἔχοντες, μὴ ἀλγῶμεν διὰ τοῦτο, ἀλλ' εὐχαριστῶμεν [h]ὑπὲρ ἁπάντων τῷ θεῷ, ὅτι ἡμᾶς ἐν ὀλίγῳ πόνῳ τὸν αὐτὸν τοῖς πλουσίοις, ἢ καὶ μείζονα, ἂν [i]θέλωμεν, παρασκευάζει μισθὸν λαβεῖν,
C καὶ ἐξ ὀλίγων μεγάλα κερδανοῦμεν. Ἐπεὶ καὶ ὁ τὰ δύο τάλαντα [k]προσενέγκας ἐθαυμάσθη καὶ ἐτιμήθη ὁμοίως τῷ τὰ πέντε προσενεγκόντι. Τί δήποτε; [l]Δύο γὰρ ἐπιστεύθη τάλαντα, ἀλλὰ τὰ παρ' ἑαυτοῦ [m]πάντα ἐπλήρωσε, καὶ τὰ ἐμπιστευθέντα διπλᾶ εἰσήνεγκε. Τί τοίνυν σπεύδομεν πιστευθῆναι πολλά, ὅταν ἐξῇ δι' ὀλίγων τὰ αὐτὰ καρπώσασθαι, ἢ καὶ πλείονα; ὅταν ὁ μὲν πόνος ἐλάττων ᾖ, ὁ δὲ μισθὸς πολλῷ πλείων; Εὐκολώτερον γὰρ πένης ἐκστήσεται τῶν αὐτοῦ, ἢ πλούσιος πολλὰ καὶ μεγάλα κεκτημένος. Ἢ οὐκ ἴστε, ὅτι ὅσῳ ἂν πλεί-
D ονά τις περιβάληται, τοσούτῳ πλειόνων ἐρᾷ; Ἵν' οὖν μὴ τοῦτο πάθωμεν, μὴ ζητῶμεν [n]τὸν πλοῦτον, μηδὲ δυσανασχέτως ἔχωμεν πρὸς τὴν πενίαν, μηδὲ σπεύδωμεν πλουτεῖν, [o]οἵ τε ἔχοντες οὕτως αὐτῷ χρώμεθα, ὡς ὁ Παῦλος ἐκέλευσεν· [13]“Οἱ ἔχοντες, [p]φησὶν, ὡς μὴ [q]ἔχοντες, καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι·” [r]ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς [s]ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

24

ΛΟΓΟΣ Γ.

[1]Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν υἱόν· Ὁ θρόνος σου, ὁ θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

B Ὁ ΜΕΝ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν παρουσίαν αὐτοῦ τὴν ἔνσαρκον [a]ἔξοδον καλεῖ· οἷον ὡς ὅταν λέγῃ, [2]“Ἐξῆλ-

13 1 Cor. vii. 29, 31.

1 Cap. I. v. 6—8. 2 Matth. xiii. 3. Joan. xvi. 28.

g μὴ] οὐκ N.O. h ὑπὲρ ἁπάντων (πάντων N.R.)] διὰ τοῦτο Veron. i ἐθέλωμεν O. k προσενεγκὼν O. l δύο γὰρ] ὅτι εἰ καὶ δύο K.Q. Sav. cet. m ἅπαντα ἐπλ. O. ἐπλ. ἅπαντα N. πάντα om. K. n τὸν om. A.R. Veron. Mox δυσανασχετῶμεν pro δυσ. ἔχωμεν K.Q. o οἵ τε] ἀλλὰ καὶ οἱ K.Q. Sav. cet. p φησὶν] γὰρ, φησὶν K.Q. q κατέχοντες O. τῷ κόσμῳ τούτῳ om. K. r ἵνα—ἀγαθῶν] ἵνα καὶ τῶν ἐπ. ἀγ. ἐπιτύχωμεν K.Q. s ἐπιτυχεῖν] ἀξιωθῆναι K.Q. ὧν—ἐπιτυχεῖν om. R. Hom. III. a ἔξοδον] οἰκονομίαν K.Q.

Digitized by Google

θεν ὁ σπείρων τοῦ [b]σπεῖραι·" καὶ πάλιν, "'Εγὼ ἐκ τοῦ [c]πατρὸς
ἐξῆλθον, καὶ ἥκω·" καὶ πολλαχοῦ τοῦτο ἴδοι τις ἄν. Ὁ δὲ Παῦ-
λος εἴσοδον [d]αὐτὸ καλεῖ λέγων· "Ὅταν δὲ πάλιν εἰσαγάγῃ
τὸν πρωτότοκον εἰς τὴν [e]οἰκουμένην·" εἰσαγωγὴν ταύτην λέγων
τὴν τῆς σαρκὸς ἀνάληψιν. [f]Τί δήποτ' οὖν οὕτω τῷ λόγῳ κέ-
χρηται; Δῆλά ἐστι τὰ σημαινόμενα, καὶ κατὰ τί εἴρηται. Ὁ
μὲν γὰρ Χριστὸς ἔξοδον [g]καλεῖ, εἰκότως· ἔξω γὰρ ἦμεν τοῦ
θεοῦ. [h]Καθάπερ γὰρ ἐν τοῖς βασιλείοις οἱ δεσμῶται καὶ προσ- C
κεκρουκότες τῷ βασιλεῖ, ἔξω ἑστήκασιν· ὁ δὲ βουλόμενος αὐτοὺς
καταλλάξαι, οὐκ ἔνδον τούτους [i]εἰσάγει, ἀλλ' αὐτὸς ἐξιὼν ἔξω
τούτοις διαλέγεται, ἕως ἂν αὐτοὺς καταστήσας ἀξίους τῆς ὄψεως
τοῦ βασιλέως εἰσαγάγῃ· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν· [k]ἐξελ-
θὼν πρὸς ἡμᾶς, τουτέστι, σάρκα ἀναλαβὼν, καὶ διαλεχθεὶς τὰ
[l]παρὰ τοῦ βασιλέως, οὕτως ἡμᾶς εἰσήγαγε, καθαρίσας τῶν
ἁμαρτημάτων, καὶ καταλλάξας. Διὰ τοῦτο ἔξοδον [m]αὐτὴν κα-
λεῖ. Ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν ὀνομάζει, ἀπὸ μεταφορᾶς
[n]τῶν κληρονομούντων, καὶ νομὴν παραλαμβανόντων καὶ κτῆσίν D
τινα· τὸ γὰρ εἰπεῖν, "Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότο-
κον εἰς τὴν οἰκουμένην," [o]τουτέστιν, ὅταν ἐγχειρίσῃ αὐτῷ τὴν
οἰκουμένην· τότε γὰρ αὐτὴν ἐκτήσατο [p]πᾶσαν, ὅτε καὶ ἐγνώ-
(442) σθη. Οὐ περὶ τοῦ [q]θεοῦ λόγου ταῦτά φησιν, ἀλλὰ περὶ τοῦ
κατὰ [r]σάρκα. Εἰ γὰρ ἐν τῷ κόσμῳ ἦν, κατὰ τὸν Ἰωάννην, καὶ
ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, πῶς ἑτέρως [s]εἰσάγεται, ἀλλ' ἢ ἐν
σαρκί; "Καὶ προσκυνησάτωσαν αὐτῷ, [t]φησὶ, πάντες ἄγγελοι
θεοῦ." Ἐπειδὰν μέγα [v]τι καὶ ὑψηλὸν μέλλῃ λέγειν, προκατα-
σκευάζει [w]αὐτὸ καὶ ποιεῖ εὐπαράδεκτον τῷ τὸν πατέρα ποιῆσαι
εἰσαγαγόντα τὸν υἱόν. [x]Εἶπεν ἀνωτέρω, ὅτι οὐ διὰ προφητῶν

[b] σπείρειν A. Post σπεῖραι add. τὸν σπόρον ἑαυτοῦ R. [c] πατρὸς] + μου Edd. μου om. A.K.N.O.Q. Cat. Supp. [d] αὐτὴν A.K.Q. Sav. cet. [e] οἰκουμένην] + λέγει N. + λέγῃ O. Mox τοῦτο pro ταύτην K.Q. [f] τί δήποτ' (δήποτε O.) οὖν—εἴρηται] τί δήποτε δὲ περὶ (+ τοῦ Q. Supp.) αὐτοῦ διαφόρως τῷ λ. κέχρηνται, καὶ κατὰ τί οὕτως εἴρηται; δῆλόν ἐστι καὶ ἀπ' αὐτῶν τῶν σημαινομένων K.Q. Supp. Sav. cet. invitis Cat. Interpp. [g] καλεῖ, εἰκότως] τὴν ἑαυτοῦ παρουσίαν εἰκότως καλεῖ K.Q. Supp. Sav. cet. [h] καθ. γὰρ] καὶ καθ. iidem. [i] εἰσάγων iidem. Mox τοῦ βασ. om. R. [k] ἐξελθὼν] + γὰρ K.Q. Supp. Sav. cet. [l] παρὰ] περὶ N. Mox καὶ καθαρίσας Edd. καὶ om. K.O.Q.R. Cat. Supp. [m] αὐτὴν] τὸ τοιοῦτο K. Supp. τὸ τοσοῦτον Q. [n] τῶν—τινα] τῶν κληρονομίαν τινὰ (τινα κληρ. Supp.) παραλ. καὶ κτῆσιν K.Q. Supp. Statim τῷ γὰρ K. [o] τουτέστιν] τοῦτό ἐστιν R. Veron. τοῦτό ἐστι δηλοῦντος K.Q. Supp. Sav. cet. [p] ἅπασαν O. [q] θεοῦ] + δὲ Edd. δὲ deest in omnibus. Mox ταῦτά φησιν A.N.O. ταῦτα λέγει K.Q. Supp. φησι ταῦτα Edd. [r] σάρκα] + Χριστοῦ· εἰκότως K.Q. Supp. Sav. cet. [s] εἰσάγεται] ἂν (?) εἰσαγάγεται (sic) A. ἂν εἰσήχθη K.Q. Supp. Sav. cet. [t] φησὶ om. K.Q. [v] τι om. Q. Mox μέλλῃ λ. pro λ. μέλλῃ K.N.Q.R. Supp. [w] αὐτὸ καὶ π.] καὶ π. αὐτὸ K.Q. Supp. Haec τῷ—υἱὸν om. K.Q. inclusa a Sav. [x] εἶπεν] εἰπὼν γὰρ N.R. σκόπει δέ· εἶπεν K.Q. Supp. Sav. cet.

Digitized by Google

ἐλάλησεν ἡμῖν, ἀλλὰ διὰ τοῦ υἱοῦ· [y]ὅτι κρείττων ἀγγέλων ὁ υἱὸς, καὶ ἀπὸ τοῦ ὀνόματος [z]δὲ τοῦτο [a]κατασκευάζει· [b]ἐνταῦθα δὲ λοιπὸν καὶ [c]ἀφ' ἑτέρου πράγματος. Ποίου δὴ τούτου; Ἀπὸ τῆς προσκυνήσεως· [d]καὶ ὅσῳ κρείττων δείκνυσιν· [e]ὅσον δεσπότης δούλου. [f]Ὡς ἂν εἴ τις εἰσαγαγών τινα εἰς οἰκίαν, [g]τοὺς προεστῶτας αὐτῆς εὐθέως κελεύει προσκυνεῖν [h]αὐτῷ· [i]τὸ κατὰ
B σάρκα λέγων, "Καὶ προσκυνησάτωσαν [k]αὐτῷ πάντες ἄγγελοι θεοῦ." [l]Ἆρα οὖν ἄγγελοι μόνον; [m]Οὐχί· ἄκουσον γὰρ τῶν ἑξῆς· "Καὶ πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ [n]φησιν, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν υἱὸν, Ὁ θρόνος σου, ὁ θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος." Ἰδοὺ [o]ἡ μεγίστη διαφορά· [p]ὅτι οἱ μὲν κτιστοὶ, ὁ δὲ ἄκτιστος. [q]Πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ [r]φησιν, "ὁ ποιῶν·" πρὸς δὲ τὸν υἱὸν [s]διὰ τί οὐκ εἶπεν, ὁ ποιῶν;
C Καίτοι ἐνῆν τὴν διαφορὰν οὕτως εἰπεῖν· πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ λέγει, "Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα·" πρὸς δὲ τὸν υἱὸν, [3] "Κύριος ἔκτισέ [t]με." "Κύριον αὐτὸν καὶ Χριστὸν ὁ θεὸς ἐποίησεν." [v]Ἀλλ' οὔτε ἐκεῖνο περὶ [w]τοῦ υἱοῦ εἴρηται, οὔτε τοῦτο περὶ τοῦ θεοῦ λόγου, ἀλλὰ περὶ τοῦ κατὰ [x]σάρκα. Ἔνθα γὰρ τὴν ἀληθῆ διαφορὰν ἠβούλετο δηλοῦν, οὐκέτι ἀγγέλους [y]περιέλαβε μόνον, ἀλλὰ πᾶσαν τὴν ἄνω δύναμιν τὴν λειτουργικήν. Ὁρᾷς πῶς διαιρεῖ, καὶ μεθ' ὅσης τῆς σαφηνείας, [z]κτίσματα καὶ κτιστὴν, λειτουργοὺς καὶ δεσπότην,

[3] Prov. viii. 22. Act. ii. 36.

[y] ὅτι] ἔδειξεν ὅτι K.Q. Supp. Sav. cet. [z] δὲ om. N.R. [a] κατασκευάζει] κατασκευάσας, καὶ ἀπὸ τοῦ τὸν πατέρα ποιῆσαι εἰσάγοντα τὸν υἱὸν K.Q. Supp. Sav. cet. [b] ἐντ. δὲ λ.] λ. ἐντ. K.Q. Supp. [c] ἀφ' ἑ. πράγματος] ἀπὸ πράγματος ἑ. N.O. ἀφ' ἑ. κατασκευάζει K.Q. Supp. Sav. cet. [d] καὶ] τοῦτο δὲ καὶ K.Q. Supp. Sav. cet. Statim ὅσον K.Q.R. Supp. τοσοῦτον in rasura O. Post κρείττων add. ἐστὶ K.Q. Supp. Sav. cet. [e] ὅσον] Sic A.N.O.R. ὅσον γὰρ K.Q. Supp. ὅσῳ Veron. ὅσῳ γὰρ Sav. cet. Mox δούλων O. [f] ὡς] διὸ καὶ ὡς K.Q. Supp. Sav. cet. Mox εἰς οἰκίαν εἰσαγ. τινα hoc ord. N.O. [g] τοὺς] βασιλέως, τοὺς K.Q. Sav. cet. invito Mut. βασιλέα τοὺς Supp. Mox κελεύοι Q. et ex corr. O. [h] αὐτῷ]+οὕτω καὶ αὐτὸς ποιεῖ K.Q. Supp. Sav. cet. [i] τὸ (τῷ A. vocula eras. in O.) κ. σ. λέγων (λέγω ex corr. O.)] περὶ τοῦ κ. σ. λέγων τὴν ἐν κόσμῳ εἰσαγωγὴν iidem. Statim καὶ τὸ προσκ. iidem. Mox post θεοῦ add. διὰ τοῦτο ἐπάγων iidem. [k] αὐτῷ]+φησιν O. [l] ἆρ' οὖν N.O. Post ἄγγελοι add. θεοῦ O. [m] οὐχὶ]+δὲ καὶ (+αἱ Q.) ἄλλαι δυνάμεις; ἄπαγε K.Q. Sav. cet. Statim ἄκουε K.Q. [n] φησιν] λέγει K.Q. [o] ἡ om. K.N. [p] ὅτι οἱ μὲν] οἱ μὲν γὰρ K.Q. Supp. [q] πρὸς] καὶ πρὸς O. καὶ διὰ τί πρὸς K.Q. Supp. Sav. cet. [r] φησιν] εἶπεν K.Q. Supp. [s] διὰ τί om. Q. Supp. Mut. πρὸς δὲ—ποιῶν om. K. [t] με]+καὶ πάλιν K.Q. Sav. cet. [v] ἀλλ'] ὅτι K.Q. Supp. [w] τοῦ]+Χριστοῦ κυρίου Edd. invitis omnibus. [x] σάρκα]+ἀμφότερα K.Q. Supp. [y] παρέλαβε K.Q. Supp. Statim ἀλλὰ καὶ π. K.O.Q. Supp. Sav. cet. [z] κτίσμα K.Q. Supp. Proximum καὶ om. K.

Digitized by Google

[a]κληρονόμον καὶ γνήσιον υἱὸν καὶ δούλους; "Πρὸς δὲ τὸν υἱόν
φησιν, Ὁ θρόνος σου, ὁ θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος." Ἰδοὺ D
βασιλείας σύμβολον. "Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασι-
λείας σου." Ἰδοὺ πάλιν καὶ ἄλλο βασιλείας σύμβολον. Εἶτα
πάλιν εἰς τὸ κατὰ σάρκα· [4]"Ἠγάπησας δικαιοσύνην, καὶ ἐμί-
σησας [b]ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς, ὁ θεός σου." [c]Τί
ἐστι, "θεός σου;" Ἐπειδὴ [d]γὰρ μέγα ἐφθέγξατο, πάλιν αὐτὸ
παραμυθεῖται. Ἐνταῦθα καὶ Ἰουδαίους, καὶ τοὺς Παύλου τοῦ
Σαμοσατέως, καὶ Ἀρειανοὺς, καὶ Μάρκελλον, καὶ Σαβέλλιον 26
[e]ἔβαλε, καὶ Μαρκίωνα. Πῶς; [f]Ἰουδαίους μὲν, δύο [g]πρόσωπα
δεικνὺς, [h]καὶ θεὸν καὶ [i]ἄνθρωπον· τοὺς δὲ [k]ἄλλους Ἰουδαίους,
τοὺς Παύλου λέγω τοῦ Σαμοσατέως, [l]τῷ περὶ τῆς αἰωνίου
ὑπάρξεως ταῦτα διαλέγεσθαι, καὶ τῆς ἀκτίστου οὐσίας· πρὸς
γὰρ ἀντιδιαστολὴν [m]τοῦ, ἐποίησε, τὸ, "Ὁ θρόνος σου, ὁ θεὸς,
εἰς τὸν αἰῶνα τοῦ αἰῶνος," τέθεικε. Πρός [n]τε Ἀρειανοὺς τοῦτό
τε αὐτὸ πάλιν, καὶ ὅτι οὐ δοῦλος· [o]εἰ δὲ κτίσμα, δοῦλος. Πρὸς
δὲ Μάρκελλον καὶ τοὺς ἄλλους, ὅτι δύο [p]ἐστὶ ταῦτα πρόσωπα
διῃρημένα κατὰ τὴν ὑπόστασιν· πρὸς δὲ Μαρκιωνιστὰς, ὅτι [q]ἡ B
θεότης οὐ χρίεται, ἀλλ' ἡ ἀνθρωπότης. Εἶτα, "Παρὰ τοὺς
μετόχους σου," φησί. Τίνες δέ εἰσιν [r]οἱ μέτοχοι, ἀλλ' ἢ [s]οἱ
ἄνθρωποι; Τουτέστι, τὸ πνεῦμα οὐκ ἐκ μέτρου ἔλαβεν ὁ Χρι-
στός. Ὁρᾷς πῶς συνάπτει ἀεὶ τῷ περὶ τῆς ἀκτίστου φύσεως
καὶ τὸν [t]τῆς οἰκονομίας λόγον; Τί τούτου σαφέστερον; Εἶδες
πῶς οὐκ ἔστι τὸ αὐτὸ, κτίσμα καὶ γέννημα; οὐ γὰρ ἂν διεῖλε,
καὶ πρὸς ἀντιδιαστολὴν [v]τοῦ, ἐποίησεν, ἐπήγαγε, "Πρὸς δὲ τὸν
υἱὸν εἶπεν, Ὁ θρόνος σου, ὁ θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·" C
οὐδ' ἂν διαφορώτερον ὄνομα ἐκάλει τὸ υἱὸς ὄνομα, εἰ τοῦ αὐτοῦ
[w]ἐστι σημεῖον. Ποῖον γὰρ τὸ διάφορον; [x]εἰ γὰρ τὸ κτίσμα
καὶ γέννημα ταὐτὸν, ἐκεῖνοι δὲ ἐποιήθησαν, [y]τί τὸ διαφορώτε-

[4] v. 9.

[a] καὶ κλ. Edd. καὶ om. K.Q. Supp. Statim γν. καὶ pro καὶ γν. A.N.O.R. Veron. [b] ἀνομίαν K.N.Q. Sav. cet. [c] τί ἐστι] τούτεστι N.O.R. τί—σου om. K.Q. Mut. Statim θεὲ ὁ θ. σου O. [d] γὰρ om. Q. [e] ἔβαλε καὶ M.] καὶ M. βάλλει K.Q. [f] Ἰουδαίοις ex corr. N. [g] πρόσωπα] τὸν αὐτὸν K.Q. Sav. cet. [h] καὶ om. N.O. [i] ἄνθρωπον] θεὸν N. [k] ἄλλους Ἰουδαίους τοὺς] τοῦ K.Q. Ἰουδαίους deest in Edd. invitis A.N.O.R. Supp. Mut. Mox λέγω om. K.N.Q. [l] τὸ R. Supp. Mox προαιωνίου O. Post ὑπάρξεως add. τοῦ υἱοῦ R. [m] τοῦ] τοῦτο A. [n] τε] δὲ O. Proximum τε om. R. Supp. [o] εἰ δὲ κτ. δοῦλος] οὐδὲ κτ. R. οὐδὲ κτ. (eraso δοῦλος) N. [p] ἐστὶ ταῦτα] ταῦτά ἐστι O. ἐστὶ τὰ R. [q] ἡ om. A.K.O.Q. Supp. Veron. [r] οἱ om N. Post μέτοχοι add. φησὶν R. [s] οἱ om. O. [t] τῆς] περὶ τῆς Edd. περὶ om. A.K.O.Q.R. Supp. [v] τοῦ ἐποίησεν] τοῦτο ποιήσας R. Mox ἐπήγ. τὸ πρὸς K.Q. Sav. cet. Post υἱὸν add. σου A. [w] ἐστι] ἦν K.Q. Sav. cet. [x] εἰ γὰρ] εἴπερ O.R. Supp. [y] τί] ποῦ K.Q.

Digitized by Google

ρον; Ἰδοὺ [z]τὸ, ὁ θεὸς, πάλιν, μετὰ [a]τοῦ ἄρθρου. Καὶ [b]πάλιν
φησί· [5]"Κατ' ἀρχὰς σὺ, κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα
τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ δια- (443)
μένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περι-
D βόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ,
καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν." Ἵνα μὴ ἀκούσας, "Ὅταν [c]δὲ
εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην," ὡς δῶρον νομί-
σῃς εἶναι ὕστερον [d]αὐτῷ προσδοθὲν, τοῦτο καὶ [e]ἄνω προδιωρ-
θώσατο, [f]καὶ πάλιν ἐπιδιορθοῦται λέγων, "κατ' ἀρχάς·" οὐχὶ
νῦν, ἀλλ' ἄνωθεν. Ἰδοὺ πάλιν καὶ τὸν Σαμοσατέα Παῦλον και-
ρίᾳ πλήττει πληγῇ, καὶ Ἄρειον, ἃ περὶ τοῦ πατρός ἐστι,
ταῦτα ἁρμόσας τῷ υἱῷ. [g]Καὶ μετὰ τούτου καί τι ἄλλο πάρερ-
γον ᾐνίξατο, [h]καὶ μεῖζον τούτου· καὶ γὰρ τὴν μετασχημάτισιν
τοῦ κόσμου παρεδήλωσε λέγων· "Ὡς ἱμάτιον παλαιωθήσονται,
27 καὶ [i]ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται·" ὃ καὶ
ἐν τῇ πρὸς Ῥωμαίους φησὶν, [6]ὅτι μετασχηματίσει τὸν κόσμον.
Καὶ τὸ εὔκολον δηλῶν, ἐπήγαγεν· [k]ὡς ἂν εἴ τις περιβόλαιον
[l]ἑλίξῃ, [m]οὕτω καὶ ἑλίξει καὶ ἀλλάξει. Εἰ δὲ τὴν ἐπὶ τὸ βέλ-
τιον [n]καὶ τὸ κρεῖττον μετασχημάτισιν καὶ δημιουργίαν οὕτως
εὐκόλως ἐργάζεται, ἐπὶ τῆς ἐλάττονος δημιουργίας ἑτέρου ἐδεῖ-
το; Μέχρι τίνος οὐκ αἰσχύνεσθε; Ἅμα δὲ καὶ παραμυθία
μεγίστη τοῦτό ἐστι, τὸ γνῶναι ὅτι οὐκ ἔσται οὕτω τὰ πράγ-
B ματα, ἀλλὰ τὰ πάντα [o]μὲν μεταβολὴν λήψεται, καὶ [p]πάντα
ἐναλλαγήσεται, αὐτὸς [q]δὲ μένει [r]διαπαντὸς ὢν, καὶ ἀπείρως
[s]ζῶν· "Καὶ τὰ ἔτη [t]σου, φησὶν, οὐκ ἐκλείψουσι."

[7]"Τίνι δὲ [v]τῶν ἀγγέλων εἴρηκέ ποτε, Κάθου ἐκ δεξιῶν μου,
ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου;" Ἰδοὺ
πάλιν αὐτοὺς παραθαρρύνει, εἴγε μέλλοιεν οἱ ἐχθροὶ αὐτῶν

[5] v. 10–12. [6] Rom. viii. 21 (?). [7] v. 13.

[z] τὸ ὁ θ. πάλιν] Sic omnes. πάλιν τὸ ὁ θ. Edd. [a] τοῦ om. A.N.R. [b] πάλιν φ. om. K.Q. Statim σὺ κατ' ἀ. κύριε K. σὺ κύριε κατ' ἀ. Q. σὺ κ. post τὴν γῆν transp. A. Mox αὐτοὶ—ἐκλείψουσιν om. O. Mut. [c] δὲ om. K.Q. eras. in O. [d] αὐτὸ O. [e] ἀνωτέρω N.R. [f] καὶ] εἶτα καὶ K.Q. Supp. [g] καὶ μετὰ τούτου (τοῦτο A.R. Veron.)] μετὰ δὲ τούτου K.Q. Supp. Sav. cet. Mox τι om. N. τὸ pro τι R. [h] καὶ om. O. [i] ὡσεὶ] ὡς a pr. m. O. [k] ὡς ἂν] ἑλίξεις. ὥσπερ γὰρ ἂν (ἂν om. Q. Supp.) K.Q. Supp. Sav. cet. [l] ἑλίξῃς A. ἑλίξει (sic, η supra) N. ἑλίξει καὶ ἀλλάξει O. Interpp. ἑλίξῃ om. K.Q. Supp. [m] οὕτως] + αὐτὸς τὸν κόσμον K.O.Q. Supp. Sav. cet. Proximum καὶ om. K.Q. Supp. [n] καὶ τὸ κρ. et mox καὶ δημ. om. K.Q. Supp. inclusa a Sav. [o] μὲν assumtum ex A.O.R. μὲν post μεταβολὴν add. K.Q. Statim τὴν μεταβολὴν Edd. invitis libris. [p] πάντα om. K.Q. [q] δὲ] + μόνος O. [r] διαπαντὸς ὢν] Sic A.R. δ. ζῶν Edd. διαπαντὸς N. διαπαντὸς ὁ αὐτὸς ὢν O. Supp. διαπαντός. καὶ ὅτι μένει ὁ αὐτὸς ὢν K.Q. [s] ζῶν] ὢν K.Q. ἄπειρος ὢν pro ἀπείρως ζῶν Supp. [t] σου] + γὰρ O. [v] τῶν ἀ. εἴρηκέ π.] εἰπέν π. τῶν ἀ. N.O.

Digitized by Google

ἡττηθήσεσθαι, [w]καὶ ἐχθροὶ αὐτῶν οἱ αὐτοί εἰσιν, οἱ καὶ τοῦ
Χριστοῦ. Τοῦτο [x]πάλιν βασιλείας, τοῦτο ὁμοτιμίας, τοῦτο
τιμῆς, οὐκ ἀδυναμίας, τὸ τὸν πατέρα ὀργίζεσθαι ὑπὲρ τῶν εἰς
τὸν υἱὸν γεγενημένων· τοῦτο [y]τῆς πολλῆς περὶ τὸν υἱὸν ἀγά-
πης καὶ τιμῆς, ὡς πατρὸς πρὸς υἱόν. Ὁ [z]γὰρ ὀργιζόμενος ὑπὲρ C
αὐτοῦ, πῶς ἀλλότριος αὐτοῦ [a]ἐστιν; Ὅπερ καὶ ἐν [b]τῷ δευτέρῳ
ψαλμῷ φησιν· [8]"Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς,
καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτούς. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν
ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς." Καὶ πάλιν
αὐτός [c]φησι· [9]"Τοὺς μὴ [d]θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐ-
τοὺς, ἀγάγετε ὧδε ἐνώπιόν μου, καὶ κατασφάξατε αὐτούς."
Ὅτι γὰρ αὐτοῦ ἐστι τὰ ῥήματα, ἄκουσον τί φησι καὶ ἑτέρωθι·
[10]"Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα [e]σου, καὶ οὐκ D
ἠθελήσατε; Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος." Καὶ πάλιν,
"Ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία, καὶ δοθήσεται ἔθνει ποιοῦντι
τοὺς καρποὺς αὐτῆς·" καὶ πάλιν, "Ὁ πεσὼν ἐπὶ τὸν λίθον
τοῦτον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν."
Ἄλλως δὲ, ὁ μέλλων ἐκεῖ κρίνειν αὐτοὺς, πολλῷ μᾶλλον [f]ἐν-
ταῦθα αὐτὸς αὐτοῖς ἀπέδωκεν. Ὥστε τιμῆς μόνης ἐστὶ τῆς εἰς
τὸν υἱὸν, τὸ, "Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν
ποδῶν σου." [11]"Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς
διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σω- 28
τηρίαν;" Τί θαυμαστὸν, φησὶν, εἰ [g]τῷ υἱῷ λειτουργοῦσιν, ὅταν
καὶ πρὸς τὴν ἡμετέραν σωτηρίαν [h]λειτουργῶσιν; Ὅρα πῶς
ἐπαίρει αὐτῶν τὰ φρονήματα, καὶ πολλὴν δείκνυσι τοῦ θεοῦ τὴν
εἰς ἡμᾶς τιμὴν, [i]εἴπερ ἀγγέλους τοὺς ὑπὲρ ἡμᾶς ταύτην ἔταξεν
ἔχειν διακονίαν τὴν ὑπὲρ ἡμῶν. [k]Ὡς ἂν εἴποι τις, εἰς τοῦτο
κέχρηται αὐτοῖς, φησὶ, τοῦτο ἀγγέλων λειτουργία, τὸ [l]διακο-
νεῖν τῷ θεῷ εἰς σωτηρίαν ἡμετέραν. Ὥστε ἀγγελικὸν ἔργον
τοῦτό [m]ἐστι, τὸ πάντα ποιεῖν εἰς σωτηρίαν τῶν ἀδελφῶν·

8 Psal. ii. 4, 5. 9 Luc. xix. 27. 10 Matt. xxiii. 37, 38. xxi. 43, 44. 11 v. 14.

[w] καὶ] + ὅτι K.Q. Supp. + οἱ O. ἡττηθ.—αὐτῶν om. A. Mox ὦσιν pro εἰσιν N.O. [x] πάλιν om. K. Supp. ante τοῦτο transp. O. [y] τῆς πολλῆς—ὡς] πολλῆς ἀγάπης δεῖγμα καὶ γνησιότητος τῆς ὡς ἀπὸ K.Q. Supp. Sav. cet. [z] γὰρ] δὲ K.Q. Supp. [a] ἐστιν] + ἕως ἂν θῶ τοὺς ἐχθρούς σου K.Q. Sav. cet. [b] τῷ δ.] ἑτέρῳ O. Mut. λέγεται pro φησιν K.Q. Supp. [c] φησι om. K.Q. Supp. [d] θέλοντας A. Supp. Mox ἐνώπ. μου post κατασφ. αὐτοὺς transp. A. [e] σου] ὑμῶν R. Post ἀφίεται add. ὑμῖν N. Sav. cet. [f] ἐντ. αὐτὸς (+ ἂν N.O.) αὐτοῖς ἀπέδωκεν] αὐτοὺς δίκην ἐντ. τῆς εἰς αὐτὸν παροινίας ἀπῄτησεν K.Q. Supp. Sav. cet. [g] τῷ] ἐν τῷ A. [h] λειτουργῶσιν] λειτουργοῦσιν A. ἐκπέμπωνται K.Q. ἐκπέμπονται Supp. [i] εἴπερ] + καὶ O. [k] ὡς ἂν εἴποι τις] ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν K.Q. Mox om. φησὶ iidem. [l] διακονεῖν] + τὸ λειτουργεῖν O. Statim εἰς σ. τὴν ἡμ. K. Supp. [m] ἐστι om. K.Q. Supp.

Digitized by Google

B μᾶλλον δὲ αὐτοῦ τοῦ Χριστοῦ τὸ ἔργον ἐστίν· αὐτὸς μὲν γὰρ
ὡς δεσπότης σώζει, [n]αὐτοὶ δὲ ὡς δοῦλοι. [o]Καὶ ἡμεῖς εἰ καὶ
δοῦλοι, ἀλλὰ σύνδουλοι ἀγγέλων. Τί κεχήνατε πρὸς τοὺς ἀγ-
γέλους, [p]φησί; Δοῦλοί [q]εἰσι τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ [r]πολλα-
χοῦ δι' ἡμᾶς πέμπονται, καὶ πρὸς σωτηρίαν τὴν ἡμετέραν [s]λει-
τουργοῦσιν· ὥστε ὁμόδουλοι ἡμῶν εἰσιν. Ἐννοήσατε πῶς οὐ
πολλὴν δίδωσι τοῖς κτίσμασι διαφοράν· καίτοι πολὺ τὸ μέσον
ἀγγέλων καὶ ἀνθρώπων· ἀλλ' ὅμως πλησίον ἡμῶν αὐτοὺς [t]κατά-
γει, μονονουχὶ λέγων· ἡμῖν κάμνουσι, δι' ἡμᾶς περιτρέχουσιν, (444)
C ἡμῖν, ὡς ἂν εἴποι τις, ὑπηρετοῦσιν. Αὕτη ἐστὶν ἡ διακονία αὐ-
τῶν, τὸ δι' ἡμᾶς πανταχοῦ πέμπεσθαι. [v]Καὶ τούτων τῶν ὑπο-
δειγμάτων μεστὴ μὲν ἡ παλαιὰ, μεστὴ δὲ καὶ ἡ καινή. Ὅταν
γὰρ ἄγγελοι ποιμένας εὐαγγελίζωνται, [w]ὅταν τὴν Μαριὰμ,
ὅταν τὸν Ἰωσὴφ, ὅταν ἐπὶ τοῦ μνήματος καθέζωνται, ὅταν
πέμπωνται εἰπεῖν τοῖς μαθηταῖς, [12] "Ἄνδρες Γαλιλαῖοι, τί ἑστή-
κατε [x]βλέποντες εἰς τὸν οὐρανόν;" ὅταν Πέτρον [y]ἀπολύωσι
τοῦ δεσμωτηρίου, ὅταν Φιλίππῳ διαλέγωνται, [z]ἐννόησον τὴν
D τιμὴν, ὅση τυγχάνει· ὅταν ὡς πρὸς φίλους πέμπῃ διακόνους
τοὺς ἀγγέλους ὁ θεὸς, ὅταν [a]Κορνηλίῳ φαίνηται, ὅταν πάντας
τοὺς [b]ἀποστόλους ἀπὸ τοῦ δεσμωτηρίου ἐκβάλλῃ, καὶ λέγῃ·
[13] "Πορευθέντες στῆτε, καὶ λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ [c]τὰ
ῥήματα τῆς ζωῆς ταύτης." [d]Τῷ δὲ Παύλῳ καὶ αὐτῷ φαίνεται
ἄγγελος. Ὁρᾷς αὐτοὺς διακονοῦντας ἡμῖν διὰ τὸν θεὸν, καὶ εἰς
τὰ μέγιστα διακονοῦντας; Διὰ τοῦτό φησι [e]Παῦλος· [14] "Πάν-
τα [f]ὑμῶν, εἴτε ζωὴ, εἴτε θάνατος, εἴτε κόσμος, εἴτε ἐνεστῶτα,
εἴτε μέλλοντα." Ἐπέμφθη μὲν οὖν καὶ ὁ υἱὸς, ἀλλ' οὐχ ὡς διά-
29 κονος, οὐδὲ ὡς λειτουργὸς, ἀλλ' ὡς υἱὸς [g]καὶ μονογενὴς, καὶ τὰ
αὐτὰ τῷ πατρὶ βουλόμενος. Μᾶλλον δὲ οὐδὲ ἐπέμφθη· [h]οὐδὲ

[12] Act. i. 11. [13] Ibid. v. 20. [14] 1 Cor. iii. 22.

[n] οὗτοι N.O. Sav. cet. Post δοῦλοι add. ἀποστέλλονται K.Q. Supp. [o] καὶ —ἀλλὰ (+ καὶ O.] εἰ δὲ καὶ ἡμεῖς δοῦλοι, μᾶλλον δὲ (+ καὶ K.Q.) K.Q. Supp. [p] φησὶ om. iidem. [q] εἰσι] + τοῦ Ἰησοῦ N. et a 2da m. O. [r] πανταχοῦ K.Q. Supp. Mox πέμπονται om. iidem. [s] λειτουργοῦσιν] ἐκπέμπονται iidem. [t] κατάγει] ἵστησι K.Q. Supp. Sav. Mor. Mox λειτουργοῦσι pro κάμνουσι K.Q. Supp. [v] καὶ om. K.Q. Supp. [w] ὅταν—καθέζωνται om. R. Μαρίαν pro Μαριὰμ K. Supp. [x] ἐμβλέποντες O. [y] ἀπολύσωσι N. Statim ἐκ τοῦ δ. O. [z] ἐννόησον] πῶς ἡμῖν (ὑμῖν Supp.) οὐχ ὑπουργοῦσιν; ἐννόησον τοίνυν K.Q. Supp. Sav. cet. [a] Κορνηλίῳ] + ἄγγελος K.Q. Sav. cet. Mox πάντας om. O. [b] ἀποστόλους] + ἄγγελος K.Q. Supp. ἄγγελος post δεσμωτηρίου add. Sav. cet. [c] τὰ] πάντα τὰ K.O.Q. Supp. [d] τῷ δὲ Π. καὶ αὐτῷ (αὐτὸς ante corr. O.) φ. ἄγγ. (οὐκ ἄγγ. φ. R.)] τί τὰ ἄλλα λέγω; καὶ αὐτῷ Π. ἄγγ. φ. K.Q. Supp. Sav. cet. *Paulo vero ipse Dominus, non angelus apparuit* Mut. [e] ὁ Παῦλος N.R. Sav. cet. [f] ὑμῶν] + ἐκ θεοῦ K.Q. εἴτε κόσμος om. K. [g] καὶ om. O. Mox πνεύματι pro πατρὶ A. [h] οὐδὲ pro οὐ A.K.N.Q.R. Supp.

γὰρ ἐκ τόπου εἰς τόπον μετέβη, ἀλλὰ σάρκα ἀνέλαβεν· οὗτοι
δὲ τόπους ἀμείβουσι, καὶ τοὺς προτέρους [i]ἀφέντες ἐν οἷς εἰσιν,
οὕτως εἰς ἑτέρους ἔρχονται ἐν οἷς οὐκ ἦσαν. Καὶ [k]τούτῳ δὲ
πάλιν παραθαρρύνει αὐτοὺς λέγων· τί δεδοίκατε; ἄγγελοι δια-
κονοῦσιν [l]ἡμῖν. Καὶ εἰπὼν περὶ τοῦ [m]υἱοῦ, καὶ [n]τὰ κατὰ τὴν
οἰκονομίαν, καὶ τὰ κατὰ τὴν δημιουργίαν, καὶ τὰ κατὰ τὴν βα-
σιλείαν, καὶ τὸ ὁμότιμον δείξας, καὶ ὅτι ὡς δεσπότης κρατεῖ,
οὐχὶ τῶν ἀνθρώπων [o]μόνον, ἀλλὰ καὶ τῶν ἄνω δυνάμεων, λοι- B
πὸν παρακαλεῖ αὐτοὺς, κατασκευάσας τὸν λόγον, [p]ὅτι δεῖ
προσέχειν ἡμᾶς τοῖς ἀκουσθεῖσι· [15] "Διὸ [q]χρὴ περισσοτέρως
ἡμᾶς, φησὶ, προσέχειν τοῖς ἀκουσθεῖσιν."

[r]Διὰ τί περισσοτέρως; Ἐνταῦθα τοῦ νόμου εἶπε περισσο-
τέρως· ἀλλ' ἐσιώπησεν αὐτὸ, καὶ ἐν τῇ κατασκευῇ αὐτὸ δῆλον
ποιεῖ, οὐκ ἐν συμβουλῇ, οὐδὲ ἐν παρακλήσει· [s]οὕτω γὰρ ἄμεινον
ἦν. [16] "Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος, [t]φησὶν, ἐγένετο
βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον
μισθαποδοσίαν· πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαν- C
τες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ κυρίου,
[v]εἰς ἡμᾶς ὑπὸ τῶν ἀκουσάντων ἐβεβαιώθη." Διὰ τί περισσοτέ-
ρως ἡμᾶς δεῖ προσέχειν τοῖς ἀκουσθεῖσιν; οὐχὶ κἀκεῖνα θεοῦ,
καὶ ταῦτα; Ἢ τοίνυν περισσοτέρως τοῦ νόμου φησὶν, ἢ ὅτι
μεγάλως· οὐχὶ [w]συγκρίνων, μὴ γένοιτο. Ἐπειδὴ γὰρ [x]ὑπὸ τοῦ
χρόνου τοῦ πολλοῦ μεγάλην εἶχον περὶ τῆς παλαιᾶς ὑπόληψιν,
ταῦτα δὲ ὡς [y]νέα ἔτι καταπεφρόνητο, δείκνυσιν ἐκ περιουσίας,
ὅτι τούτοις δεῖ μᾶλλον προσέχειν. Πῶς; Μονονουχὶ [z]λέγων·
τοῦ θεοῦ μὲν καὶ ταῦτα κἀκεῖνα, ἀλλ' οὐχ ὁμοίως. Καὶ τοῦτο D
ἡμῖν ὕστερον δείκνυσι· τέως δὲ ἐπιπολαιότερον αὐτὸ κατασκευά-
ζει, [a]ὕστερον δὲ φανερώτερον, λέγων· [17] "Εἰ γὰρ [b]ἡ πρώτη
ἐκείνη ἦν ἄμεμπτος" [c]καὶ πολλὰ ἕτερα τοιαῦτα. "Τὸ γὰρ

15 Cap. II. v. 1. 16 v. 2, 3. 17 Hebr. viii. 7, 13.

[i] ἀφιέντες N. [k] τούτῳ] Sic O. Edebatur τοῦτο. Mox παραθαρρύνων αὐτοὺς λέγει K.Q. Supp. Sav. cet. [l] ὑμῖν Q. Supp. [m] υἱοῦ] + τοῦ θεοῦ O. [n] τὰ om. ter R. καὶ τὰ κ. τὴν δημ. om. A. [o] μόνων R. Veron. [p] ὅτι—ἀκουσθεῖσι] ὥστε προσέχειν, καί φησι K.Q. Supp. ὥστε πρ. ἡμᾶς τοῖς ἀκ. καί φ. Sav. cet. [q] χρὴ] + καὶ O. Mox φησὶ om. K.Q. Supp. Sav. cet. [r] διὰ τί—ποιεῖ] ἐνταῦθα βουλόμενος εἰπεῖν, ὅτι δεῖ περισσοτέρως τοῦ νόμου προσέχειν, ἐσιώπησεν αὐτὸ, δῆλον δὲ ὅμως τοῦτο ποιεῖ ἐν τῇ κ. K.Q. Sav. cet. [s] οὕτω] οὔτε R. [t] φησὶν om. K.N.Q.R. [v] εἰς ἡμᾶς ὑπὸ τ. ἀ.] ὑπὸ τ. ἀ. εἰς ἡμᾶς K.N.O. Supp. [w] συγκρίνω A. μὴ γένοιτο eras. in N. [x] ὑπὸ] ἀπὸ Q. ὑπὸ τοῦ χρ. τοῦ πολλοῦ] ἐπὶ τοῦ χρ. τοῦ Παύλου N. et ex corr. O. ἐπὶ τοῦ χρ. τοῦ Π. ὑπὸ τοῦ χρ. τοῦ πολλοῦ R. [y] νέα ἔτι] νεωστὶ R. [z] λέγων] + ὅτι K.Q. Sav. cet. Mox μὲν om. K.Q. [a] ὕστερον δὲ φ. om. K.Q. [b] ἡ om. A. ἐκείνη ἡ πρ. hoc ord. N.R. Post ἐκείνη add. φησὶν O. [c] καὶ π. ἕ. τ.] Sic A.N.O.R. Veron. καὶ π. ἕ. τ. καὶ πάλιν

Digitized by Google

παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ." Ἀλλ' οὔπω τολμᾷ τοιοῦτον οὐδὲν εἰπεῖν ἐν προοιμίοις, ἕως ἂν προκαταλάβῃ καὶ κατάσχῃ [d]τοῖς πλείοσι τὸν ἀκροατήν. [e]Τί τοίνυν δεῖ περισσοτέρως ἡμᾶς [f]προσέχειν; "Μήποτε, φησὶ, παραρρυῶμεν·" τουτέστι, [g]μήποτε ἀπολώμεθα, μὴ ἐκπέσωμεν. [h]Καὶ δείκνυσιν ἐνταῦθα τὸ χαλεπὸν τῆς ἐκπτώσεως, ὅτι δύσκολον τὸ παραρρυὲν πάλιν ἐπανελθεῖν, καθότι ἐκ ῥᾳθυμίας τοῦτο συνέβη. Ἔλαβε δὲ τὴν λέξιν ἀπὸ τῶν Παροιμιῶν. [18]"Υἱὲ γάρ, φησὶ, μὴ παραρρυῇς·" καὶ τὸ εὔκολον τοῦ ὀλίσθου [i]δεικνὺς, καὶ τῆς ἀπωλείας τὸ χαλεπόν· τουτέστιν, οὐκ [k]ἀκίνδυνος ἡμῖν ἡ παρακοή. Καὶ δι' ὧν μὲν κατασκευάζει, δείκνυσιν ὅτι [l]μείζων ἡ κόλασις· ἀφίησι δὲ πάλιν αὐτὴν ἐν τῇ [m]περιζητήσει, καὶ οὐκ ἐν τῷ συμ-
B περάσματι. Καὶ γὰρ τοῦτό ἐστιν ἀνεπαχθῆ τὸν λόγον ποιεῖν, μὴ ἀφ' ἑαυτοῦ πανταχοῦ τὴν κρίσιν [n]ἐπάγοντα, ἀλλὰ κύριον (445)
ἀφιέντα τὸν ἀκροατὴν, ἵνα αὐτὸς ἐνέγκῃ τὴν ψῆφον· [o]ὅπερ εὐγνωμονεστέρους ἐποίει γενέσθαι. Ποιεῖ δὲ αὐτὸ καὶ ἐν τῇ παλαιᾷ [p]ὁ προφήτης Νάθαν, καὶ ἐν τῷ Ματθαίῳ ὁ Χριστὸς λέγων· [19]"Τί ποιήσει τοῖς [q]γεωργοῖς τοῦ ἀμπελῶνος ἐκείνου;" καὶ αὐτοὺς ἀναγκάζων τὴν ψῆφον ἐξενεγκεῖν· τοῦτο γὰρ ἡ μεγίστη νίκη. Εἶτα εἰπὼν, "[r]Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος," [s]οὐκ ἐπήγαγε, πολλῷ μᾶλλον ὁ διὰ τοῦ Χριστοῦ· ἀλλὰ τοῦτο μὲν εἴασεν, εἶπε δὲ τὸ ἔλαττον·
C "Πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας;" Καὶ ὅρα πῶς ποιεῖται τὴν σύγκρισιν· "Εἰ γὰρ ὁ δι' ἀγγέλων [t]λόγος λαληθεὶς," φησίν. Ἐκεῖ, "δι' ἀγγέλων," [v]ἐνταῦθα, διὰ τοῦ κυρίου· κἀκεῖ μὲν λόγος, ἐνταῦθα δὲ σωτηρία. Εἶτα, ἵνα μὴ εἴπῃ [w]τις· ἃ σὺ λέγεις, ὦ Παῦλε, ταῦτα τοῦ Χριστοῦ

18 Prov. iii. 21. 19 Matt. xxi. 40.

K.Q. Mut. καὶ πάλιν Sav. cet. Mox post ἀφανισμοῦ add. καὶ π. ἕ. τ. Sav. cet. repugnantibus omnibus. [d] τοῖς πλ.] πλ. προκατασκευαῖς K.Q. ταῖς πλ. προκατασκευαῖς Sav. cet. *pluribus adstructionibus* Mut. [e] τί] διὰ τί Sav. cet. διὰ superscript. in N. [f] προσέχειν] + εἰπὲ K.Q. Sav. cet. [g] μήποτε] μὴ N. Cat. et ante corr. O. receptum a Sav. cet. [h] καὶ om. Q. [i] δείκνυσι O. Cat. τῆς ἀπ. τὸ χ. pro τὸ χ. τῆς ἀπ. omnes. [k] ἀκίνδυνον A. [l] μεῖζον A. [m] ἐπιζητήσει O. ἀφίησι—ποιεῖν] ἀφίησι δὲ καὶ καθ' ἑαυτοὺς τέως τοῦτο σκοπεῖν ἐν τῇ περὶ τούτων ζητήσει. πάλιν δὲ αὐτὸς ἐν τῷ συμπ. ποιεῖ αὐτὸ φανερώτερον. εἰκότως δὲ τὸν λόγον οὕτω κατασκευάζει, καὶ γὰρ τοῦτό (τούτῳ K.) ἐστιν ἀνεπ. αὐτὸν ποιεῖν K.Q. [n] ἀπάγοντα A. Post ἐπάγοντα add. ἀποφαίνεσθαι K.Q. Sav. cet. Mox ἀφιέναι pro ἀφιέντα iidem. [o] ὅπερ] + καὶ iidem. [p] ὁ] καὶ ὁ R. Veron. [q] γεωργοῖς] ἐργάταις in textu O. ἐκείνοις pro τοῦ ἀμπ. ἐκείνου R. Mox ἀναγκάζει a pr. m. O. [r] εἰ γὰρ om. a pr. m. O. Statim ὁ δι' ἀγγέλου A. [s] οὐκ om. Q. Mox τοῦ om. N. [t] λόγ. λαλ.] λαλ. λόγ. K.O.Q.R. [v] ἐνταῦθα] + δὲ Edd. δὲ om. A.N.O.Q. [w] τις] + τί δαί (δὲ Supp.); K.Q. Supp. Sav. cet.

Digitized by Google

[x]ἐστι; τῷ τε παρ' [y]ἐκείνου ἀκηκοέναι αὐτὰ τὸ ἀξιόπιστον δείκνυσι, καὶ τῷ νῦν ὑπὸ [z]τοῦ θεοῦ αὐτὰ λέγεσθαι, οὐχ ἁπλῶς φωνῆς φερομένης, καθάπερ [a]ἐπὶ Μωϋσέως, ἀλλὰ σημείων γινομένων, καὶ πραγμάτων μαρτυρούντων. D

Τί δέ ἐστιν, "Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος;" Καὶ ἐν τῇ πρὸς Γαλάτας [b]γὰρ οὕτω πώς φησι· [20]"Διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου" καὶ πάλιν, "Ἐλάβετε [c]νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε·" καὶ πανταχοῦ δι' ἀγγέλων αὐτόν φησι δίδοσθαι. Τινὲς [d]μὲν τὸν Μωϋσέα φασὶν αἰνίττεσθαι· ἀλλ' οὐκ ἔχει λόγον· ἀγγέλους γὰρ ἐνταῦθα πολλούς [e]φησι. Καὶ [f]ἀγγέλους δὲ ἐνταῦθα 31 τούτους φησὶ τοὺς ἐν [g]τῷ οὐρανῷ. Τί οὖν [h]ἐστιν; Ἤτοι τὴν δεκάλογόν φησι [i]μόνον· ἐκεῖ γὰρ Μωϋσῆς ἐλάλει, καὶ ὁ θεὸς ἀπεκρίνατο· [k]ἢ ὅτι παρῆσαν ἄγγελοι, τοῦ θεοῦ διαταττομένου· ἢ ὅτι περὶ τῶν ἐν τῇ παλαιᾷ λεγομένων καὶ [l]γενομένων ἁπάντων, ὡς ἀγγέλων κοινωνησάντων ἐν τούτοις ταῦτά φησι. Πῶς δὲ ἀλλαχοῦ [m]φησιν, [21]"Ὁ νόμος διὰ Μωϋσέως ἐδόθη," ἐνταῦθα δὲ δι' ἀγγέλων; φησὶ γάρ, [22]"[n]Καὶ κατέβη ὁ θεὸς ἐν γνόφῳ." "Εἰ γὰρ ὁ δι' ἀγγέλων [o]λαληθεὶς λόγος ἐγένετο βέβαιος." Τί ἐστιν, "[p]ἐγένετο βέβαιος;" Ἀληθής, ὡς ἂν [q]τις εἴποι, καὶ πιστὸς [r]ἐν τῷ προσήκοντι καιρῷ, καὶ πάντα ἐξέβη B τὰ λεχθέντα. [s]Ἢ τοῦτό φησιν, ἢ ὅτι ἐκράτησε, καὶ αἱ ἀπειλαὶ εἰς ἔργον ἤρχοντο· ἢ λόγον [t]φησὶ τὰ προστάγματα. Πολλὰ γὰρ χωρὶς νόμου προσέταξαν ἄγγελοι παρὰ θεοῦ πεμπόμενοι· οἷον [23]ἐπὶ τοῦ κλαυθμῶνος, ἐπὶ τῶν κριτῶν, ἐπὶ τοῦ Σαμψών. Διὰ γὰρ τοῦτο [v]οὐκ εἶπε, νόμος, ἀλλά, "λόγος." Καὶ τάχα μοι δοκεῖ τοῦτο [w]λέγειν μᾶλλον, τὰ διὰ τῶν ἀγγέλων οἰκονο-

20 Gal. iii. 19 Act. vii. 53. 21 Joan. i. 17. 22 Exod. xix. 20. 23 Jud. ii. 1.

[x] ἐστι] + προλαμβάνει, καὶ ἀποδείκνυσι τὸ ἀξιόπιστον ἔχοντα K.Q. Sav. cet. invito Supp. [y] ἐκείνου] + γὰρ A(?) K.Q. Sav. cet. [z] τοῦ om. R. Supp. [a] ἐπὶ om. A. [b] γὰρ] δὲ N.O. γὰρ om. Sav. cet. invitis A.K.Q.R. Supp. Veron. [c] τὸν νόμον N.O. Sav. cet. invitis Cat. Supp. Mox δεδόσθαι O. Cat. [d] μὲν] + οὖν K.Q. Sav. cet. φησὶν pro φασὶν A.O. [e] φησι] λέγει K.Q. Supp. [f] ἀγγ. δὲ ἐντ.] ἐντ. δὲ ἀγγ. O. Cat. ἐνταῦθα om. R. δὲ ἐνταῦθα et mox φησὶ om. K.Q. Supp. [δὲ ἐνταῦθα] Sav. [g] τῷ om. O. Cat. [h] ἐστιν] + εἰπεῖν K.Q. Supp. Sav. cet. [i] μόνον] οὕτως K.Q. Supp. Mox ἀπεκρίνατο pro ἀπεκρίνετο K.N.O.Q. Cat. Supp. Cf. Exod. xix. 19. sec. Cod. Alex. [k] ἢ] + τοίνυν K.Q. [l] γενομένων] πραττομένων K. Sav. cet. invitis Cat. Supp. [m] φησιν] λέγει ὅτι K.Q. Supp. φησιν ὅτι Sav. cet. [n] καὶ om. A. [o] λαληθεὶς] + φησὶ corr. O. [p] ἐγένετο accessit ex N.O.R. Cat. Supp. Mut. τί—βέβαιος om. A. [q] τις εἴποι] εἴποι τις K.O.Q. Supp. [r] ἐν] διότι ἐν (mox om. καὶ) K.Q. Supp. Sav. cet. invitis Cat. Mut. [s] ἢ] + τοίνυν K.Q. Supp. Sav. cet. ἢ ante ὅτι om. K.Q. Supp. [t] φ. τὰ προστ.] τὰ προστ. (πράγματα K.Q.) λέγει K.Q. Supp. [v] οὐκ] οὐδὲ K.Q. Supp. [w] λέγειν] + δηλῶν διὰ τούτου K.Q. Sav. cet.

Digitized by Google

μηθέντα. [x]Τί οὖν ἐροῦμεν; Παρῆσαν οἱ ἄγγελοι τότε οἱ τὸ
C ἔθνος ἐμπεπιστευμένοι, καὶ αὐτοὶ τὰς σάλπιγγας ἐποίουν, καὶ
τὰ [y]ἕτερα, τὸ πῦρ, τὸν γνόφον. "Καὶ πᾶσα παράβασις,
[z]φησὶ, καὶ παρακοή." Οὐχ ἡ μὲν, ἡ [a]δὲ, ἀλλὰ πᾶσα. Οὐδὲν
ἀνεκδίκητον ἔμεινε, [b]φησὶν, ἀλλ' "ἔλαβεν ἔνδικον μισθαποδο-
σίαν·" [c]ἀντὶ τοῦ, κόλασιν. Τί δήποτε οὕτως εἶπεν; [d]Οὕτως
ἔθος τῷ Παύλῳ μὴ πολὺν τῶν λέξεων ποιεῖσθαι λόγον, ἀλλ'
ἀδιαφόρως καὶ ἐπὶ εὐφήμων τιθέναι κακέμφατα· οἷον [e]καὶ ἀλ-
λαχοῦ φησιν, [24]"Αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν
τοῦ Χριστοῦ." Καὶ [f]πάλιν τὴν ἀντιμισθίαν τέθεικεν ἀντὶ
D κολάσεως, καὶ ἐνταῦθα τὴν κόλασιν [g]μισθὸν καλεῖ. [25]"Εἰ
δίκαιον, φησὶ, παρὰ [h]τῷ θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν
[i]ὑμᾶς θλῖψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν." Τουτέστιν,
οὐ παρεφθάρη τὸ δίκαιον, ἀλλ' ἐπεξῆλθεν ὁ θεὸς, καὶ τὴν δίκην
περιέτρεψεν ἐπὶ τοὺς ἡμαρτηκότας· καίτοι τῶν ἁμαρτημάτων
οὐ πάντων εἰς φανερὸν [k]γινομένων, εἰ μὴ [l]παραβαθείη τὰ δια-
τεταγμένα. "Πῶς [m]οὖν ἡμεῖς, φησὶν, ἐκφευξόμεθα, τηλικαύτης
32 ἀμελήσαντες σωτηρίας;" Διὰ τούτου ἐδήλωσεν, ὅτι οὐ πολλή
τις ἦν ἐκείνη ἡ σωτηρία. Καλῶς δὲ καὶ τὸ, "τηλικαύτης,"
προσέθηκεν. Οὐ γὰρ ἐκ πολέμων, φησὶν, ἡμᾶς διασώσει νῦν,
οὐδὲ τὴν γῆν καὶ τὰ ἐν τῇ γῇ ἀγαθὰ παρέξει, ἀλλὰ θανάτου
κατάλυσις ἔσται, ἀλλὰ διαβόλου ἀπώλεια, ἀλλ' οὐρανῶν βασι-
λεία, ἀλλὰ ζωὴ αἰώνιος. Ταῦτα γὰρ [n]πάντα ἐν συντόμῳ ἐνέ-
φηνεν εἰπὼν, "τηλικαύτης ἀμελήσαντες σωτηρίας." [o]Εἶτα τὸ
ἀξιόπιστον ἐπάγει· "Ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ (446)
κυρίου" τουτέστι, παρ' αὐτῆς τῆς πηγῆς ἔσχε τὴν ἀρχήν· οὐκ
B ἄνθρωπος αὐτὴν διεπόρθμευσεν εἰς τὴν γῆν, οὐ κτιστὴ δύναμις,
ἀλλ' αὐτὸς ὁ μονογενής. "Ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβε-
βαιώθη." [p]Τί ἐστιν, "ἐβεβαιώθη;" Ἐπιστεύθη, [q]ἢ ἐξέβη· τὸν
γὰρ ἀρραβῶνα, φησὶν, ἔχομεν· τουτέστιν, οὐκ ἐσβέσθη, οὐκ

24 2 Cor. x. 5. Rom. i. 27. 25 2 Thess i. 6, 7.

[x] τί οὖν ἐροῦμεν;] καὶ γὰρ K.Q. Supp. Post ἐροῦμεν add. ὅτι N.O. Sav. cet. [y] ἕτερα] ἄλλα K.Q. Supp. τέρατα Cat. [z] φησὶ om. K.Q. Supp. Post παρακοὴ add. ἔλαβεν ἔνδικον μισθαποδοσίαν Edd. Haec non leguntur in O. Supp. Mut. [a] δὲ] + οὐ K.Q. Supp. Mut. Sav. cet. [b] φησὶν om. A.R. Veron. [c] ἀντὶ τοῦ κόλασιν om. K.O.Q.R. Mut. invito Supp. [ἀντὶ τοῦ, κόλασιν] Sav. Statim καὶ τί δ. K.Q. Supp. Sav. cet. [d] οὕτως om. K.Q. Supp. Mox ἀλλὰ διαφ. A. [e] καὶ ἀλλ. φ.] ἔστι τὸ K.Q. Supp. [f] πάλιν] + ἀλλαχοῦ K.Q. Supp. Sav. cet. [g] μισθὸν] μισθαποδοσίαν K.Q. Supp. [h] τῷ om. N.O. [i] ἡμᾶς Veron. Mox ἡμῖν R. [k] γενομένων O. Statim καὶ εἰ K.Q. [l] παραβαθείη] παρεβάθη K.Q. παραβάς τις ᾖ O. [m] οὖν] τὸ K.Q. [n] ἅπαντα O. [o] εἶτα] + καὶ A.N.O. Sav. cet. [p] τί ἐστιν ἐβ. om. A. Supp. Veron. et a pr. m. O. [q] ἢ om. K.N.Q. Cat. non Supp.

Digitized by Google

ἔληξεν, ἀλλὰ κρατεῖ καὶ περιγίνεται. Τὸ δὲ αἴτιον, ἡ θεία δύναμις [r]ἐνεργεῖ. Τουτέστιν, οἱ παρὰ [s]τοῦ κυρίου ἀκούσαντες αὐτοὶ ἡμᾶς ἐβεβαίωσαν. Μέγα τοῦτο καὶ ἀξιόπιστον. Ὅπερ καὶ [t]Λουκᾶς φησιν ἐν ἀρχῇ τοῦ Εὐαγγελίου· [26] "Καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου." [v]Πῶς οὖν ἐβεβαιώθη; τί οὖν, εἰ οἱ ἀκούσαντες [w]ἔπλασαν, φησί; Τοῦτο τοίνυν [x]ἀναιρεῖ, καὶ δείκνυσιν οὐκ ἀνθρωπίνην τὴν χάριν. Οὐκ [y]ἂν, εἰ ἔπλασαν, ὁ θεὸς αὐτοῖς ἐμαρτύρησεν· C
ἐπήγαγε γὰρ, [27] "Συνεπιμαρτυροῦντος τοῦ θεοῦ." Μαρτυροῦσι [z]μὲν κἀκεῖνοι, μαρτυρεῖ δὲ [a]καὶ ὁ θεός. [b]Πῶς μαρτυρεῖ; Οὐ λόγῳ, οὐδὲ φωνῇ· ἦν μὲν γὰρ καὶ τοῦτο πιστόν· ἀλλὰ [c]πῶς; "Σημείοις καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι." Καλῶς τὸ, "ποικίλαις δυνάμεσι," τέθεικε, τὴν ἀφθονίαν τῶν χαρισμάτων δηλῶν· ὅπερ οὐ γεγένηται ἐπὶ τῶν προτέρων, οὐδὲ τοσαῦτα σημεῖα, [d]καὶ οὕτω διάφορα. Τουτέστιν, οὐχ ἁπλῶς ἐπιστεύσαμεν ἐκείνοις, [e]ἀλλὰ διὰ σημείων καὶ τεράτων. Ὥστε οὐκ ἐκείνοις πιστεύομεν, ἀλλ' αὐτῷ τῷ θεῷ. "Καὶ πνεύματος ἁγίου D
μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν." Τί οὖν, ὅτι καὶ γόητες σημεῖα ποιοῦσι, καὶ Ἰουδαῖοι ἐν Βεελζεβοὺλ ἔλεγον αὐτὸν ἐκβάλλειν τὰ δαιμόνια; Ἀλλ' οὐ τοιαῦτα [f]ποιοῦσι σημεῖα· διὰ τοῦτο εἶπε, "ποικίλαις δυνάμεσιν." Ἐκεῖνα γὰρ οὐ δύναμις, [g]ἀλλ' ἀσθένεια καὶ φαντασία καὶ διάκενα πράγματα. Διὰ τοῦτο εἶπε, "Πνεύματος ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ 33
θέλησιν."

[h]Ἐνταῦθα καί τι ἄλλο αἰνίττεσθαί μοι δοκεῖ· εἰκὸς γὰρ μὴ εἶναι πολλοὺς ἐκεῖ χαρίσματα ἔχοντας, ἐκλελοιπέναι δὲ ταῦτα, ἅτε νωθροτέρων αὐτῶν γενομένων. Ἵν' οὖν αὐτοὺς καὶ ἐν τούτῳ [i]παραμυθήσηται, καὶ μὴ ἀφῇ καταπεσεῖν, τὸ πᾶν ἀνέθηκε τῇ τοῦ θεοῦ βουλῇ· αὐτὸς οἶδε τίνι τί συμφέρει, [k]φησὶ, καὶ οὕτω καταμερίζει τὴν χάριν· ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους [l]ποιεῖ

26 Luc. i. 2. 27 v. 4.

[r] ἐνεργεῖ] + τί ἐστιν, ὑπὸ τῶν ἀκουσάντων K.Q. Sav. cet. Statim ἀντὶ τοῦ pro τουτέστιν K.Q. [s] τοῦ om. A. [t] ὁ Λουκᾶς O. Mox παρέδωσαν A. παρέδωκαν R. Veron. [v] πῶς—τί οὖν εἰ] εἶτα ἐπεί τινας εἰκὸς ἦν διαποροῦντας εἰπεῖν, πῶς ἐβεβαιώθη; τί δαὶ (δὲ Supp.) εἰ (εἰ om. Q.) K.Q. Supp. [w] ἔπλασαν] ἐπλανήθησαν bis R. et ex corr. O. φησὶ om. K.Q. Supp. [x] ἀναιρῶν καὶ δεικνὺς K.Q. Supp. Sav. cet. Post χάριν iidem add. ἐπήγαγε, συνεπιμαρτυροῦντος τοῦ θεοῦ. Mox ἐπήγαγε—θεοῦ om. iidem. [y] ἂν] + γὰρ K.Q. Supp. Sav. cet. + δὲ O. [z] μὲν] + γὰρ K.Q. Supp. [a] καὶ om. A. [b] πῶς μ.] ὅπως μαρτυρῇ O. μαρτυρεῖ om. K.Q. Supp. [c] πῶς om. iidem. [d] καὶ om. A. [e] ἀλλὰ om. K.Q. [f] ποιοῦσι σ.] σ. ποιοῦσι A.K.Q. Supp. [g] ἀλλὰ ἀσθ. K. Supp. [h] ΗΘΙΚΟΝ. Ὅτι μόνον λύπης ἄξιον τὸ ἁμαρτάνειν, ἄλλο δὲ οὐδέν· καὶ περὶ ἀγάπης. Veron. [i] παραμυθήσεται N. [k] φησὶ om. A. [l] ἐποίει R.

Digitized by Google

B λέγων· [28] "Ὁ θεὸς ἔθετο ἕνα ἕκαστον ἡμῶν, καθὼς ἠθέλησε·" καὶ
πάλιν, "Ἑκάστῳ δὲ ἡ φανέρωσις τοῦ πνεύματος δίδοται πρὸς
τὸ συμφέρον." "Κατὰ τὴν αὐτοῦ θέλησιν." Δείκνυσιν ὅτι τὸ
χάρισμα κατὰ τὴν τοῦ [m] πατρός ἐστι θέλησιν. Πολλάκις δὲ
καὶ δι' ἀκάθαρτον βίον καὶ [n] νωθῆ οὐκ ἔλαβον πολλοὶ χάρισμα·
ἐνίοτε δὲ καὶ καλὸν βίον ἔχοντες καὶ καθαρὸν οὐκ ἔλαβον· τί
δήποτε; Ὥστε μὴ ἐκτραχηλισθῆναι, ὥστε μὴ φυσιωθῆναι, ὥστε
μὴ [o] ῥαθυμοτέρους γενέσθαι, ὥστε μὴ πλέον ἐπαρθῆναι. Εἰ γὰρ
καὶ χωρὶς χαρίσματος αὐτὴ τοῦ καθαροῦ βίου ἡ συνείδησις ἱκανὴ
C ἐπᾶραι, πολλῷ μᾶλλον [p] ὅτε καὶ ἡ χάρις προσῇ. Ὥστε τοῖς
ταπεινοῖς, τοῖς ἀφελέσι μᾶλλον ἐδίδοτο· [q] καὶ μάλιστα τοῖς
ἀφελέσιν· [29] "Ἐν ἀφελότητι γὰρ, φησὶ, καὶ ἐν ἀγαλλιάσει
καρδίας." Καὶ γὰρ καὶ ταύτῃ προέτρεψεν αὐτοὺς μᾶλλον· καὶ
εἰ ῥᾳθυμότεροι ἦσαν, [r] κατένυξεν. Ὁ γὰρ ταπεινὸς καὶ μὴ με-
γάλα περὶ ἑαυτοῦ φανταζόμενος, σπουδαιότερος γίνεται, ὅταν
λάβῃ χάρισμα, ἅτε παρ' ἀξίαν εἰληφὼς, καὶ οὐκ [s] ἄξιος εἶναι
νομίζων· ὁ δέ τι κατωρθωκέναι νομίζων, ὀφειλὴν εἶναι τὸ
πρᾶγμα ἡγούμενος, καὶ πεφυσίωται. Ὥστε ὁ θεὸς [t] συμφε-
D ρόντως οἰκονομεῖ τοῦτο. Ὅπερ καὶ ἐν τῇ ἐκκλησίᾳ συμβαῖνον
ἴδοι τις ἄν· ὁ μὲν γὰρ ἔχει λόγον διδασκαλικὸν, ὁ δὲ οὐδὲ διᾶραι
[v] τὸ στόμα δύναται. [w] Μὴ λυπείσθω, φησὶν, οὗτος διὰ τοῦτο·
"Ἑκάστῳ γὰρ ἡ φανέρωσις τοῦ πνεύματος δίδοται πρὸς τὸ
συμφέρον." Εἰ γὰρ ἄνθρωπος οἰκοδεσπότης οἶδε τίνι [x] τί
ἐγχειρίσει, πολλῷ μᾶλλον ὁ θεὸς ὁ ἐπιστάμενος τὸν νοῦν τῶν
ἀνθρώπων, [30] "[y] ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν." Ἓν
34 ἐστι μόνον [z] τὸ λύπης ἄξιον, τὸ ἁμαρτάνειν, ἄλλο δὲ οὐδέν.
Μὴ εἴπῃς, διὰ τί οὐκ ἔχω χρήματα; [a] ἤ, εἰ εἶχον, [b] παρέσχον
ἂν τοῖς πένησιν. Οὐκ οἶδας, εἰ εἶχες, εἰ μὴ [c] μᾶλλον πλεονέκτης
ἦς. Νῦν μὲν γὰρ ταῦτα λέγεις, ἐν δὲ τῇ πείρᾳ γενόμενος, ἕτερος (447)
ἂν ἦς. Ἐπεὶ καὶ ὅταν ὦμεν κεκορεσμένοι, νομίζομεν ὅτι δυνά-
μεθα νηστεύειν· ὅταν δὲ μικρὸν [d] διαλείπωμεν, ἕτερος [e] ἡμᾶς εἰσ-

28 1 Cor. xii. 18, 7. 29 Act. ii. 46. 30 Susan. 42.

[m] πατρὸς] Sic a pr. m. O. *Dei patris* Mut. πνεύματος K.N.Q.R. et corr. O. In A. lacuna est. πατρὸς ediderunt Veron. Ben. πνεύματος Sav. Mor. [n] νωθρὸν K.Q. Mox πολλοὶ χαρίσματα O. οἱ πολλοὶ χαρίσματα K. et ex corr. N. οἱ πολλοὶ χάρισμα Q. [o] ῥαθυμότεροι A.R. [p] ὅταν A.N.O. Sav. cet. [q] καὶ—ἀφελέσιν om. R. [r] κατένυξεν] διήγειρεν K.Q. [s] ἄξιος] ἄξιον ἑαυτὸν K.Q.R. Supp. Sav. cet. Statim κρίνων pro νομίζων K.Q. Supp. Sav. cet. [t] συμφερόντως] + τὸ πρᾶγμα Edd. invitis libris. [v] τὸ om. K.Q. [w] μὴ λ. φ. οὗτος] μηδεὶς τοίνυν λυπείσθω K.Q. Sav. cet. [x] τί om. N. Statim ἐγχειρίσῃ A. [y] ὁ] καὶ K.Q. [z] τὸ om. K.O.Q. [a] ἢ om. N.R. [b] παρεῖχον R. [c] μᾶλλον] + καὶ K.Q. Sav. cet. Statim πλεονεκτήσῃς R. [d] διαλίπωμεν K.Q. et ex corr. O. [e] ἡμᾶς] εἰς ἡμᾶς R. Statim ἐπεισέρχ. N. Sav. cet.

Digitized by Google

ἔρχεται λογισμός. Πάλιν, ὅταν ὦμεν ἐκτὸς τῆς μέθης, νομί-
ζομεν δύνασθαι περιγενέσθαι τοῦ πάθους· ὅταν δὲ ἁλῶμεν ὑπ' B
αὐτῆς, οὐκέτι. Μὴ εἴπῃς, [f]εἰς τί οὐκ ἔσχον χάρισμα διδασκα-
λικόν; [g]ἢ, εἰ εἶχον, μυρίους ἂν ᾠκοδόμησα. Οὐκ οἶδας, εἰ εἶχες,
μὴ εἰς κρίμα σοι [h]ἐγίνετο· μὴ βασκανία, μὴ ὄκνος [i]παρεσκεύαζε
τὸ τάλαντον κρύπτειν. Νῦν μὲν οὖν ἁπάντων τούτων ἀπήλ-
λαξαι, καὶ τὸ σιτομέτριον ἐὰν μὴ δῷς, οὐκ ἐγκαλῇ· τότε δὲ
μυρίοις ἂν ὑπεύθυνος ἦς. Ἄλλως δὲ, οὐδὲ νῦν ἐκτὸς εἶ τοῦ
χαρίσματος. Δεῖξον ἐν τῷ μικρῷ, οἷος ἦς, εἰ ἐκεῖνο εἶχες·
[31]"Εἰ γὰρ ἐν τῷ μικρῷ οὐ γίνεσθε, φησὶ, πιστοὶ, πῶς [k]τὸ
μέγα ὑμῖν τις δώσει;" Δεῖξον ὡς ἡ χήρα· [l]δύο ὀβολοὺς εἶχεν C
ἐκείνη, καὶ [m]ὅλα κατέβαλεν, ὅσα ἐκέκτητο. Χρήματα ζητεῖς;
Δεῖξον ὅτι τῶν ὀλίγων καταφρονεῖς, ἵνα σοι πιστεύσω καὶ περὶ
τῶν πολλῶν· εἰ δὲ μηδὲ τούτων καταφρονεῖς, πολλῷ μᾶλλον
οὐδὲ ἐκείνων. Πάλιν, ἐν τῷ λόγῳ δεῖξον ὅτι κέχρησαι δεόντως
τῇ παραινέσει καὶ τῇ [n]συμβουλῇ. Οὐκ ἔχεις εὐγλωττίαν τὴν
ἔξωθεν; οὐκ ἔχεις νοημάτων ἀφθονίαν; ἀλλ' ὅμως ταῦτα τὰ
κοινὰ οἶδας. [o]Παῖδα ἔχεις, γείτονα ἔχεις, [p]φίλον ἔχεις, [q]ἀδελ-
φὸν ἔχεις, οἰκείους ἔχεις· κἂν [r]μὴ δημοσίᾳ ἐπὶ τῆς ἐκκλησίας D
[s]δύνασαι [t]λόγον ἀποτεῖναι μακρὸν, τούτοις ἰδίᾳ δύνασαι παραι-
νεῖν. Ἐνταῦθα οὐ ῥητορείας χρεία, οὐδὲ μακρᾶς ἀποτάσεως·
δεῖξον ἐπὶ τούτων, ὅτι εἰ καὶ λόγον εἶχες, οὐκ ἂν ἠμέλησας. Εἰ
δὲ ἐν τῷ μικρῷ οὐ [v]σπεύδεις, πῶς σοι πιστεύσω περὶ τοῦ μεγά-
λου; Ὅτι γὰρ τοῦτο ἕκαστος δύναται, ἄκουσον [w]τί φησιν ὁ
Παῦλος, πῶς καὶ λαϊκοῖς τοῦτο ἐπέτρεψεν· [32]"Ἕκαστος, φη-
σὶν, οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε·" καὶ, "Παρα-
καλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις." Οἶδεν ὁ θεὸς πῶς
ἑκάστῳ [x]διανείμῃ. Μὴ σὺ τοῦ Μωϋσέως εἶ βελτίων; ἄκουσον
πῶς ἀποδυσπετεῖ. [33]"Μὴ ἐγὼ δύναμαι, φησὶ, βαστάζειν αὐ-
τοὺς, ὅτι εἶπές μοι, ἆρον αὐτοὺς, ὡς εἰ [y]ἄραι τιθηνὸς τὸν θηλά-
ζοντα;" Τί οὖν ὁ θεός; Ἐξεῖλεν ἀπὸ τοῦ πνεύματος αὐτοῦ,
καὶ ἔδωκε τοῖς ἄλλοις, δεικνὺς ὅτι οὐδὲ ὅτε [z]ἐβάσταζεν αὐτοὺς,

31 Luc. xvi. 10, 11. 32 1 Thess. v. 11. iv. 17. 33 Num. xi. 12.

[f] εἰς] διὰ N.O. ὅτι διὰ Veron. [g] ἢ om. K N.O.Q.R. Veron. [h] ἐγένετο A.N.O. Sav. cet. [i] παρεσκεύασε K.Q. Mox κατακρύπτειν N.O. [k] τὸ μέγα] τῷ μεγάλῳ O. [l] δύο] + γὰρ Sav. cet. repugnantibus libris et Mut. [m] [ὅλα] Sav. ὅλα om. K.Q. κατέβ. ὅσα om. in textu O. [n] συμβουλίᾳ A.K.Q. [o] παῖδας K. Statim γείτονας O. γείτονα ἔχεις om. K. [p] φίλον] συγγενῆ N. [q] ἀδ. ἔχεις] συγγενεῖς, ἀδελφοὺς O. ἀδ. ἔχεις om. A.N.R. Veron. [r] μὴ om. K.N. Sav. cet. [s] δύνασαι] Sic O.R. οὐ δύνασαι A.N. Veron. δύνῃ Q. μὴ δύνῃ K. Sav. cet. [t] λ. ἀποτεῖναι] ἀποτεῖναι λ. K.Q. Mox τούτους N. [v] σπεύδεις] σπουδάζεις A.N. Sav. cet. [w] τί—ἐπέτρεψεν] πῶς καὶ λ. τ. ἐπέτρεψεν ὁ Π. K.Q. Sav. cet. [x] διωνείμει (sic) O. διανέμει K.Q. ἑκάστῳ πῶς pro πῶς ἑκάστῳ N. [y] ἄραι om. K.Q. [z] ἐβάσταξεν O.

Digitized by Google

[a]αὐτοῦ τὸ χάρισμα ἦν, ἀλλὰ τοῦ πνεύματος. Εἰ τὸ χάρισμα
εἶχες, πολλάκις ἂν ἐπήρθης, πολλάκις ἂν ἐξετράπης· οὐκ οἶδας
[b]σὺ σαυτὸν, ὡς ὁ θεός σε οἶδε. Μὴ λέγωμεν, εἰς τί τοῦτο, καὶ
διὰ τί τοῦτο; ὅταν [c]ὁ θεὸς οἰκονομῇ, μὴ ἀπαιτῶμεν αὐτὸν εὐ-
B θύνας· τοῦτο γὰρ ἐσχάτης [d]ἀσεβείας καὶ ἀπονοίας. Δοῦλοί
ἐσμεν, καὶ δοῦλοι πολὺ τοῦ * δεσπότου διεστηκότες, οὐδὲ τὰ ἐν
ποσὶν ἐπιστάμενοι.

Μὴ δὴ τὴν βουλὴν τοῦ θεοῦ [e]περιεργαζώμεθα, ἀλλ' ὅπερ
δέδωκε, τοῦτο φυλάττωμεν, κἂν μικρὸν ᾖ, κἂν ἔσχατον, καὶ
πάντως [f]εὐδοκιμήσομεν· μᾶλλον δὲ, οὐδὲν μικρὸν τῶν τοῦ θεοῦ
δωρεῶν ἐστιν. Ἀλγεῖς ὅτι οὐκ ἔχεις χάρισμα διδασκαλίας;
Εἰπὲ δή μοι, τί σοι δοκεῖ μεῖζον εἶναι, χάρισμα διδασκαλίας, ἢ
χάρισμα [g]ἔχειν νόσους ἀπελαύνειν; Πάντως τοῦτο. Τί δὲ,
[h]εἰπέ μοι; καὶ τοῦ νόσους ἀπελαύνειν οὐ δοκεῖ σοι μεῖζον εἶναι
C τὸ τυφλοὺς ὀμματοῦν; [i]Τί δὲ, εἰπέ μοι; τοῦ τυφλοὺς ὀμμα-
τοῦν οὐ δοκεῖ σοι μεῖζον εἶναι [k]τὸ νεκροὺς ἀνιστᾶν; Τί δὲ, εἰπέ
μοι; τοῦ λόγῳ τοῦτο ποιεῖν οὐ δοκεῖ σοι μεῖζον εἶναι τὸ σκιαῖς
καὶ σουδαρίοις τοῦτο ἐργάζεσθαι; Τί οὖν θέλεις, εἰπέ μοι;
σκιαῖς καὶ σουδαρίοις νεκροὺς ἀνιστᾶν, ἢ τὸ χάρισμα [l]τῆς διδα-
σκαλίας ἔχειν; Πάντως ἐκεῖνο ἐρεῖς, τὸ σκιαῖς καὶ σουδαρίοις
νεκροὺς ἀνιστᾶν. Ἂν οὖν σοι δείξω, ὅτι πολλῷ τούτου μεῖζόν
ἐστιν ἕτερον χάρισμα, [m]καὶ ἐξόν σοι λαβεῖν, οὐ [n]λαμβάνεις,
οὐχὶ δικαίως τούτων ἀπεστέρησαι; [o]Καὶ τοῦτο τὸ χάρισμα
D οὐδ' ἑνὶ, οὐδὲ δευτέρῳ, ἀλλὰ πᾶσιν ἔξεστιν ἔχειν. Οἶδα ὅτι
κεχήνατε καὶ ἐξεπλάγητε, εἴγε μέλλοιτε [p]ἀκούσεσθαι, ὅτι
ἔξεστιν ὑμῖν μεῖζον χάρισμα ἔχειν τοῦ νεκροὺς ἀνιστᾶν, καὶ
τυφλοὺς ὀμματοῦν, [q]ἐκεῖνα ποιεῖν [r]ἃ καὶ ἐπὶ τῶν ἀποστόλων·
καὶ τάχα καὶ ἄπιστον ὑμῖν εἶναι δοκεῖ. Τί οὖν τοῦτό ἐστι τὸ
χάρισμα; Ἡ ἀγάπη. Ἀλλὰ πιστεύσατέ μοι· οὐκ ἐμὸς [s]γὰρ

[a] αὐτοῦ] + τοῦτο N. Sav. cet. Statim τὸ om. N. τὰ χαρίσματα pro τὸ χ. ἦν O. [b] σὺ om. K.Q. Statim σεαυτὸν N. Mox σε om. R. [c] ὁ θ. οἰκονομῇ pro οἰκονομῇ ὁ θ. omnes. [d] ἀσ. καὶ ἀπ.] ἀπ. καὶ ἀσ. K. ἀπ. ἐστὶ καὶ ἀσ. N. ἀσ. καὶ ἀπ. ἐστι Edd. invitis libris. * Deest folium in R. usque ad ψωμίζοντα p. 36 C. [e] περιεργασώμεθα a pr. m. O. Mox ἔδωκε K.N.O.Q. [f] εὐδοκιμήσωμεν A.O. [g] ἔχειν om. Veron. ἔχειν (+ καὶ O.) ν. ἀπελαύνειν] ἰαμάτων K.Q. Sav. cet. Statim πάντως—ἀπελαύνειν om. A.N. Veron. [h] εἰπέ μοι; καὶ om. K.Q. τοὺς pro τοῦ O. [i] Haec τί δὲ—ὀμματοῦν accesserunt ex O. Mut. [k] τὸ νεκροὺς—ἐκεῖνο ἐρεῖς, τὸ σκ. καὶ σουδ. ν. ἀνιστᾶν] τοῦ λόγῳ νεκροὺς ἀνιστᾶν, τὸ σκ. καὶ σουδ. τοῦτο ποιεῖν; πάντως ἐρεῖς· τοῦτο γὰρ καὶ τῷ παντὶ γνώριμον (γνωρίμων K.) K.Q. [l] τῆς] τὸ τῆς O. [m] καὶ] ὃ καὶ O. [n] λαμβάνεις, οὐχὶ] λαμβάνων K.Q. Sav. cet. Statim δικαίως καὶ τούτων K.N.Q. Sav. cet. [o] καὶ] τί ἐρεῖς; πλὴν K.Q. Sav. cet. Mox οὐχ ἑνὶ iidem. [p] ἀκούσεσθε A. ἀκούεσθε K. Mox μείζω A. [q] καὶ ἐκεῖνα Edd. καὶ deest in omnibus. [r] ἃ] ὅσα a pr. m. O. Proximum καὶ om. A. [s] γὰρ] + οὗτος A.N. Sav. cet. γὰρ om. Veron.

Digitized by Google

ὁ λόγος, ἀλλὰ τοῦ Χριστοῦ διὰ Παύλου φθεγγομένου. [t]Τί
γάρ φησι; [34]“Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα, καὶ ἔτι
καθ’ ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.” [v]Τί ἐστιν, “ἔτι καθ’
ὑπερβολήν;” Ὃ λέγει τοιοῦτόν ἐστι· Κορίνθιοι μέγα ἐφρόνουν 36
ἐπὶ τοῖς [w]χαρίσμασι, καὶ οἱ ἔχοντες γλώσσας, τὸ ἐλάχιστον
(448) χάρισμα, [x]ἐφυσιοῦντο κατὰ τῶν λοιπῶν. Λέγει οὖν, ὅλως
θέλετε χαρίσματα; ἐγὼ [y]δείκνυμι ὑμῖν ὁδὸν χαρισμάτων, οὐχ
ἁπλῶς ὑπερέχουσαν, ἀλλὰ καθ’ ὑπερβολήν. Εἶτά φησιν·
[35]“Ἐὰν ταῖς γλώσσαις τῶν ἀγγέλων λαλῶ, [z]ἀγάπην δὲ μὴ
ἔχω, οὐδέν εἰμι· [a]καὶ ἐὰν ἔχω πίστιν, ὥστε ὄρη μεθιστάνειν,
ἀγάπην δὲ μὴ ἔχω, [b]οὐδέν εἰμι.” Εἶδες χάρισμα; [c]Ζήλωσον
[d]τοῦτο τὸ χάρισμα. Τοῦτο τοῦ νεκροὺς ἐγείρειν μεῖζον· τοῦτο
τῶν ἄλλων ἁπάντων πολλῷ βέλτιον. Καὶ [e]ὅτι οὕτως ἔχει, B
ἄκουσον τί φησιν [f]αὐτὸς ὁ Χριστὸς τοῖς μαθηταῖς διαλεγόμενος·
[36]“Ἐν τούτῳ γνώσονται πάντες, ὅτι [g]μαθηταί μου ἐστέ·”
[h]καὶ δεικνὺς ἐν ποίῳ, οὐκ εἶπε τὰ [i]θαύματα, ἀλλὰ τί; “Ἐὰν
ἀγάπην ἔχητε ἐν ἀλλήλοις.” Καὶ πάλιν πρὸς τὸν πατέρα
φησίν· [37]“Ἐν τούτῳ [k]γνώσονται, ὅτι σύ με ἀπέστειλας, ἐὰν
ὦσιν ἕν.” Καὶ αὐτὸς ἔλεγε πρὸς τοὺς μαθητάς· “Ἐντολὴν
καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.” [l]Τῶν τοίνυν τοὺς
νεκροὺς ἀνιστώντων σεμνότερος ὁ τοιοῦτος καὶ λαμπρότερος,
εἰκότως. Ἐκεῖνο μὲν γὰρ ὅλον τῆς τοῦ θεοῦ χάριτός ἐστι,
τοῦτο δὲ καὶ τῆς σῆς σπουδῆς. Τοῦτο ὄντως Χριστιανοῦ· C
τοῦτο δείκνυσι τὸν τοῦ Χριστοῦ μαθητὴν, τὸν ἐσταυρωμένον,
τὸν οὐδὲν ἔχοντα κοινὸν ἐν τῇ γῇ· τούτου χωρὶς οὐδὲ μαρτύριον
ὠφελῆσαί [m]τι δύναται. Καὶ ἵνα μάθῃς, ὅρα τοῦτο σαφῶς·
ἔλαβε δύο κορυφὰς ἀρετῶν ὁ μακάριος Παῦλος, μᾶλλον δὲ
τρεῖς· τὰς ἐν τοῖς σημείοις, τὰς ἐν τῇ γνώσει, τὰς ἐν τῷ βίῳ·
[n]καὶ ταύτης ἄνευ οὐδὲν ἔφησεν εἶναι ταῦτα. Πῶς δὲ οὐδέν ἐστι

[34] 1 Cor. xii. 31. [35] Ibid. xiii. 1, 2. [36] Joan. xiii. 35.
[37] Ibid. xvii. 21. xiii. 34.

[t] τί γάρ φ.] οὗτος γὰρ γράφων πρὸς Κορινθίους φ. K.Q. Post ζηλοῦτε add. δὲ O. [v] τί—τοιοῦτόν ἐστι] τί δέ ἐστι, καθ’ ὑ. φέρε, ἐγώ σε διδάξω K.Q. [w] χαρίσμασι] + τότε K.Q. Sav. cet. Mox γλῶσσαν a pr. m. O. [x] ἐφυσῶντο N.O. [y] δεικνύω N. ὑμῖν om. Veron. [z] ἀγάπην δὲ μὴ ἔχω om. A.K.O.Q. Veron. invito Mut. Etiam οὐδέν εἰμι om. K.Q. [a] καὶ ἐὰν] κἂν A.K.Q. Veron. Mox μεθιστάναι O. [b] οὐθὲν K.Q. οὐθὲν bis O. [c] ζήλωσον] οὐκοῦν ζ. K.Q. Sav. cet. [d] τοῦτο τὸ χ. τοῦτο] αὐτό. τὸ χ. τοῦτο K.Q. favente Mut. [e] ὅτι] + τοῦτο Edd. τοῦτο deest in omnibus. [f] αὐτὸς assumtum ex O. Mut. αὐτοῖς τοῖς μ. ὁ Χρ. N. [g] μαθηταί μου] ἐμοὶ μαθηταὶ K.Q. Sav. cet. Post ἐστὲ add. ἐὰν ἀγαπᾶτε ἀλλήλους Edd. Haec om. A.N.O. Mut. [h] καὶ] εἶτα K.Q. Sav. cet. καὶ—ποίῳ, et mox ἀλλὰ—ἀλλήλοις om. Veron. [i] θαύματα] + οὐκ ἐὰν νεκροὺς ἐγείρητε O. [k] γνώσονται] + πάντες O. Mox ἐὰν ἓν ὦσιν N.O. [l] τοῦ . . . ἀνιστῶντος N. τῶν . . . ἀνιστάντων K.Q. [m] τι om. K.Q. [n] καὶ] ἀλλὰ iidem.

Digitized by Google

ταῦτα, ἐγὼ λέγω. [38] "Ἐὰν ψωμίσω μου, φησὶ, τὰ ὑπάρχοντα,
ἀγάπην δὲ μὴ ἔχω, [o] οὐδέν εἰμι." Ἔστι γὰρ καὶ ψωμίζοντα
D μὴ εἶναι ἀγαπητικὸν, καὶ χρήματα κενοῦντα. Καὶ εἴρηται μὲν
ἡμῖν ταῦτα ἀρκούντως ἐν τῷ τόπῳ τῷ περὶ τῆς ἀγάπης, κἀκεῖ
παραπέμπομεν τοὺς ἐντυγχάνοντας· τέως δὲ, ὅπερ ἔφην,
[p] ζηλώσωμεν τὸ χάρισμα, ἀγαπήσωμεν ἀλλήλους, καὶ οὐδενὸς
ἑτέρου [q] δεηθησόμεθα πρὸς τὴν τῆς ἀρετῆς κατόρθωσιν, ἀλλὰ
πάντα ἡμῖν ἔσται εὔκολα χωρὶς ἱδρώτων, καὶ ἅπαντα [r] κατορ-
θώσομεν μετὰ πολλῆς τῆς σπουδῆς. Ἀλλ' ἰδοὺ καὶ νῦν, φησὶν,
ἀγαπῶμεν ἀλλήλους· [s] ὁ μὲν γὰρ ἔχει φίλους δύο, [t] ὁ δὲ τρεῖς.
37 Ἀλλὰ τοῦτο οὐκ ἔστι διὰ τὸν θεὸν ἀγαπᾶν, ἀλλὰ διὰ τὸ φι-
λεῖσθαι· τὸ δὲ διὰ τὸν θεὸν ἀγαπᾶν, οὐ ταύτην ἔχει τὴν ἀρχὴν
τῆς ἀγάπης, [v] ἀλλὰ πρὸς πάντας, ὡς πρὸς ἀδελφοὺς, ὁ τοιοῦτος
διακείσεται, τοὺς μὲν ὁμοπίστους, ἅτε [w] ὡς γνησίους ὄντας
ἀδελφοὺς, φιλῶν, τοὺς δὲ [x] αἱρετικοὺς καὶ Ἕλληνας καὶ Ἰου-
δαίους, ἀδελφοὺς μὲν κατὰ τὴν φύσιν, φαύλους δὲ τυγχάνοντας
καὶ ἀχρήστους, [y] ἐλεῶν, καὶ τηκόμενος ὑπὲρ αὐτῶν καὶ δακρύων.
Ἐν [z] τούτῳ ὅμοιοι ἐσόμεθα τῷ θεῷ, ἐὰν πάντας ἀγαπῶμεν, καὶ
B τοὺς ἐχθροὺς, οὐκ ἐὰν σημεῖα ποιῶμεν. Ἐπεὶ καὶ τὸν θεὸν θαυ-
μάζομεν [a] μὲν καὶ ὅταν θαύματα ἐργάζηται, [b] πολὺ δὲ πλέον,
ὅταν φιλανθρωπεύηται, ὅταν ἀνεξικακῇ. Εἰ τοίνυν καὶ [c] ἐπὶ
θεοῦ ἐκεῖνο πολλοῦ θαύματος ἄξιον, πολλῷ μᾶλλον ἐπ' ἀνθρώ-
πων εὔδηλον ὅτι τοῦτο ἡμᾶς θαυμαστοὺς ἀπεργάζεται. Τοῦτο
τοίνυν [d] ζηλώσωμεν, καὶ Παύλου καὶ Πέτρου καὶ τῶν μυρίους
[e] ἀνιστάντων νεκροὺς οὐδὲν ἔλαττον ἕξομεν, κἂν πυρετὸν ἀπελά-
σαι [f] μὴ δυνώμεθα· ἐκείνης δὲ χωρὶς, κἂν αὐτῶν τῶν ἀποστόλων
C μείζονα ἐργασώμεθα σημεῖα, κἂν μυρίοις [g] κινδύνοις ἑαυτοὺς
ὑπὲρ τῆς πίστεως παραβάλωμεν, [h] οὐδενὸς ἡμῖν οὐδὲν ὄφελος.
Καὶ ταῦτα οὐκ ἐγὼ λέγω, ἀλλ' αὐτὸς ὁ τῆς ἀγάπης τρόφιμος
[i] ταῦτα ἐπίσταται· ἐκείνῳ τοίνυν πειθώμεθα. Οὕτω γὰρ δυνη-

[38] 1 Cor. xiii. 3.

[o] οὐθὲν Q. et ex corr. O. ἐστι pro εἰμι Veron. [p] ζ. τὸ χ.] φιλήσωμεν ἀλλήλους O. sed in marg. add. a 2da m. ζ. τὸ χ. [q] δεησόμεθα O.Q. [r] κατορθώσωμεν A.K.O. [s] ὁ] ὃς bis O. [t] ὁ δὲ τρεῖς] Sic libri omnes et Mut. ἢ τρεῖς, ὁ δὲ τέτταρας Edd. [v] ἀλλὰ πρὸς π.] πρὸς π. γὰρ K.Q. [w] ὡς om. K.Q. Sav. cet. [x] Ἑλλ. καὶ αἱρ. inverso ord. K.Q. Mox ὡς ἀδελφοὺς K.Q. Sav. cet. [y] ἐλεεῖ . . . τήκεται . . . δακρύει a pr. m. O. [z] τούτῳ] + γὰρ N.R. Mox τοῦ θεοῦ a pr. m. N. [a] μὲν om. A.R. et ante corr. O. Statim καὶ om. Q. [b] πολὺ A.K.N.R. πολλῷ Edd. Mox πλεῖον A.O. [c] ἐπὶ τοῦ θ. N. Sav. cet. Mox ἀπεργάσεται O. [d] ζηλῶμεν ante corr. O. [e] ἀνιστώντων R. ἀναστησάντων K.O.Q. Sav. cet. [f] μὴ om. N.R. Statiin δυνηθῶμεν N.O. Mox δὲ om. K.Q. [g] κινδύνοις om. R. [h] οὐδενὸς ἡ. οὐδὲν ὄ.] Sic O. οὐδὲν ἡ. οὐδενὸς ὄ. N. οὐδενὸς ἡ. οὐδενὸς ὄ. A.R. οὐδενὸς ἡ. ὄ. Veron. οὐδὲν ἡ. ἔσται ὄ. K.Q. Sav. cet. [i] ταῦτα—τοίνυν] οὐκοῦν ἐκείνῳ πρὸς πάντα K.Q.

Digitized by Google

σόμεθα [k]ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Δ.

[1] Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, 38 περὶ ἧς λαλοῦμεν. Διεμαρτύρατο δέ που τις, λέγων· Τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; [a]Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους.

(449) [b]ἨΒΟΥΛΟΜΗΝ γνῶναι σαφῶς, εἴ τινες μετὰ τῆς προσηκούσης σπουδῆς τῶν λεγομένων ἀκούουσιν, εἰ μὴ παρὰ τὴν ὁδὸν B
τὰ σπέρματα [c]ῥίπτομεν· [d]οὕτω γὰρ ἂν προθυμότερον τὴν διδασκαλίαν ἐποιησάμην. [e]Ἐροῦμεν γάρ, κἂν μηδεὶς ἀκούῃ, διὰ τὸν ἐπικείμενον [f]παρὰ τοῦ σωτῆρος φόβον. [2]"Διαμάρτυραι γάρ, φησί, τῷ λαῷ τούτῳ· κἂν μὴ ἀκούσωσιν, αὐτὸς ἀνεύθυνος ἔσῃ." Εἰ δὲ ἐπεπείσμην περὶ τῆς ὑμετέρας σπουδῆς, οὐ διὰ τὸν φόβον [g]ἔλεγον μόνον, ἀλλὰ καὶ μεθ' ἡδονῆς τοῦτο ἐποίουν. Νῦν μὲν γὰρ [h]κἂν μηδεὶς ἀκούῃ, κἂν ἐμοὶ τὸ πρᾶγμα ἀκίνδυνον ᾖ τὸ ἐμαυτοῦ πληροῦντι, ἀλλ' ὅμως οὐ μεθ' ἡδονῆς ὁ πόνος γίνεται. Τί γὰρ ὄφελος, ὅταν μὴ ἐγκαλῶμαι μὲν ἐγώ, C
[i]ὠφελῆται δὲ μηδείς; Εἰ δέ τινες μέλλοιεν προσέχειν, οὐ τοσαύτην ἀπὸ τοῦ μὴ κολάζεσθαι ληψόμεθα ὄνησιν, ὅσην ἀπὸ τῆς προκοπῆς τῆς ὑμετέρας. Πῶς οὖν [k]εἴσομαι τοῦτο; Ἐπιτηρήσας ὑμῶν τινας τοὺς [l]οὐ πάνυ προσέχοντας, τούτους ἐρήσομαι κατ' ἰδίαν συντυχών· κἂν εὕρω τινὰ τῶν εἰρημένων κατέχοντας, οὐ λέγω πάντα· τοῦτο γὰρ ὑμῖν [m]οὐ σφόδρα εὔκολον· ἀλλὰ κἂν ὀλίγα ἐκ πολλῶν, εὔδηλον ὅτι περὶ τῶν [n]λοιπῶν

1 Cap. II. v. 5—7. 2 Ezech. iii. 19?

[k] ἐπιτ. τῶν ἐπηγ. (+ ἡμῖν N.R.) ἀγ.] καὶ τῶν παρόντων καὶ τῶν ἐπηγ. ἐπιτ. ἀγ. K.Q. Haec ὧν γ. π. ἡ. μετασχεῖν (ἐπιτυχεῖν A. ἀξιωθῆναι O.) desunt in N. Hom. IV. [a] Haec ἠλαττώσας—ἀγγέλους om. K.Q. inclusa a Sav. [b] ἐβουλόμην K.N.Q. [c] ῥίπτωμεν A.R. Veron. Sic a pr. m. O. [d] οὕτω] + μὲν R. Statim ἂν om. a pr. m. O. [e] ἐροῦμεν] ἐρῶ μὲν R. Mox ἀκούσῃ ante corr. O. ἐροῦμεν—ἀκούῃ] νῦν δὲ καὶ μηδὲν πεπεισμένοι (–νον K.) λέγομεν K.Q. [f] παρὰ om. K.R. δεσπότου pro σωτῆρος K.N.O. *Dei* Mut. Mox διαμάρτυρε A.R. [g] ἔλεγον om. K. Mox τοῦτο ἂν ἐποίουν Q. [h] κἂν] ἂν A. [i] ὠφελεῖται R. Veron. [k] εἰσόμεθα R. τοὺς τοιούτους pro τοῦτο K.Q. Statim ὅτι ἐπιτηρήσας O. [l] οὐ om. A.Q.R. Veron. invito Mut. [m] οὐ σφ. εὔκολον] σφόδρα δύσκολον O. οὐκ εὔκολον Veron. [n] λοιπῶν] πολλῶν K.N.Q. Sav. cet. Statim οὐδὲν ἀμφιβάλλω λ. N.

Digitized by Google

οὐδὲ ἀμφιβάλλω λοιπόν. Καὶ ἐχρῆν μὲν ἡμᾶς, μὴ προειπόντας
τοῦτο, [o]ἀφυλάκτοις ὑμῖν ἐπιτεθῆναι· πλὴν ἀλλ' ἀγαπητὸν, [p]εἰ
D κἂν οὕτω δυνηθείην ἐπιτυχεῖν· μᾶλλον δὲ, καὶ οὕτω δύναμαι
ἀφυλάκτοις ἐπιθέσθαι. Ὅτι μὲν γὰρ ἐρήσομαι, προεῖπον·
πότε δὲ ἐρήσομαι, οὐκέτι δῆλον καθίστημι· ἴσως [q]γὰρ σήμερον,
ἴσως δὲ αὔριον, ἴσως δὲ μετὰ [r]εἴκοσιν ἢ τριάκοντα ἡμέρας, ἴσως
δὲ μετὰ ἐλάττους, ἴσως [s]δὲ μετὰ πλείους. Οὕτω καὶ ὁ θεὸς τὴν
ἡμέραν ἡμῶν τῆς τελευτῆς ἄδηλον ἐποίησε· καὶ οὔτε εἰ σήμε-
ρον, [t]οὔτε εἰ αὔριον, οὔτε εἰ μετὰ ἐνιαυτὸν ὅλον, οὔτε εἰ μετὰ
πλείονα ἔτη ἐπιστήσεται, δῆλον ἡμῖν [v]ἀφῆκεν εἶναι, ἵνα τῷ τῆς
προσδοκίας ἀδήλῳ διαπαντὸς ἐν ἀρετῇ κατέχωμεν ἑαυτούς· καὶ
39 ὅτι μὲν ἀπελευσόμεθα, εἶπεν, πότε δὲ, οὐκέτι. Οὕτω κἀγὼ, ὅτι
μὲν ἐρήσομαι, εἶπον, πότε δὲ, οὐ προσέθηκα, βουλόμενος ὑμᾶς ἐν
φροντίδι εἶναι διαπαντός. [w]Καὶ μή τις λεγέτω, ὅτι πρὸ τεσσά-
ρων ἑβδομάδων καὶ πέντε καὶ πλειόνων ταῦτα ἤκουσα, καὶ κατέ-
χειν οὐ δύναμαι· τὸν γὰρ ἀκούοντα οὕτω βούλομαι κατέχειν, ὡς
ἄληστον ἔχειν τὴν [x]μνήμην, καὶ μὴ ἐξίτηλον, μηδὲ ἀποπτύειν
τὰ λεγόμενα. Βούλομαι γὰρ ὑμᾶς κατέχειν, οὐχ ἵνα ἐμοὶ εἴ-
B πητε, ἀλλ' ἵνα ὑμεῖς κερδάνητε· [y]καὶ τοῦτό [z]μοι ἐστὶ τὸ περι-
σπούδαστον. Μὴ δή τις τοῦτο λεγέτω. Ἀναγκαῖον δὲ λοιπὸν
ἄρξασθαι τῆς ἀκολουθίας.

Τί [a]δὴ οὖν πρόκειται ἡμῖν εἰπεῖν σήμερον; "Οὐ γὰρ ἀγγέ-
λοις, φησὶν, ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς
λαλοῦμεν." Ἆρα μὴ περὶ ἑτέρας τινὸς διαλέγεται οἰκουμένης;
Οὐκ ἔστιν, ἀλλὰ περὶ ταύτης. Διὰ [b]γὰρ τοῦτο προσέθηκε,
"περὶ ἧς λαλοῦμεν," ἵνα μὴ ἀφῇ τὸν νοῦν πλανηθέντα [c]ἑτέραν
τινὰ ἐπιζητεῖν. Πῶς οὖν αὐτὴν μέλλουσαν καλεῖ; Ὥσπερ καὶ
C ἑτέρωθί φησιν, "Ὅς ἐστι τύπος τοῦ μέλλοντος," περὶ τοῦ
Ἀδὰμ καὶ τοῦ Χριστοῦ λέγων ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ,
πρὸς τοὺς χρόνους τοῦ Ἀδὰμ μέλλοντα τὸν κατὰ σάρκα Χρι-
στὸν καλῶν· καὶ γὰρ ἔμελλεν· οὕτω καὶ νῦν, ἐπειδὴ εἶπεν,
[3] "Ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην," ἵνα

[3] Rom. v. 14.

[o] ἀφυλάκτως O. [p] εἰ κἂν οὕτω δυνηθείην] Sic N. et a pr. m. O. ἵνα κἂν οὕτω δυνηθείητε A. Veron. et ex corr. O. εἰ καὶ οὕτω δυνηθείημεν K.Q. Sav. cet. [q] γὰρ] δὲ N. δὲ post ἴσως ter om. K.Q. [r] εἴκοσι K.N. Statim ἢ καὶ τρ. K. Sav. cet. [s] δὲ] + καὶ K.Q. Sav. cet. [t] οὔτε εἰ] ἢ K. [v] ἔφησεν A. Veron. [w] καὶ] ἀλλὰ K.Q. [x] γνώμην R. [y] καὶ om. K.Q. [z] μοι (ἐμοὶ R. Veron.) ἐστι—λοιπὸν] μοι (ἐμοὶ Sav. cet.) ἐστι τὸ σπουδαζόμενον. (+ τοῦτο καὶ ὑμεῖς, παρακαλῶ, ποιήσατε περισπούδαστον K.Q.) ἀλλ' ἐπεὶ ὅσα ἐχρῆν εἰπεῖν εἰς ἀσφάλειαν, ἡμῖν εἴρηται, ἀναγκ. λοιπὸν K.Q. Sav. cet. [a] δὴ οὖν] οὖν δὴ Veron. δὴ et mox ἡμῖν om. K.Q. [b] γὰρ om. N. Cat. Mox προστέθεικε Q.R. Cat. [c] ἕτερον O.

Digitized by Google

μὴ νομίσῃς ἑτέραν οἰκουμένην λέγειν αὐτὸν, πολλαχόθεν [d]αὐτὸ βεβαιοῦται, καὶ ἀπ' αὐτοῦ δὲ τοῦ [e]εἰπεῖν μέλλουσαν· ἔμελλε γὰρ ἡ οἰκουμένη· ὁ δὲ υἱὸς τοῦ θεοῦ ἦν ἀεί. Ταύτην οὖν τὴν μέλλουσαν ἔσεσθαι οὐκ ἀγγέλοις ὑπέταξεν, ἀλλὰ τῷ Χριστῷ. [f]Ὅτι γὰρ πρὸς τὸν υἱὸν εἴρηται, φησὶ, δῆλον· οὐδὲ γὰρ ἐκεῖνο ἄν τις εἴποι, ὅτι [g]πρὸς ἀγγέλους. Εἶτα καὶ ἑτέραν παράγει D μαρτυρίαν, καί φησι· "Διεμαρτύρατο δέ που τις, λέγων." Διὰ τί μὴ τὸ ὄνομα τοῦ προφήτου εἶπεν, ἀλλ' ἔκρυψεν αὐτό; Καὶ ἐν ἑτέραις [h]δὲ μαρτυρίαις τοῦτο ποιεῖ· ὡς ὅταν λέγῃ, "Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει, Καὶ προσκυνησάτωσαν [i]αὐτῷ πάντες ἄγγελοι θεοῦ· καὶ πάλιν, Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα. Καὶ πρὸς μὲν τοὺς ἀγγέλους (450) λέγει, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ [k]πνεύματα· καὶ, Κατ' ἀρχὰς σὺ, κύριε, τὴν γῆν ἐθεμελίωσας." Οὕτω καὶ ἐνταῦθά φησι, "Διεμαρτύρατο δέ που τις, λέγων." [l]Καὶ τοῦτο αὐτὸ οἶμαι κρύπτοντος [m]αὐτὸν εἶναι, καὶ [n]δεικνύντος αὐτοὺς σφόδρα ἐμπείρους εἶναι τῶν γραφῶν, τὸ μὴ τιθέναι τὸν εἰρηκότα τὴν μαρτυρίαν, ἀλλ' ὡς περιφερομένην καὶ κατάδηλον οὖσαν εἰσάγειν.

"[o]Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ [p]τιμῇ ἐστεφάνωσας αὐτόν· [4]πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ." [q]Ταῦτα δὲ εἰ καὶ εἰς τὴν κοινὴν ἀνθρωπότητα εἴρηται, ἀλλ' ὅμως κυριώτερον ἁρμόσειεν B ἂν τῷ Χριστῷ κατὰ σάρκα· τὸ γὰρ, "Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ," ἐκείνου μᾶλλόν ἐστιν, ἢ ἡμῶν. Ὁ γὰρ υἱὸς τοῦ θεοῦ οὐδὲν ἡμᾶς ὄντας ἐπεσκέψατο, καὶ τὸ ἐξ ἡμῶν ἀναλαβὼν καὶ ἑνώσας [r]ἑαυτῷ, πάντων ἀνώτερος γέγονεν. "Ἐν [s]γὰρ τῷ ὑποτάξαι, φησὶν, αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν [t]αὐτῷ ἀνυπότακτον. Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτε-

4 v. 8.

[d] αὐτὸ] μὲν αὐτὸ καὶ ἄλλοθεν K.Q. Supp. Sav. cet. [e] εἰπεῖν] + αὐτὴν Edd. αὐτὴν deest in omnibus. [f] ὅτι γὰρ] Sic N.O.R. τί γὰρ A. ὅτι δὲ K.Q. Edd. Mox φησὶ om. K.Q. [g] πρὸς τοὺς ἀγ. R. [h] δὲ om. K.Q. Supp. [i] αὐτὸν R. [k] πνεύματα] + πρὸς δὲ τὸν υἱὸν K.Q. Sav. cet. invito Mut. Statim καὶ σὺ κύριε καταρχὰς τὴν γ. K.Q.R. καὶ καταρχὰς τὴν γ. κύριε A. [l] καὶ τοῦτο—εἰσάγειν] τοῦτο δὲ αὐτὸ οἶμαι, τὸ (τούτῳ δὲ αὐτῷ, οἶμαι, τῷ K.Q.) κρύπτειν καὶ μὴ τιθέναι τὸν εἰ. τ. μ. ἀλλ' ὡς π. καὶ κ. ο. εἰσάγειν, δεικνύντος ἐστὶν αὐτοὺς σφ. ἐ. εἶναι τ. γ. K.Q. Supp. Sav. cet. [m] αὐτοὺς O. [n] δεικνύναι A. Veron. εἶναι om. in text. O. Mox τῷ pro τὸ A.N. Veron. [o] τί] + δὲ O. [p] τιμῇ] + μὴ N. Post αὐτὸν add. καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου N. Sav. cet. [q] τοῦτο O. δὲ om. K.Q. [r] ἑαυτῷ omnes. αὐτῷ vel αὑτῷ Edd. praeter Ben. [s] γὰρ] δὲ O. Mox αὐτῷ φ. pro φ. αὐτῷ N.O. αὐτῷ om. A.

Digitized by Google

ταγμένα." Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐπειδὴ [v] εἶπεν, "Ἕως
ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου," εἰκὸς δὲ
C ἦν αὐτοὺς ἔτι ἀσχάλλειν, εἶτα μετὰ ταῦτα ὀλίγα τινὰ [w] παρενθεὶς, ταύτην τὴν μαρτυρίαν ἐπήγαγε βεβαιοῦσαν ἐκείνην. Ἵνα
γὰρ μὴ λέγωσι, πῶς τοὺς ἐχθροὺς ἔθηκεν ὑπὸ τοὺς πόδας αὐτοῦ,
τοσαῦτα παθόντων ἡμῶν; ἱκανῶς μὲν καὶ ἐν τῷ προτέρῳ αὐτὸ
ἠνίξατο· τὸ γὰρ, "ἕως," οὐ τὸ εὐθέως ἐδήλου γινόμενον, ἀλλὰ
[x] τὸ ἐν χρόνῳ· ἐνταῦθα δὲ αὐτὸ ἐπεξέρχεται. [y] Μὴ γὰρ, ἐπειδὴ
οὐδέπω ὑπετάγησαν, φησὶ, νομίσῃς μηδὲ ὑποτάττεσθαι. Ὅτι
μὲν γὰρ δεῖ ὑποταγῆναι, δῆλον· καὶ γὰρ ἡ προφητεία διὰ τοῦτο εἴρηται· "Ἐν [z] τῷ γὰρ ὑποτάξαι αὐτῷ, φησὶ, τὰ πάντα,
D οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον." Πῶς οὖν οὐ πάντα ὑποτέτακται; Ὅτι μέλλει ὑποτάσσεσθαι. Εἰ τοίνυν [a] πάντα μὲν
ὑποταγῆναι ὀφείλει, οὔπω δὲ ὑποτέτακται, μὴ ἄσχαλλε μηδὲ
θορυβοῦ. Εἰ μὲν γὰρ τοῦ τέλους παραγενομένου, καὶ πάντων
ὑποταγέντων, ταῦτα [b] ἔπασχες, εἰκότως ἤλγεις· "νῦν δὲ [c] οὔπω
ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα," οὔπω ἐκράτησεν ὁ
βασιλεὺς καθαρῶς. Τί τοίνυν θορυβῇ, πάσχων κακῶς; οὔπω
πάντων περιγέγονε τὸ κήρυγμα, οὔπω καιρὸς τέλεον ὑποταγῆναι.

41 Εἶτα πάλιν ἑτέρα παράκλησις· [d] εἰ δὴ ὁ μέλλων πάντας
ἔχειν ὑποτεταγμένους, καὶ αὐτὸς ἀπέθανε, καὶ μυρία πέπονθε.
[5] "Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον, [e] φησὶ, βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου." Εἶτα [f] τὰ χρηστὰ πάλιν, "Δόξῃ καὶ τιμῇ ἐστεφανωμένον." Εἶδες πῶς αὐτῷ
πάντα ἥρμοσε; [g] καὶ γὰρ τὸ, "βραχὺ," [h] αὐτῷ ἂν ἁρμόσειε
μᾶλλον, τῷ τρεῖς ἡμέρας [i] ἐν ᾅδῃ γενομένῳ μόνας, ἀλλ' οὐχ
ἡμῖν τοῖς ἐπὶ πολὺ [k] φθειρομένοις· ὁμοίως καὶ τὸ, "δόξῃ καὶ
τιμῇ," ἐκείνῳ πολλῷ πλέον, ἢ ἡμῖν [l] ἁρμόσει. Πάλιν αὐτοὺς
B ἀναμιμνήσκει τοῦ σταυροῦ, δύο [m] ποιῶν, καὶ τὴν κηδεμονίαν

[5] v. 9.

[v] εἶπεν] + ὅτι O. Mox δὲ post εἰκὸς om. Veron. [w] παρενέθηκε Q. Supp. παρέθηκε K. Mox μαρ. παρήγαγεν ἵνα βεβαιώσῃ ἐκεῖνο (ἐκείνην Q.) K.Q. Supp. [x] τὸ] τοῦ A. Mox διεξέρχεται O. [y] μὴ γὰρ] καί φησι, μὴ K.Q. Supp. Mox εἶπον pro φησὶ K.Q. φησὶ om. Supp. [z] τῷ γὰρ] γὰρ τῷ A. Supp. Sav. cet. Mox αὐτῷ om. A. [a] πάντα μὲν] τὰ πάντα O. [b] ἔπασχεν R. Supp. [c] οὕτω (sic) quater K. [d] εἰ δὴ] Sic K.Q. Supp. Veron. εἰ δὴ corr. ex εἶδει O. εἶδε R. *si enim* Mut. ἤδη A.N. Sav. cet. [e] φ. βλέπομεν] Sic K.N. O.Q. φησὶ om. R. βλέπομεν φ. Edd. [f] τὰ om. A.K.Q. Supp. Veron. [g] καὶ γὰρ τὸ] τὸ γὰρ K.Q. Supp. [h] αὐτῷ ἂν] τίνι ἂν ἢ αὐτῷ N.R. Veron. et ex corr. O. invitis Cat. Supp. Mut. [i] ἐν (+ τῷ O.) ᾅδῃ γ. μ.] γ. μ. ἐν τῷ ᾅδῃ N. γ. ἐν τῷ ᾅδῃ μ. A. Sav. cet. [k] φθεγγομένοις a pr. m. O. ὁμοίως om. N.R. Veron. [l] ἁρμόσειεν O. [m] ποιῶν] ταῦτα κατορθῶσαι σπουδάζων K.Q. Supp. Sav. cet. Mox δεῖξαι, καὶ πεῖσαι αὐτοὺς πάντα iidem.

Digitized by Google

αὐτοῦ δεικνὺς, καὶ πείθων αὐτοὺς πάντα φέρειν γενναίως, εἰς
τὸν διδάσκαλον ἀφορῶντας. Εἰ γὰρ ὁ προσκυνούμενος ὑπ'
ἀγγέλων, φησὶν, ἠνέσχετο βραχύ τι παρ' ἀγγέλους ἔχειν διὰ
σέ· πολλῷ μᾶλλον σὺ ὁ τῶν ἀγγέλων ἐλάττων, πάντα φέρειν
ὀφείλεις [n]δι' αὐτόν. Εἶτα δείκνυσιν, ὅτι δόξα καὶ τιμὴ ὁ σταυ-
ρός ἐστιν· ὥσπερ οὖν καὶ αὐτὸς [o]αὐτὸν ἀεὶ καλεῖ λέγων· [6]"Ἵνα
δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου·" [p]καὶ, "Ἐδοξάσθη ὁ υἱὸς τοῦ
ἀνθρώπου." Εἰ [q]οὖν ἐκεῖνος τὰ διὰ τοὺς δούλους δόξαν καλεῖ,
πολλῷ μᾶλλον σὺ [r]τὰ διὰ τὸν δεσπότην. Ὁρᾷς τοῦ σταυροῦ C
τὸν καρπὸν, ὅσος; [s]Μὴ φοβηθῇς τὸ πρᾶγμα· σκυθρωπὸν μὲν
[t]γὰρ εἶναί σοι δοκεῖ, μυρία δὲ τίκτει ἀγαθά. [v]Δείκνυσιν ἐκ
τούτων τοῦ πειρασμοῦ τὸ ὄφελος. Εἶτά φησιν· "Ὅπως χά-
ριτι θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου." "Ὅπως, φησὶ,
χάριτι θεοῦ." Κἀκεῖνος μὲν [w]διὰ χάριν τοῦ θεοῦ τὴν εἰς ἡμᾶς
(451) [x]ταῦτα πέπονθεν· [7]"Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, φη-
σὶν, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν." Τίνος [y]ἕνεκεν;
Οὐκ ὤφειλε τοῦτο ἡμῖν, ἀλλὰ χάριτι πεποίηκε. [z]Καὶ πάλιν
ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ φησι· [8]"Πολλῷ μᾶλλον ἡ
χάρις τοῦ θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου D
Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν." "Ὅπως χά-
ριτι θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου·" οὐχὶ τῶν πιστῶν
μόνον, ἀλλὰ [a]καὶ τῆς οἰκουμένης ἁπάσης. Αὐτὸς [b]μὲν γὰρ
ὑπὲρ πάντων ἀπέθανε· τί δὲ, εἰ μὴ πάντες ἐπίστευσαν; αὐτὸς
τὸ ἑαυτοῦ πεπλήρωκε. Καὶ κυρίως εἶπεν, "[c]ὑπὲρ παντὸς γεύ-
σηται θανάτου." Οὐκ εἶπεν, ἀποθάνῃ· ὥσπερ γὰρ ὄντως γευ-
σάμενος, οὕτω μικρὸν [d]ἐν αὐτῷ ποιήσας διάστημα, εὐθέως ἀνέ-
στη. [e]Τῷ μὲν οὖν εἰπεῖν, "διὰ τὸ πάθημα τοῦ θανάτου," τὸν 42
ὄντως θάνατον ἐσήμανε· [f]τῷ δὲ, ὅτι "ἀγγέλων κρείττων," τὴν

[6] Joan. xi. 5. xii. 23. [7] Rom. viii. 32. [8] Ibid. v. 15.

[n] δι' αὐτὸν] διὰ σαυτὸν O.R. Mut. [o] αὐτὸν ἀεὶ καλεῖ (καλῶν A.)] δόξαν αὐτὸν καλεῖ K.Q. Supp. Sav. cet. Post λέγων add. ἦλθεν (ἐλήλυθεν Supp.) ἡ ὥρα K.Q. Supp. Sav. cet. [p] Haec καὶ ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀ. accesserunt ex Reg. 744. et marg. O. *et, Glorificatus est Filius hominis* Mut. [q] οὖν om. N. et a pr. m. O. Mox ἀνθρώπους in textu, et δούλους in marg. eadem manu N. [r] τὰ om. A. [s] μὴ φοβηθῇς] Sic K.Q. Supp. Sav. cet. φοβήθητι A.N.O.R. Veron. *amato* Mut. [t] γὰρ om. R. Veron. σοι om. Q. Supp. Mox δὲ superscript. in A. [v] καὶ δείκνυσιν N. δείκνυσιν—κἀκεῖνος μὲν] εἶτά φ. ὅπως χ. θεοῦ. δείκνυσιν ἐκ τούτων τοῦ π. τὸ ὄ. καὶ ὅτι κἀκεῖνος K.Q. [w] διὰ τὴν χάριν K.N.R. Cat. Sav. cet. [x] ταῦτα om. A. [y] ἕνεκεν] + οὕτως εἶπεν; δεικνὺς ὅτι K.Q. Supp. [z] καὶ πάλιν] οὕτω καὶ iidem. [a] καὶ om. iidem, et a pr. m. O. [b] μὲν eras. in O. [c] ὑπὲρ om. R. Mox καὶ οὐκ εἶπεν N. Sav. cet. invitis Cat. Mut. ἀλλ' οὐκ εἶπεν Supp. [d] ἐν αὐτῷ] ἑαυτῷ A. Veron. et ex corr. O. [e] τῷ μὲν] τὸ μὲν R. Veron. τὸ μὲν γὰρ A. [f] τὸ δὲ R. Veron. ὅτι accessit ex O. Cat. Mut. Statim τῶν ἀγγ. R.

Digitized by Google

ἀνάστασιν ἐδήλωσε. Καθάπερ γὰρ ἰατρὸς οὐκ ἔχων ἀνάγκην
τῶν τῷ ἀῤῥώστῳ παρεσκευασμένων σιτίων ἀπογεύσασθαι, [g]διὰ
τὴν περὶ ἐκεῖνον κηδεμονίαν [h]πρότερος αὐτὸς ἀπογεύεται, ἵνα
πείσῃ τὸν [i]ἄῤῥωστον θαῤῥοῦντα κατατολμῆσαι τῆς βρώσεως·
[k]οὕτως, ἐπειδὴ πάντες ἄνθρωποι [l]τὸν θάνατον ἐδεδοίκεσαν, πεί-
θων αὐτοὺς κατατολμᾶν τοῦ θανάτου, καὶ αὐτὸς ἀπεγεύσατο
[m]αὐτοῦ, οὐκ ἔχων ἀνάγκην. [9]"Ἔρχεται γάρ, [n]φησὶν, ὁ τοῦ
B κόσμου τούτου ἄρχων, καὶ [o]εὑρίσκει ἐν ἐμοὶ οὐδέν." Οὕτω καὶ
τὸ, "χάριτι," καὶ τὸ, "ὑπὲρ παντὸς γεύσηται θανάτου," τοῦτο
συνίστησιν.

[10]"Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα,
πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας
αὐτῶν διὰ παθημάτων τελειῶσαι." Περὶ τοῦ πατρὸς ἐνταῦθα
λέγει. Ὁρᾷς πῶς πάλιν τὸ, "δι' οὗ," αὐτῷ ἁρμόζει; οὐκ ἂν
τοῦτο [p]ποιήσας, εἴγε ἐλαττώσεως ἦν, καὶ τῷ υἱῷ προσῆκον
μόνον. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἄξια, φησὶ, τῆς φιλαν-
θρωπίας αὐτοῦ πεποίηκε [q]τῷ τὸν πρωτότοκον λαμπρότερον
C ἀποδεῖξαι πάντων, καὶ ὥσπερ ἀθλητὴν γενναῖον καὶ τοὺς [r]ἄλ-
λους ὑπερέχοντα, τοῖς ἑτέροις ὑπόδειγμα θεῖναι. "Τὸν ἀρχη-
γὸν τῆς σωτηρίας αὐτῶν·" τουτέστι, τὸν αἴτιον τῆς σωτηρίας.
Ὁρᾷς ὅσον τὸ μέσον; Καὶ οὗτος υἱὸς, καὶ ἡμεῖς υἱοί· ἀλλ' ὁ
μὲν σώζει, ἡμεῖς δὲ σωζόμεθα. Εἶδες πῶς ἡμᾶς [s]καὶ συνάγει
καὶ διΐστησι; "Πολλοὺς, φησὶν, υἱοὺς εἰς δόξαν ἀγαγόντα·"
ἐνταῦθα συνήγαγε· "Τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν·" [t]πά-
λιν διέστησε. "Διὰ παθημάτων τελειῶσαι." [v]Ἄρα τὰ παθή-
ματα τελείωσις, καὶ αἰτία τῆς σωτηρίας. Ὁρᾷς ὅτι τὸ παθεῖν
κακῶς οὐκ ἔστιν [w]ἐγκαταλελειμμένων, [x]εἰ δὴ τούτῳ πρῶτον
D τετίμηκε τὸν υἱὸν ὁ θεὸς, τῷ διὰ παθημάτων αὐτὸν ἀγαγεῖν;
Καὶ ὄντως τοῦ τὸν κόσμον ποιῆσαι, καὶ ἐκ μὴ ὄντων [y]παρα-

9 Joan. xiv. 30. 10 v. 10.

[g] διὰ] + δὲ R. Mox ἐκείνων A. [h] πρότερος pro πρότερον K.O. Cat. Supp. Mut. [i] ἀῤῥωστοῦντα Cat. et a pr. om. O. θαῤῥοῦντα pro θαρσοῦντα O.Q. Cat. Supp. [k] οὕτως] + καὶ ὁ Χριστὸς N.R. Sav. cet. invitis Cat. Supp. [l] τοῦ θανάτου R. [m] αὐτοῦ, οὐκ] τούτου οὐκ O. Cat. τούτου μὴ N. Post ἀνάγκην add. ὅτι μηδὲ ἥμαρτεν Supp. [n] φησὶν post ἄρχων transp. O. Cat. [o] εὑρίσκει] εὑρήσει Supp. οὐχ εὑρίσκει K.Q. Sav. cet. οὐκ ἔχει Cat. et a pr. m. O. [p] ποιήσας omnes. ἐποίησεν Edd. Mox πρ. μόνον (μόνῳ Supp.) pro μόνον πρ. omnes. [q] τὸ A.K.Q.R. Cat. Supp. Veron. τῷ om. O. [r] ἄλλους] ἀγγέλους A. Mox εἶναι pro θεῖναι Cat. Veron. [s] καὶ om. A.K.Q.R. Supp. Veron. eras. in O. [t] καὶ πάλιν Edd. καὶ om. K.O.Q.R. Cat. Supp. Mox διὰ τῶν π. N.O. [v] ἄρα] ἰδοὺ K.Q. Supp. [w] ἐγκαταλελειμμένου N. et ante corr. O. [x] εἰ δὴ] Sic O. Supp. ἤδη R. Veron. ἢ δὲ A. εἰ δὲ K. N.Q. Sav. cet. Statim τούτῳ πρώτῳ K.Q. Sav. cet. πρῶτον τούτῳ N. πρώτῳ τούτῳ O. [y] παραγαγεῖν] + αὐτὸν K.Q. Sav. cet. In O. rasura est.

Digitized by Google

γαγεῖν, τὸ σάρκα ἀναλαβόντα παθεῖν ἅπερ ἔπαθε, πολλῷ μεῖ-
ζόν ἐστι. Καὶ τοῦτο μὲν οὖν φιλανθρωπίας, ἐκεῖνο δὲ πολλῷ
πλέον. [z]Καὶ δεικνὺς καὶ αὐτὸς τοῦτο αὐτὸ, φησὶν, [11]"Ἵνα ἐν-
δείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα
πλοῦτον τῆς χρηστότητος αὐτοῦ, [a]καὶ συνήγειρε καὶ συνεκά-
θισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ." "Ἔπρεπε [b]γὰρ
αὐτῷ, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς
δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθη- 43
μάτων τελειῶσαι." Ἔπρεπε γὰρ [c]αὐτῷ, φησὶ, τῷ κηδεμόνι,
καὶ πάντα εἰς τὸ εἶναι παραγαγόντι, ἐκδοῦναι τὸν υἱὸν ὑπὲρ
τῆς τῶν λοιπῶν σωτηρίας, τὸν ἕνα ὑπὲρ τῶν πολλῶν. Ἀλλ'
οὐκ εἶπεν οὕτως, ἀλλὰ, "διὰ παθημάτων τελειῶσαι," [d]δεικνὺς ὅτι
ὁ παθὼν ὑπέρ τινος, οὐκ ἐκεῖνον ὠφελεῖ μόνον, ἀλλὰ καὶ αὐτὸς
λαμπρότερος γίνεται καὶ τελειότερος. Καὶ τοῦτο δὲ πρὸς
τοὺς πιστούς φησι, παραθαρρύνων αὐτούς. Καὶ γὰρ ὁ Χρι-
στὸς τότε ἐδοξάσθη, ὅτε ἔπαθεν. Ὅταν δὲ [e]εἴπω, ἐδοξάσθη,
μὴ νομίσῃς δόξης πρόσληψιν αὐτῷ γίνεσθαι· ἐκείνην γὰρ τὴν B
τῆς φύσεως εἶχεν ἀεὶ, [f]οὐδὲν προσλαβών.
[12]"Ὅ τε γὰρ ἁγιάζων, φησὶ, καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς
πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς κα-
λεῖν." [g]Ἰδοὺ πάλιν πῶς συνάγει, τιμῶν αὐτοὺς καὶ παραμυ-
θούμενος, καὶ ἀδελφοὺς αὐτοὺς ποιῶν τοῦ Χριστοῦ, κατὰ τοῦτο
[h]τὸ ἐξ ἑνὸς εἶναι. Εἶτα πάλιν ἀσφαλιζόμενος, καὶ δεικνὺς [i]ὅτι
(452) τὸ κατὰ σάρκα φησὶν, ἐπήγαγεν, "[k]Ὁ γὰρ ἁγιάζων," Χρι-
στὸς, "καὶ οἱ ἁγιαζόμενοι," ἡμεῖς. Ὁρᾷς [l]ὅσον τὸ μέσον; ὁ
μὲν ἁγιάζει, ἡμεῖς δὲ ἁγιαζόμεθα. Καὶ ἀνωτέρω, "τὸν ἀρχη-
γὸν τῆς σωτηρίας [m]αὐτῶν," ἔφη· [13]"Εἷς γὰρ [n]θεὸς, ἐξ οὗ τὰ
πάντα." "Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς C
[o]καλεῖν." Ὁρᾷς πῶς [p]δείκνυσι πάλιν τὴν ὑπεροχήν; Τῷ γὰρ
εἰπεῖν, "οὐκ ἐπαισχύνεται," δείκνυσιν οὐ τῆς τοῦ πράγματος
φύσεως, ἀλλὰ τῆς φιλοστοργίας τοῦ μὴ ἐπαισχυνομένου τὸ

[11] Ephes. ii. 7, 6. [12] v. 11. [13] 1 Cor. viii. 6.

[z] καὶ δ.] δ. δὲ K.Q. φησὶν post ἐνδείξηται transp. iidem. [a] καὶ om. O.R. Post συνεκάθισεν add. ἡμᾶς K.Q. Supp. [b] γὰρ] + φησὶν N. [c] αὐτῷ om. N.O. Post κηδεμόνι add. ὄντι N. Sav. cet. invito Supp. [d] δεικνὺς] δείκνυσιν A.K.Q.R. Veron. non Mut. ἵνα δείξῃ Supp. [e] εἴπω] + ὅτι N. Supp. Sav. cet. [f] οὐδὲν προσλαβὼν] μηδὲν προσλαβὼν R. καὶ οὐδὲν προσέλαβεν K.Q. Supp. [g] ἴδε R. πῶς om. K. [h] τὸ] τοῦ A. Mox εἰμὶ pro εἶναι A. Veron. [i] ὅτι] + εἰς O. ὅτι et mox φησιν om. K.Q. Supp. [k] ὁ γὰρ—ἡμεῖς] τὸ, ὁ ἁγιάζων (+ τε Q.) καὶ οἱ ἁγιαζόμενοι K.Q. Supp. Sav. cet. [l] πόσον N. Statim ὁ μὲν γὰρ Edd. γὰρ om. K.O.Q.R. Supp. Mut. Mox ἁγιαζόμεθα δὲ ἡμεῖς hoc ord. N.O. [m] αὐτὸν A. [n] ὁ θεὸς O. [o] καλεῖν] + λέγων A.N.O. [p] δ. πάλιν] Sic K.N.O.Q.R. Cat. Supp. πάλιν δ. Edd. Mox τὸ γὰρ A.R. Cat. Supp. Veron.

Digitized by Google

[q]πᾶν ὂν, τῆς ταπεινοφροσύνης τῆς πολλῆς. Εἰ γὰρ καὶ ἐξ
ἑνὸς, ἀλλ' ὁ μὲν ἁγιάζει, ἡμεῖς δὲ ἁγιαζόμεθα· πολὺ δὲ τὸ
μέσον. [r]Καὶ ὁ μὲν ἐκ τοῦ πατρὸς, ὡς υἱὸς γνήσιος, τουτέστιν,
ἐκ τῆς οὐσίας αὐτοῦ· ἡμεῖς δὲ ὡς κτίσμα, τουτέστιν, [s]ἐξ οὐκ
ὄντων· ὥστε πολὺ τὸ μέσον. Διό φησιν, "Οὐκ ἐπαισχύνεται
D ἀδελφοὺς αὐτοὺς καλεῖν, [14]λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς
ἀδελφοῖς μου." Τὴν γὰρ σάρκα ἐνδυσάμενος, ἐνεδύσατο καὶ τὴν
ἀδελφότητα καὶ συνεισῆλθεν [t]ὁμοῦ καὶ ἡ ἀδελφότης. Ἀλλὰ
τοῦτο μὲν εἰκότως παράγει· τὸ δὲ, [15]"Ἐγὼ ἔσομαι πεποιθὼς
ἐπ' αὐτῷ," τί βούλεται; Καὶ τὸ μετὰ ταῦτα [v]μὲν γὰρ εἰκό-
τως, [w]οἷον, "Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός."
Ὥσπερ [x]γὰρ ἐνταῦθα πατέρα δείκνυσιν ἑαυτὸν, οὕτως ἐκεῖ
ἀδελφόν· "Ἀπαγγελῶ, φησὶ, τὸ ὄνομά σου τοῖς ἀδελφοῖς
44 μου·" [y]καὶ πάλιν τὴν ὑπεροχὴν δείκνυσι, καὶ πολὺ τὸ μέσον,
διὰ τῶν [z]ἑξῆς· [16]"Ἐπεὶ οὖν τὰ παιδία, φησὶ, κεκοινώνηκεν αἵ-
ματος καὶ σαρκός." Ὁρᾷς [a]ποῦ φησι τὸ ὅμοιον; κατὰ τὴν
σάρκα. "Παραπλησίως καὶ αὐτὸς μετέσχε τῶν αὐτῶν." Αἰ-
σχυνέσθωσαν πάντες οἱ αἱρετικοὶ, ἐγκαλυπτέσθωσαν οἱ δοκήσει
λέγοντες αὐτὸν [b]παραγεγενῆσθαι, καὶ οὐκ ἀληθείᾳ. Οὐ γὰρ
εἶπεν, ὅτι μετέσχε τούτων, μόνον, καὶ ἐσίγησε· καίτοι καὶ εἰ
οὕτως εἶπεν, ἱκανὸν ἦν· ἀλλ' ἕτερόν [c]τι μεῖζον [d]ἔθηκε, τὸ,
B "παραπλησίως," προσθείς. Οὐ [e]φαντασίᾳ, [f]φησὶν, οὐδὲ εἰκόνι,
ἐπεὶ τὸ, "παραπλησίως," οὐ σώζεται· [g]ἀλλ' ἀληθείᾳ, δεικνὺς
τὴν ἀδελφότητα.

Εἶτα καὶ τὴν αἰτίαν τίθησι τῆς οἰκονομίας· "Ὅπως διὰ τοῦ θανάτου, φησὶ, καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι, τὸν διάβολον." [h]Ἐνταῦθα τὸ θαυμαστὸν δείκνυσιν, ὅτι δι' οὗ ἐκράτησεν ὁ διάβολος, διὰ τούτου ἡττήθη, καὶ ὅπερ ἰσχυρὸν ἦν αὐτῷ ὅπλον κατὰ τῆς οἰκουμένης, ὁ θάνατος, τούτῳ αὐτὸν ἔπληξεν ὁ Χριστός. [i]Ἐνταῦθα τὸ πολὺ τῆς δυνάμεως

14 v. 12. 15 v. 13. 16 v. 14.

[q] πᾶν ὂν] ταπεινὸν R. Cat. Statim καὶ τῆς Edd. καὶ om. A.K.O.Q.R. Cat. Supp. [r] καὶ ὁ μὲν] ὁ μὲν γὰρ R. Mox ὡς ὁ υἱὸς A. [s] ἐξ οὐκ] ἐκ μὴ R. ὡς κτίσμα—ὄντων om. A. superscript. θέσει. [t] ὁμοῦ] + τῇ σαρκὶ K.Q. Sav. cet. + τῇ προσλήψει τῆς σαρκὸς Supp. Proximum καὶ om. K. [v] μὲν γὰρ] δὲ K.Q. Sav. cet. [w] οἷον (+ τὸ K.) assumtum ex A.K.N.R. Mut. [x] γὰρ om. O. Mox οὕτως om. A.O.R. Veron. invitis Supp. Mut. [y] καὶ om. O. Mox δεικνὺς καὶ ὅσον τὸ μ. K.Q. [z] ἑξῆς] + ἐπάγει K.Q. Mox φησὶ om. iidem. [a] ποῦ] πολυ (sic) O. φησι om. Q. [b] παραγενέσθαι N. Sav. cet. γεγενῆσθαι K. Statim καὶ οὐκ ἐν ἀλ. N. [c] τι om. N. [d] ἔθηκε] τέθεικε N. ἐνέφηνε K.Q. Sav. cet. invitis Supp. Mut. Mox προσθεὶς om. A.N. Veron. [e] φαντασίᾳ] δοκήσει A.N. Veron. [f] φ. οὐδὲ εἰκόνι] οὐδὲ εἰκόνι, φ. ἀλλ' ἀληθείᾳ K.Q. Sav. cet. φησὶν—σώζεται om. A. Veron. [g] ἀλλ'—ἀδελφότητα] εἶτα δείξας τὴν ἀδ. K.Q. Sav. cet. Statim εἶτα om. K.O.Q. Sav. cet. [h] ἐνταῦθα] + καὶ K.Q. [i] ἐνταῦθα] καὶ K.Q. Sav. cet.

Digitized by Google

τοῦ νικήσαντος ἐμφαίνει. Ὁρᾷς ὅσον ὁ θάνατος εἰργάσατο καλόν; [17] "Καὶ ἀπαλλάξῃ, [k] φησὶ, τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας." Τίνος ἕνεκεν C
φρίττετε, φησὶ, τί δεδοίκατε τὸν καταργηθέντα; οὐκέτι [l] φοβερός ἐστιν, ἀλλὰ πεπάτηται, καταπεφρόνηται, εὐτελής ἐστι καὶ οὐδενὸς ἄξιος. Τί [m] δέ ἐστι, "Φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας;" [n] Ἢ τοῦτό φησιν, ὅτι ὁ τὸν θάνατον δεδοικὼς, δοῦλός ἐστι, καὶ πάντα ὑφίσταται ὑπὲρ τοῦ μὴ ἀποθανεῖν· ἢ [o] ἐκεῖνο, ὅτι πάντες δοῦλοι ἦσαν τοῦ θανάτου, καὶ τῷ μηδέπω αὐτὸν λελύσθαι ἐκρατοῦντο· [p] ἢ ὅτι φόβῳ διηνεκεῖ συνέζων οἱ ἄνθρωποι, [q] ἀεὶ ἀποτεθνήξεσθαι προσδοκῶντες, D
καὶ τὸν θάνατον δεδοικότες, οὐδεμιᾶς ἡδονῆς αἴσθησιν [r] λαβεῖν ἠδύναντο, τοῦ φόβου τούτου παρόντος αὐτοῖς· τοῦτο [s] γὰρ ᾐνίξατο εἰπὼν, "διὰ παντὸς τοῦ ζῆν." Δείκνυσιν ἐνταῦθα τοὺς θλιβομένους, τοὺς ἐλαυνομένους, τοὺς διωκομένους, τοὺς [t] καὶ πατρίδος καὶ οὐσίας καὶ τῶν ἄλλων ἁπάντων ἀποστερουμένους, ἥδιον διάγοντας καὶ ἐλευθεριώτερον ἐκείνων τῶν ἐν τρυφῇ τὸ πάλαι τυγχανόντων, τῶν μηδὲν [v] τοιοῦτον παθόντων, τῶν εὐθηνουμένων· εἴγε ἐκεῖνοι μὲν διὰ παντὸς τοῦ ζῆν ὑπὸ τῷ φόβῳ τούτῳ ἦσαν καὶ δοῦλοι, αὐτοὶ δὲ τούτου [w] εἰσὶν ἀπηλλαγμένοι, καὶ γελῶντες [x] τοῦτο, ὅπερ ἐκεῖνοι πεφρίκασιν. [y] Ταὐτὸν γάρ ἐστι νῦν, ὥσπερ [z] ἂν εἴ τις δεσμώτην μέλλοντα [a] τὴν ἐπὶ θάνατον ἄγεσθαι, καὶ ἀεὶ τοῦτο προσδοκῶντα, [b] λιπαίνοι πολλῇ τῇ τρυφῇ. Τοιοῦτόν τι ἦν τὸ παλαιὸν ὁ θάνατος· νῦν δὲ, [c] ὥσπερ ἂν εἴ τις τὸν φόβον
(453) ἐκεῖνον ἐκβαλὼν, μετὰ τῆς τρυφῆς [d] ἐπαγγέλλοιτο ἀθλεῖν, καὶ προτιθείη τὸν ἀγῶνα, ὥστε μηκέτι εἰς θάνατον, ἀλλ' εἰς βασιλείαν ἀγαγεῖν. Τίνων [e] ἂν ἠθέλησας γενέσθαι, τῶν ἐν τῷ δεσμωτηρίῳ λιπαινομένων μετὰ τοῦ καθ' ἑκάστην ἡμέραν τὴν ἀπό-

17 v. 15.

[k] φησὶ om. K.Q. [l] φοβερὸν A. Statim ἀλλὰ om. K.Q. Mox εὐτελὴς καὶ οὐδενὸς ἄ. γέγονε iidem. [m] δὲ om. K.Q. Post ἐστιν add. ὅσοι N.O. Sav. cet. [n] ἢ τοῦτό φ. ὅτι] Sic N.O. Supp. Mut. τί τοῦτό ἐστιν; ὅτι R. ἀντὶ τοῦ K.Q. τί τοῦτο, φησίν; ὅτι Edd. [o] ἐκεῖνο] τοίνυν K.Q. Statim ὅτι om. K. Post θανάτου add. φησὶ K.Q. Sav. cet. Statim καὶ τὸ μ. A.N. [p] ἢ] + εἰ μὴ τοῦτο K.Q. Ben. + [εἰ μὴ τοῦτο] Sav. Mor. [q] ἀεὶ] + γὰρ K.Q. Sav. cet. [r] λαμβάνειν O. [s] γὰρ om. R. [t] καὶ om. N.O. Mox ἀπεστερημένους O. Statim καὶ ἥδιον K.Q. [v] τοιοῦτον A.K.Q. Supp. et ex corr. N. Edebatur τοιούτων. [w] ἦσαν N. [x] τούτῳ A. Mox ἐπεφρίκεσαν Veron. πεφρίκεσαν A.Q. Supp. et ex corr. O. [y] ταὐτὸν—νῦν om. K. Q. Sav. cet. [z] ἂν] Sic N.O.R. Supp. Mut. γὰρ A. Edd. γὰρ ἂν K.Q. [a] τὴν om. K.Q. [b] λιπαίνει R. Veron. Mox τῇ om. K.N.Q. [c] ὥσπερ] ταὐτὸν γέγονεν οἷον K.Q. Sav. cet. [d] ἐπαγγέλλοιτο (ἐπαγγέλοι A. ἐπαγγέλοι τὸ O. ἐπαγγέλοιτο Supp.)—μηκέτι] ἀθλεῖν προτρέποι, καὶ τὸν ἀγῶνα προτιθεὶς, ἐπαγγέλοιτο μηκέτι K.Q. Sav. cet. [e] ἂν] οὖν iidem. Statim ἠθ. σὺ γ. K.N.Q. Sav. cet. Mox τῶν ἐν δεσμ. (sic) N.

Digitized by Google

B φασιν προσδοκᾶν, ἢ τῶν ἀθλούντων πολλὰ, καὶ πονούντων ἑκοντὶ, ὥστε τὸ διάδημα τῆς βασιλείας ἀναδήσασθαι; Ὁρᾷς πῶς αὐτῶν ἦρε τὴν ψυχὴν, καὶ [f]μετεώρους εἰργάσατο; Δείκνυσι δὲ οὐ τὸν θάνατον μόνον πεπαυμένον, [g]ἀλλὰ διὰ τούτου κἀκεῖνον τὸν ἄσπονδον πρὸς ἡμᾶς ἀεὶ τὸν πόλεμον ἐπιδεικνύμενον, τὸν διάβολον λέγω, καταργηθέντα· ὁ γὰρ θάνατον μὴ δεδοικὼς, ἔξω [h]τῆς τυραννίδος ἐστὶ τοῦ διαβόλου. Εἰ γὰρ [18]δέρμα ὑπὲρ δέρματος, καὶ πάντα [i]δώσειεν ἄν τις ὑπὲρ τῆς ψυχῆς αὐτοῦ· ὅταν καὶ ταύτης [k]τις κρίνῃ καταφρονεῖν, τίνος
C ἔσται δοῦλος λοιπόν; [l]Οὐδένα δέδοικεν, οὐδένα φοβεῖται, πάντων ἐστὶν ἀνώτερος, καὶ πάντων ἐλευθεριώτερος. Ὁ γὰρ τῆς ψυχῆς [m]τῆς ἑαυτοῦ καταφρονῶν, πολλῷ μᾶλλον τῶν ἄλλων. Ὅταν δὲ [n]εὕρῃ ψυχὴν τοιαύτην ὁ διάβολος, οὐδὲν ἐργάσασθαι δυνήσεται ἐν αὐτῇ τῶν αὐτοῦ. Τί γὰρ, εἰπέ μοι; χρημάτων ζημίαν ἀπειλήσει καὶ ἀτιμίαν καὶ πατρίδος ἔκπτωσιν; Ἀλλὰ ταῦτα μικρὰ [o]τῷ μηδὲ [19]τὴν ψυχὴν τιμίαν τιθεμένῳ, κατὰ τὸν μακάριον Παῦλον. Ὁρᾷς ὅτι [p]τοῦ θανάτου τὴν τυραννίδα ἐκβαλὼν, συγκατέλυσε καὶ τοῦ διαβόλου τὴν ἰσχύν; Ὁ γὰρ περὶ ἀναστάσεως μυρία φιλοσοφεῖν εἰδὼς, πῶς [q]δέδοικε θάνατον; πῶς φρίττει λοιπόν;

D [r]Μὴ τοίνυν ἀσχάλλετε λέγοντες, διὰ τί τὰ καὶ τὰ πεπόνθαμεν; οὕτω [s]γὰρ λαμπροτέρα ἡ νίκη γίνεται· [t]καὶ οὐκ ἦν λαμπρὰ, εἰ μὴ θανάτῳ τὸν θάνατον ἔλυσε. Τὸ δὲ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι δι' αὐτῶν αὐτὸν ἐνίκησε, δι' ὧν ἴσχυσε, τὸ εὔπορον αὐτοῦ πανταχοῦ καὶ εὐμήχανον δεικνύς. Μὴ δὴ προδῶμεν τὴν δοθεῖσαν ἡμῖν δωρεάν· [20]"Οὐ γὰρ ἐλάβομεν, φησὶ, πνεῦμα [v]δειλίας, ἀλλὰ πνεῦμα δυνάμεως καὶ ἀγάπης καὶ σωφρο-
46 νισμοῦ." Στῶμεν οὖν γενναίως [w]καταγελῶντες τοῦ θανάτου. Ἀλλὰ γὰρ ἐπῆλθέ μοι στενάξαι πικρὸν, ποῦ μὲν ὁ Χριστὸς ἡμᾶς ἀνήγαγε, ποῦ δὲ ἑαυτοὺς κατηγάγομεν. Ὅταν γὰρ ἴδω τοὺς κοπετοὺς τοὺς κατὰ τὴν ἀγορὰν, τὰς οἰμωγὰς [x]τὰς ἐπὶ

[18] Job. ii. 4. [19] Act. xx. 24. [20] 2 Tim. i. 7. coll. Rom. viii. 15.

[f] μετέωρον ἐποίησε; δείκνυσι K. [g] ἀλλὰ δ. τ.] δ. τ. ἀλλὰ K.Q. Post πόλεμον add. ἐπανῃρημένον καὶ K.Q. Sav. cet. [h] τῆς om. A. [i] δώσειεν ἂν] δώσει Supp. δοίη ἂν K.N.Q. Sav. cet. [k] τις κρίνῃ] κρίνῃ τις N. Sav. cet. [l] οὐδ. δέδοικεν om. R. Mox καὶ π. ἐλευθ. om. N. [m] τῆς om. N. [n] εὗρον A. Mox ἐν αὐτῇ om. K.Q. Statim τῶν ἑαυτοῦ N.O. Sav. cet. [o] τῶν A. Veron. Mox τιθεμένων Veron. [p] τοῦ] ὁ τοῦ A. [q] δείσει et mox φρίξει K.Q. [r] ΗΘΙΚΟΝ. Κατὰ τῶν σφόδρα θρηνούντων τοὺς νεκροὺς, καὶ διὰ τὸ μὴ δεδοικέναι τὸν θάνατον τοὺς ἀνθρώπους· ὁ γὰρ Χριστὸς ἀπεγεύσατο θανάτου. Veron. [s] γὰρ om. A. Statim λαμπρὰ O. Mox γεγενήται R. [t] καὶ οὐκ] οὐκ N.O. οὐκ ἂν δὲ K.Q. Sav. cet. [v] δουλείας K.N.Q. Mut. δουλίας (ει in ου mutato) O. Statim ἀλλὰ πν. υἱοθεσίας. στῶμεν K.Q. [w] καταγ. τοῦ θ.] τοῦ θ. καταφρονοῦντες N. [x] τὰς] ἃς (et post ἐξερχομένοις add. ποι-

Digitized by Google

τοῖς ἐξερχομένοις τοῦ βίου, τὰς ὀλολυγὰς, τὰς ἀσχημοσύνας
τὰς ἄλλας, [y] πιστεύσατε, αἰσχύνομαι [z] καὶ Ἑλλήνων καὶ Ἰου-
δαίων καὶ αἱρετικῶν τοὺς ὁρῶντας, καὶ πάντας [a] ἁπλῶς τοὺς διὰ
τοῦτο καταγελῶντας ἡμῶν· ὅσα γὰρ ἂν εἴπω λοιπὸν, εἰκῆ ἐρῶ
περὶ ἀναστάσεως φιλοσοφῶν. Τί δήποτε; Ὅτι οὐ [b] τοῖς λε- B
γομένοις παρ' ἐμοῦ προσέχουσιν Ἕλληνες, ἀλλὰ τοῖς γινομέ-
νοις παρ' ὑμῶν· εὐθέως γὰρ ἐροῦσι· πότε τούτων τις κατα-
φρονῆσαι θανάτου δυνήσεται, μηδὲ ἕτερον τεθνεῶτα δυνάμενος
ἰδεῖν; Καλὰ τὰ εἰρημένα [c] ὑπὸ τοῦ Παύλου, καλὰ, καὶ τῶν οὐ-
ρανῶν ἄξια, καὶ τῆς τοῦ θεοῦ φιλανθρωπίας· τί γάρ φησι;
"Καὶ ἀπαλλάξει τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ
ζῆν ἔνοχοι ἦσαν δουλείας." Ἀλλ' οὐκ ἀφίετε [d] ταῦτα πιστεύ-
εσθαι ὑμεῖς, μαχόμενοι διὰ τῶν ἔργων αὐτοῖς· καίτοι πολλὰ
[e] ἐπιτειχίσαντος τοῦ θεοῦ [f] γίνεσθαι πρὸς τοῦτο, ἵνα ἀνέλῃ τὴν
πονηρὰν ταύτην συνήθειαν. Εἰπὲ γάρ μοι, τί βούλονται αἱ C
λαμπάδες αἱ φαιδραί; οὐχ ὡς ἀθλητὰς αὐτοὺς προπέμπομεν;
τί δὲ οἱ ὕμνοι; οὐχὶ τὸν θεὸν δοξάζομεν, καὶ εὐχαριστοῦμεν
ὅτι λοιπὸν ἐστεφάνωσε τὸν ἀπελθόντα, ὅτι τῶν πόνων ἀπήλ-
λαξεν, ὅτι τῆς [g] ἀδηλίας ἐκβαλὼν ἔχει παρ' ἑαυτῷ; οὐ διὰ τοῦτο
ὕμνοι; οὐ διὰ τοῦτο ψαλμῳδίαι; [h] Ταῦτα πάντα χαιρόντων
ἐστίν· [21] "[i] Εὐθυμεῖ γὰρ, [k] φησὶ, τίς; ψαλλέτω." Ἀλλ' οὐ
τούτοις προσέχουσιν Ἕλληνες. [l] Μὴ γάρ μοι, φησὶν, εἴπῃς τὸν
ἐκτὸς τοῦ πάθους φιλοσοφοῦντα· τοῦτο γὰρ οὐδὲν μέγα οὐδὲ
θαυμαστόν· [m] δεῖξόν μοι τὸν ἐν αὐτῷ τῷ πάθει φιλοσοφοῦντα,
καὶ τότε πιστεύσω τῇ ἀναστάσει. Καὶ [n] τὸ μὲν βιωτικὰς γυ- D
ναῖκας τοῦτο ποιεῖν, θαυμαστὸν οὐδέν· καίτοιγε καὶ αὐτὸ δει-
νόν· καὶ γὰρ καὶ [o] αὗται τὴν αὐτὴν ἀπαιτοῦνται φιλοσοφίαν·
διὸ καὶ [p] Παῦλός φησι· [22] "Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω
[q] ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε, [r] ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες
ἐλπίδα." Οὐχὶ μονάζουσιν ἔγραφε ταῦτα, οὐδὲ [s] ἀειπαρθένοις,

21 Jac. v. 13. 22 1 Thess. iv. 12.

ούνται) K.Q. Sav. cet. τὰς om. A. [y] πιστεύσατε] + ὅτι K.Q. [z] καὶ Ἑλλήνων om. K.Q. Veron. καὶ Ἕλληνας καὶ Ἰουδαίους (Ἰουδαίων A.) καὶ αἱρετικοὺς A.N.R. Sav. cet. [a] ἁπλῶς] λοιπὸν N. Mox ἡμᾶς K.Q. [b] τοῖς παρ' ἐμοῦ λ. hoc ord. N.O. [c] ὑπὸ] παρὰ O. [d] ταῦτα] αὐτὰ N. [e] ἐπιτάσσοντος O. [f] γίνεσθαι] + παρ' ἡμῶν N. Statim πρὸς ταῦτα K.Q. [g] ἀδηλίας (+ ἔτι A.)] Sic A.K.O.Q.R. δειλίας Edd. *servitute* Mut. ἀδηλίας—παρ' ἑαυτῷ] δειλίας ἧς εἶχε παρ' ἑ. ἠλευθέρωσεν N. [h] ταῦτα π.] π. ταῦτα N.O. [i] ἀθυμεῖ R. [k] φ. τίς] τις, φ. K.N.Q. τις, φησὶν, ἐν ὑμῖν. [l] μὴ γάρ μοι, φ.] λέγοντες, μή μοι K.Q. [m] δεῖξον] ἀλλὰ δεῖξον N. Sav. cet. invito Mut. [n] τὸ] τότε A. [o] αὐταὶ] Sic N.R. Veron. αὗται Sav. cet. [p] ὁ Παῦλος O. Mox κοιμωμένων R. [q] ὑ. ἀγνοεῖν] ἀδελφοὶ, ὑ. ἀγνοεῖν K.Q. ὑ. ἀγνοεῖν, ἀδελφοὶ O. [r] ὡς pro καθὼς omnes. Mox ἐλπίδας R. Veron. [s] ἀειπαρθένοις] παρθένοις Q.

Digitized by Google

[t]ἀλλὰ κοσμικαῖς [v]καὶ κοσμικοῖς. Πλὴν ἀλλ' οὐχ οὕτω δεινὸν (454)
47 τοῦτο· ὅταν δέ [w]τις, ἢ γυνὴ ἢ ἀνὴρ, ἐσταυρῶσθαι τῷ κόσμῳ
λέγων, ὁ μὲν τρίχας τίλλῃ, ἡ δὲ κωκύῃ μεγάλα, τί τούτου
ἀσχημονέστερον; Πιστεύσατέ μοι λέγοντι· εἴγε ὡς ἐχρῆν
ἐγίνετο, πολὺν ἔδει χρόνον τοὺς τοιούτους εἴργεσθαι τῶν [x]οὐ-
δῶν τῆς ἐκκλησίας. [y]Οἱ γὰρ ὄντως ἄξιοι πένθους, οὗτοί εἰσιν,
οἱ τὸν θάνατον δεδοικότες ἔτι καὶ φρίττοντες, οἱ τῇ ἀναστάσει
[z]διαπιστοῦντες. Ἀλλ' οὐ τῇ ἀναστάσει διαπιστῶ, φησὶν, ἀλλὰ
τὴν συνήθειαν ἐπιζητῶ. Διὰ τί [a]οὖν, εἰπέ μοι, ὅταν ἀποδημῇ,
[b]καὶ ἀποδημίαν μακρὰν, οὐ τὰ αὐτὰ ποιεῖς; Ἀλλὰ [c]κλαίω καὶ
B τότε, φησὶ, καὶ θρηνῶ ἐπιζητοῦσα. Ἀλλ' ἐκεῖνο μὲν ὄντως
[d]συνήθειαν ἐπιζητούντων ἐστὶ, τοῦτο δὲ ἀπεγνωκυίας τὴν ἐπά-
νοδον. Ἐννόησον τί ψάλλεις κατὰ τὸν καιρὸν ἐκεῖνον· [23]"Ἐπί-
στρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐηρ-
γέτησέ σε" καὶ πάλιν, "Οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ'
ἐμοῦ εἶ·" [e]καὶ πάλιν, "Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς
περιεχούσης με." Ἐννόησον τί βούλονται οὗτοι οἱ ψαλμοί.
Ἀλλ' οὐ προσέχεις, ἀλλὰ μεθύεις [f]ὑπὸ τοῦ πένθους; Κἂν ἐν
C τοῖς ἑτέρων κηδεύμασι κατανόησον ἀκριβῶς, ἵνα ἔχῃς φάρμακον
ἐν τοῖς σοῖς. "[g]Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν
σου, [h]ὅτι κύριος εὐηργέτησέ σε." Εἰπέ μοι· ὅτι κύριος εὐηρ-
γέτησέ σε, λέγεις, καὶ δακρύεις; οὐχὶ σκηνὴ ταῦτά ἐστιν, οὐχ
ὑπόκρισις; Εἰ μὲν γὰρ [i]ὄντως πιστεύεις οἷς λέγεις, περιττῶς
πενθεῖς· εἰ δὲ παίζεις καὶ ὑποκρίνῃ καὶ μύθους αὐτὰ εἶναι νομί-
ζεις, τί καὶ ψάλλεις; τί καὶ ἀνέχῃ τῶν παραγινομένων; διὰ
τί μὴ ἀπελαύνεις τοὺς ψάλλοντας; Ἀλλὰ μαινομένων [k]τοῦτο.
Κἀκεῖνο πολλῷ μᾶλλον. Τέως μὲν οὖν παραινῶ· τοῦ χρόνου
δὲ προϊόντος σφοδρότερον τῷ πράγματι χρήσομαι· καὶ γὰρ
μειζόνως δέδοικα, μὴ τούτῳ τῷ τρόπῳ χαλεπή τις νόσος ἐν τῇ
D ἐκκλησίᾳ [l]ἐπεισέλθῃ. [m]Τὸ μὲν οὖν τῶν κοπετῶν ὕστερον

[23] Psal. cxiv. 7. xxii. 4. xxxi. 7.

[t] ἀλλὰ] ἀλλὰ καὶ Edd. καὶ om. K.N.O.Q. ἀλλ' ἀεὶ R. [v] καὶ κοσμικοῖς] Sic N.O.R. γάμῳ ὁμιλησάσαις καὶ βιωτικοῖς K.Q. Sav. cet. καὶ κοσμικοῖς om. A. Veron. [w] τις ἢ γ.] γ. τις N. Mox Χριστῷ pro κόσμῳ K.N.O.Q.R. Mut. [x] ᾠδῶν R. Statim τῶν τῆς ἐκ. K.N.O. Sav. cet. [y] οἱ] οὗτοι N. R. ὄντως om. R. [z] διαπιστοῦντες] + φησὶν A. [a] οὖν] + φησὶν R. [b] καὶ om. R. [c] κλαίω] + μὲν N.O. [d] συνήθεια R. Statim ἐπιζητούσης K.Q. Sav. cet. [e] καὶ πάλιν om. N.O. [f] ὑπὸ] ἀπὸ N.O. Mox ἐν om. N. [g] ἐπίστρεψον] + φησὶν O. Mut. φησὶν post τὴν ἀ. σου add. N. [h] ὅτι κ. εὐηρ. (εὐερ. N.) σε om. K.Q. Sequentia εἰπέ μοι· ὅτι κ. εὐηρ. (εὐερ. N.) σε accesserunt ex N.O. Mut. [i] ὄντως] ὅλως N. [k] τοῦτο] + φησὶ Edd. φησὶ deest in omnibus. [l] ὑπεισέλθῃ Sav. cet. repugnantibus libris. [m] τὸ— κοπετῶν] τοῦτον μὲν οὖν τὸν κοπετὸν N. Sav. cet. Mox ἐπανορθωσώμεθα N.O. Sav. cet.

Digitized by Google

ἐπανορθωσόμεθα· τέως δὲ παραγγέλλω καὶ [n]διαμαρτύρομαι, καὶ πλουσίοις καὶ πένησι, καὶ γυναιξὶ καὶ ἀνδράσι. Γένοιτο μὲν οὖν πάντας [o]ὑμᾶς ἀπενθήτους τὸν βίον ἐξελθεῖν, καὶ κατὰ νόμον τὸν προσήκοντα πατέρας [p]ὑπὸ υἱῶν γεγηρακότας προπέμπεσθαι, καὶ μητέρας ὑπὸ θυγατέρων καὶ [q]ἐκγόνων καὶ μετεκγόνων ἐν λιπαρῷ τῷ [r]γήρᾳ, καὶ μηδαμοῦ γενέσθαι ἄωρον θάνατον. Γένοιτο μὲν οὖν τοῦτο, καὶ τοῦτο εὔχομαι, καὶ τοὺς προέδρους δὲ καὶ πάντας ὑμᾶς ὑπὲρ ἀλλήλων παρακαλῶ δεηθῆναι τοῦ θεοῦ, καὶ κοινὴν ποιήσασθαι ταύτην εὐχήν· εἰ δὲ, ὅπερ 48
ἀπείη μηδὲ συμβαίη, πικρός τις [s]γένοιτο θάνατος· πικρὸς δὲ λέγω, οὐ τῇ φύσει· οὐδὲ γάρ ἐστι λοιπὸν πικρὸς [t]θάνατος· ὕπνου γὰρ οὐδὲν διενήνοχεν· ἀλλὰ [v]πικρὸς πρὸς τὴν ὑμετέραν διάθεσιν, [w]εἰ συμβαίη, καί τινες τὰς θρηνούσας ταύτας μισθώσαιντο, πιστεύσατέ μοι λέγοντι· οὐκ [x]ἄλλως ἐρῶ, ἀλλ' ὡς ἔχω· ὁ βουλόμενος ὀργιζέσθω· πολὺν αὐτὸν χρόνον τῆς ἐκκλησίας [y]ἀπείρξομεν ὡς τὸν εἰδωλολάτρην. Εἰ γὰρ τὸν πλεονέκτην εἰδωλολάτρην καλεῖ [z]Παῦλος, πολλῷ μᾶλλον τὸν ἐπὶ πιστοῦ τὰ τῶν B
εἰδωλολατρῶν ἐπεισφέροντα. Τίνος γὰρ ἕνεκεν, [a]εἰπέ μοι, πρεσβυτέρους καλεῖς, καὶ τοὺς ψάλλοντας; οὐχ ὥστε παραμυθήσασθαι, οὐχ ὥστε τιμῆσαι τὸν ἀπελθόντα; Τί τοίνυν αὐτὸν ὑβρίζεις; τί δὲ παραδειγματίζεις; τί δὲ παίζεις, ὥσπερ ἐν σκηνῇ; Ἡμεῖς ἐρχόμεθα [b]τὰ περὶ ἀναστάσεως φιλοσοφοῦντες, πάντας [c]παιδεύοντες, καὶ τοὺς [d]μηδέπω πεπληγμένους, διὰ τῆς εἰς ἐκεῖνον τιμῆς, εἴ ποτε συμβαίη τι τοιοῦτον, φέρειν γενναίως· σὺ δὲ ἄγεις τοὺς τὰ ἡμέτερα καθαιροῦντας, τό γε αὐτῶν μέρος;

Τί τούτου τοῦ γέλωτος καὶ τῆς χλευασίας χεῖρον; τί ταύ- C
της τῆς ἀνωμαλίας βαρύτερον; Αἰσχύνθητε καὶ ἐντράπητε· εἰ δὲ μὴ βούλεσθε, ἡμεῖς οὐκ ἀνεχόμεθα ἔθη τοιαῦτα ὀλέθρια τῇ ἐκκλησίᾳ [e]ἐπεισαγαγεῖν· [24]"Τοὺς γὰρ ἁμαρτάνοντας, φησὶν, ἐνώπιον πάντων ἔλεγχε." Κἀκείναις δὲ ταῖς ταλαιπώροις καὶ ἀθλίαις δι' ὑμῶν ἀπαγορεύομεν, μηδέποτε ταῖς τῶν πιστῶν ἐκ-

24 1 Tim. v. 20.

[n] διαμαρτύρομαι] λίαν μαρτύρομαι R. Veron. [o] ἡμᾶς N. Statim ἀπένθους A. [p] ὑπὸ] ἀπὸ A. Statim τῶν υἱῶν Edd. τῶν om. A.N.O.Q.R. [q] ἐγγόνων K.N.O.Q. Sav. cet. Mox μετ' ἐγόνων (sic) A. μετεγγόνων N. Sav. cet. καὶ μετ. om. K.Q. inclusum a Sav. [r] γήρει N. [s] γένοιτε A. γένηται N.Q. Sav. cet. Statim πικρὸν δὲ O. [t] ὁ θάνατος N. Sav. cet. [v] πικρὸς] + λέγω Edd. invitis omnibus. Mox ἡμετ. A.N. Sav. cet. [w] εἰ] + οὖν οὗτος K.Q. Sav. cet. Mox ταύτας om. A. [x] ἄλλως] + γὰρ Edd. γὰρ om. A.K.Q.R. Mut. Haec ἀλλ' ὡς ἔχω in marg. a 2da m. O. [y] ἀπείρξω K.Q. Sav. cet. *vetabo* Mut. [z] ὁ Παῦλος A.N. Sav. cet. [a] εἰπέ μοι post καλεῖς transp. N. Statim καὶ πρεσβ. K.Q. καὶ insertum in O. [b] τὰ om. N. [c] σπεύδοντες O. [d] μήπω O. Mox εἰς ἐκείνους idem. [e] ἐπεισάγειν ex corr. O.

Digitized by Google

φοραῖς ἐπεισιέναι, ἵνα μὴ ὄντως τὰ οἰκεῖα αὐτὰς ἀναγκάσωμεν
θρηνεῖν κακὰ, καὶ παιδεύσωμεν μὴ ἐν ἀλλοτρίοις ταῦτα ποιεῖν,
D ἀλλὰ τὰς οἰκείας [f]συμφορὰς μᾶλλον ὀδύρεσθαι. Καὶ γὰρ καὶ
πατὴρ φιλόστοργος, ὅταν υἱὸν ἄτακτον ἔχῃ, οὐκ [g]ἐκείνῳ μόνον
παραινεῖ μὴ πλησιάζειν τοῖς πονηροῖς, ἀλλὰ καὶ ἐκείνους φοβεῖ. (455)
Ἰδοὺ τοίνυν καὶ ὑμῖν κἀκείναις δι' ὑμῶν παραινῶ, ὥστε [h]μήτε
ὑμᾶς καλεῖν τὰς τοιαύτας, μήτε ἐκείνας παραγίνεσθαι. Καὶ
γένοιτο μὲν τὸν λόγον [i]τι ἐργάσασθαι πλέον, καὶ τὴν ἀπειλὴν
ἰσχῦσαι· εἰ δὲ, ὅπερ ἀπείη, καταφρονηθῶμεν, [k]ἀναγκαζόμεθα
λοιπὸν εἰς ἔργον ἀγαγεῖν τὴν ἀπειλὴν, ὑμᾶς μὲν τοῖς νόμοις
παιδεύοντες τοῖς ἐκκλησιαστικοῖς, ἐκείνας δὲ ὡς ἐκείναις προσ-
49 ῆκόν ἐστιν. Εἰ δέ [l]τις ἀπαυθαδιαζόμενος καταφρονεῖ, ἀκουέτω
τοῦ Χριστοῦ λέγοντος καὶ νῦν· [25] "[m]Ἐάν τις ἁμαρτήσῃ εἰς
σὲ, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· εἰ δὲ μὴ
πείθοιτο, παράλαβε μετὰ σεαυτοῦ ἕνα ἢ δύο· εἰ δὲ καὶ οὕτως
[n]ἀντιλέγοι, εἰπὲ τῇ ἐκκλησίᾳ· εἰ δὲ καὶ τῆς ἐκκλησίας παρα-
κούσει, ἔστω σοι [o]ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης." Εἰ δὲ τὸν εἰς
ἐμὲ ἁμαρτάνοντα, ἐπειδὰν μὴ πείθοιτο, οὕτως ἀποστρέφεσθαι
κελεύει· τὸν εἰς [p]ἑαυτὸν ἁμαρτάνοντα καὶ εἰς τὸν θεὸν πῶς ἔχειν
ὀφείλω, ὑμεῖς κρίνατε· ὑμεῖς γὰρ ἡμῶν [q]οὐ καταγινώσκετε οὕτω
B μαλακῶς προσφερομένων ὑμῖν; Εἰ δέ τις καταφρονεῖ [r]τῶν
δεσμῶν τῶν παρ' ἡμῶν, πάλιν αὐτὸν ὁ Χριστὸς παιδευέτω λέ-
γων· [26] "Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ
οὐρανῷ· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ
οὐρανῷ." Εἰ γὰρ καὶ ἡμεῖς ταλαίπωροι καὶ οὐδαμινοὶ καὶ τοῦ
καταφρονεῖσθαι ἄξιοι, ὥσπερ οὖν καὶ ἄξιοι, ἀλλ' οὐχ ἑαυτοὺς
ἐκδικοῦμεν, οὐδὲ ὀργὴν ἀμυνόμεθα, ἀλλὰ τῆς ὑμετέρας σωτηρίας
φροντίζομεν. Αἰδέσθητε, παρακαλῶ, καὶ ἐντράπητε. Εἰ γὰρ
φίλον τις φέρει σφοδρότερον τοῦ δέοντος ἐπιφερόμενον, τὸν
σκοπὸν ἐξετάζων, καὶ ὅτι εὐνοϊκῶς, ἀλλ' οὐκ ἀλαζονευόμενος
C τοῦτο ποιεῖ· πολλῷ μᾶλλον διδάσκαλον ἐπιπλήττοντα, καὶ
διδάσκαλον [s]οὐδὲ αὐτὸν ἐξ αὐθεντίας ταῦτα λέγοντα, οὐδὲ ὡς ἐν

[25] Matth. xviii. 15—17. [26] Ibid. 18.

[f] συμφορὰς μ.] μ. συμφορὰς N.O. [g] ἐκεῖνον A. Statim μόνῳ N. [h] μηδὲ bis N. μητε—τοιαύτας om. A. [i] τι om. A. τι ante τὸν λ. transp. O. [k] ἀναγκασθησόμεθα K.Q. Sav. cet. [l] τις ἀπ.] ἀπ. τις K.Q. Statim καταφρονήσει N.O. [m] ἐάν τις ἁμ. εἰς σὲ] Sic N.O.R. Mut. τις om. Veron. ἐὰν ἁμ. εἰς σὲ ὁ ἀδελφός σου A.K.Q. ἐὰν ὁ ἀδ. σου ἁμ. εἰς σὲ Sav. cet. [n] ἀντιλέγει A. Mox παρακούσει A.K.Q.R. παρακούει Veron. παρακούσειεν N.O. Sav. cet. [o] ὡς] ὥσπερ O. ἐθνικὸς sine artic. A. [p] αὐτὸν a pr. m. O. [q] οὐ κατ. οὕτω] κατ. οὐ K.Q. Mut. Sav. cet. Statim μαλθακῶς O. [r] τῶν δ. τῶν] τὸν δεσμώτην A. Statim παρ' ἡμῖν N.O. Veron. [s] οὐδὲ αὐτὸν] οὐκ K.Q.

Digitized by Google

τάξει ἄρχοντος, ἀλλ' [t]ἐν τάξει κηδεμόνος. Οὐ γὰρ ἐξουσίαν ἐπιδείξασθαι βουλόμενοι, ταῦτα λέγομεν· πῶς γάρ, οἱ μηδὲ εἰς πεῖραν αὐτῶν ἐλθεῖν εὐχόμενοι; [v]ἀλλ' ὑπὲρ ὑμῶν ἀλγοῦντες καὶ κοπτόμενοι. Σύγγνωτε [w]δή, καὶ μηδεὶς καταφρονείτω τῶν δεσμῶν τῶν ἐκκλησιαστικῶν· οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ δεσμῶν, ἀλλ' ὁ Χριστὸς ὁ τὴν ἐξουσίαν ταύτην ἡμῖν δεδωκώς, καὶ κυρίους ποιῶν ἀνθρώπους τῆς [x]τοσαύτης τιμῆς. Ἡμεῖς μὲν γὰρ εἰς τὸ D λύειν βουλόμεθα [y]κατακεχρῆσθαι τῇ ἐξουσίᾳ· μᾶλλον δέ, οὐδὲ τούτου ἀνάγκην ἔχειν βουλόμεθα· οὐδένα γὰρ βουλόμεθα εἶναι δεσμώτην παρ' [z]ἡμῖν· οὐχ οὕτως ἐσμὲν ἄθλιοι καὶ ταλαίπωροι, εἰ καὶ σφόδρα οὐδαμινοί τινές ἐσμεν. Εἰ δὲ ἀναγκασθείημεν, σύγγνωτε· [a]οὐ γὰρ ἑκόντες οὐδὲ βουλόμενοι, ἀλλὰ μᾶλλον ὑμῶν τῶν δεδεμένων ἀλγοῦντες, τὰ δεσμὰ περιβάλλομεν. Εἰ δέ τις [b]καταφρονοίη τούτων, ἐπιστήσεται ὁ τῆς κρίσεως καιρὸς [c]ὁ διδάσκων αὐτόν. Τὸ δὲ λοιπὸν οὐ βούλομαι εἰπεῖν, ἵνα μὴ πλήξω τὴν διάνοιαν ὑμῶν. Ἡμεῖς μὲν γὰρ πρῶτον [d]μὲν [e]οὐκ εὐχόμεθα εἰς ἀνάγκην ἐλθεῖν· εἰ δὲ ἔλθοιμεν, τὸ ἑαυτῶν πληροῦμεν, περιβάλλομεν τὰ δεσμά. Εἰ δέ τις [f]διαρρήξειε ταῦτα, ἐγὼ τὸ ἐμαυτοῦ πεποίηκα, καὶ ἀνεύθυνός εἰμι λοιπόν, ὁ δὲ λόγος ἔσται σοι πρὸς τὸν ἐμοὶ κελεύσαντα δῆσαι. [g]Οὐδὲ γὰρ εἰ, βασιλέως προκαθημένου, [h]τῶν δορυφόρων τῶν παρεστώτων τις ἐκελεύσθη δῆσαί τινα τῶν ἐν [i]τῇ τάξει καὶ τὰ δεσμὰ περιβαλεῖν, ἐκεῖνος δὲ οὐ μόνον ἀπώσαιτο τοῦτον, ἀλλὰ καὶ συντρίψειε τὰ δεσμά, [k]ὁ δορυφόρος ἐστὶν ὁ τὴν ὕβριν πεπονθώς, [l]οὐχὶ δὲ ὁ B βασιλεὺς πολλῷ μᾶλλον ὁ κελεύσας. [m]Εἰ γὰρ τὰ εἰς τοὺς πιστοὺς γινόμενα αὐτὸς οἰκειοῦται, [n]ὅταν ὁ διδάσκειν τεταγμένος ὑβρίζηται, πολλῷ μᾶλλον ὡς αὐτὸς ὑβριζόμενος διακείσεται. Ἀλλὰ μὴ γένοιτό τινα τῶν ἐπὶ τῆς ἐκκλησίας ταύτης εἰς ἀνάγκην τῶν δεσμῶν τούτων ἐλθεῖν. Ὥσπερ γὰρ τὸ μὴ ἁμαρτάνειν καλόν, οὕτω τὸ φέρειν ἐπιτίμησιν χρήσιμον. Φέρωμεν τοίνυν τὴν ἐπίπληξιν, καὶ [o]σπουδάζωμεν μὴ ἁμαρτάνειν· εἰ δὲ

[t] ἐν] ὡς ἐν N. Sav. cet. Mox κηδεμονίας A. Statim οὐδὲ γὰρ N. [v] ἀλλ'—κοπτόμενοι om. N. [w] δή] μοι Q. [x] τοιαύτης O. [y] καταχρῆσθαι (prius καταχρήσασθαι?) O. [z] ἡμῶν K.Q.R. [a] οὐ] οὐδὲ K.Q. et ex corr. O. [b] καταφρονεῖ N. [c] ὁ om. O. [d] μὲν om. R. [e] οὐκ εὐχ. εἰς ἀ. ἐλθεῖν] εὐχ. εἰς ἀ. μὴ ἐλθεῖν K.Q. Sav. cet. [f] διαρ. ταῦτα] ταῦτα διαρ. N.O. Mox καὶ et λοιπὸν om. N. [g] οὐδὲ] οὐ a pr. m. O. [h] τῶν δ. τῶν π. τις] τῶν δ. τις τῶν π. O.R. τῶν δ. τῶν π. (om. τις?) N. τῶν π. τις δ. K.Q. Statim κελευσθεὶς N.R. [i] τῇ om. K. Mox τὰ om. R. [k] ὁ] οὐχ ὁ R. [l] οὐχὶ δὲ] ἀλλ' N.R. Sav. cet. [m] εἰ γὰρ τὰ] καὶ μὴ θαυμάσῃς· τὰ γὰρ K.Q. [n] ὅταν (+ οὖν K.Q.)—ὑβρίζηται] ὅταν τοὺς (+ εἰς τὸ Sav. cet.) διδάσκειν τεταγμένους ὑβρίζητε A. Sav. cet. [o] σπουδάσωμεν O. Statim τοῦ μὴ A. Veron. τὸ μὴ Sav. cet. Articulum om. K.N.O.Q.R. Mox εἰ δὲ ἁμ. om. N.

Digitized by Google

ἁμάρτοιμεν, φέρωμεν τὴν ἐπιτίμησιν. Ὥσπερ γὰρ [p]καλὸν μὲν
C μὴ πλήττεσθαι, εἰ δὲ τοῦτο γένοιτο, τὸ φάρμακον [q]ἐπιτιθέναι
τῇ πληγῇ· οὕτω καὶ ἐνταῦθα. Ἀλλὰ μὴ γένοιτό τινα τῶν
τοιούτων δεηθῆναι φαρμάκων. [27]"Πεπείσμεθα [r]γὰρ περὶ ὑμῶν τὰ
κρείττονα, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν·" σφο-
δρότερον δὲ διελέχθημεν ὑπὲρ πλείονος ἀσφαλείας. Βέλτιον (456)
γὰρ ἐμὲ θρασύν τινα [s]καὶ ἀπηνῆ καὶ αὐθάδη ὑποπτεύεσθαι παρ'
ὑμῶν, ἢ ὑμᾶς τὰ τῷ θεῷ μὴ δοκοῦντα ποιεῖν. [t]Πιστεύομεν δὲ
τῷ θεῷ, ὅτι οὐκ ἀνόνητος ὑμῖν αὕτη ἡ ἐπιτίμησις [v]ἔσται, ἀλλ'
D οὕτω μεταβληθήσεσθε, ὡς τούτους τοὺς λόγους εἰς τὰ ὑμέτερα
ἐγκώμια ἀναλίσκεσθαι, καὶ εἰς τοὺς [w]ἐπαίνους· ἵνα καταξιωθῶ-
μεν ἅπαντες τυχεῖν τῶν ἀγαθῶν, ὧν ἐπηγγείλατο ὁ θεὸς τοῖς
ἀγαπῶσιν αὐτὸν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ
πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

51

ΛΟΓΟΣ Ε.

[1]Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι.

ΤΗΝ πολλὴν τοῦ θεοῦ φιλανθρωπίαν ὁ Παῦλος δεῖξαι
βουλόμενος, καὶ τὴν ἀγάπην ἣν περὶ τὸ γένος ἔσχε τὸ ἀνθρώ-
B πινον, μετὰ τὸ εἰπεῖν, "Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν [a]αἵ-
ματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν,"
ἐπεξέρχεται [b]τούτῳ τῷ χωρίῳ. Μὴ [c]γὰρ ἁπλῶς πρόσσχῃς τῷ
λεχθέντι, μηδὲ ψιλόν τι [d]μόνον τοῦτο εἶναι νομίσῃς, τὸ [e]τὴν
ἐξ ἡμῶν σάρκα αὐτὸν ἀναλαβεῖν· [f]ἀγγέλοις τοῦτο οὐκ ἐχαρί-
σατο. "Οὐ γὰρ [g]δὴ ἀγγέλων, φησὶν, ἐπιλαμβάνεται, ἀλλὰ

27 Hebr. vi. 9. 1 Cap. II. v. 16, 17.

[p] καλὸν] οὐ καλὸν (et mox om. μὴ) N. Post μὲν add. τὸ K.N.Q. Sav. cet. [q] ἐπιτεθῆναι Θ. Sav. cet. Post πληγῇ add. χρήσιμον· K.N.Q. Sav. cet. [r] γὰρ] δὲ iidem. Statim τὰ περὶ R. [s] καὶ ἀπηνῆ om. R. Mox παρ' ὑμῖν O. [t] πιστεύωμεν ex corr. N. Mox ἀνόητος ἡμῖν A. ἀνόνητος ἡμῶν K.Q. [v] ἔσται] γένηται N. [w] ἐπαίνους] + γένοιτο δὲ ἡμᾶς βιοῦν κατὰ τὸ δοκοῦν τῷ θεῷ K.Q. Sav. cet. invito Mut. Statim ἵνα τυχεῖν ἅπ. καταξιωθῶμεν hoc ord. N.O. Hom. V. [a] σαρκὸς καὶ αἵματος hoc ord. K.Q. Cat. [b] τούτῳ] λοιπὸν K.Q. πλέον τούτῳ N.O. Cat. Post χωρίῳ add. καί φησιν, οὐ γὰρ δήπου ἀγγ. ἐπιλ. K.Q. Sav. cet. [c] [γὰρ] Sav. γὰρ om. K.Q. πρόσσχῃς pro πρόσχῃς K.N. [d] μόνον] πρᾶγμα K.Q. Sav. cet. Statim τοῦτο om. K.Q. post εἶναι transp. N. [e] τὴν om. A. ἐξ om. K.N.Q. Mox αὐτὸν om. K.Q. Cat. post ἀναλαβεῖν transp. Supp. [f] ἀγγ. τοῦτο οὐκ] οὐ γὰρ ἀγγ. τοῦτο N. Sav. cet. invitis Cat. Supp. Post ἐχαρίσατο add. διὸ καὶ οὕτως εἴρηκεν K.O.Q. Sav. cet. [g] δὴ] δι' A.R. Veron. δήπου K.Q. Sav. cet. Mox φησὶν om. A.K.Q. post ἐπιλαμβάνεται transp. N.O.

Digitized by Google

σπέρματος Ἀβραάμ." Τί ἐστιν [h]ὅ φησιν; Οὐκ ἀγγέλου φύσιν
[i]ἀνεδέξατο, ἀλλ' ἀνθρώπου. [k]Τί δέ ἐστιν, "ἐπιλαμβάνεται;"
[l]Οὐκ ἐκείνης, φησὶν, ἐδράξατο τῆς φύσεως [m]τῆς τῶν ἀγγέλων, C
ἀλλὰ τῆς ἡμετέρας. [n]Διὰ τί δὲ οὐκ εἶπεν, [o]ἀνέλαβεν, ἀλλὰ
ταύτῃ τῇ λέξει ἐχρήσατο [p]τῇ, "ἐπιλαμβάνεται;" Ἀπὸ μετα-
φορᾶς τῶν διωκόντων τοὺς ἀποστρεφομένους αὐτοὺς, καὶ πάντα
ποιούντων, ὥστε καταλαβεῖν φεύγοντας καὶ ἐπιλαβέσθαι ἀπο-
πηδώντων. Φεύγουσαν [q]γὰρ ἀπ' αὐτοῦ τὴν ἀνθρωπίνην φύσιν,
καὶ πόρρω [r]φεύγουσαν, [s]ἦμεν γὰρ μακρὰν, καταδιώξας κατέλα-
βεν. [t]Ἔδειξεν ὅτι φιλανθρωπίᾳ μόνῃ καὶ ἀγάπῃ καὶ κηδεμονίᾳ
τοῦτο πεποίηκεν. Ὥσπερ [v]οὖν ὅταν λέγῃ, "Οὐχὶ πάντες εἰσὶ
λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς D
μέλλοντας κληρονομεῖν σωτηρίαν;" τὸ περισπούδαστον αὐτῷ
τῆς ἀνθρωπίνης φύσεως δείκνυσι, καὶ ὅτι πολὺς τῷ θεῷ [w]λόγος
αὐτῆς· οὕτω καὶ ἐνταῦθα τὸ πολὺ μεῖζον τίθησιν ἀπὸ συγκρί-
σεως· "[x]Οὐ γὰρ ἀγγέλων, φησὶν, ἐπιλαμβάνεται." Καὶ γὰρ
ὄντως μέγα καὶ θαυμαστὸν καὶ ἐκπλήξεως γέμον, τὴν ἐξ ἡμῶν
σάρκα ἄνω καθῆσθαι, καὶ προσκυνεῖσθαι [y]ὑπ' ἀγγέλων καὶ ἀρ-
χαγγέλων καὶ τῶν Χερουβὶμ καὶ τῶν Σεραφίμ. Τοῦτο πολ-
λάκις [z]ἐγὼ εἰς νοῦν λαβὼν, ἐξίσταμαι, καὶ [a]μεγάλα περὶ τοῦ
γένους τοῦ ἀνθρωπίνου φαντάζομαι· μεγάλα γὰρ ὁρῶ καὶ λαμ-
πρὰ τὰ προοίμια, καὶ πολλὴν τῷ θεῷ τὴν σπουδὴν ὑπὲρ τῆς 52
φύσεως τῆς ἡμετέρας. [b]Καὶ οὐκ εἶπεν, ἀνθρώπων ἁπλῶς ἐπι-
λαμβάνεται, ἀλλὰ βουλόμενος αὐτοὺς ἐπᾶραι, καὶ δεῖξαι μέγα
τὸ γένος αὐτῶν καὶ τίμιον, φησίν· "Ἀλλὰ σπέρματος Ἀβραὰμ
ἐπιλαμβάνεται." "Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς
ὁμοιωθῆναι." Τί ἐστι, "κατὰ πάντα;" Ἐτέχθη, φησὶν, ἐτράφη,
ηὐξήθη, ἔπαθε πάντα ἅπερ ἐχρῆν, τέλος ἀπέθανε· τοῦτό ἐστι,
"Κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι." Ἐπειδὴ γὰρ πολλὰ
διελέχθη περὶ τῆς μεγαλειότητος αὐτοῦ καὶ τῆς ἄνω δόξης, λοι-

[h] ὅ φησιν] τοῦτο K.Q. [i] ἀνεδέξατο] + φησὶν K.Q. Cat. [k] τί δέ ἐστιν, ἐπιλ. om. K.Q. inclusum a Sav. [l] οὐκ] οὐδὲ K.Q. Mox φησὶν om. iidem. [m] τῆς assumtum ex Cat. [n] διὰ τί δὲ om. K.Q. Post εἶπεν add. δὲ Q. [o] ἀνέλαβεν] + ἁπλῶς K.Q. [p] τῇ] ὅτι R. [q] γὰρ] τοίνυν K.Q. Mox ἀνθρωπίαν (sic) O. [r] φεύγουσαν] + κατέλαβεν R. [s] ἦμεν γὰρ μ.] ἦμεν γὰρ τοῦ θεοῦ μ. φησὶν, ἀπηλλοτριωμένοι, καὶ ἄθεοι ὄντες ἐν τῷ κόσμῳ, αὐτὸς K.Q. Sav. cet. invitis Cat. Supp. Mut. [t] ἔδειξεν] ἐντεῦθεν δείκνυται K.Q. Sav. cet. Mox φιλανθρωπία μόνη καὶ ἀγάπη καὶ κηδεμονία Edd. Nobiscum faciunt Cat. Supp. Mut. [v] οὖν] + καὶ N. [w] ὁ λόγος Edd. invitis libris et Supp. [x] οὐ γὰρ ἀγγ. φ.] λέγων, οὐ γὰρ ἀγγ. K.Q. Sav. cet. [y] ὑπὸ ἀγγ. K.N. Mox καὶ τῶν Σ. καὶ τῶν Χ. inverso ord. Edd. repugnantibus libris. [z] ἐγὼ εἰς ν. λαβὼν] Sic A.N.O.R. Supp. ἐγὼ λαμβάνων εἰς ν. K.Q. εἰς ν. ἐγὼ λαβὼν Edd. [a] μέγα A. Mox τοῦ γ. τοῦ ἀνθρ. pro τοῦ ἀνθρ. γ. omnes. [b] καὶ] ὅρα K.Q. ὅρα δὲ Supp.

Digitized by Google

B *πὸν τὸν περὶ* [c]*τῆς οἰκονομίας λόγον κινεῖ· καὶ θέα μεθ' ὅσης* [d]*δυνάμεως,* [e]*πῶς αὐτὸν δείκνυσι πολλὴν* [f]*τιθέμενον τὴν σπουδὴν ὥστε ἡμῖν ὁμοιωθῆναι· ὅπερ κηδεμονίας* [g]*ἦν πολλῆς. Εἰπὼν* [h]*γὰρ ἀνωτέρω, "Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν,"* [i]*καὶ ἐνταῦθά φησι, "Κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι·" μονονουχὶ λέγων, ὁ οὕτω μέγας, ὁ ὢν ἀπαύγασμα τῆς δόξης,* [k]*ὁ ὢν* (457)
χαρακτὴρ τῆς ὑποστάσεως, ὁ τοὺς αἰῶνας πεποιηκὼς, ὁ ἐν δεξιᾷ τοῦ πατρὸς καθήμενος, [l]*οὗτος ἠθέλησε καὶ ἐσπούδασεν ἀδελφὸς*
C *ἡμῶν ἐν ἅπασι γενέσθαι,* [m]*καὶ διὰ τοῦτο ἀγγέλους ἀφῆκε καὶ τὰς* [n]*ἄλλας δυνάμεις, καὶ πρὸς ἡμᾶς κατῆλθε, καὶ ἡμῶν ἐπελάβετο,* [o]*καὶ μυρία εἰργάσατο ἀγαθά· θάνατον ἔλυσε,* [p]*τὸν διάβολον τῆς τυραννίδος ἐξέβαλεν, ἡμᾶς δουλείας* [q]*ἀπήλλαξεν· οὐ τῇ* [r]*ἀδελφότητι μόνον τετίμηκεν, ἀλλὰ καὶ ἑτέροις μυρίοις. Καὶ γὰρ ἀρχιερεὺς ἡμῶν γενέσθαι ἠθέλησε πρὸς τὸν πατέρα·* [s]*ἐπάγει γὰρ, "Ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν* [t]*θεόν." Διὰ τοῦτο, φησὶ, τὴν σάρκα ἀνέλαβε τὴν ἡμετέραν, διὰ φιλανθρωπίαν* [v]*μόνον, ἵνα ἐλεήσῃ ἡμᾶς. Οὐδὲ*
D *γάρ ἐστιν ἄλλη τις αἰτία τῆς οἰκονομίας,* [w]*ἢ αὕτη μόνη· εἶδε* [x]*γὰρ χαμαὶ ἐρριμμένους, ἀπολλυμένους, ὑπὸ* [y]*τοῦ θανάτου τυραννουμένους, καὶ ἠλέησεν. "Εἰς τὸ ἱλάσκεσθαι,* [z]*φησὶ, τὰς ἁμαρτίας τοῦ λαοῦ, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς* [a]*ἀρχιερεύς."* [b]*Τί ἐστι, "πιστός;" Ἀληθὴς,* [c]*δυνάμενος· ἀρχιερεὺς γὰρ* [d]*ἐστι πιστὸς ὁ υἱὸς, δυνάμενος* [e]*τοὺς ὧν ἐστιν ἀρχιερεὺς, ἀπαλλάξαι*

[c] *τῆς* om. N.O. [d] *δυνάμεως*] *συνέσεως καὶ δυν.* N. *συνέσεως* in text. *καὶ δυνάμεως* in marg. a 2da m. add. O. *sapientia* Mut. [e] *πῶς αὐτὸν δ.*] *δ. γὰρ αὐτὸν* K.Q. Sav. Mor. [f] *τιθέμενος* A. Supp. Statim *τὴν* om. N. et a pr. m. O. *τὴν σπ. τιθ.* pro *τιθ. τὴν σπ.* K.Q. Supp. [g] *ἦν*] *ἐστὶ* N. [h] *γὰρ*] *δὲ* K.Q. Sav. Mor. Mox *σαρκὸς καὶ αἵμ.* O. [i] [*καὶ*] Sav. *καὶ* om. K.Q. [k] *ὁ ὢν*] *καὶ* K. Mox *ὃς τοὺς αἰ. πεποίηκεν* N. [l] *οὗτος* om. K. [m] *καὶ* om. A.K.Q. invitis Cat. Supp. Mox *ἀφῆκε* om. Q. [n] *ἄλλας*] Sic O.Q.R. Cat. Supp. Mut. Edebatur *ἄνω*. [o] *καὶ μυρία*] *σκόπει δὲ καὶ ὅσα* K.Q. Sav. cet. [p] *τὸν δ.*] Sic K.N.O.Q.R. Cat. Supp. Mut. *τοῦ διαβόλου* (post *ἡμᾶς* interpungendo) Edd. Mox *δουλείας ἡμᾶς* pro *ἡμᾶς δουλείας* N.O. [q] *ἀπήλλαξεν*] + *ἀδελφὸς γενόμενος ἐτίμησεν* K.Q. Sav. cet. [r] *ἀδελφότητι*] + *δὲ* K.Q. Cat. Sav. cet. [s] *ἐπ. γὰρ*] *διὸ καὶ ἐπ.* K.Q. [t] *θεὸν*] + *ὡσεὶ ἔλεγε* (om. *φησὶ*) K.Q. [v] *μόνην* K.O.Q.R. Sav. invitis Cat. Supp. [w] *ἢ*] *ἀλλ' ἢ* K. Statim *αὕτη μόνη* K.N.O.Q. Cat. Supp. *ταύτη μόνη* A.R. *μόνη αὕτη* Edd. [x] *γὰρ*] *δὲ* K. *γὰρ* om. Q. Mox *ἀπολωμένους* A. *ἀπολλομένους* Veron. [y] *τοῦ* om. O. [z] *φησὶ*] *γὰρ, φησὶ* K.Q. Statim *ταῖς ἁμαρτίαις* N.Q.R. [a] *ἀρχιερεὺς*] + *τὰ πρὸς τὸν θεὸν* R. [b] *τί*] *τίς* a pr. m. O. [c] *δυνάμενος*] *βέβαιος* K.Q. [d] *ἐστι*] + *μόνος* K.Q. Sav. cet. Statim *ὁ υἱὸς δυνάμενος* om. a pr. m. O. Infra post *ἀρχιερεὺς* lacunam ex rasura ortam habet idem. *ἀρχιερεὺς γὰρ—ἀπαλλάξαι*] *ἀρχιερέως γάρ ἐστι πιστοῦ, τοὺς* (*τοὺς* om. N.) *ὧν ἐ. ἀρχ. δύνασθαι* (*δυναμένου* N.) *ἀπαλλάξαι* N. Cat. Mut. [e] *τοὺς*] *τούτους* Sav. cet. invitis omnibus.

Digitized by Google

*τῶν ἁμαρτημάτων. [f]Ἵν' οὖν προσενέγκῃ θυσίαν δυναμένην ἡμᾶς
καθαρίσαι, διὰ τοῦτο γέγονεν ἄνθρωπος. [g]Ἐπήγαγε γοῦν, "Τὰ
πρὸς τὸν θεόν·" τουτέστι, [h]τῶν πρὸς τὸν θεὸν ἕνεκεν. Ἐκπε-* 53
*πολεμωμένοι ἦμεν, φησὶ, τῷ θεῷ, κατεγνωσμένοι, ἠτιμωμένοι·
οὐδεὶς ἦν ὁ προσοίσων ὑπὲρ ἡμῶν θυσίαν· εἶδεν ἡμᾶς ἐν τούτοις
ὄντας καὶ ἠλέησεν, οὐ καταστήσας ἡμῖν ἀρχιερέα, ἀλλ' αὐτὸς
γενόμενος [i]ἀρχιερεύς. Πῶς πιστὸς, ἐπήγαγεν, "Εἰς τὸ ἱλά-
σκεσθαι [k]τὰς ἁμαρτίας τοῦ λαοῦ."*

[2] *"Ἐν ᾧ γὰρ πέπονθε, φησὶν, αὐτὸς [l]πειρασθεὶς, δύναται
τοῖς πειραζομένοις βοηθῆσαι." Πάνυ [m]ταπεινὸν τοῦτο καὶ εὐ-
τελὲς καὶ ἀνάξιον θεοῦ. "Ἐν ᾧ [n]γὰρ πέπονθε, φησὶν, αὐτός."
[o]Περὶ τοῦ σαρκωθέντος [p]ἐνταῦθά φησι, [q]καὶ πρὸς πληροφορίαν* B
*τῶν ἀκουόντων [r]εἴρηται, καὶ διὰ τὴν αὐτῶν ἀσθένειαν. [s]Του-
τέστι, φησὶ, δι' αὐτῆς τῆς πείρας ὧν [t]ἐπάθομεν ἦλθε· νῦν οὐκ
ἀγνοεῖ τὰ πάθη τὰ ἡμέτερα· [v]οὐχ ὡς θεὸς μόνον οἶδεν, ἀλλὰ
καὶ ὡς ἄνθρωπος ἔγνω διὰ τῆς πείρας ἧς [w]ἐπειράσθη· ἔπαθε
πολλὰ, οἶδε συμπάσχειν. Καίτοιγε [x]ἀπαθὴς ὁ θεός ἐστιν·
ἀλλὰ τὰ τῆς σαρκώσεως ἐνταῦθα διηγεῖται· ὡς ἂν εἰ [y]ἔλεγε,
καὶ αὐτὴ [z]ἡ σὰρξ ἡ τοῦ Χριστοῦ πολλὰ δεινὰ ἔπαθεν. Οἶδε
[a]τί ἐστι θλῖψις, οἶδε τί ἐστι πειρασμὸς, [b]τῶν παθόντων οὐχ
ἧττον ἡμῶν· καὶ γὰρ καὶ αὐτὸς ἔπαθε. [c]Τί οὖν ἐστι τὸ, "Δύ-
ναται τοῖς πειραζομένοις βοηθῆσαι;" Ὡς ἂν [d]τις εἴποι, μετὰ* C
*πολλῆς προθυμίας ὀρέξει χεῖρα, συμπαθὴς ἔσται. Ἐπειδὴ γὰρ
[e]ἐβούλοντο μέγα τι καὶ πλέον ἔχειν τῶν ἐξ ἐθνῶν, δείκνυσιν ἐν
τούτῳ πλέον ἔχοντας, ἔνθα οὐδὲν κατέβλαπτε τοὺς ἐξ ἐθνῶν.
Ἐν ποίῳ [f]δὴ τούτῳ; Ὅτι ἐξ αὐτῶν ἐστιν ἡ σωτηρία, ὅτι ἐκεί-
νων ἐπελάβετο [g]πρῶτον, ὅτι ἐκεῖθεν ἀνέλαβε σάρκα. "Οὐ γὰρ*

2 v. 18.

[f] *ἵνα οὖν* N. et a pr. m. O. [g] *ἐπ. γοῦν*] *καὶ ἐπ.* N. *διὰ τοῦτο ἐπ.* K.Q. [h] *τῶν*] *τὸ* A. *ὅτι τῶν* O. *τῶν—ἕνεκεν* om. N. [i] *ἀρχιερεὺς*] + *πιστὸς* N.R. + *πιστός. εἶτα δεικνὺς* K.Q. Sav. cet. Statim *πῶς δὲ π.* Supp. [k] *ταῖς ἁμαρτίαις* N. [l] *πειραθεὶς* R. Veron. *expertus* Mut. [m] *ταπ. τοῦτο*] *τοῦτο ταπ.* K.Q. Mox *ἀν. τοῦ θεοῦ* N. Sav. cet. [n] [*γὰρ*] Sav. *γὰρ* om. K.Q. Mox *καὶ* pro *φησὶν* K.Q. *φησὶ καὶ* margini adscript. in O. [o] *περὶ τοῦ σ.*] *εἰς τὸ κατὰ σάρκα* N. [p] *ἐνταῦθα φ.*] *τοῦτο εἴρηται* K.Q. [q] *καὶ*] *τάχα δὲ καὶ* K.Q. Sav. cet. invitis Cat. Supp. Mut. [r] *εἴρηται καὶ* om. Q. Mox *αὐτῶν* om. N. [s] *τουτέστι, φ.*] *ὃ δὲ λέγει, τοῦτό ἐστι* K.Q. Sav. cet. *φησὶ* om. Cat. [t] *ἐπάθομεν ἦλθε· νῦν*] *ἔπαθε νῦν.* N.R. *νῦν* om. Cat. [v] *οὐχ*] *οὐ γὰρ* Sav. cet. repugnantibus libris. [w] *ἐπειράθη* R. Cat. Veron. [x] *ἀπ. ὁ θ.*] *ἀπ. ὡς θ.* N. *ὡς θ. ἀπ.* R. Mox *σαρκὸς* pro *σαρκώσεως* N. [y] *ἔλεγε*] *τοῦτο λέγων* K.Q. [z] *ἡ* om. A.Q.R. Supp. Veron. erasum in O. *κυρίου* pro *Χριστοῦ* O. Cat. Mox *δεινὰ* om. K.Q. [a] *τίς* bis Q. et a pr. m. N. [b] *τῶν π. οὐχ ἧττον*] *καὶ οὐχ ἧττον τῶν π.* K.Q. Sav. cet. Post *ἧττον* in marg. add. *πειρασθεὶς* R. [c] *τί οὖν ἐστι τὸ*] *διὸ καὶ ἐπάγει* K.Q. Post *βοηθῆσαι* add. *τί ἐστι τοῦτο;* idem. [d] *τις εἴποι*] *εἴποι τις* N.O. [e] *ἐβούλετο* N. Mox *ἐνταῦθα* pro *ἔνθα* idem. [f] *δὲ* a pr. m. O. [g] *πρώτων* a pr. m. O.

Digitized by Google

ἀγγέλων, φησὶν, ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ
ἐπιλαμβάνεται." Τιμᾷ καὶ τὸν πατριάρχην διὰ τούτου, καὶ
D [h]δείκνυσι καὶ τί ἐστι, "σπέρματος Ἀβραάμ." [i]Ἀναμιμνήσκει
αὐτοὺς τῆς πρὸς αὐτὸν γενομένης ἐπαγγελίας τῆς λεγούσης,
[3]"Σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην·" διὰ τοῦ
[k]μικροτάτου δεικνὺς τὴν ἐγγύτητα, [l]τοῦ ἐξ ἑνὸς εἶναι πάντας.
[m]Ἀλλ' οὐ πολλὴ [n]ἐκείνη ἦν ἡ ἐγγύτης· ἔρχεται πάλιν ἐπὶ
ταύτην, καὶ ἐνδιατρίβει λοιπὸν τῇ οἰκονομίᾳ τῇ κατὰ σάρκα,
καί [o]φησιν· ἦν [p]μὲν καὶ αὐτὸ τὸ θελῆσαι γενέσθαι ἄνθρωπον,
πολλῆς κηδεμονίας καὶ ἀγάπης· νῦν δὲ οὐ τοῦτο μόνον ἐστὶν,
54 ἀλλὰ καὶ τὰ ἀθάνατα ἀγαθὰ, τὰ δι' αὐτοῦ ἡμῖν παρασχεθέντα·
"Εἰς τὸ ἱλάσκεσθαι [q]γὰρ, φησὶ, ταῖς ἁμαρτίαις τοῦ λαοῦ."
Διὰ τί μὴ εἶπε, τῆς οἰκουμένης, ἀλλὰ, "τοῦ λαοῦ;" [r]τὰς γὰρ
πάντων ἁμαρτίας ἀνήνεγκεν. Ὅτι τέως περὶ αὐτῶν ἦν ὁ λόγος
αὐτῷ· ἐπεὶ καὶ ὁ ἄγγελος πρὸς τὸν Ἰωσὴφ ἔλεγε, [4]"Καλέσεις
τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· [s]αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ."
Τοῦτο [t]γὰρ καὶ πρῶτον ἔδει γενέσθαι, [v]καὶ διὰ τοῦτο ἦλθεν,
ὥστε τούτους σῶσαι, καὶ τότε διὰ τούτων ἐκείνους, εἰ καὶ τοὐ-
ναντίον γέγονε. [w]Τοῦτο καὶ οἱ ἀπόστολοι ἄνωθεν ἔλεγον· (458)
[5]"Ὑμῖν ἀναστήσας τὸν παῖδα αὐτοῦ ἀπέστειλεν εὐλογοῦντα
B [x]ὑμᾶς·" καὶ πάλιν, "Ὑμῖν ὁ λόγος τῆς σωτηρίας ἀπεστάλη."
Τὴν εὐγένειαν ἐνταῦθα δείκνυσι τὴν Ἰουδαϊκὴν, [y]λέγων, "Εἰς
τὸ ἱλάσκεσθαι [z]ταῖς ἁμαρτίαις τοῦ λαοῦ." [a]Τέως οὕτω φησίν.
Ὅτι γὰρ αὐτός ἐστιν ὁ τὰς ἁμαρτίας πάντων ἀφιεὶς, ἐδήλωσε
καὶ ἐν τῷ παραλυτικῷ, εἰπὼν, [6]"Ἀφέωνταί [b]σου αἱ ἁμαρτίαι·"
καὶ ἐν τῷ βαπτίσματι· φησὶ γὰρ πρὸς τοὺς μαθητὰς, "Πο-
ρευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς
τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος."
Ὅταν δὲ τῆς σαρκὸς ἐπιλάβηται ὁ Παῦλος, πάντα λοιπὸν [c]τὰ

[3] Gen. xiii. 15. [4] Matth. i. 21. [5] Act. iii. 26. xiii. 26.
[6] Matth. ix. 2. xxviii. 19.

[h] δείκνυσι] διδάσκει K.N. Statim καὶ om. K.N.Q.R. inclusum a Sav. [i] ἀναμ.] + γὰρ K.Q. Sav. cet. [k] σμικροτάτου iidem. Statim δείκνυσι N.O.R. Supp. Veron. Mut. [l] τοῦ] τὸ R. Veron. et a pr. m. O. τῷ Supp. [m] ἀλλ'] + ἐπειδὴ K.Q. Sav. cet. πολὺ pro πολλὴ A. [n] ἐκείνη om. K.Q. post ἦν transp. N. [o] φησιν] + εἰς τὸ ἱλ. ταῖς ἁμ. τοῦ λαοῦ K.Q. Sav. cet. invitis Supp. Mut. [p] μὲν] + γὰρ iidem. Mox θελῆσαι καὶ γ. A. Veron. [q] γὰρ om. N.R. Mox τὰς ἁμαρτίας Supp. et a pr. m. O. Haec εἰς τὸ ἱλ.— ταῖς ἁμ. τοῦ λ. om. K.Q. inclusa a Sav. [r] τὰς γὰρ π.] τὸ (τὸ om. Sav. cet.) ὄντως γὰρ τὰς π. ἡμῶν N. Sav. cet. [s] αὐτὸς γὰρ] καὶ αὐτὸς N. [t] γὰρ καὶ om. K.Q. καὶ eras. in O. [v] καὶ om. K. Mox αὐτοὺς pro τούτους et ἐγένετο pro γέγονε N. [w] τοῦτο] τότε R. [x] ἡμᾶς A. Mut. Mox ὑμῖν om. Q. [y] λέγων] τέως οὕτω λέγων K.Q. [z] τὰς ἁμαρτίας K.R. Cat. Supp. [a] τέως οὕτω φ. om. K.Q. [b] σοι K.Q. Sav. cet. [c] τὰ accessit ex K.N.O.Q.R. Cat.

ταπεινὰ φθέγγεται, οὐδὲν δεδοικώς. Ὅρα γὰρ λοιπὸν τί φησιν·
[7] "Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατα- C
νοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰη-
σοῦν Χριστὸν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωϋ-
σῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ." Μέλλων αὐτὸν προτιθέναι τοῦ
Μωϋσέως κατὰ σύγκρισιν, εἰς τὸν τῆς ἀρχιερωσύνης νόμον [d]τὸν
λόγον ἤγαγεν· οὐ γὰρ μικρὰν περὶ Μωϋσέως δόξαν εἶχον ἅπαν-
τες. Καὶ προκαταβάλλεται ἤδη τὰ σπέρματα τῆς ὑπεροχῆς.
Ἄρχεται μὲν οὖν ἀπὸ τῆς σαρκὸς, ἄνεισι δὲ εἰς τὴν θεότητα,
ἔνθα οὐκέτι σύγκρισις [e]ἦν. Ἤρξατο ἀπὸ τῆς σαρκὸς τέως τὸ
ἴσον τιθέναι, καί φησιν· "Ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐ-
τοῦ." [f]Καὶ οὐ παρὰ τὴν ἀρχὴν δείκνυσι τὴν ὑπεροχὴν, ἵνα μὴ D
ἀποπηδήσῃ ὁ ἀκροατὴς, καὶ εὐθέως ἐμφράξῃ [g]τὰς ἀκοάς· εἰ γὰρ
καὶ πιστοὶ ἦσαν, ἀλλ' ὅμως ἔτι [h]πολὺ τὸ συνειδὸς εἶχον πρὸς
Μωϋσέα. "Πιστὸν ὄντα, φησὶ, τῷ ποιήσαντι αὐτόν." Τί
[i]ποιήσαντι; Ἀπόστολον καὶ ἀρχιερέα. Οὐδὲν ἐνταῦθα περὶ
οὐσίας [k]φησὶν, οὐδὲ περὶ τῆς θεότητος, ἀλλὰ τέως περὶ ἀξιω-
μάτων ἀνθρωπίνων. "Ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ·"
τουτέστιν, ἐν τῷ λαῷ, ἢ ἐν τῷ ἱερῷ. Ἐνταῦθα [l]δὲ τὸ, "ἐν τῷ
οἴκῳ αὐτοῦ," φησίν· ὡς [m]ἄν τις εἴποι, περὶ τῶν ἐν τῇ οἰκίᾳ.
[n]Καθάπερ τις ἐπίτροπος [o]καὶ οἰκονόμος οἰκίας, οὕτως ἦν ὁ
Μωϋσῆς τῷ λαῷ. Ὅτι γὰρ [p]οἶκον τὸν λαόν φησιν, ἐπήγαγεν, 55
"Οὗ οἶκός ἐσμεν ἡμεῖς·" τουτέστιν, ἐν τῇ [q]κτίσει αὐτοῦ ἐσμεν.
Εἶτα ἡ ὑπεροχή· [8] "Μείζονος γὰρ οὗτος δόξης παρὰ Μωϋσῆν
ἠξίωται." Πάλιν περὶ τῆς σαρκός. "Καθ' ὅσον πλείονα τιμὴν
ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν." Καὶ αὐτὸς, φησὶ, τῆς
οἰκίας ἦν. [r]Καὶ οὐκ εἶπεν, οὗτος μὲν γὰρ δοῦλος, ἐκεῖνος δὲ
δεσπότης, ἀλλὰ τοῦτο λανθανόντως ἐνέφηνεν. Εἰ [s]οἶκος ἦν ὁ
λαὸς, καὶ αὐτὸς δὲ τοῦ λαοῦ [t]ἦν, καὶ αὐτὸς ἄρα τῆς οἰκίας ἦν·
οὕτω [v]γὰρ καὶ ἡμῖν ἔθος λέγειν, ὁ δεῖνα τῆς οἰκίας [w]ἐστὶ τῆς

7 Cap. III. v. 1, 2. 8 v. 3.

[d] τὸν λ. ἤγαγεν] Sic K.N.O.Q. Cat. ἤγαγε τὸν λ. Edd. Mox μικρὰν om. a pr. m. O. [e] ἦν] + γίνεσθαι K.Q. Sav. cet. [f] καὶ om. K.Q. Mox δείκνυσι δὲ τὴν Q. [g] τὰς ἀκοὰς] τὰ ὦτα αὐτοῦ R. [h] πολὺ τὸ σ.] πολλὴν τὴν γνώμην K.Q. [i] ποιήσαντι] + εἰπὲ K. + αὐτὸν, εἰπὲ Q. [k] φησὶν om. K.Q. Post θεότητος add. λέγει iidem. Mox τέως om. N. [l] δὲ τὸ om. K.Q. Mox εἶπεν pro φησὶν iidem. [m] ἂν] + εἰ Edd. εἰ om. N.O. Cat. εἴποι τις pro τις εἴποι O. Cat. [n] καθάπερ] + γὰρ Edd. γὰρ om. N.O. Cat. Supp. Mut. [o] καὶ—οὕτως om. A. Mox M. ἐν τῷ λ. N. Supp. Sav. cet. [p] οἶκον] + ἐνταῦθα N.O. Cat. Sav. cet. Mox οὗ ὁ οἶκος K. Cat. [q] κτήσει A.K.N.O. Sav. [r] καὶ et mox γὰρ om. K.Q. [s] οἶκος] ὁ οἶκος N.R. Sav. cet. Post οἶκος add. οὖν K.Q. Sav. cet. [t] ἦν—ἦν] ἄρα τῆς οἰ. καὶ αὐτὸς ἦν K.Q. [v] [γὰρ] Sav. γὰρ om. K.Q. Supp. Statim καὶ om. O. [w] ἐστὶ τῆς τοῦ δ.] Sic K.O.Q.R. Supp. ἐπὶ pro ἐστὶ A. τοῦ om. N. τῆς τοῦ δ. ἐστιν Edd.

Digitized by Google

τοῦ δεῖνος. Ἐνταῦθα [x]γὰρ οἶκον [y]οὐ τὸν ναὸν λέγει· οὐ γὰρ ὁ
B θεὸς αὐτὸν κατεσκεύασεν, [z]ἀλλ' ἄνθρωποι. Ὁ δὲ ποιήσας αὐ-
τὸν, [a]ὁ θεός· τὸν Μωϋσέα φησί. Καὶ ὅρα πῶς δείκνυσι τὴν
ὑπεροχὴν λανθανόντως· "Πιστὸς, φησὶν, ἐν ὅλῳ τῷ οἴκῳ αὐ-
τοῦ·" καὶ αὐτὸς ὢν τοῦ οἴκου, τουτέστι, τοῦ λαοῦ. Πλείονα
τιμὴν ἔχει [b]τοῦ οἴκου ὁ δημιουργός. Καὶ οὐκ εἶπεν, ὅσῳ πλείονα
τιμὴν ἔχει [c]τῶν ἔργων ὁ τεχνίτης, ἀλλὰ, "τοῦ οἴκου ὁ κατα-
σκευάσας αὐτόν." [9] "Ὁ δὲ [d]τὰ πάντα κατασκευάσας, θεός."
Ὁρᾷς ὅτι οὐ [e]περὶ τοῦ ναοῦ λέγει, ἀλλὰ περὶ παντὸς τοῦ
λαοῦ; [10] "Καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ [f]αὐτοῦ, ὡς
θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων." Ἰδοὺ καὶ ἄλλη
C ὑπεροχὴ ἡ ἀπὸ τοῦ υἱοῦ καὶ τῶν δούλων. Ὁρᾷς [g]πάλιν ὅτι
γνησιότητα διὰ τῆς τοῦ υἱοῦ προσηγορίας αἰνίττεται; [11] "Χρι-
στὸς δὲ, ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ." Εἶδες πῶς [h]ποίημα καὶ
ποιητὴν διΐστησι, πῶς δοῦλον καὶ υἱόν; κἀκεῖνος μὲν εἰς τὰ πα-
τρῷα ὡς [i]δεσπότης εἰσέρχεται, οὗτος δὲ ὡς δοῦλος.

"Οὗ οἶκός ἐσμεν [k]τοῦ θεοῦ ἡμεῖς, ἐάνπερ τὴν παρρησίαν καὶ
τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν."
Ἐνταῦθα πάλιν αὐτοὺς [l]προτρέπεται ἑστάναι γενναίως, καὶ μὴ
καταπίπτειν. Οἶκος γὰρ, φησὶν, ἐσόμεθα τοῦ θεοῦ, [m]ὡς ἦν
D Μωϋσῆς, ἐάνπερ τὴν παρρησίαν καὶ τὸ [n]καύχημα μέχρι τέλους (459)
βεβαίαν κατάσχωμεν. [o]Ὁ μέντοι ἀλγῶν, φησὶν, ἐν τοῖς πει-
ρασμοῖς καὶ καταπίπτων, οὐ καυχᾶται· ὁ αἰσχυνόμενος, [p]ὁ κρυ-
πτόμενος, παρρησίαν οὐκ ἔχει· ὁ ἀλύων οὐ καυχᾶται. Εἶτα [q]καὶ
ἐγκωμιάζει αὐτοὺς λέγων· "Ἐάνπερ τὴν παρρησίαν καὶ τὸ καύ-
χημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν·" [r]δεικνὺς
ὅτι [s]καὶ ἤρξαντο· δεῖ δὲ τοῦ τέλους, [t]καὶ οὐχ ἁπλῶς [v]ἑστάναι,
ἀλλὰ βεβαίαν ἔχειν τὴν ἐλπίδα ἐν πληροφορίᾳ [w]πίστεως, μὴ
παρασαλευομένους ὑπὸ τῶν πειρασμῶν. [x]Καὶ μὴ θαυμάσῃς, εἰ

9 v. 4. 10 v. 5. 11 v. 6.

[x] γὰρ] δὲ K.Q. Sav. cet. [y] οὐ] αὐτὸν N. καὶ Supp. [z] ἀλλὰ ἄνθ. O. ἀλλ' οἱ ἄνθ. N. Sav. cet. [a] ὁ om. R. et a pr. m. N.O. ποιήσας—θεὸς] κατασκευάσας αὐτὸν ποιητὴν K.Q. [b] Haec τοῦ οἴκου—τιμὴν ἔχει, quae aberant, leguntur in O. Mut. [c] τῶν] ὡς τῶν (et mox οὕτω pro ἀλλὰ) K.Q. Mox ἀλλὰ καὶ τοῦ Edd. καὶ om. O. Mut. [d] τὰ om. N. Supp. [e] περὶ] + παντὸς A. [f] αὐτοῦ om. R. [g] πάλιν ὅτι] πῶς πάλιν τὴν K.Q. [h] ποιήματα A.O.Q. Supp. [i] δεσπότης] υἱὸς Veron. [k] τοῦ θεοῦ om. N.O. Sav. cet. Statim ἐὰν τὴν bis N. [l] προτρέπει N. et a pr. m. O. Ita ediderunt Sav. cet. [m] ὥσπερ A.K.N. Sav. cet. ἦν om. N. [n] καύχημα] + τῆς ἐλπίδος N.O. Sav. cet. μ. τέλους om. N. [o] ὁ μέντοι (μέντοι γε ὁ N.) ἀλγῶν, φ.] ὥστε ὁ ἀλγῶν K.Q. Sav. cet. Mox καὶ ὁ κατ. R. [p] ὁ] καὶ K. [q] καὶ om. R. [r] δεικνὺς] δείκνυσιν N.O. δείκνυσι γὰρ K.Q. [s] καὶ om. Q. Supp. Statim ἤρξατο A.Q. Statim δεῖ δὲ καὶ τοῦ K.Q. Sav. cet. [t] καὶ om. K.Q. Post ἐλπίδα add. βούλεται, τουτέστι iidem. [v] ἑστάναι] φθάναι A. [w] τῆς πίστεως R. [x] καὶ μὴ—εἴρηται om. A.N.O. Mut.

Digitized by Google

ἀνθρωπινώτερον τὸ, "αὐτὸς πειρασθεὶς," εἴρηται. Εἰ γὰρ περὶ 56
τοῦ πατρὸς τοῦ μὴ σαρκωθέντος φησὶν ἡ γραφὴ, 12 "[y]Ἐκ τοῦ
οὐρανοῦ διέκυψεν ὁ κύριος, καὶ εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀν-
θρώπων," τουτέστιν, ἀκριβῶς πάντα κατέμαθε· καὶ πάλιν,
"Καταβὰς ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται·"
[z]καὶ πάλιν, "Οὐ δύναται φέρειν ὁ θεὸς τὰς κακίας τῶν ἀνθρώ-
πων·" τὸ πολὺ τῆς ὀργῆς ἐνδεικνυμένη ἡ θεία γραφή· πολλῷ
μᾶλλον περὶ τοῦ Χριστοῦ [a]τοῦ καὶ παθόντος ἐν σαρκὶ [b]λέγεται
ταῦτα. Ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων τὴν πεῖραν πάντων B
[c]πιστοτέραν εἶναι νομίζουσι πρὸς γνῶσιν, βούλεται δεῖξαι, ὅτι
ὁ παθὼν [d]οἶδε τί πάσχει ἡ ἀνθρωπίνη φύσις. "[e]Ὅθεν, ἀδελφοὶ
ἅγιοι." Τὸ, "ὅθεν," ἀντὶ τοῦ, διὰ τοῦτο, φησί. "Κλήσεως
ἐπουρανίου μέτοχοι." [f]Μηδὲν ἐνταῦθα ζητεῖτε, εἰ ἐκεῖ κέκλησθε·
[g]ἐκεῖ ὁ μισθὸς, ἐκεῖ ἡ ἀνταπόδοσις. Τί οὖν; "Κατανοήσατε
τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χρι-
στὸν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ C
τῷ οἴκῳ αὐτοῦ." [h]Τί ἐστι, "πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν;"
Τουτέστιν, εὐνοϊκὸν, προϊστάμενον τῶν αὐτοῦ, [i]οὐκ ἐῶντα φέ-
ρεσθαι ἁπλῶς. "Ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ." Του-
τέστι, γνῶτε τίς ἐστιν ὁ ἀρχιερεὺς καὶ ποταπὸς, καὶ οὐ [k]δεη-
θήσεσθε παραμυθίας ἑτέρας οὐδὲ παρακλήσεως. Ἀπόστολον
δὲ αὐτὸν [l]λέγει [m]διὰ τὸ ἀπεστάλθαι· καὶ, "ἀρχιερέα τῆς ὁμο-
λογίας ἡμῶν," τουτέστι, τῆς πίστεως. [n]Καὶ οὗτος λαὸν ἐγκε-
χείρισται, καθάπερ ἐκεῖνος προστασίαν λαοῦ· ἀλλὰ μείζονα,
καὶ ἐπὶ μείζοσιν. "Εἰς μαρτύριον τῶν λαληθησομένων." Τί
λέγεις; μαρτυρίαν ἀνθρώπου λαμβάνει [o]ὁ θεός; Καὶ [p]πάνυ.
Εἰ γὰρ οὐρανὸν μαρτύρεται καὶ γῆν καὶ βουνοὺς, λέγων διὰ D

12 Psal. xiii. 2. Gen. xviii. 21. vi. 5 (?)

[y] ἐκ—πάντας] κύριος ἐκ τοῦ οὐρ. διέκυψε τοῦ ἰδεῖν ἐπὶ K.Q. πάντας om. a pr. m. O. Mox haec τουτέστιν—κατέμαθε om. K.Q. inclusa a Sav. [z] Haec καὶ πάλιν—γραφὴ om. K.Q. Supp. inclusa a Sav. [a] καὶ et mox ἐν om. K.Q. [b] λέγεται] λέγει R. λέγοιντ' ἂν K.Q. Sav. cet. Post ταῦτα add. τὰ ἀνθρωπινοπαθῆ (ἀνθρωποπαθῆ Q.) K.Q. Sav. cet. [c] πιστ. εἶναι] εἶναι πιστ. Edd. invitis libris. [d] οἶδε] φησὶν, οἶδε N. οἶδε, φησὶ O. Mut. [e] ὅθεν] + φησὶν Sav. cet. invitis libris. [f] μηδὲν] + τοίνυν K.Q. Sav. cet. Mox ζητεῖτε A.K.N.O.R. ζητῆτε Edd. Proximum εἰ om. N.R. [g] ἐκεῖ] + γὰρ K.Q. Sav. cet. Mox τί οὖν om. K.Q. [h] τί] + δὲ N.O. Mox εὐνοϊκὸν nostri omnes cum Cat. et Supp. προνοϊκὸν Edd. [i] οὐκ] καὶ οὐκ K.Q. Sav. cet. Mox φθείρεσθαι Cat. *corrumpi* Mut. [k] δεηθήσεσθε omnes. δεήσεσθε Supp. Edd. [l] λέγει] καλεῖ O. Cat. [m] διὰ τὸ] τῷ K.O.Q.R. et ex corr. N. invitis Cat. Supp. Post ἀρχιερέα add. φησὶ N.O.R. Sav. cet. [n] καὶ οὗτος—μείζονα] καὶ (καὶ om. K. Sav. cet.) καλῶς εἶπεν, ὡς Μωϋσῆς· καὶ γὰρ καὶ οὗτος λαὸν, καθ. ἐκεῖνος πρ. λαοῦ, ἐγκεχείρισται, εἰ καὶ μείζονα K.Q. Sav. cet. Post μείζοσι iidem add. Μωϋσῆς μὲν γὰρ ὡς οἰκέτης, Χριστὸς δὲ ὡς υἱός· καὶ ὁ μὲν τῶν ἀλλοτρίων, οὗτος δὲ τῶν αὐτοῦ κήδεται. Eadem fere habet Supp. invito Mut. [o] ὁ om. N. [p] πάνυ] + γε K.Q. Sav. cet. non Supp.

Digitized by Google

[q]τοῦ προφήτου, [13] "Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, [r]γῆ, ὅτι κύριος
ἐλάλησε," καὶ, "Ἀκούσατε, φάραγγες, θεμέλια [s]τῆς γῆς, ὅτι
κρίσις τῷ κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ·" πολλῷ [t]μᾶλλον ἀνθρώ-
πους. [v]Τουτέστιν, ἵνα ὦσι μάρτυρες, ὅταν ἀναισχυντῶσιν [w]αὐ-
τοί. "Χριστὸς δὲ ὡς υἱός." Ὁ μὲν γὰρ ἀλλοτρίων κήδεται,
οὗτος δὲ τῶν αὐτοῦ. "Καὶ τὸ καύχημα τῆς ἐλπίδος." [x]Καλῶς
εἶπε, "τῆς ἐλπίδος." Ἐπειδὴ [y]γὰρ πάντα ἐν ἐλπίσιν ἦν τὰ
ἀγαθὰ, οὕτω δὲ αὐτὴν δεῖ κατέχειν, ὡς ἤδη καυχᾶσθαι [z]ὡς ἐπὶ
57 γεγενημένοις· διὰ τοῦτό [a]φησι, "τὸ καύχημα τῆς ἐλπίδος·"
[b]καὶ ἐπάγει, "μέχρι τέλους βεβαίαν κατάσχωμεν·" [14] "Τῇ
[c]γὰρ ἐλπίδι ἐσώθημεν." Εἰ τοίνυν τῇ ἐλπίδι ἐσώθημεν, καὶ
"δι' ὑπομονῆς [d]ἀπεκδεχόμεθα," μὴ ἀσχάλλωμεν ἐπὶ τοῖς παρ-
οῦσι, μηδὲ ἤδη ζητῶμεν τὰ μετὰ ταῦτα ἐπαγγελθέντα. "Ἐλ-
πὶς γὰρ, [e]φησὶ, βλεπομένη, οὐκ ἔστιν ἐλπίς." Ἐπειδὴ [f]γὰρ
μεγάλα ἐστὶ τὰ ἀγαθὰ, ἐνταῦθα λαβεῖν [g]αὐτὰ οὐ δυνάμεθα ἐν
τῷ ἐπικήρῳ τούτῳ βίῳ. Τίνος οὖν ἕνεκεν [h]καὶ προεῖπεν ἡμῖν, [i]οὐ
μέλλων αὐτὰ ἐνταῦθα διδόναι; Ἵνα τῇ ἐπαγγελίᾳ τὰς ψυχὰς
B ἀνακτήσηται, ἵνα τῇ ὑποσχέσει ῥώσῃ τὴν προθυμίαν, ἵνα ἀλείψῃ
καὶ διεγείρῃ τὴν ἡμετέραν διάνοιαν. Διὰ δὴ τοῦτο πάντα ταῦτα
γεγένηται.

[k]Μὴ τοίνυν θορυβώμεθα· μηδεὶς ὁρῶν πονηροὺς εὐπραγοῦντας [l]θορυβείσθω. Οὐκ ἔστιν ἐνταῦθα ἡ [m]ἀνταπόδοσις, οὔτε τῆς πονηρίας, οὔτε τῆς ἀρετῆς· εἰ δέ που [n]γίνεται καὶ τῆς πονηρίας καὶ τῆς ἀρετῆς, [o]ἀλλ' οὐχὶ κατ' ἀξίαν, ἀλλ' ἁπλῶς, ὡσανεὶ γεῦμα τῆς κρίσεως, ἵνα οἱ τῇ ἀναστάσει διαπιστοῦντες, κἂν [p]τοῖς ἐνταῦθα σωφρονίζωνται. Ὅταν οὖν ἴδωμεν πονηρὸν

13 Esai. i. 2. Mich. vi. 2. 14 Rom. viii. 24, 25.

[q] τοῦ om. O. [r] ἡ γῆ Edd. ἡ om. K.Q.R. erasum in N. [s] τῆς om. K.Q. [t] μᾶλλον] + πρὸς τοὺς O. [v] τουτέστιν, ἵνα ὦσι] τί ἐστιν, εἰς μαρτύριον; ἵνα ὦσι, φησὶ K.Q. Sav. cet. [w] οὗτοι N. Statim Χριστὸς—τῶν αὐτοῦ om. K.Q. Sav. Mor. [x] καλῶς—ἐλπίδος om. K. [y] γὰρ assumtum ex libris omnibus et Supp. πάντα om. N. Mox κατέχειν δεῖ inverso ord. K.Q. ἔδει κατέχειν O. [z] ὡς] + καὶ R. ἐπιγεγενημένην pro ὡς ἐπὶ γεγ. Supp. [a] φησι] εἰπὼν K.Q. [b] καὶ ἐπάγει] τὸ iidem. Post κατάσχωμεν add. εὐκαίρως ἐπήγαγε iidem. [c] γὰρ om. A. Mox εἰ—ἐσώθημεν om. A. Veron. [d] ἐκδεχ. K. Statim μὴ οὖν ἀσχ. O. Sav. cet. Mox ἤδη om. N. [e] φησὶ om. K.Q. Supp. [f] γὰρ] δὲ Sav. cet. invitis nostris. γὰρ om. K.Q. Post ἀγαθὰ add. φησὶν K.Q. Sav. cet. [g] αὐτὰ οὐ δ.] Sic omnes. οὐ δ. αὐτὰ Edd. Mox β. τούτῳ pro τούτῳ β. K.Q. [h] καὶ πρ. ἡμῖν] ἡμῖν καὶ πρ. ταῦτα (ταῦτα om. O.) N.O. Sav. cet. [i] οὐ] μὴ N. Mox αὐτὰ om. K.Q. [k] ΗΘΙΚΟΝ. Ὅτι οὐ χρὴ θαυμάζειν, τίνος ἕνεκεν πονηροὶ ἐν τῷ βίῳ εὐπραγοῦσιν, οἱ δὲ δίκαιοι θλίβονται· καὶ περὶ τοῦ μὴ ἐπιπηδᾶν τοῖς πειρασμοῖς, ἐμπεσόντας δὲ ὑπομένειν. Veron. Haec μὴ τοίνυν θορυβώμεθα om. K.Q. Sav. Mor. [l] θυρβείσθω K. [m] ἀντίδοσις O. [n] γένηται K. εἰ δὲ—ἀρετῆς om. Q. [o] ἀλλ' om. a pr. m. O. οὐ pro οὐχὶ N. [p] τοῖς ἐντ.] Sic A.R. Eclog. (Tom. xii. p. 739 C.) τοῖς om. Veron. τοῖς γοῦν ἐντ. O. τούτοις ἐντ. N. ἐν τούτοις ἐντ. K.Q. Sav. cet.

Digitized by Google

πλουτοῦντα, μὴ καταπίπτωμεν· ὅταν ἴδωμεν ἀγαθὸν κακῶς C
πάσχοντα, μὴ θορυβώμεθα· ἐκεῖ [q]γὰρ οἱ στέφανοι, ἐκεῖ αἱ κο-
λάσεις. [r]Καὶ ἄλλως δὲ οὐκ ἔστιν οὔτε κακὸν πάντη εἶναι κακὸν,
ἀλλ' ἔστι τινὰ ἔχειν αὐτὸν [s]καὶ ἀγαθά· οὔτε ἀγαθὸν πάντη
(460) εἶναι ἀγαθὸν, ἀλλ' ἔχειν τινὰ καὶ ἁμαρτήματα. Ὅταν οὖν
εὐπραγῇ ὁ πονηρὸς, [t]ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς· ἵνα γὰρ
ἐκείνων τῶν ὀλίγων ἀγαθῶν [v]τὴν ἀντίδοσιν ἐνταῦθα λαβὼν, ἐκεῖ
λοιπὸν τέλεον κολάζηται, τούτου χάριν ἐνταῦθα ἀπολαμβάνει.
Καὶ μακάριος ἐκεῖνος μάλιστά ἐστιν ὁ ἐνταῦθα κολαζόμενος,
[w]ἵνα πάντα ἀποθέμενος τὰ ἁμαρτήματα, εὐδόκιμος καὶ καθαρὸς
ἀπίῃ, καὶ ἀνεύθυνος. Καὶ τοῦτο διδάσκων [x]ἡμᾶς ὁ Παῦλός D
φησι· [15]"Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ
κοιμῶνται ἱκανοί·" καὶ πάλιν, "[y]Παρέδωκα τὸν τοιοῦτον τῷ
Σατανᾷ." Καὶ ὁ προφήτης [z]φησίν· [16]"Ὅτι ἐδέξατο ἐκ χειρὸς
κυρίου διπλᾶ τὰ ἁμαρτήματα·" καὶ πάλιν ὁ Δαυῒδ, "Ἴδε τοὺς
ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν [a]ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς
μου, καὶ μῖσος ἄδικον ἐμίσησάν με, καὶ ἄφες πάσας τὰς ἁμαρ-
τίας μου" καὶ πάλιν ἕτερος, "Κύριε [b]ὁ θεὸς ἡμῶν, εἰρήνην δὸς
ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν." Ἀλλὰ ταῦτα μὲν δεικνύντος 58
ἐστὶ τοὺς [c]καλοὺς τὰς ὑπὲρ τῶν ἁμαρτημάτων δίκας ἐνταῦθα
ἀπολαμβάνοντας· [d]ποῦ δὲ τὰ ἀγαθὰ οἱ πονηροὶ ἀπολαμβάνον-
τες ἐνταῦθα, ἐκεῖ τέλεον κολάζονται; [e]Ἄκουε τοῦ Ἀβραὰμ λέ-
γοντος πρὸς τὸν πλούσιον· [17]"[f]Ἀπέλαβες τὰ ἀγαθά σου, καὶ
Λάζαρος τὰ κακά." [g]Ποῖα ἀγαθά; Ἐνταῦθα [h]γὰρ τὸ, "ἀπέ-
λαβες," [i]ἀλλὰ μὴ, ἔλαβες, εἰπὼν, δείκνυσι κατὰ ὀφειλὴν ἑκατέ-
ρους παθόντας, καὶ τὸν μὲν ἐν εὐπραγίᾳ, τὸν δὲ ἐν δυσπραγίᾳ

15 1 Cor. xi. 30. v. 5. coll. 1 Tim. i. 20.
16 Esai. xl. 2. Psal. xxiv. 19, 18. Esai. xxvi. 12. 17 Luc. xvi. 25.

[q] γὰρ om. N. Mut. Mox ἐκεῖ καὶ αἱ κ. N.R. Sav. cet. Post κολάσεις add. τῶν κακῶν O. [r] καὶ om. K.Q. Mox οὔτε τὸν κακὸν A.K.Q. Sav. cet. [s] καὶ om. K. ante τινὰ transp. Q. Mox οὔτε τὸν ἀγαθὸν K.Q. Sav. cet. [t] ἐπὶ] ἴσθι ὅτι ἐπὶ iidem. Mox αὐτοῦ K.R. Eclog. Veron. et ex corr. Q. [v] τὴν om. A. Veron. [w] ἵνα π. ἀποθ. om. A. [x] ὁ Π. ἡμᾶς et mox ἀρρ. καὶ ἀσθ. inverso ord. K.Q. Eclog. Statim καὶ διὰ τοῦτο A. [y] παράδοτε K.N.Q.R. et ex corr. O. receptum a Sav. cet. invitis Eclog. Mut. Post Σατανᾷ add. εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ N.R. Sav. cet. invitis iisdem. [z] φησὶν ὅτι] διὰ τοῦτο K.Q. [a] ὑπὲρ—κεφαλῆς μου] ὑπὲρ ἐμὲ Veron. Haec om. K.Q. [b] ὁ θεὸς ἡμῶν om. K.N.Q. Eclog. et a pr. m. O. κύριε ὁ θ. ἡμῶν om. Mut. [c] καλοὺς τὰς] ἐγκαλοῦντας A. τοὺς pro τὰς (et om. δίκας) O. [d] ποῦ (ὅπου K.Q.) δὲ τὰ ἀ.] τὰ δὲ ἀ. R. Statim οἱ om. A. Eclog. Veron. erasum in N. [e] ἄκουσον N. [f] ἀπέλαβες] + σὺ R. Statim τὰ ἀ. σου ἐν τῇ ζωῇ σου, καὶ Λ. ὁμοίως τὰ κ. K.Q. Mut. Sav. cet. non Eclog. [g] ποῖα ἀγ. om. K.Q. Sav. Mor. Habet in marg. a 2da m. O. [h] γὰρ om. K.Q. [i] ἀλλὰ μὴ ἔ.] ἀλλὰ ἀπέλαβες R. Haec om. K.Q.

Digitized by Google

γενόμενον· [k]καί φησι, "Διὰ τοῦτο οὗτος ἐνταῦθα παρακαλεῖται·"
B ὁρᾷς [l]γὰρ αὐτὸν καθαρὸν ἁμαρτημάτων· "καὶ σὺ ὀδυνᾶσαι." Μὴ τοίνυν [m]ἀλύωμεν, ὅταν εὐπαθοῦντας ὁρῶμεν ἐνταῦθα τοὺς ἁμαρτωλοὺς, ἀλλ' ὅταν κακῶς πάσχωμεν αὐτοὶ, χαίρωμεν· ἁμαρτιῶν γάρ ἐστι τὸ πρᾶγμα ἔκτισις. Μὴ ζητῶμεν ἄνεσιν· θλῖψιν γὰρ ἐπηγγείλατο τοῖς αὐτοῦ μαθηταῖς ὁ Χριστός· [n]καί φησιν ὁ Παῦλος, [18]"[o]Πάντες οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται." Οὐδεὶς γενναῖος ἀθλητὴς ἐν τῷ [p]σκάμματι λουτρὰ ἐπιζητεῖ, καὶ τράπεζαν [q]πλήθουσαν σιτίοις καὶ οἴνῳ· τοῦτο οὐκ ἔστιν ἀθλητοῦ, ἀλλὰ βλακός· ὁ γὰρ ἀθλητὴς μάχεται κόνει, ἐλαίῳ, ἀκτῖνος θερμότητι, ἱδρῶτι πολλῷ,
C θλίψει καὶ στενοχωρίᾳ. [r]Ἀγῶνος οὗτός ἐστι καὶ τοῦ πυκτεύειν ὁ καιρός· οὐκοῦν καὶ τοῦ τραύματα λαμβάνειν καὶ αἱμάττεσθαι καὶ ἀλγεῖν. Ἄκουσον τί φησιν ὁ μακάριος Παῦλος· [19]"Οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα [s]δέρων." Πάντα τὸν βίον ἐναγώνιον εἶναι νομίσωμεν, καὶ οὐδέποτε [t]ἀνάπαυσιν ζητήσομεν, οὐδέποτε θλιβόμενοι ξενοπαθήσομεν· [v]εἴπερ μηδὲ πύκτης, ὅτε ἐν ἀγῶνί ἐστι, ξενοπαθεῖ. Ἕτερός ἐστιν ὁ τῆς ἀνέσεως καιρός· διὰ θλίψεως ἡμᾶς τελειωθῆναι δεῖ. Εἰ καὶ μὴ διωγμός ἐστι μηδὲ [w]θλῖψις, ἀλλ' εἰσὶν ἕτεραι θλίψεις, αἱ καθ' ἑκάστην ἡμέραν ἡμῖν συμπίπτουσαι· εἰ δὲ [x]ταύτας οὐ φέρομεν, σχολῇ γε ἐκείνας [y]ἐνέγκαι-
D μεν ἄν. [20]"Πειρασμὸς [z]ὑμᾶς οὐκ εἴληφε, φησὶν, εἰ μὴ ἀνθρώπινος." Εὐχώμεθα [a]μὲν οὖν τὸν θεὸν μὴ εἰσελθεῖν εἰς πειρασμόν· εἰσελθόντες δὲ, φέρωμεν γενναίως. Ἐκεῖνο μὲν γὰρ σωφρόνων ἀνδρῶν, τὸ μὴ κινδύνοις ἐπιρρίπτειν ἑαυτούς· τοῦτο δὲ γενναίων καὶ [b]φιλοσόφων. Μήτε οὖν ἐπιρρίπτωμεν ἑαυτοὺς ἁπλῶς· θρασύτητος γάρ· μήτε ἀγόμενοι, καὶ [c]τῶν πραγμάτων

18 2 Tim. iii. 12. 19 1 Cor. ix. 26. 20 Ibid. x. 13.

[k] καί φησι—ὀδυνᾶσαι] διὸ καὶ ἐπάγει· ἀλλ' ὧδε (ὁ δὲ Sav. marg.) μὲν παρακαλεῖται· ὁρᾷς γὰρ αὐτὸν ἐντρυφῶντα· σὺ δὲ ὀδυνᾶσαι K.Q. Sav. marg. [l] γὰρ om. N. Mox καὶ σὺ ὀδυνᾶσαι om. A. [m] ἀλγῶμεν O. Mox ἁμαρτωλοὺς sine artic. idem. Infra ἁμαρτημάτων pro ἁμαρτιῶν N. [n] καί φ. ὁ (ὁ om. N.) Π.] ἔξειν. διὸ καὶ διδάσκει Π. K.Q. [o] πάντες] + δὲ R. Mox εὐσ. ζ. pro ζ. εὐσ. et Ἰησοῦ om. K.Q. Eclog. [p] σκάμματι] + ὢν N.O. [q] παμπλήθουσαν R. Statim σιτίων καὶ οἴνου Q. [r] ἀγῶνος (ἀγὼν a pr. m. O. favente Mut.) cum στενοχωρίᾳ vulgo jungunt, invitis O.Q.R. Eclog. Mut. [s] δαίρων A. Veron. [t] ἄνεσιν K.Q. Eclog. Statim ζητήσωμεν A.N. Mut. Veron. et sic a pr. m. O.R. Mox ξενοπαθήσωμεν N. Mut. [v] εἴπερ] ὅπερ A. Statim οὐδὲ π. ὅτι ἐν ἀ. N. Post ἐστι add. νῦν K.Q. [w] θλίψεις O. Sequentia ἀλλ' εἰσὶν ἕ. θλίψεις in marg. habet idem. [x] ταῦτα Veron. Mox ἐκεῖνα R. [y] ἐνέγκαιμεν] Sic A.O. Eclog. ἐνέγκοιμεν K.Q. ἐνεγκεῖν N.R. ἐνέγκωμεν Edd. [z] ἡμᾶς A.R. [a] μὲν om. A. Mox τῷ θεῷ K.N.O.Q. Eclog. Sav. cet. [b] φιλοσόφων] + τὸ ἵστασθαι ἐμπεσόντας (ἐκπ. Q.) K.Q. Sav. cet. [c] τῶν om. Q. Mox ἐνδῶμεν N.

Digitized by Google

καλούντων, ἐνδιδῶμεν· δειλίας γάρ· ἀλλ' ἐὰν μὲν τὸ κήρυγμα
καλῇ, μὴ παραιτώμεθα· ἁπλῶς δὲ, αἰτίας μὴ οὔσης, [d]μήτε
χρείας, μήτε ἀνάγκης τῆς κατὰ θεοσέβειαν καλούσης, μὴ ἐπι- 59
τρέχωμεν· ἐπίδειξις γάρ ἐστι τὸ πρᾶγμα, καὶ φιλοτιμία πε-
ριττή. Ἐὰν δέ τι τῶν [e]τὴν εὐσέβειαν παραβλαπτόντων γίνηται,
κἂν μυρίους ὑποστῆναι [f]δέῃ θανάτους, μηδὲν παραιτώμεθα. Μὴ
[g]προκαλοῦ τοὺς πειρασμοὺς, ὅταν σοι τὰ κατὰ τὴν εὐσέβειαν
προχωρῇ ὡς ποθεῖς· τί περιττοὺς ἐπισπᾶσαι κινδύνους οὐδὲν
κέρδος ἔχοντας;

Ταῦτα λέγω βουλόμενος ὑμᾶς φυλάττειν τοὺς νόμους τοῦ
Χριστοῦ κελεύοντος [h]εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμὸν, καὶ
[i]κελεύοντος τὸν σταυρὸν λαβόντας ἀκολουθεῖν αὐτῷ. Ταῦτα B
[k]μὲν γὰρ οὐκ ἔστιν ἐναντία, ἀλλὰ καὶ σφόδρα συνᾴδοντα. Σὺ
μὲν [l]γὰρ οὕτω παρεσκευάσο ὡς στρατιώτης γενναῖος, ἐν τοῖς
ὅπλοις ἔσο διηνεκῶς, νήφων, ἐγρηγορὼς, ἀεὶ τὸν [m]πολέμιον
(461) προσδοκῶν· πολέμους μέντοι μὴ τίκτε· τοῦτο γὰρ οὐκ ἔστι
στρατιώτου, ἀλλὰ στασιαστοῦ. Ἐὰν δὲ ἡ τῆς εὐσεβείας σάλ-
πιγξ καλῇ, εὐθέως ἔξιθι, [n]καὶ καταφρόνησον τῆς ψυχῆς, καὶ
ἔμβηθι μετὰ πολλῆς τῆς προθυμίας εἰς τοὺς ἀγῶνας, ῥῆξον τὴν
φάλαγγα τῶν ἐναντίων, σύγκοψον τὸ πρόσωπον τοῦ διαβόλου,
στῆσον τὸ τρόπαιον· ἐὰν δὲ μηδὲν ἡ εὐσέβεια παραβλάπτηται,
[o]μηδὲ πορθῇ τις τὰ ἡμέτερα δόγματα, [p]τὰ κατὰ τὴν ψυχὴν C
λέγω, μηδὲ ἀναγκάζῃ τι ποιεῖν τῶν μὴ δοκούντων τῷ θεῷ, μὴ
περιττὸς ἔσο. Αἱμάτων δεῖ γέμειν τὸν [q]τοῦ Χριστιανοῦ βίον,
αἱμάτων, [r]οὐκ ἐν τῷ τὰ ἀλλότρια ἐκχεῖν, ἀλλ' ἐν τῷ ἕτοιμον
εἶναι τὸ ἑαυτοῦ ἐκχεῖν. Μετὰ τοσαύτης τοίνυν προθυμίας [s]τὸ
ἴδιον αἷμα ἐκχέωμεν, ὅταν ὑπὲρ τοῦ Χριστοῦ τοῦτο [t]ᾖ, μεθ'
ὅσης ἂν ὕδωρ τις ἐκχέοι· καὶ γὰρ ὕδωρ ἐστὶ τὸ αἷμα περιρρέον
τὸ σῶμα· καὶ μετὰ τοσαύτης εὐκολίας τὴν σάρκα [v]ἀποδυώμεθα,
μεθ' ὅσης ἂν καὶ τὸ ἱμάτιον. Τοῦτο δὲ [w]ἔσται, ἐὰν μὴ χρή-
μασιν ὦμεν προσδεδεμένοι, ἂν μὴ οἰκίαις, ἂν μὴ [x]προσπαθείᾳ, D

[d] μηδὲ O. [e] τὴν] εἰς R. Mox γένηται R. γίνεται A. [f] δέῃ θ.] θ. δέῃ K.O.Q. Statim μὴ παρ. μηδὲν K.Q. Eclog. [g] προκαλοῦ K.Q. προκαλοῦ (σ superscr.) (sic, sed postea eraso σ) N. Edebatur προσκαλοῦ. [h] εὔχεσθε N. Veron. et ex corr. O. [i] κελεύοντα (corr. ex κελεύοντας) O. Post κελεύοντος add. πάλιν K.Q. Sav. cet. [k] μὲν γὰρ] δὲ K.Q. μὲν om. N.O. Eclog. [l] γὰρ] οὖν K. Sav. cet. γὰρ om. Q. [m] πόλεμον N. [n] καὶ om. N.Q. [o] μήτε Q.R. Veron. [p] τὰ om. A.K.Q.R. Eclog. Veron. Mox ἀναγκάζειν A. [q] τοῦ om. N. [r] οὐχὶ τῷ et mox ἀλλὰ τῷ ex corr. R. τὰ om. idem. ἑτέρων pro ἀλλότρια N.O. [s] τὸ αἷμα ἐκχ. τὸ ἴδιον K.Q. Eclog. Mox ὑπὲρ Χρ. K.Q.R. Eclog. [t] ᾖ] χέειν ἐξῇ K.Q. [v] ἀποδυσώμεθα O. [w] ἔστιν R. ἂν pro ἐὰν K.N.Q. ἐὰν ter Eclog. [x] προσπαθείαις N.R.

Digitized by Google

[y]ἂν πάντων ὦμεν ἀπηρτημένοι. Εἰ γὰρ οἱ τὸν στρατιωτικὸν τοῦτον βίον ζῶντες πᾶσιν ἀποτάσσονται, καὶ ἔνθα ἂν [z]ὁ πόλεμος καλῇ, ἐκεῖ παραγίνονται καὶ ὁδοιποροῦσι, καὶ πάντα μετὰ προθυμίας ὑπομένουσι· πολλῷ μᾶλλον ἡμᾶς τοὺς τοῦ Χριστοῦ στρατιώτας οὕτω [a]παρεσκευάσθαι χρὴ, καὶ παρατάττεσθαι πρὸς τὸν πόλεμον τῶν παθῶν. Οὐκ ἔστι διωγμὸς νῦν, μηδὲ γένοιτο γενέσθαι ποτέ· ἀλλ' ἕτερος πόλεμός ἐστιν, ὁ τῆς τῶν χρημάτων ἐπιθυμίας, ὁ τῆς βασκανίας, ὁ [b]τῶν παθῶν. Τοῦτον τὸν πόλεμον διηγούμενος ὁ Παῦλός φησιν, [21] "Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα." Ἀεὶ οὗτος ὁ πόλεμος [c]ἐνέστηκε· διὰ τοῦτο ἀεὶ ὡπλισμένους ἡμᾶς ἑστάναι [d]βούλεται. Ὅτι γὰρ ἀεὶ ὡπλισμένους ἑστάναι βούλεται, [22] "[e]Στῆτε, φησὶ, περιζωσάμενοι·" ὅπερ καὶ αὐτὸ ἐνεστῶτός [f]ἐστι καιροῦ· καὶ ἐνέφηνεν, ὅτι ἀεὶ δεῖ ὁπλίζεσθαι. Πολὺς γὰρ ὁ πόλεμος [g]διὰ γλώσσης, πολὺς δι' ὀφθαλμῶν· [h]τοῦτον τοίνυν κατέχωμεν· πολὺς ὁ τῶν ἐπιθυμιῶν. Διὰ τοῦτο ἐκεῖθεν ἄρχεται καθοπλίζειν τὸν στρατιώτην τοῦ Χριστοῦ· "[i]Στῆτε γὰρ, φησὶ, περιζωσάμενοι τὴν
B ὀσφὺν ὑμῶν·" καὶ ἐπήγαγεν, "ἐν ἀληθείᾳ." [k]Διὰ τί, "ἐν ἀληθείᾳ;" Ἐμπαιγμὸς [l]γάρ ἐστι καὶ ψεῦδος ἡ ἐπιθυμία· [m]διό φησιν ὁ προφήτης, [23] "Αἱ ψύαι μου ἐπλήσθησαν ἐμπαιγμάτων." Οὐκ ἔστιν ἡδονὴ τὸ πρᾶγμα, ἀλλὰ σκιὰ [n]ἡδονῆς. "Περιζωσάμενοι, φησὶ, τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ·" τουτέστι, τῇ [o]ἀληθινῇ ἡδονῇ, τῇ σωφροσύνῃ, τῇ κοσμιότητι. [p]Διὰ τοῦτο ταῦτα παραινεῖ, εἰδὼς τῆς ἁμαρτίας τὴν ἀτοπίαν, καὶ βουλόμενος ἡμῶν τὰ μέλη πάντα περιπεφράχθαι· [24] "Θυμὸς γὰρ, φησὶν, ἄδικος οὐκ ἀθῳωθήσεται·" καὶ θώρακα ἡμᾶς περικεῖσθαι βούλεται καὶ ἀσπίδα. Θηρίον γάρ ἐστιν εὐκόλως [q]ἐκπηδῶν ὁ

21 Ephes. vi. 12. 22 Ibid. vi. 14. 23 Psal. xxxvii. 8. 24 Sirac. i. 22.

[y] ἂν (+ μὴ A.R. Eclog. Veron.) πάντων] τῶν παρόντων K.Q. Sav. cet. Mox ἀπηρνημένοι R. et a pr. m. O. [z] ὁ om. R. Idem post ὁδοιποροῦσι add. καὶ πάντα ποιοῦσιν. [a] παρασκευάζεσθαι N.R. Eclog. Sav. cet. δεῖ pro χρὴ ex corr. O. [b] τῶν] + ἄλλων N. Sav. cet. [c] συνέστηκε A. ἕστηκε N. [d] βουλόμενος Q. Sequentia ὅτι γὰρ—βούλεται, quae exciderant, accesserunt ex N.O. Mut. [e] στῆτε οὖν, φ. Edd. οὖν om. N.O. Mut. [f] ἐστι—ἐνέφηνεν] εἶναι καιροῦ ἐνέφηνε, καὶ K.Q. Statim δεῖ ἀεὶ N. ἀεὶ om. R. [g] διὰ] ὁ διὰ O. Mox π. ὁ δι' ὀφθ. K.O.Q. [h] τοῦτον (τοῦτο A.) τ. κατέχωμεν om. K.Q. sed post ἐπιθυμιῶν add. τοῦτον τ. κατορθώσωμεν. [i] στ. γὰρ, φ.] λέγων, στ. οὖν K.Q. Mox καὶ ἐπήγαγεν om. iidem. [k] διὰ τί ἐν ἀ. om. R. [l] γὰρ] φησὶν K.Q. [m] διό φ. ὁ πρ.] ὥς που καὶ ὁ Δαυῒδ ἔφη K.Q. Sav. cet. Mox ἐνεπλήσθησαν N. [n] ἡδονῆς] + διὰ τοῦτο K.Q. Sav. cet. [o] ἀληθινῇ] ἀληθῆ (sic) O. ἐν ἀληθείᾳ N. [p] διὰ τοῦτο ταῦτα] διὰ (διὰ om. K.Q.) ταῦτα δὲ K.Q. Sav. cet. Mox πάντα τὰ μέλη hoc ord. K.Q.R. Eclog. [q] ἐκπηδῶν] Sic A.O. Floril. p. 278. (Tom. xii. p. 559 C.) ἐμπηδῶν Q.R. Eclog. Veron. ἐπιπηδῶν K.N. Sav. cet.

Digitized by Google

θυμὸς, καὶ μυρίων [r]θριγκίων καὶ διαφραγμάτων ἡμῖν [s]δεήσει C
πρὸς τὸ περιγενέσθαι καὶ κατασχεῖν. [t]Καὶ διὰ τοῦτο [v]ἡμῖν
τοῦτο μάλιστα τὸ μέρος, ὥσπερ ἔκ τινων λίθων τῶν ὀστέων
ᾠκοδόμησεν ὁ θεὸς, [w]ἔρεισμα αὐτῷ [x]περιθεὶς, ὥστε μὴ [y]διαρ-
ρήξαντά ποτε, [z]μηδὲ διατεμόντα, εὐκόλως τὸ πᾶν λυμήνασθαι
ζῶον. Πῦρ γάρ ἐστι, φησὶ, καὶ ζάλη μεγάλη, καὶ οὐκ ἂν
ἕτερον μέλος [a]ταύτην τὴν βίαν ἀνάσχοιτο. Λέγουσι δὲ καὶ
ἰατρῶν παῖδες τούτου χάριν [b]ὑπεστορῆσθαι τὸν πλεύμονα τῇ
καρδίᾳ, ὥστε εἰς ἁπαλὸν αὐτὴν οὖσαν καθάπερ εἴς τινα σπόγγον
ἐναλλομένην, διαναπαύεσθαι [c]τὴν καρδίαν, ἀλλὰ μὴ εἰς τὸ ἀντί- D
τυπον καὶ σκληρὸν [d]τὸ στέρνον καταβλάπτεσθαι τῇ [e]ῥύμῃ τῶν
ἁλμάτων. Δεῖ τοίνυν ἡμῖν θώρακος ἰσχυροῦ, ὥστε διαπαντὸς
ἐν ἡσυχίᾳ [f]τοῦτο τὸ θηρίον διατηρεῖν· δεῖ [g]δὲ ἡμῖν καὶ περικε-
φαλαίας. Ἐπειδὴ γὰρ ἐκεῖ τὸ λογιστικὸν τυγχάνει, καὶ ἀπὸ
τούτου ἢ σωθῆναι δυνατὸν, [h]ὅταν τὰ δέοντα γίνωνται, ἢ ἀπο-
λέσθαι [i]ἔνι· διὰ τοῦτό φησι, [25]"[k]Καὶ περικεφαλαίαν σωτη-
ρίου." Ὁ γὰρ ἐγκέφαλος [l]φύσει μὲν ἔστιν ἁπαλός· διὸ καὶ
αὐτὸς, καθάπερ τινὶ ὀστράκῳ, τῷ βρέγματι καλύπτεται ἄνωθεν.
Πάντων δὲ ἡμῖν αἴτιος γίνεται τῶν ἀγαθῶν καὶ τῶν κακῶν, εἴτε
τὰ δέοντα γνοὺς, εἴτε τὰ μὴ τοιαῦτα. Καὶ οἱ πόδες δὲ καὶ αἱ 61
χεῖρες [m]ὅπλων ἡμῖν δέονται· οὐχ αὗται αἱ χεῖρες, οὐδὲ οὗτοι οἱ
πόδες, ἀλλὰ πάλιν [n]οἱ τῆς ψυχῆς· αἱ μὲν μελετῶσαι τὰ δέοντα,
οἱ δὲ ἵνα πορεύωνται ἔνθα χρή. Καθοπλίσωμεν τοίνυν ἑαυτοὺς
(462) οὕτω, καὶ [o]δυνησόμεθα περιγενέσθαι τῶν πολεμίων, καὶ τὸν
[p]στέφανον ἀναδήσασθαι, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ'
οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν
καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

25 Ephes. vi. 17.

[r] τριγχίων Veron. et ex corr. O. τριγχῶν R. θριγγείων A. θριγκίων καὶ δ. ἡμῖν] ἡμῖν θριγκίων N. [s] δεῖ K.Q. Flor. Sav. cet. [t] καὶ om. K.N.Q. [v] ἡμῖν τοῦτο μ. pro μ. ἡμῖν τοῦτο omnes. [w] ἐρείσματα N. [x] περιθεὶς (θεὶς Flor. et ante corr. O.)] + ταῦτα K.Q. Flor. Sav. cet. [y] διαρρῆξαν et mox διατεμὸν Eclog. Sav. cet. repugnantibus libris cum Flor. et Veron. [z] μήτε K.Q. et ex corr. O. [a] ταύτην] + ἂν N.O. Flor. [b] ὑπεστορεῖσθαι A.N. ὑπεστορέσθαι Q. Statim τὸν πνεύμονα A.N.O. Eclog. Mox ὥστε ἁπαλὸν ὂν αὐτὸ (ut videtur) a pr. m. O. [c] τὴν καρδίαν om. K.Q. inclusum a Sav. [d] τὸ στέρνον (τῶν στέρνων N.)] + ἐμπίπτουσαν K.Q. [e] ῥύμῃ] πυκνότητι K.Q. Sav. cet. [f] τοῦτο] οὗ A. [g] δὲ om. Q. Mox γὰρ om. K.Q. Mut. [h] ὅταν] ἐὰν K.N.R. Sav. cet. [i] ἔνι] + εἰ τὰ μὴ δέοντα N.R. Sav. cet. invitis Eclog. Mut. [k] καὶ τὴν π. (+ τοῦ N.) σ. N. Sav. cet. [l] φύσεως μὲν ἔστιν ἁπαλῆς· διόπερ N. [m] ὅπλον (ὅπλων R.) ἡμῖν δέδονται N.O.R. [n] οἱ] αἱ O. [o] δυνησώμεθα A. et ex corr. O. [p] στέφανον] + τὸν (τὸν om. Sav. cet.) τῆς νίκης K.Q. Sav. cet. Statim ἀναδύσασθαι A.

Digitized by Google

B
ΛΟΓΟΣ S.

[1]Διὸ, καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον, Σήμερον ἐὰν τῆς φωνῆς
[a]αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ
παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ·
[b]οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον
τὰ ἔργα μου τεσσαράκοντα ἔτη. [c]Διὸ προσώχθισα τῇ γενεᾷ
C ἐκείνῃ, καὶ εἶπον· ἀεὶ πλανῶνται τῇ καρδίᾳ, αὐτοὶ δὲ οὐκ
ἔγνωσαν τὰς ὁδούς μου. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσε-
λεύσονται εἰς τὴν κατάπαυσίν μου.

ΔΙΑΛΕΧΘΕΙΣ περὶ ἐλπίδος ὁ Παῦλος, καὶ εἰπὼν, ὅτι
"Οἶκος αὐτοῦ ἐσμεν, ἐάνπερ [d]τὴν παρρησίαν καὶ τὸ καύχημα
τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν," δείκνυσι λοι-
πὸν ὅτι βεβαίως χρὴ προσδοκᾶν, καὶ τοῦτο πιστοῦται ἀπὸ
τῶν γραφῶν. Προσέχετε δέ· δυσκολώτερον γάρ πως αὐτὸ
ἔφρασε, καὶ δυσκαταληπτότερον. Διὸ χρὴ τὰ παρ' [e]ἡμῶν
εἰπόντας, καὶ συντόμως τὴν πᾶσαν ὑμᾶς ὑπόθεσιν διδάξαντας,
D οὕτως ἐπαφεῖναι τὸν λόγον τοῖς γεγραμμένοις· οὐκέτι γὰρ
ἡμῶν δεηθήσεσθε, ἐὰν τὸν σκοπὸν μάθητε τὸν ἀποστολικόν.
Περὶ ἐλπίδος ἦν αὐτῷ ὁ λόγος, καὶ ὅτι χρὴ ἐλπίζειν τὰ μέλ-
λοντα, [f]καὶ ὅτι [g]πάντως ἔσται τοῖς ἐνταῦθα πονήσασι μισθός
τις καὶ καρπὸς καὶ ἀνάπαυσις. Τοῦτο οὖν ἀπὸ τοῦ προφήτου
[h]δείκνυσι· καὶ τί φησι; "[i]Διὸ, καθὼς λέγει τὸ πνεῦμα τὸ
ἅγιον, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε
τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν
τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν,
ἐδοκίμασάν με, καὶ [k]εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. Διὸ
προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον· ἀεὶ πλανῶνται τῇ καρ-
62 δίᾳ, αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. Ὡς ὤμοσα ἐν τῇ
ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου." Τρεῖς
φησι καταπαύσεις εἶναι· μίαν τὴν τοῦ σαββάτου, ἐν ᾗ ὁ θεὸς
κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ· δευτέραν [l]τὴν τῆς Παλαι-
στίνης, εἰς ἣν εἰσελθόντες οἱ Ἰουδαῖοι ἔμελλον [m]ἀναπαύεσθαι

[1] Cap. III. v. 7—11.

Hom. VI. [a] αὐτοῦ om. Q. [b] οὗ—κατάπαυσίν μου om. Q. [c] διὸ om. Veron. προσώχθησα semper R. Veron. διὸ—κατάπαυσίν μου om. K. [d] τὴν π. καὶ om. in text. O. [e] ἡμῶν] + πρότερον K.Q. Sav. cet. invito Supp. [f] καὶ om. K. Cat. [g] πάντως ἔσται] Sic N.O. Mut. ἔσται πάντως Cat. Sav. cet. πάντως om. K.Q.R. Veron. πάντως ἔσται om. A. Mox πονήμασι A. πονέσασι a pr. m. O. [h] δείκνυσι· καὶ] δεικνὺς K.Q. [i] διὸ om. Q. διὸ—ἅγιον om. K. [k] ἴδοσαν (sic) R. [l] τὴν] + ἐπὶ O. τὴν om. A.K.R. Veron. invitis Cat. Supp. [m] ἀναπαύσεσθαι A.N. Sav. cet.

Digitized by Google

ἀπὸ τῆς ταλαιπωρίας τῆς πολλῆς καὶ τῶν πόνων· τρίτην [n]τὴν ὄντως ἀνάπαυσιν, τὴν βασιλείαν τῶν οὐρανῶν, [o]ἧς οἱ τυχόντες ἀναπαύονται [p]ὄντως τῶν πόνων καὶ τῶν μόχθων. Τῶν τριῶν τοίνυν ἐνταῦθα μέμνηται. Καὶ τίνος ἕνεκεν περὶ τῆς μιᾶς δια-λεγόμενος, τῶν τριῶν ἐμνημόνευσεν; Ἵνα δείξῃ τὸν προφήτην B περὶ ταύτης λέγοντα. Περὶ μὲν γὰρ τῆς πρώτης [q]οὐκ εἶπε, φησί· πῶς γάρ, τῆς πάλαι γεγενημένης; Ἀλλ' οὐδὲ [r]περὶ τῆς δευτέρας τῆς ἐν Παλαιστίνῃ· πῶς γάρ; "[s]Οὐ γὰρ εἰσελεύσονται, φησὶν, εἰς τὴν κατάπαυσίν μου." [t]Λείπεται δὴ τὴν τρίτην ταύτην εἶναι λοιπόν. Ἀναγκαῖον δὲ καὶ τὴν ἱστορίαν ἀναπτύξαι, ὥστε σαφέστερον ποιῆσαι τὸν λόγον. Ἐπειδὴ γὰρ ἀπὸ τῆς Αἰγύπτου ἐξελθόντες, καὶ πολλὴν ὁδὸν διανύσαντες, καὶ μυρία τῆς τοῦ θεοῦ δυνάμεως λαβόντες τεκμήρια, ἔν [v]τε τῇ Αἰγύπτῳ, ἔν τε τῇ ἐρυθρᾷ θαλάττῃ, ἔν τε τῇ ἐρήμῳ, [w]ἐβουλεύσαντο πέμψαι κατασκόπους τοὺς διασκεψομένους τὴν C φύσιν τῆς γῆς· οἱ δὲ ἀπελθόντες ἐπανῆλθον, τὴν μὲν χώραν θαυμάζοντες, καὶ γενναίων καρπῶν εὔφορον εἶναι λέγοντες, ἀνθρώπων μέντοι ἀκαταμαχήτων εἶναι [x]χώραν καὶ ἰσχυρῶν· οἱ [y]δὲ ἀγνώμονες Ἰουδαῖοι καὶ ἀναίσθητοι, δέον αὐτοὺς τῶν προτέρων [z]τοῦ θεοῦ εὐεργεσιῶν ἀναμνησθῆναι, καὶ [a]πῶς αὐτοὺς εἰς μέσον ἀπειλημμένους στρατοπέδων τοσούτων Αἰγυπτιακῶν [b]ἐξήρπασε τῶν κινδύνων, καὶ τῶν λαφύρων αὐτῶν ἐποίησε κυρίους, [c]καὶ
(463) πάλιν ἐν τῇ ἐρήμῳ πέτραν ἔρρηξε, καὶ τῶν ὑδάτων τὴν ἀφθονίαν ἐχαρίσατο, καὶ τὸ μάννα [d]παρέσχε, καὶ τὰ ἄλλα [e]θαυ- D μάσια ἅπερ εἰργάσατο, καὶ πιστεῦσαι τῷ θεῷ· τούτων μὲν οὐδὲν [f]ἐνενόησαν, ἅτε δὲ ὡς μηδενὸς γενομένου, οὕτω καταπλαγέντες, [g]πάλιν εἰς Αἴγυπτον, [h]φασὶν, εἰσιέναι βουλόμεθα·

[n] τὴν] + καὶ K.Q. Sav. cet. [o] ἧς] οἷς A. Mox ἀναπαύσονται N. [p] ὄντως] ἀληθῶς K.Q. Sav. cet. Mox κόπων pro πόνων K. Sav. cet. [q] οὐκ εἶπε, φ.] οὐ λέγει K.Q. Mox πρώτης pro πάλαι N. [r] περὶ om. a pr. m. O. Mox ἐν τῇ Π. K. [s] οὐ γὰρ—μου] καὶ αὐτῆς τέλος ἤδη λαβούσης K.Q. Sav. cet. invitis Cat. Supp. Mut. Post μου add. εἰς δὲ τὴν Παλαιστίνην καὶ εἰσῆλθον καὶ ἀνεπαύσαντο Cat. [t] λ. δὴ (δὲ R.) (+ περὶ τὴν R.) τὴν τρ. ταύτην εἶναι] λ. δὴ περὶ τῆς τρίτης αὐτὸν λέγειν K.Q. Sav. cet. invitis iisdem. [v] τε ter a pr. m. om. O. Mox θαλάττῃ om. Supp. [w] ἠβουλήθησαν Veron. Mox τοὺς a pr. m. om. O. [x] χώραν] κατὰ τὴν χώραν A. Veron. ἐντυχεῖν κατὰ τ. χ. Sav. marg. [y] δὲ om. K.Q. Sav. cet. [z] τοῦ θ. εὐεργ. ἀναμν.] ἀναμν. τοῦ θ. εὐεργ. N.O. εὐεργ. τοῦ θ. ἀναμν. Supp. εὐεργ. μνησθῆναι Veron. [a] ὅπως a pr. m. O. Mox ἐπειλημμένους R. ἐπιλημ. in text. O. [b] ἐξ. τῶν κ.] οὐ μόνον ἐξ. τῶν κ. ἀλλὰ K.Q. Sav. cet. [c] καὶ] + πῶς iidem. [d] παρέσχε] + καὶ ταῦτα ἀναμνησθέντας iidem. [e] θ. ἅπερ εἰργ.] θ. ἀπειργ. Veron. εἰργ. θ. Supp. θαύματα ἅπερ εἰργ. K.Q. Sav. cet. Proximum καὶ om. iidem. [f] ἐνενόησαν] ἐβουλεύοντο K.Q. Mox δὴ pro δὲ O. Veron. [g] πάλιν] + φησὶν N. Mox φασὶν om. idem. [h] φασὶν—ἐξήγαγε γὰρ] ὑποστρέφειν ἐβούλοντο, λέγοντες, ἐξήγαγεν K.Q. Sav. cet.

Digitized by Google

ἐξήγαγε γὰρ [i] ἡμᾶς, φησὶν, ὧδε ὁ θεὸς, ὥστε ἀνελεῖν ἡμᾶς μετὰ
παίδων καὶ γυναικῶν. Ὁ τοίνυν θεὸς ὀργιζόμενος, ὅτι οὕτω
ταχέως ἐξέβαλον [k] τὴν μνήμην τῶν γεγενημένων, ὤμοσε μὴ
εἰσελθεῖν τὴν γενεὰν ἐκείνην τὴν ταῦτα εἰρηκυῖαν εἰς τὴν κατά-
παυσιν· καὶ πάντες ἀπώλοντο ἐν τῇ ἐρήμῳ. Ἐπεὶ οὖν ὁ Δαυΐδ,
63 [l] φησὶν, ὕστερον [m] καὶ μετὰ ταῦτα, μετὰ τὴν γενεὰν τὴν ἐκείνων
[n] διαλεγόμενος ἔλεγεν, ὅτι "Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ
[o] ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας [p] ὑμῶν," ἵνα μὴ τὰ αὐτὰ
πάθητε, ἅπερ οἱ πρόγονοι οἱ ὑμέτεροι, καὶ ἀποστερηθῆτε τῆς
καταπαύσεως· [q] δηλονότι ὡς οὔσης τινὸς καταπαύσεως. Ἐπεὶ
εἰ [r] ἀπειληφότες ἦσαν τὴν κατάπαυσιν, φησὶ, τίνος ἕνεκεν αὐτοῖς
πάλιν λέγει τὸ, "Σήμερον [s] ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ
σκληρύνητε τὰς καρδίας ὑμῶν, [t] ὡς οἱ πατέρες ὑμῶν;" [v] Τίς οὖν
ἐστιν ἄλλη κατάπαυσις, ἀλλ' ἢ [w] ἡ βασιλεία τῶν οὐρανῶν, ἧς
B εἰκὼν καὶ τύπος ἐστὶ τὸ σάββατον; Εἶτα θεὶς τὴν μαρτυρίαν
πᾶσαν· αὕτη δέ ἐστι, "Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε,
μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ,
κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· οὗ ἐπείρασάν με
οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσα-
ράκοντα ἔτη. Διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον· ἀεὶ
πλανῶνται τῇ καρδίᾳ, αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. Ὡς
ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν
μου·" τότε ἐπάγει· [2] "Βλέπετε, [x] ἀδελφοὶ, μήποτε ἔσται ἔν
τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ θεοῦ
C ζῶντος." Ἀπὸ γὰρ [y] σκληρότητος ἡ ἀπιστία γίνεται· [z] καὶ
καθάπερ τὰ πεπωρωμένα τῶν σωμάτων καὶ σκληρὰ οὐκ εἴκει
ταῖς τῶν ἰατρῶν χερσίν· οὕτω καὶ αἱ ψυχαὶ αἱ σκληρυνθεῖσαι
οὐκ [a] εἶκον τῷ λόγῳ τοῦ θεοῦ. Εἰκὸς γάρ τινας καὶ ἀπιστεῖν
λοιπὸν, ὡς οὐκ ὄντων ἀληθῶν τῶν [b] γενομένων. Διὰ τοῦτό φησι,

2 v. 12.

[i] ἡμᾶς om. N. Veron. φησὶν om. K.Q. Sav. cet. ὧδε om. N. [k] τὴν μν. τῶν γ. pro τὴν τῶν γ. μν. omnes. [l] φησὶν om. A.K.Q. Sav. cet. invito Supp. [m] καὶ om. N. et a pr. m. O. καὶ μετὰ ταῦτα (+ καὶ Veron.) om. K.Q. Sav. cet. Statim τὴν γ. ἐκείνων N.O. τὴν ἐκείνων γ. Supp. [n] διαλεγόμενος (-νον A.) ἔλεγεν ὅτι] διελέγετο K.Q. Sav. cet. [o] ἀκούσητε] + φησὶ iidem. [p] ὑμῶν] + ὡς ἐν τῷ παραπικρασμῷ· διὰ τί; Sav. cet. Haec om. N.O.R. Supp. Mut. ὡς ἐν τῷ π. om. K.Q. διὰ τί; om. A. Veron. [q] δ. ὡς οὔσης (+ ἄλλης Supp.) τινὸς κ.] ὡς οὔσης τινὸς κ. δηλῶν διὰ τούτου (τοῦτο Q.) K.Q. Post καταπαύσεως add. ταῦτα ἔλεγεν (λέγει Supp.) Supp. Sav. cet. invitis libris. [r] εἰληφ. N. Mox φησὶ om. K.Q. [s] ἐὰν—ἀκούσητε om. N.O. Mut. [t] ὡς οἱ π. ὑμῶν] Sic A.N.O.R. Supp. Mut. ὡς ἐν τῷ παρ. Edd. ὡς οἱ π. ὑμῶν om. K.Q. [v] τίς] τίνος A. [w] ἡ om. A. Mox ἐστι om. K.Q. [x] ἀδελφοὶ om. A.R. Veron. [y] σκλ.] τῆς σκλ. A.K.Q. Sav. cet. invitis Cat. Supp. [z] καὶ om. A. [a] εἴκουσι K.O.Q. Supp. Sav. cet. non Cat. [b] γεγενημένων K.N. Sav. cet.

Digitized by Google

“Βλέπετε μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας,
ἐν τῷ ἀποστῆναι ἀπὸ θεοῦ ζῶντος.” Ἐπειδὴ γὰρ ὁ τῶν μελ-
λόντων λόγος οὐκ ἔστιν οὕτω πιθανὸς, ὡς ὁ τῶν παρελθόντων,
ἀναμιμνήσκει αὐτοὺς ἱστορίας, ἐν ᾗ πίστεως ἐδεήθησαν. Εἰ γὰρ D
οἱ πατέρες ὑμῶν, φησὶν, ἐπειδὴ οὐκ ἤλπισαν [c]ὥσπερ ἐχρῆν ἐλ-
πίσαι, ταῦτα ἔπαθον, πολλῷ μᾶλλον ὑμεῖς· καὶ γὰρ πρὸς αὐ-
τοὺς οὗτός ἐστιν ὁ λόγος. Τὸ γὰρ, “σήμερον,” φησὶν, ἀεί
ἐστιν, ἕως ἂν [d]συνεστήκῃ ὁ κόσμος.

[3]“Διὸ παρακαλεῖτε ἑαυτοὺς καθ’ ἑκάστην ἡμέραν, ἄχρις οὗ
τὸ σήμερον [e]καλεῖται.” Τουτέστιν, οἰκοδομεῖτε ἀλλήλους, ἀν-
ορθώσατε ἑαυτοὺς, ἵνα μὴ [f]τὰ αὐτὰ γένηται. “Ἵνα μὴ σκλη-
ρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας.” Ὁρᾷς ὅτι τὴν ἀπι-
στίαν ἡ ἁμαρτία ποιεῖ; Ὥσπερ [g]γὰρ ἡ ἀπιστία βίον τίκτει
πονηρὸν, οὕτω καὶ [h]ψυχὴ, ὅταν εἰς [i]βάθος ἔλθῃ κακῶν, κατα- 64
φρονεῖ· καταφρονήσασα δὲ, οὐδὲ πιστεύειν ἀνέχεται, ὥστε
ἀπαλλάξαι φόβου ἑαυτήν. [4]“[k]Εἶπον γὰρ, φησὶν, οὐκ ὄψεται
κύριος, οὐδὲ συνήσει ὁ θεὸς τοῦ Ἰακώβ·” καὶ πάλιν, “Τὰ χείλη
ἡμῶν [l]παρ’ ἡμῖν ἐστι· τίς ἡμῶν κύριός ἐστι;” καὶ πάλιν, “Ἕνε-
κεν τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν [m]θεόν;” καὶ πάλιν, “Εἶπεν
ἄφρων [n]ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι θεός. Διεφθάρησαν καὶ
ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν.” “[o]Οὐκ ἔστι φόβος θεοῦ
ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ· [p]ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ
τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ, καὶ μισῆσαι.” Καὶ ὁ Χριστὸς B
δὲ [q]τοῦτο αὐτό [r]φησι· [5]“Πᾶς ὁ φαῦλα πράσσων, μισεῖ τὸ
φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς.” Εἶτα ἐπάγει, [6]“Μέτοχοι
[s]γὰρ γεγόναμεν τοῦ Χριστοῦ.” Τί ἐστι, “Μέτοχοι γεγόνα-
μεν τοῦ Χριστοῦ;” [t]Μετέχομεν αὐτοῦ, φησὶν, ἓν ἐγενόμεθα
ἡμεῖς καὶ αὐτός· [v]εἴπερ αὐτὸς μὲν κεφαλὴ, σῶμα δὲ ἡμεῖς,
συγκληρονόμοι καὶ σύσσωμοι. Ἕν σῶμά ἐσμεν· [7]“Ἐκ τῆς
(464) σαρκὸς [w]αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ.” “Ἐάνπερ τὴν

[3] v. 13. [4] Psal. xciii. 7. xi. 5. ix. 34. xiii. 1. xxxv. 2, 3. [5] Joan. iii. 20. [6] v. 14. [7] Ephes. v. 30.

[c] ὥσπερ] ὡς O. [d] συνεστήκει A. Veron. συνέστηκεν R. συστήκῃ (sic, superscr. νε) O. Mox ἀλλὰ pro διὸ K.Q. Sav. cet. [e] καλῆται Supp. et ex corr. N. λέγεται Veron. [f] τὰ αὐτὰ] ταῦτα K.Q. [g] γὰρ om. O. Mox ἰὸν pro βίον N.R. [h] ἡ ψυχὴ Edd. ἡ om. K.N.O.Q.R. Cat. Supp. ὅταν ψ. pro ψ. ὅταν N.O. Cat. [i] πάθος A. Mox καταφρονῇ K. [k] εἶπε A. Veron. Mut. εἶπεν ex corr. O. Statim φησὶν om. A. Veron. Mox ὁ θ. τοῦ Ἰακὼβ om. O. [l] παρ’ ἡμῶν R. [m] θεὸν] + εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἐκζητήσει Supp. [n] ἐν τῇ καρδίᾳ O. [o] οὐκ] καὶ πάλιν, οὐκ K.Q.R. Sav. cet. Mox ἐνώπιον pro ἀπέναντι et αὐτῶν pro αὐτοῦ N.O. [p] ὅτι] καὶ πάλιν, ὅτι N.O. Sav. cet. [q] τοῦτο αὐτὸ omnes. αὐτὸ τοῦτο Edd. [r] φησὶ] δηλοῖ λέγων K.Q. Sav. cet. δηλοῖ, φησὶν A. Mox ὁ τὰ φαῦλα K.Q. [s] γὰρ eras. in N. [t] μετέχομεν] μέτοχοι μὲν R. [v] εἴπερ] καίπερ (om. μὲν) N. [w] αὐτοῦ] + φησὶ Sav. cet. φησὶ om. N.R. Cat. Supp. Mut. Veron. Mox ὀστῶν K.Q.R. Cat.

Digitized by Google

ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν." [x]Τί ἐστιν, "ἀρχὴν τῆς ὑποστάσεως;" Τὴν πίστιν, δι' ἧς ὑπέ-
C στημεν [y]καὶ γεγενήμεθα καὶ οὐσιώθημεν, ὡς ἄν τις εἴποι. [z]Εἶτα ἐπάγει, 8 "Ἐν τῷ λέγεσθαι, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, [a]ὡς ἐν τῷ παραπικρασμῷ." Καθ' ὑπερβατόν ἐστιν, "[b]Ἐν τῷ λέγεσθαι, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν." 9 "[c]Φοβηθῶμεν, μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι. Καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, [d]ὥσπερ κἀκεῖνοι, ἐν τῷ λέγεσθαι, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε." Τὸ γὰρ, "σήμερον," ἀεί ἐστιν. [e]Εἶτα, "Ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ [f]συγκεκραμένους τῇ πίστει τοῖς ἀκούσασι."
D [g]Πῶς οὐκ ὠφέλησεν; Εἶτα βουλόμενος αὐτοὺς φοβῆσαι, δείκνυσι [h]τοῦτο αὐτὸ δι' ὧν φησι· 10 "Τινὲς γὰρ ἀκούσαντες παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋσέως. Τίσι [i]δὲ προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ; Τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι; Καὶ βλέπομεν, ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν." Εἰπὼν [k]πάλιν τὴν μαρτυρίαν, [l]καὶ τὴν ἐρώτησιν ἐπάγει, ὅπερ ποιεῖ τὸν λόγον σαφῆ. "Εἶπε γὰρ, φησὶ, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας
65 ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ." Τίνων μέμνηται, [m]φησὶ, σκληρυνθέντων, τίνων δὲ ἀπειθησάντων; [n]οὐ τῶν Ἰουδαίων; Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἤκουσαν [o]κἀκεῖνοι, ὥσπερ ἡμεῖς ἀκούομεν· ἀλλ' οὐδὲν ὄφελος αὐτοῖς γέγονε. Μὴ τοίνυν νομί-

8 v. 15. 9 Cap. IV. v. 1, 2. 10 Cap. III. v. 16—19.

[x] τί (τίς Cat.) ἐστιν, ἀρχὴν (ἀρχὴ N.O. Cat. Sav. cet.) τῆς ὑ.] ἀρχὴν ὑ. K.Q. Supp. Post πίστιν add. λέγει A.K.Q. Supp. Sav. cet. [y] καὶ] + ἐν N. Statim γεγεννήμεθα A. Supp. Mox οὐσιώθημεν K.N. Cat. et a pr. m. O. *essentiales facti sumus* Mut. συνουσιώθημεν Edd. [z] Haec εἶτα ἐπάγει—τὰς καρδίας ὑμῶν desunt in Veron. [a] ὡς] ὥσπερ K.O.R. Sav. cet. [b] ἐν τῷ] τὸ N. ἐστιν—ὑμῶν] ἐστι τοῦτο· τὸ ἀκόλουθον δὲ οὕτως ἔχει K.Q. Supp. Sav. cet. Post ὑμῶν add. ὡς (ὡς om. A.) ἐν τῷ παραπ. A.N.R. invito Mut. [c] φοβηθῶμεν] + οὖν K.Q. Sav. cet. Mox δοκεῖ A. Veron. [d] ὥσπερ] καθάπερ K.N.O.Q. Statim ἐκεῖνοι K.O.Q. Supp. [e] εἶτα] + ἐπάγει K.Q. Sav. cet. εἶτα om. N.O. Mut. [f] συγκεκραμένους N.O.Q. Supp. Mut. συγκεκερασμένους R. Cat. συγκεκερασμένου A. συγκεκερασμένης Veron. συγκεκραμένης Sav. cet. Mox τοὺς ἀκούσαντας N. [g] πῶς] δείκνυσι (δεικνὺς Sav. cet.) πῶς ὁ λόγος K.Q. Sav. cet. invitis Cat. Mut. Post ὠφέλησεν add. ἐκ γὰρ τοῦ μὴ συγκραθῆναι οὐκ ὠφελήθησαν iidem. [h] τοῦτο αὐτὸ] Sic A.O. Cat. Supp. τὸ αὐτὸ N. καὶ τοῦτο αὐτὸ K.Q. αὐτὸ τοῦτο Edd. [i] δὲ] οὖν K.Q. [k] πάλιν om. K.Q. [l] καὶ τὴν ἐ.] κατ' ἐ. πάλιν iidem. Mox ποιῶν pro ὅπερ ποιεῖ K.Q. Sav. cet. [m] φησὶ om. K.Q. [n] οὐ] οὐχὶ N. Sav. cet. invitis Cat. Supp. [o] κἀκεῖνοι] + φησὶν O. Cat. Mut. et ex corr. N. receptum a Sav. cet.

Digitized by Google

σητε ὅτι ἀπὸ τοῦ ἀκούειν τοῦ κηρύγματος ὠφεληθήσεσθε· ἐπεὶ
κἀκεῖνοι ἤκουσαν, ἀλλ' οὐδὲν ἀπώναντο, ἐπειδὴ μὴ ἐπίστευσαν.
[p]Οἱ οὖν περὶ Χάλεβ καὶ Ἰησοῦν, ἐπειδὴ μὴ [q]συνεφώνησαν τοῖς
ἀπιστήσασι, διέφυγον τὴν κατ' ἐκείνων [r]ἐξενεχθεῖσαν τιμωρίαν.
Καὶ ὅρα [s]τί θαυμαστῶς· οὐκ εἶπεν, [t]οὐ συνεφώνησαν, ἀλλ', οὐ B
συνεκράθησαν· [v]τουτέστιν, ἀστασιάστως διέστησαν, ἐκείνων
πάντων μίαν καὶ τὴν αὐτὴν γνώμην ἐσχηκότων. Ἐνταῦθά μοι
δοκεῖ καὶ [w]στάσιν αἰνίττεσθαι. [11]"Εἰσελευσόμεθα γὰρ, [x]φησὶν,
εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες." [y]Πόθεν δῆλον τοῦτο,
ἐπήγαγε· "Καθὼς εἴρηκεν, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσε-
λεύσονται εἰς τὴν κατάπαυσίν μου· [z]καίτοι τῶν ἔργων ἀπὸ κα-
ταβολῆς κόσμου γενηθέντων." Καὶ μὴν τοῦτο οὐ τοῦ ἡμᾶς
εἰσελεύσεσθαι [a]δηλωτικόν ἐστιν, ἀλλὰ τοῦ ἐκείνους μὴ εἰσελη-
λυθέναι. Τί [b]οὖν; Σπουδάζει δεῖξαι τέως, ὅτι ὥσπερ ἡ κατά-
παυσις ἐκείνη οὐ κωλύει ἑτέραν κατάπαυσιν λέγεσθαι, οὕτως
[c]οὐδὲ αὕτη τὴν τῶν οὐρανῶν. Τέως οὖν θέλει δεῖξαι, ὅτι οὐκ C
ἔτυχον ἐκεῖνοι τῆς καταπαύσεως. Ὅτι γὰρ τοῦτο λέγει, [d]φησίν·
[12]"Εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτως· Καὶ κατέπαυσεν
ὁ θεὸς [e]τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· καὶ
ἐν τούτῳ πάλιν, [f]Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου."
Ὁρᾷς [g]πῶς οὐ κωλύει ἐκείνη ταύτην εἶναι κατάπαυσιν; [13]"Ἐπεὶ
οὖν ἀπολείπεται, [h]φησὶ, τινὰς εἰσελθεῖν εἰς αὐτὴν, καὶ οἱ πρό-
τερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπείθειαν· πάλιν τινὰ
ὁρίζει ἡμέραν, Σήμερον, ἐν Δαυῒδ λέγων, μετὰ τοσοῦτον χρό-
(465) νον, καθὼς [i]προείρηται." Τί [k]δέ ἐστιν ὅ φησιν; Ἐπεὶ οὖν D
ὀφείλουσι, [l]φησὶ, τινὲς εἰσελθεῖν [m]πάντως, ἐκεῖνοι δὲ οὐκ [n]εἰσ-

11 Cap. IV. v. 3. 12 v. 4, 5. 13 v. 6, 7.

[p] οἱ οὖν] οἱ γοῦν O. οἷον οἱ K.Q. οἱ δὲ Supp. Mox ἐπειδὴ γὰρ μὴ K.Q. [q] συνεφωνήθησαν A. συνεκράθησαν K.Q. Supp. Sav. cet. Hi autem post ἀπιστήσασι add. τουτέστιν, οὐ (οὐ om. Supp.) συνεφώνησαν. [r] ἐνεχθεῖσαν Q. ἐνεχθεῖσθεν K. ἐναχθεῖσαν Supp. [s] τί θαυμαστῶς] Sic A.R. Cat. Veron. *quam mirabiliter* Mut. τὸ θαυμαστὸν K.Q. Supp. τὸ θαυμάσιον (ιον ex corr.) O. τι θαυμαστὸν N. Sav. cet. [t] οὐ om. N. Statim συνήνεσαν Cat. [v] τουτέστιν] δηλῶν ἐντεῦθεν ὅτι K.Q. Supp. [w] ἀπόστασιν O. Mox εἰσερχόμεθα K.Q. Supp. Sav. cet. [x] φησὶν om. K.Q. Supp. Mox οἱ πιστεύσαντες om. K.Q. inclusum a Sav. [y] π. δῆλον τοῦτο (τοῦτο δῆλον Cat.)] εἶτα τοῦτο βεβαιῶν K.Q. Supp. Sav. cet. [z] καίτοι] + καὶ A. Post γενηθέντων add. ἐπεὶ δὲ (ἐπειδὴ Sav. cet.) εἰκὸς ἦν εἰπεῖν τινα K.Q. Supp. Sav. cet. [a] δῆλον Cat. et in text. O. [b] οὖν] ποιεῖ K.Q. Supp. Sav. cet. [c] οὐδὲ—τέως om. A. Mox δείκνυσιν pro θέλει δεῖξαι K.Q. Supp. [d] φησὶν] δῆλον ἐξ ὧν ἐπάγει K.Q. Supp. Sav. cet. Mox γὰρ om. R. [e] τῇ] ἐν τῇ O. Cat. Supp. [f] εἰ om. Cat. eras. in O. [g] ὅπως K. Supp. [h] φησὶ om. K.Q. post τινὰς transp. N. Mox εἰς ταύτην N. ἐν αὐτῇ Veron. [i] εἴρηται K.Q. [k] δὲ om. K.Q. Supp. [l] φησὶ om. K.N.Q. Supp. τινὲς, φησὶ hoc ord. R. [m] πάντες Veron. πάντως ἐκεῖνοι (om. δὲ) A.N.O.R. Cat. Veron. Mut. δὲ superscript. in O. [n] εἰσῆλθον] + πάλιν ὁρίζει τρίτην ἄλλην κατάπαυσιν K.Q. Supp. Sav. cet.

Digitized by Google

ἦλθον. Ὅτι δὲ εἰσελθεῖν χρὴ, καὶ δεῖ τινας εἰσελθεῖν, [o]ἀκούσωμεν πόθεν τοῦτο [p]δῆλον· ὅτι μετὰ τοσαῦτα ἔτη, φησὶ, λέγει [q]πάλιν ὁ Δαυΐδ· "Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας [r]ὑμῶν."

[14]"Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης
66 ἐλάλει μετὰ ταῦτα ἡμέρας." [s]Δῆλον ὅτι ὡς μελλόντων τινῶν τεύξεσθαί τινος ἀμοιβῆς, ταῦτά φησιν. [15]"Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ θεοῦ." Πόθεν; Ἐκ τοῦ παραγγέλλειν, "Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν." Οὐ γὰρ ἂν, εἰ μὴ ἦν σαββατισμὸς, ταῦτα παρηγγέλλοντο, οὐδὲ ἐκελεύοντο μὴ τὰ αὐτὰ ποιεῖν, ἵνα μὴ τὰ αὐτὰ πάθωσιν, εἰ μὴ ἔμελλον τὰ αὐτὰ πείσεσθαι. [t]Πῶς δὲ ἔμελλον τὰ αὐτὰ πείσεσθαι οἱ τὴν Παλαιστίνην ἔχοντες, εἰ μὴ ἑτέρα τις ἦν κατάπαυσις; Καὶ καλῶς συνεπέρανε τὸν λόγον. Οὐ γὰρ εἶπε, [v]κατάπαυσις, ἀλλὰ,
B "σαββατισμὸς," τὸ οἰκεῖον ὄνομα, καὶ [w]ᾧ ἔχαιρον καὶ ἐπέτρεχον, σαββατισμὸν τὴν βασιλείαν καλῶν. Ὥσπερ γὰρ ἐν τῷ σαββάτῳ πάντων μὲν τῶν πονηρῶν ἀπέχεσθαι κελεύει, ἐκεῖνα δὲ μόνα γίνεσθαι τὰ πρὸς λατρείαν τοῦ θεοῦ, ἅπερ οἱ ἱερεῖς [x]ἐπετέλουν, καὶ ὅσα ψυχὴν ὠφελεῖ, καὶ μηδὲν ἕτερον· οὕτω καὶ τότε. Ἀλλ' αὐτὸς οὐχ οὕτως εἶπεν, ἀλλὰ [y]τί; [16]"Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν [z]ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ θεός." [a]Ὥσπερ ὁ
C θεὸς κατέπαυσε, φησὶν, ἀπὸ τῶν ἔργων αὐτοῦ, οὕτως ὁ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ. Ἐπειδὴ [b]γὰρ περὶ [c]ἀναπαύσεως αὐτοῖς ὁ λόγος ἦν, καὶ [d]τοῦτο ἐπεθύμουν ἀκοῦσαι πότε ἔσται· εἰς [e]τοῦτο τὸν λόγον κατέκλεισε. Τὸ δὲ, "[f]σήμερον," ὥστε [g]μηδέποτε ἀπελπίζειν αὐτούς. "Παρακαλεῖτε, φησὶν, ἑαυτοὺς καθ' ἑκάστην [h]ἡμέραν·" τουτέστι, κἂν τις ἡμαρτηκὼς ᾖ, ἕως ἂν ᾖ τὸ σήμερον, ἐλπίδας [i]ἔχει. Μηδεὶς τοίνυν ἀπογινωσκέτω, ἕως ἂν ζῇ. Μάλιστα μὲν οὖν, φησὶ, μηδὲ ἔστω καρδία πονηρὰ

14 v. 8. 15 v. 9. 16 v. 10.

[o] ἀκούσομεν A. Supp. [p] δῆλον] κατασκευάζει K.Q. Supp. Sav. cet. Statim ὅτι om. N. Cat. Mut. et a pr. m. O. [q] πάλιν om. R. Statim ὁ Δ. A.K.O.Q. Cat. Supp. ἐν Δ. N.R. Δαυῒδ sine artic. Edd. [r] ὑμῶν] + ὡς ἐν τῷ παρ. Edd. invitis K.N.O.Q.R. Cat. Supp. Mut. [s] δῆλον] + οὖν K.Q. Sav. cet. + δὲ Cat. Mox τεύξασθαι R. λέγει pro φησιν K.Q. Supp. [t] πῶς—πείσεσθαι om. A. et a pr. m. O. [v] κατάπαυσιν, ἀλλὰ σαββατισμὸν N. [w] ᾧ] ὃ A. [x] ἀπέτελουν A. Post τότε add. ἔσται O. [y] τί] πῶς K.Q. Sav. cet. [z] ἀπὸ] + πάντων N. [a] ὥσπερ] + γὰρ O. [b] γὰρ om. K.Q. Cat. [c] ἀναστάσεως A.K. Mut. Statim ὁ λόγος αὐτοῖς hoc ord. K.Q. αὐτοῖς post λόγος superscript. in N. [d] τοῦτο om. K.Q. τοῦτο] + σφόδρα Edd. σφόδρα om. A.N.O. Cat. Supp. Mut. [e] τοῦτον Q. [f] σήμερον] + εἶπεν K.Q. Sav. cet. [g] μηδέποτε] μὴ A. Veron. Mox ἑαυτοὺς O. Cat. [h] ἡμέραν] + ἄχρις οὗ τὸ σήμερον καλεῖται K.Q. Sav. cet. [i] ἔχῃ K.

Digitized by Google

ἀπιστίας· εἰ δὲ καὶ γένοιτο, μηδεὶς ἀπογινωσκέτω, ἀλλὰ ἀνα-
λαμβανέτω ἑαυτόν· [k]ἕως γάρ ἐσμεν ἐν τῷδε τῷ κόσμῳ, τὸ
σήμερον ἔχει καιρόν. Ἐνταῦθα δὲ οὐ τὴν ἀπιστίαν μόνον λέγει, D
ἀλλὰ καὶ τοὺς γογγυσμούς. "Ὧν τὰ κῶλα, φησὶν, [l]ἔπεσον ἐν
τῇ ἐρήμῳ." Εἶτα, ἵνα μὴ νομίσῃ τις ὅτι ἁπλῶς τῆς ἀναπαύ-
σεως [m]ἀποστερηθήσονται μόνον, ἐπάγει καὶ κόλασιν, εἰπών·
17 "Ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ
πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ
ψυχῆς καὶ [n]πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐν-
θυμήσεων καὶ ἐννοιῶν καρδίας." Ἐνταῦθα περὶ τῆς γεέννης δια-
λέγεται, καὶ περὶ τῆς κολάσεως. Εἰς τὰ [o]κρυπτὰ, φησὶ, διϊκνεῖ-
ται τῆς καρδίας τῆς ἡμετέρας, καὶ διατέμνει τὴν ψυχήν. Οὐ
κῶλά ἐστι πεσεῖν ἐνταῦθα, οὐδὲ γῆς ἀποστερηθῆναι, καθάπερ
ἐκεῖ, ἀλλὰ βασιλείας οὐρανῶν, καὶ γεέννῃ παραδοθῆναι [p]αἰωνίῳ, 67
καὶ κολάσει ἀθανάτῳ καὶ τιμωρίᾳ. 18 "Ἀλλὰ παρακαλεῖτε
ἑαυτούς." Ὅρα τὸ ἥμερον καὶ προσηνές· οὐκ εἶπεν, ἐπιτιμᾶτε,
ἀλλὰ, "παρακαλεῖτε." Οὕτως ἡμᾶς χρὴ τοῖς ἀπὸ θλίψεως
στενοχωρουμένοις προσφέρεσθαι. Τοῦτο καὶ [q]Θεσσαλονικεῦσι
γράφων φησί· 19 "Νουθετεῖτε τοὺς ἀτάκτους." Περὶ δὲ τῶν
ὀλιγοψύχων οὐχ οὕτως, ἀλλὰ τί; "[r]Παραμυθεῖσθε τοὺς ὀλιγο-
ψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας·"
[s]τουτέστι, μὴ ἀπελπίσητε, μὴ ἀπογνῶτε· τὸν γὰρ ἀπὸ θλί- B
ψεως στενοχωρούμενον ὁ μὴ παρακαλῶν σκληρότερον ποιεῖ.
"[t]Ἵνα μὴ σκληρυνθῇ ἐξ ὑμῶν τις, φησὶν, ἀπάτῃ τῆς ἁμαρ-
τίας." Ἢ τὴν ἀπάτην τοῦ διαβόλου φησίν· ἀπάτη γάρ ἐστιν
ὄντως τὸ μηδὲν περὶ τῶν μελλόντων προσδοκᾶν, τὸ νομίζειν
ὅτι ἀνεύθυνα ἔσται τὰ ἡμέτερα, καὶ ὅτι τῶν πεπραγμένων ἡμῖν
(466) ἐνταῦθα οὐ δώσομεν δίκην, οὐδὲ ἔσται ἀνάστασις· ἢ ἑτέρως,
ἀπάτη ἐστὶν [v]ἡ ἀναλγησία, [w]ἡ ἀπόγνωσις· τὸ γὰρ λέγειν, [x]τί
λοιπόν; ἅπαξ ἥμαρτον, οὐκ ἔχω ἐλπίδα τοῦ ἀνακτήσασθαι C
[y]ἑαυτὸν, ἀπάτη ἐστίν. Εἶτα ἐλπίδας αὐτοῖς ἐντίθησι, λέγων,
"Μέτοχοι γεγόναμεν τοῦ Χριστοῦ·" μονονουχὶ λέγων, ὁ οὕ-
τως ἡμᾶς ἀγαπήσας, ὁ [z]τοσούτων καταξιώσας, ὥστε αὐτοῦ

17 v. 12. 18 Hebr. iii. 13, 14. 19 1 Thess. v. 14.

[k] ἕως] + μὲν K.N.Q. Sav. cet. [l] ἔπεσον A.K.Q. et ex corr. O. ἔπεσεν Edd. [m] ἀποστερηθήσεται K.Q. Sav. cet. Mox καὶ om. R. [n] πνεύματος] σώματος R. [o] κρυπτὰ] + αὐτὰ Cat. [p] αἰωνίᾳ a pr. m. O. [q] Θεσσαλονικεῖς A. πρὸς Θεσσαλονικεῖς R. ἐν τῇ πρὸς Θεσσαλονικεῖς (-κέας N.) N.O. Mut. [r] παρακαλεῖτε N. [s] τουτέστι] τί ἐστι, παρακαλεῖτε; ἀντὶ τοῦ K.Q. Sav. cet. [t] ἵνα] + γὰρ N.O. Mox τί pro τις A. [v] ἡ] ἢ R. Veron. [w] ἡ] Sic K.Q. Supp. ἢ Edd. ἡ ἀπόγνωσις om. N. et a pr. m. O. [x] τί] + ἐστι K.Q. Sav. cet. [y] ἐμαυτὸν K.O.Q. Supp. Sav. cet. [z] τοσούτων] + ἡμᾶς N. Sav. cet. Mox ὥστε ἑαυτοῦ N.R. Sav. cet.

σῶμα ποιῆσαι, οὐ περιόψεται ἀπολλυμένους. Ἐννοήσωμεν,
φησὶ, τίνων κατηξιώθημεν· ἡμεῖς καὶ ὁ Χριστὸς ἕν ἐσμεν. Μὴ
τοίνυν [a]ἀπιστῶμεν αὐτῷ. [b]Καὶ πάλιν ἐκεῖνο αἰνίττεται τὸ
εἰρημένον ἑτέρωθι, ὅτι [20]"[c]Εἰ ὑπομένομεν, καὶ συμβασιλεύ-
σομεν·" [d]τοῦτο γάρ ἐστι, "μέτοχοι γεγόναμεν," τῶν αὐτῶν
μετέχομεν ὧν [e]καὶ ὁ Χριστός. Προετρέψατο ἀπὸ τῶν χρη-
στῶν· "[f]Μέτοχοι γάρ ἐσμεν, φησὶ, τοῦ Χριστοῦ." Εἶτα
D πάλιν ἀπὸ τῶν σκυθρωπῶν· "Φοβηθῶμεν μήποτε καταλει-
πομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, [g]δοκῇ
τις ἐξ ὑμῶν ὑστερηκέναι·" ἐκεῖνο γὰρ δῆλον καὶ [h]ὡμολογημένον
ἐστίν. "Ἐδοκίμασάν με, [i]φησὶ, καὶ εἶδον τὰ ἔργα μου τεσσα-
ράκοντα ἔτη." Ὁρᾷς ὅτι οὐ δεῖ τὸν θεὸν ἀπαιτεῖν εὐθύνας,
[k]ἀλλ', ἄν τε προΐστᾶται, ἄν τε μὴ, πιστεύειν αὐτῷ; ἐκείνοις
γὰρ τοῦτο ἐγκαλεῖ νῦν, ὅτι ἐπείρασαν τὸν θεόν. Ὁ γὰρ βου-
λόμενος ἀποδείξεις λαβεῖν, ἢ τῆς δυνάμεως, ἢ τῆς προνοίας, ἢ
τῆς κηδεμονίας αὐτοῦ, οὔπω πιστεύει οὔτε δυνατὸν αὐτὸν εἶναι,
68 οὔτε φιλάνθρωπον. Τοῦτο καὶ πρὸς τούτους γράφων αἰνίττε-
ται, [l]βουλομένους ἴσως ἤδη τῆς δυνάμεως αὐτοῦ καὶ τῆς ὑπὲρ
[m]αὐτῶν προνοίας τὴν ἐξέτασιν καὶ τὸν ἔλεγχον λαβεῖν ἐν τοῖς
πειρασμοῖς. Ὁρᾷς ὅτι ἀπὸ ἀπιστίας πανταχοῦ ὁ παροξυσμὸς
[n]καὶ ὁ παροργισμός; Τί οὖν φησιν; "Ἄρα ἀπολείπεται σαβ-
βατισμὸς τῷ λαῷ τοῦ θεοῦ." Ὅρα [o]δὲ πῶς ὅλον τὸν λόγον συνε-
λογίσατο. Ὤμοσε, φησὶ, τοῖς προτέροις μὴ εἰσελθεῖν [p]αὐτοὺς
εἰς τὴν κατάπαυσιν, καὶ οὐκ εἰσῆλθον. Εἶτα μετ' ἐκείνους χρόνῳ
πολλῷ ὕστερον διαλεγόμενος τοῖς Ἰουδαίοις, φησὶ, "Μὴ σκλη-
ρύνητε τὰς καρδίας ὑμῶν, ὡς οἱ πατέρες ὑμῶν·" [q]δηλῶν ὅτι
B ἔστιν ἄλλη κατάπαυσις. Περὶ μὲν γὰρ τῆς Παλαιστίνης οὐκ
[r]ἔχομεν εἰπεῖν· εἶχον γὰρ αὐτήν· περὶ δὲ τῆς ἑβδόμης οὐκ ἔστιν
εἰπεῖν· οὐ γὰρ [s]δήπου περὶ ταύτης διελέγετο τῆς πάλαι γεγε-
νημένης. Ἄρα ἑτέραν τινὰ αἰνίττεται τὴν ὄντως ἀνάπαυσιν.

[t]Ὄντως γὰρ ἐκείνη ἐστὶν ἀνάπαυσις, ἔνθα [21]"ἀπέδρα ὀδύνη,

20 2 Tim. ii. 12. 21 Esai. xxxv. 10.

[a] ἀποστῶμεν αὐτοῦ Supp. [b] καὶ om. K.Q. Mox ἐκεῖνο om. A. [c] εἰ om. A. [d] τοῦτο γὰρ] τί K.Q. Post αὐτῶν add. φησὶ iidem. [e] καὶ om. R. Veron. [f] μέτοχοι—φησὶ] μέτοχοι φ. ἐσμὲν N. et a pr. m. O. εἰπὼν, μέτοχοι γεγόναμεν K.Q. [g] δοκεῖ A.N. et a pr. m. O. [h] ὁμολογούμενον Q. Supp. et ex corr. O. Statim ἐστὶν om. N. [i] φησὶ om. A. [k] ἀλλὰ K. Mox προΐστᾶτε A. προΐστηται (sic) Q. προΐσταται Veron. (Cf. Var. Lect. ad p. 79 C.) [l] βουλόμενος R. Veron. volens Mut. [m] αὐτοῦ O. [n] καὶ ὁ παροργισμὸς om. N. [o] δὲ om. K.Q. Post λόγον add. συνιδὼν A.R. Veron. invitis Supp. Mut. [p] αὐτοῦ a pr. m. O. [q] δηλῶν ὅτι] Sic K.N.O. Q.R. Sav. δῆλον ὅτι Mor. δηλονότι A. Veron. Ben. Mox ἀνάπαυσις Veron. [r] ἔχομεν] ἔνι K.N.O.Q. Sav. cet. invito Supp. [s] δήπου] δὴ N. et ex corr. O. [t] ΗΘΙΚΟΝ. Περὶ τῆς μελλούσης καταπαύσεως, καὶ τῆς ἐν οὐρανοῖς ἀπολαύσεως. Veron.

Digitized by Google

[v]λύπη, καὶ στεναγμὸς," ἔνθα [w]οὐδὲ φροντίδες, οὐδὲ πόνοι, οὔτε
ἀγωνία, οὔτε φόβος [x]καταπλήττων καὶ σείων τὴν ψυχὴν, ἀλλὰ
μόνος ὁ τοῦ θεοῦ [y]φόβος ἡδονῆς πλήρης ὤν. Οὐκ ἔστιν [z]ἐκεῖ,
[22]"Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου·" [a]οὐδὲ
ἄκανθαι καὶ τρίβολοι· οὐκέτι, "Ἐν λύπαις [b]τέξῃ τέκνα, καὶ πρὸς C
τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, [c]καὶ αὐτός σου κυριεύσει·"
πάντα [d]εἰρήνη, χαρὰ, εὐφροσύνη, [e]ἡδονὴ, ἀγαθωσύνη, [f]πραότης.
Οὐκ ἔστιν ἐκεῖ ζηλοτυπία οὐδὲ βασκανία, οὐ νόσος, οὐ θάνατος
[g]οὗτος ὁ τοῦ σώματος, οὐκ ἐκεῖνος ὁ τῆς ψυχῆς, οὐκ ἔστι σκό-
τος, [h]οὔτε νύξ· πάντα ἡμέρα, [i]πάντα φῶς, [k]πάντα λαμπρά·
οὐκ ἔστι καμεῖν, οὐκ ἔστι κόρον λαβεῖν, [l]ἀεὶ ἐν ἐπιθυμίᾳ τῶν
[m]ἀγαθῶν διατελέσομεν. Βούλεσθε δῶ τινα καὶ εἰκόνα ὑμῖν τῆς
ἐκεῖ καταστάσεως; Οὐκ ἔστι δυνατόν· πλὴν [n]ἀλλ' ὅμως, ὡς δυ-
νατὸν, πειράσομαι δοῦναι ὑμῖν τινα εἰκόνα. Ἀναβλέψωμεν εἰς D
τὸν οὐρανὸν, ὅταν, μηδενὸς ἐνοχλοῦντος νέφους, φαίνῃ τὸν ἑαυ-
τοῦ στέφανον· εἶτα πρὸς τὸ κάλλος τῆς ὄψεως αὐτοῦ πολὺν
διατρίψαντες χρόνον, [o]ἐννοήσωμεν ὅτι καὶ ἔδαφος [p]ἕξομεν οὐ
τοιοῦτον μὲν [q]ὂν, ἀλλὰ [r]τοσούτῳ γινόμενον κάλλιον, ὅσῳ τῶν
πηλίνων ὀρόφων ὁ χρυσοῦς. [s]Καὶ τὸν μετ' ἐκεῖνον πάλιν τὸν
ἀνώτερον ὄροφον· εἶτα τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, τοὺς
ἀπείρους δήμους τῶν ἀσωμάτων δυνάμεων, αὐτὰ [t]τοῦ θεοῦ τὰ
βασίλεια, τὸν θρόνον τὸν πατρικόν. Ἀλλ' οὐκ ἰσχύει, ὅπερ 69
ἔφην, [v]ὁ λόγος παραστῆσαι τὸ πᾶν· πείρας χρεία, καὶ τῆς διὰ
πείρας γνώσεως. Πῶς οἴεσθε, εἰπέ μοι, τὸν Ἀδὰμ εἶναι ἐν τῷ
παραδείσῳ; Πολὺ [w]βελτίων ἐστὶν ἐκείνης αὕτη ἡ διαγωγὴ,

22 Gen. iii. 19, 16.

[v] καὶ λύπη Sav. cet. καὶ om. A. Veron. Eclog. XLIV. (Tom. xii. p. 756 C.) [w] οὔτε O. Eclog. Statim οὔτε π. K.N.O. Eclog. Sav. cet. [x] κατασείων καὶ καταπλήττων R. [y] φόβος om. N. [z] ἐκεῖ] + ἀκοῦσαι K.Q. Sav. cet. ἐκεῖ om. R. Eclog. Mox ἱδρότητι R. [a] οὐδὲ—οὐκέτι (οὐκ ἔστιν N.O. Eclog. XLI. (Tom. xii. p. 737 E.) XLIV.)] οὐδὲ ἀκάνθας καὶ (οὐδὲ Sav. cet.) τριβόλους ἀνατελεῖ σοι· οὐκέτι ἄκανθαι καὶ τρίβολοι· οὐκέτι (οὐκ ἔστιν Sav. cet.) K.Q. Sav. cet. [b] τέξεις N. Sav. cet. Statim οὐδὲ pro καὶ N.O. Eclog. XLIV. Sav. cet. [c] καὶ αὐτός σ. κ. om. N. [d] εἰρήνη] + ἐκεῖ K.Q. Sav. cet. Statim χαρὰ καὶ εὐφ. N. [e] ἡδονῆς R. Statim ἀγαθοσύνη A. Supp. Eclog. XLI. [f] πραότης] + ἀγάπη Eclog. XLI. + εὐθύτης, ἀγάπη K.O.Q. Sav. cet. invito Mut. [g] οὗτος] οὐχ οὗτος N. Eclog. XLIV. et ex corr. O. [h] οὐδὲ O. Eclog. XLIV. [i] πάντα φῶς om. N. [k] πάντα λαμπρὰ] Sic N.R. Eclogg. πάντα ἡμέρα (ἥμερα A. Veron.) λαμπρὰ A.O. Veron. πάντα ἄνεσις K.Q. Sav. cet. *semper diei claritas* Mut. [l] ἀεὶ] ἀλλ' ἀεὶ K.N. Sav. cet. [m] ἀγαθῶν] καλῶν N. Statim διατελοῦμεν K.Q. [n] ἀλλ' om. R. Statim ὡς ἂν ᾖ δυνατὸν N. Sav. cet. Mox δοῦναι ὑμῖν pro ὑμῖν δοῦναι omnes. [o] νοήσωμεν N. [p] ἕξομεν] ἔσωθεν N. [q] ὂν om. N. μόνον pro μὲν ὂν Eclog. XLIV. [r] τοσοῦτο vel τοσοῦτον N. Eclog. XLIV. Mox καλλίω A.N. et a pr. m. O. [s] καὶ] εἶτα K.Q. Sav. cet. Mox ἔπειτα pro εἶτα iidem. [t] τοῦ θ. τὰ] τὰ τοῦ θ. N.O. Eclog. XLIV. [v] ὁ om. R. [w] β. ἐστὶν ἐκείνης] ἐκείνης β. ἐστὶν N.O. Eclog. XLIV.

Digitized by Google

ὅσῳ τῆς γῆς ὁ οὐρανός. [x]Πλὴν ἀλλὰ καὶ ἑτέραν εἰκόνα ἐπιζη-
τήσωμεν. Εἰ [y]συνέβη τὸν βασιλεύοντα νῦν πάσης τῆς οἰκουμέ-
νης κρατῆσαι, εἶτα μήτε ὑπὸ πολέμων, μήτε ὑπὸ φροντίδων ἐνο- (467)
χλεῖσθαι, ἀλλὰ τιμᾶσθαι μόνον καὶ τρυφᾶν, καὶ πολλοὺς μὲν
ἔχειν [z]φόρους, πάντοθεν δὲ τὸ χρυσίον αὐτῷ ἐπιρρεῖν, καὶ ἀπό-
B βλεπτον εἶναι, ποίαν οἴεσθε ἔχειν αὐτὸν ψυχήν, εἰ τοὺς πολέ-
μους τοὺς πανταχοῦ τῆς γῆς πεπαυμένους ἑώρα; Τοιοῦτόν τι
[a]ἔσται· μᾶλλον δὲ οὔπω [b]τῆς εἰκόνος ἐφικόμην ἐκείνης· διὸ χρὴ
καὶ ἑτέραν ἐπιζητῆσαι. Ἐννόησον δή μοι· [c]ὥσπερ γὰρ παι-
δίον βασιλικὸν, ἕως μὲν ἂν ἐν τῇ μήτρᾳ ᾖ, οὐδενὸς ἐπαισθάνεται,
εἰ δὲ συμβαίη ἄφνω ἐξελθὸν ἐκεῖθεν ἐπὶ τὸν θρόνον ἀνελθεῖν
τὸν βασιλικὸν, μὴ ἠρέμα, ἀλλ' ἀθρόον πάντα προσλαβεῖν· οὕ-
τως ἐστὶν ἡ [d]κατάστασις αὕτη κἀκείνη· ἢ εἴ τις δεσμώτης μυρία
παθὼν κακὰ, ἀθρόον ἐπὶ τὸν βασιλικὸν [e]ἁρπαγείη θρόνον.
C Ἀλλ' οὐδὲ οὕτως ἐφικόμην [f]ἀκριβῶς τῆς εἰκόνος. Ἐνταῦθα μὲν
γὰρ ὧν ἄν τις ἐπιτύχῃ καλῶν, κἂν αὐτὴν [g]εἴπῃς τὴν βασιλείαν,
παρὰ μὲν τὴν πρώτην ἡμέραν ἀκμάζοντα ἔχει τὸν πόθον, καὶ
παρὰ τὴν δευτέραν καὶ τὴν τρίτην· χρόνου δὲ προϊόντος, μένει
μὲν ἐν ἡδονῇ, οὐ τοσαύτῃ δέ· λήγει γὰρ ὑπὸ τῆς συνηθείας ἀεὶ,
οἷα ἂν ᾖ· ἐκεῖ δὲ οὐ μόνον οὐ μειοῦται, ἀλλὰ καὶ ἐπιδίδωσιν.
Ἐννόησον γὰρ ὅσον ἐστὶ, ψυχὴν ἀπελθοῦσαν ἐκεῖ, μηκέτι τέλος
D προσδοκᾶν τῶν ἀγαθῶν ἐκείνων, μηδὲ [h]μεταβολὴν, ἀλλὰ ἐπί-
δοσιν, καὶ ζωὴν τέλος οὐκ ἔχουσαν, [i]καὶ ζωὴν παντὸς μὲν κιν-
δύνου, πάσης δὲ ἀθυμίας καὶ φροντίδος ἀπηλλαγμένην, μεστὴν
εὐθυμίας καὶ μυρίων ἀγαθῶν. Εἰ γὰρ εἰς πεδίον ἐξιόντες, [k]ἔνθα
σκηνὰς ὁρῶμεν στρατιωτῶν ἐκ παραπετασμάτων πηγνυμένας,
καὶ δόρατα καὶ κράνη καὶ ὀμφαλοὺς ἀσπίδων λάμποντας, μετέ-
ωροι γινόμεθα τῷ θαύματι· εἰ δὲ καὶ τὸν βασιλέα συμβαίη μέ-
σον ἰδεῖν τρέχοντα, ἢ καὶ ἵππον ἐλαύνοντα μετὰ ὅπλων χρυσῶν,
70 τὸ πᾶν ἔχειν νομίζομεν· τί οἴει, ὅταν τῶν ἁγίων [l]ἴδῃς τὰς σκη-
νὰς τὰς αἰωνίους [m]ἐν τῷ οὐρανῷ πεπηγυίας; [23]“Δέξονται γὰρ
ὑμᾶς, φησὶν, εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς·” ὅταν αὐτῶν ἑκα-

23 Luc. xvi. 9.

[x] πλὴν ἀλλὰ in marg. O. ἀλλὰ om. Eclog. XLIV. [y] συμβαίη O. Eclog. XLI. συμβῇ Eclog. XLIV. [z] φόρους] δορυφόρους K.O.Q. Eclog. XLI. Sav. Mor. *tributa* Mut. [a] ἔσται] + καὶ τότε K.Q. Sav. cet. [b] καὶ τῆς Edd. καὶ om. K.N.O.Q.R. Eclog. XLIV. [c] ὥσπερ γὰρ] ὡς N. ὥσπερ γὰρ π. β.] π. β. ὅπερ K.Q. Sav. cet. invitis Eclogg. [d] κατάπαυσις A. Eclog. XLIV. [e] ἁρπαγεῖ A. ἁρπαγῇ N. Eclog. XLIV. Veron. et a pr. m. O. [f] ἀκριβοῦς a pr. om. O. ἀκριβῶς om. N. [g] εἴποις A.R. Veron. Mox μὲν om. iidem. [h] μεταβολὴν] + ἐχόντων N. Statim ἀλλ' ἐπ. K.N. Eclogg. [i] Haec καὶ (καὶ om. K.Q.) ζωὴν accesserunt ex K.N.Q. Eclogg. Mut. [k] ἔνθα] ἐνταῦθα a pr. m. O. ἐνταῦθα, ἔνθα Eclog. XLIV. [l] ἴδῃς om. A.R. Veron. invitis Eclogg. [m] ἐν om. K.O.Q. Eclog. XLI.

στον ὑπὲρ τὰς ἀκτῖνας τὰς ἡλιακὰς [n]ἴδης ἀπολάμποντα, οὐκ ἀπὸ χαλκοῦ καὶ σιδήρου, ἀλλ' ἀπὸ τῆς δόξης ἐκείνης, ἧς τὰς μαρμαρυγὰς ἀνθρώπινος ὀφθαλμὸς οὐ δύναται ἰδεῖν; Καὶ ταῦτα μὲν ἐπὶ τῶν ἀνθρώπων· τί δ' ἄν τις εἴποι τὰς χιλιάδας τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων, τῶν Χερουβὶμ, τῶν Σεραφὶμ, τῶν θρόνων, τῶν κυριοτήτων, τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, ὧν τὸ κάλλος ἀμήχανον, [o]πάντα νοῦν ὑπερβαῖνον; Ἀλλὰ γὰρ μέχρι B
τίνος οὐ στήσομαι διώκων ἀκίχητα; [24]"Οὔτε γὰρ ὀφθαλμὸς εἶδε, φησὶν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν." Οὐκοῦν οὐδὲν [p]οὔτε ἐλεεινότερον [q]τῶν ἀποτυγχανόντων, οὔτε μακαριώτερον τῶν ἐπιτυγχανόντων. [r]Γενώμεθα δὴ τῶν μακαρίων ἡμεῖς, ἵνα ἐπιτύχωμεν τῶν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ζ. C

[1]Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας. Ζῶν D
γὰρ ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ [a]ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας· καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος.

(468) ΜΕΓΑ [b]μὲν πίστις καὶ σωτήριον, καὶ ταύτης ἄνευ οὐκ [c]ἔνι σωθῆναί ποτε. Ἀλλ' οὐκ ἀρκεῖ καθ' ἑαυτὴν τοῦτο ἐργάσασθαι, ἀλλὰ δεῖ καὶ πολιτείας ὀρθῆς. Ὥστε διὰ τοῦτο καὶ Παῦλος τοῖς ἤδη τῶν μυστηρίων καταξιωθεῖσι παραινεῖ, λέγων· "Σπουδάσωμεν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν." "[d]Σπουδάσωμεν," φησὶν, ὡς οὐκ ἀρκούσης τῆς πίστεως, ἀλλ' ὀφείλοντος προστεθῆναι καὶ τοῦ βίου, καὶ [e]πολλὴν τὴν σπουδὴν γενέ- 71

[24] 1 Cor. ii. 9. [1] Cap. IV. v. 11—13.

[n] ἴδης ἀπ.] ἴδης λάμποντα R. λάμποντα ἴδοις A. Veron. invitis Eclogg. Mox οὐ δ. ὀφθ. pro ὀφθ. οὐ δ. N.O. Eclog. XLIV. [o] πάντα] καὶ πάντα K.Q. Sav. cet. Mox ὑπερβαίνοντα N. [p] οὔτε assumtum ex K.O.Q. Eclog. XLI. [q] τῶν] τί τῶν K.O. τινῶν Q. [r] γενώμεθα δὴ (δὲ O.)—ἀγαθῶν] γένοιτο δὲ καὶ ἡμᾶς τῶν μ. γενέσθαι, ἵνα καὶ τῶν αἰ. ἐπιτύχωμεν ἀγ. K.Q. Sav. cet. Hom. VII. [a] Post ψυχῆς, τε superscript. in O. Mox κριτικῶν hic et alias a pr. m. idem. [b] μὲν om. A. Veron. Statim ἡ πίστις K.O.Q. Sav. cet. [c] ἔστι K.O.Q. [d] σπ. φησὶν] ὅρα, σπ. εἶπεν K.Q. [e] πολλῆς τῆς σπουδῆς γίνεσθαι (γίγν. R. Veron.) A.R. Veron.

Digitized by Google

σθαι. Δεῖ [f]γὰρ ὄντως καὶ πολλῆς σπουδῆς, ὥστε ἀνελθεῖν εἰς τὸν οὐρανόν. Εἰ γὰρ γῆς [g]οὐκ ἠξιώθησαν οἱ τοσαῦτα ταλαιπωρηθέντες ἐν τῇ ἐρήμῳ, καὶ γῆς τυχεῖν οὐκ ἠδυνήθησαν, ἐπειδὴ ἐγόγγυσαν καὶ [h]ἐπειδὴ ἐπόρνευσαν· πῶς τῶν οὐρανῶν ἡμεῖς καταξιωθησόμεθα, ἀδιαφόρως ζῶντες καὶ ῥαθύμως; Δεῖ τοίνυν ἡμῖν πολλῆς σπουδῆς. Καὶ ὅρα οὐ μέχρι τούτου τὴν ζημίαν [i]μόνον, τοῦ μὴ εἰσελθεῖν· οὐ γὰρ εἶπε, σπουδάσωμεν εἰσελθεῖν εἰς τὴν κατάπαυσιν, ἵνα μὴ ἐκπέσωμεν τοσούτων ἀγαθῶν· ἀλλ'
B ὃ μάλιστα τοὺς ἀνθρώπους διεγείρει, τοῦτο προσέθηκε. Ποῖον δὴ τοῦτο; [k]Τὸ, "Ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας." Τί ἐστι τοῦτο; Τουτέστιν, ἵνα τὸν νοῦν ἔχωμεν ἐκεῖ, τὴν ἐλπίδα, τὴν προσδοκίαν, ἵνα μὴ ὁμοίως ἐκπέσωμεν. Ὅτι γὰρ ἐκπεσούμεθα, τὸ ὑπόδειγμα δηλοῖ· "[l]μὴ ἐν τῷ αὐτῷ," φησίν. Εἶτα, ἵνα μὴ ἀκούων, "ἐν τῷ αὐτῷ," τὴν αὐτὴν εἶναι νομίσῃς τιμωρίαν, ἄκουσον τί ἐπάγει. "Ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς [m]τε καὶ πνεύματος,
C ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας." Δείκνυσιν [n]ἐνταῦθα, ὅτι κἀκεῖνα αὐτὸς εἰργάσατο ὁ τοῦ θεοῦ λόγος, καὶ ζῇ, καὶ οὐκ ἐσβέσθη. Μὴ τοίνυν, ἐπειδὴ λόγον ἤκουσας, [o]ἁπλῶς νομίσῃς· μαχαίρας γὰρ [p]ἐστι, φησὶ, τομώτερος. Ὅρα τὴν συγκατάβασιν, καὶ ἐντεῦθεν [q]σκόπει τίνος ἕνεκεν ἐδεήθησαν καὶ οἱ προφῆται εἰπεῖν μάχαιραν, καὶ τόξον, καὶ ῥομφαίαν. [2]"[r]Ἐὰν μὴ ἐπιστραφῆτε, φησὶ, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό." Εἰ γὰρ νῦν μετὰ τοσοῦτον χρόνον καὶ τελείωσιν οὐ δύναται τῷ τοῦ λόγου ὀνόματι καταπλῆξαι μόνον, ἀλλὰ [s]δεῖται τούτων
D τῶν ῥητῶν, ἵνα δείξῃ τὴν [t]ὑπεροχὴν τὴν ἐκ τῆς συγκρίσεως· πολλῷ μᾶλλον τότε. "Διϊκνούμενος, φησὶν, ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος." Τί ἐστι τοῦτο; [v]Φοβερώτερόν τι ἠνί-

2 Psal. vii. 13.

[f] γὰρ] + ἡμῖν K.Q. Sav. cet. δεῖ—σπουδῆς om. N. Mox εἰσελθεῖν K.N.Q. Mut. [g] οὐκ ἠξ.] κατηξ. A. οὐ κατηξ. K.O.Q.R. invito Supp. Mox ταλαιπωρήσαντες K.O.Q. [h] ἐπειδὴ om. K.O.Q Supp. Sav. cet. [i] μόνον] μόνον τίθησιν R. ὁρίζει μόνον K.N.Q. Sav. cet. invito Supp. [k] τὸ om. N.R. Veron. Mox τί ἐστι τοῦτο; om. K.Q. Mut. Ben. [l] μὴ—φησίν om. A. [m] τε om. a pr. m. O. Statim καὶ σώματος πνος (sed σώματος expunct.) R. [n] ἐνταῦθα pro κἀνταῦθα omnes. [o] ἁπλῶς] + λόγον K.Q. Sav. cet. invitis Cat. Supp. Mut. Statim νοήσῃς R. [p] ἐστι, φησὶ] φησὶν, ἐστὶ K. N.O.Q. φησὶ om. R. Cat. Mut. [q] σκόπει] μάνθανε K.Q. Sav. cet. invitis Cat. Supp. Mox μαχ. καὶ ῥ. καὶ τ. N.O. Cat. Mut. [r] ἐὰν] φησὶ γὰρ, ἐὰν (mox om. φησὶ) N. Post ἐπιστραφῆτε add. γὰρ K.Q. [s] δεῖται] δὴ A. Mox ῥημάτων K.N.O. Cat. Sav. cet. [t] ὑπερβολὴν R. Veron. Statim τὴν ἐκ om. Veron. Supp. [v] φοβερὸν K.N.Q. Cat. Supp. Sav. cet. invito Mut.

Digitized by Google

ξατο· [w]ἢ ὅτι τὸ πνεῦμα διαιρεῖ ἀπὸ τῆς ψυχῆς, ἢ ὅτι καὶ
αὐτῶν τῶν ἀσωμάτων διϊκνεῖται, οὐ καθὼς ἡ μάχαιρα μόνον
τῶν σωμάτων. Δείκνυσιν ἐνταῦθα, ὅτι [x]καὶ ψυχὴ κολάζεται,
καὶ ὅτι τὰ ἐνδότατα διερευνᾶται, [y]ὅλον δι' ὅλου διϊκνουμένη
τὸν ἄνθρωπον. "Καὶ [z]κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας·
καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ." Ἐνταῦθα αὐτοὺς
μάλιστα ἐφόβησεν. [a]Μὴ γὰρ, εἰ ἔτι, φησὶν, ἐν τῇ πίστει 72
ἑστήκατε, μὴ μετὰ πληροφορίας δὲ, θαρρεῖτε· αὐτὸς τὰ [b]ἐγ-
κάρδια κρίνει· ἐκεῖ γὰρ διαβαίνει καὶ κολάζων καὶ ἐξετάζων.
Καὶ τί λέγω περὶ ἀνθρώπων, [c]φησί; κἂν γὰρ ἀγγέλους εἴπῃς,
κἂν ἀρχαγγέλους, κἂν [d]τὰ Χερουβὶμ, κἂν τὰ Σεραφὶμ, κἂν
οἵαν δήποτε κτίσιν· πάντα ἐκκεκάλυπται τῷ ὀφθαλμῷ ἐκείνῳ,
πάντα δῆλά ἐστι καὶ φανερὰ, οὐδέν [e]ἐστι τὸ λαθεῖν αὐτὸν
δυνατόν· "Πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς
αὐτοῦ, [f]πρὸς ὃν ἡμῖν ὁ λόγος." [g]Τί δέ ἐστι, "τετραχηλισμένα;" B
Ἀπὸ μεταφορᾶς τῶν δερμάτων τῶν ἀπὸ [h]τῶν ἱερείων ἐξελ-
κομένων. Ὥσπερ [i]γὰρ ἐκεῖνα, ἐπειδὰν [k]σφάξας τις ἀπὸ τῆς
σαρκὸς παρελκύσῃ τὸ δέρμα, πάντα τὰ ἔνδον [l]ἀποκαλύπτει,
καὶ δῆλα ποιεῖ τοῖς ἡμετέροις ὀφθαλμοῖς· οὕτω καὶ τῷ θεῷ
δῆλα πρόκειται [m]πάντα. Σὺ δέ μοι θέα, πῶς ἀεὶ τῶν σωματι-
κῶν εἰκόνων δεῖται· ὅπερ [n]ἦν τῆς ἀσθενείας τῶν ἀκουόντων.
Ὅτι γὰρ ἀσθενεῖς ἦσαν, ἐδήλωσεν εἰπὼν νωθροὺς αὐτοὺς εἶναι,
καὶ χρείαν ἔχοντας γάλακτος, [o]οὐ στερεᾶς τροφῆς. "Πάντα
γυμνὰ, φησὶ, καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς
ὃν ἡμῖν ὁ λόγος." Τί δέ ἐστιν, "Ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς C
(469) ἀπειθείας;" Ὡς ἂν [p]τις εἴποι, διὰ τί οὐκ εἶδον ἐκεῖνοι τὴν γῆν;
Ἔλαβον [q]ἀρραβῶνα τῆς τοῦ θεοῦ δυνάμεως· [r]δέον πιστεῦσαι,

[w] ἢ] + γὰρ K.Q. Sav. cet. Post ψυχῆς add. λέγει iidem. [x] καὶ ἡ ψ. N. Sav. cet. [y] ὅλον δι' ὅ. διϊκνουμένη] καὶ ὅλον δι' ὅ. διϊκνεῖται K.Q. Sav. cet. Mox ἀνθρώπινον βίον pro ἄνθρωπον N. [z] κριτικὸς] + γὰρ K.Q. καὶ κριτικὸς—καρδίας om. O. [a] μὴ] ὃ δὲ λέγει, τοῦτό ἐστι· μὴ K.Q. Sav. cet. μὴ γὰρ, εἰ ἔτι, φησὶν] μὴ ἐπειδὴ K.Q. [b] ἐγκάρδια] Sic N.O. Cat. Supp. ἐν καρδίᾳ A.R. Veron. ἐν τῇ κ. K.Q. Sav. cet. Statim κρίνει pro κρινεῖ K.N. Q.R. Cat. Supp. [c] φησὶ om. K.Q. Statim γὰρ om. A. Mox ἀρχὰς pro ἀρχαγγέλους N.R. [d] τὰ om. N. κἂν (καὶ K. Supp.) τὰ Σεραφὶμ om. idem. Mox δηποτοῦν O. [e] ἐστι τὸ] ἐστιν ὃ K.N.O.Q. Statim λανθάνειν N. [f] πρὸς—λόγος om. N. [g] τί δέ (δὲ om. N. Cat.) ἐστι τετρ.] τετρ. εἶπεν K.Q. Sav. cet. [h] τῶν] + σφαζομένων K.Q. Sav. cet. τῶν om. A.R. Veron. invitis Cat. Supp. [i] γὰρ om. A.O. Cat. Veron. [k] σφάξας τις] σφαγιάσαντός τινος K.Q. Mox καθελκύσῃ N. Cat. μεθελκύσῃ O. ἐξελκυσθὲν K.Q. [l] ἀποκαλύπτει] Sic N. Supp. ἐκκαλύπτεται K.O.Q. Cat. ἀποκαλύπτεται A.R. Edd. Mox γίνεται pro ποιεῖ K.Q. Sav. cet. invitis Cat. Supp. [m] τὰ πάντα N. [n] ἦν] + αἴτιον K.Q. [o] οὐ] καὶ οὐ N. [p] τις] + αἰτιολογούμενος K.Q. Sav. cet. Post γῆν add. τοῦτο λέγει K.Q. [q] ἀρραβῶνα] + φησὶ K.Q. Sav. cet. [r] δέον] καὶ δέον iidem. Statim τῷ φ. πιστεῦσαι pro πιστεύσαι, τῷ φ. A.R. Veron. τῷ φ. post πλέον transp. Supp.

Digitized by Google

τῷ φόβῳ [s]πλέον ἐνδόντες, καὶ μηδὲν μέγα περὶ τοῦ θεοῦ φαντασθέντες, [t]καὶ ὀλιγοψυχήσαντες, οὕτως ἀπώλοντο. Ἔστι [v]δὲ καὶ ἕτερόν τι εἰπεῖν, οἷον ὅτι τὸ πλέον ἀνύσαντες τῆς ὁδοῦ, ὅτε πρὸς αὐταῖς ταῖς θύραις ἐγένοντο, πρὸς αὐτῷ τῷ λιμένι, κατεποντίσθησαν. Τοῦτο καὶ περὶ ὑμῶν δέδοικα, φησί. [w]Τουτ-
D ἔστιν, "Ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας." Ὅτι γὰρ [x]καὶ οὗτοι πολλὰ ἔπαθον, ὕστερον αὐτοῖς μαρτυρεῖ λέγων· [3]"Ἀναμνήσθητε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων." Μηδεὶς οὖν ὀλιγοψυχείτω, μηδὲ πρὸς τὸ τέλος ἀπαγορεύων καταπιπτέτω. Εἰσὶ γάρ, εἰσὶν οἳ παρὰ [y]τὴν ἀρχὴν μὲν μετὰ [z]ἀκμαζούσης προθυμίας προσβάλλουσιν· ὕστερον δὲ μικρὸν [a]τῷ παντὶ προσθεῖναι μὴ βουληθέντες, τὸ πᾶν ἀπώλεσαν. Ἱκανοί, φησίν, οἱ πρόγονοι παιδεῦσαι ὑμᾶς μὴ τοῖς αὐτοῖς περιπεσεῖν, [b]μὴ τὰ αὐτὰ
73 παθεῖν, ἅπερ ἔπαθον. [c]Τοῦτό ἐστιν, "Ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας." [d]Μὴ ἐκλυώμεθα, φησίν· ὃ καὶ πρὸς τῷ τέλει λέγει, [4]"Τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε." "[e]Ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι, φησί, πέσῃ." Τοῦτο γὰρ πεσεῖν ὄντως ἐστίν. [f]Εἶτα, ἵνα μὴ ἀκούσας, "Ἐν τῷ αὐτῷ [g]τις ὑποδείγματι πέσῃ," τὸν αὐτὸν θάνατον ὑπολάβῃς, ὅνπερ κἀκεῖνοι ὑπέμειναν, ὅρα τί φησι· "Ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργής, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον." Πάσης γὰρ μαχαίρας [h]χαλε-
B πώτερον εἰς τὰς τούτων ἐμπίπτει ψυχὰς ὁ λόγος, πληγὰς ἐργαζόμενος χαλεπάς, καὶ [i]καιρίας δίδωσι τομάς. [k]Καὶ τούτων τὴν ἀπόδειξιν οὐ δεῖται παρασχεῖν, οὐδὲ κατασκευάσαι, ἔχων οὕτω τὴν διήγησιν φοβεράν. Ποῖος γὰρ πόλεμος ἐκείνους ἀπώλεσε, φησί; ποία μάχαιρα; [l]οὐχ ἁπλῶς αὐτόματοι κατέ-

3 Hebr. x. 32. 4 Ibid. xii. 12.

[s] πλέον ἐνδόντες (δόντες Sav. cet. ut ex corr. N.)] οἱ δὲ πλέον καταφρονήσαντες K.Q. Mox θεοῦ sine artic. N. [t] καὶ] ἢ καὶ Cat. καὶ ὀλ. om. K.Q. [v] δὲ om. K.Q. [w] τουτέστιν] τοῦτο τοίνυν ἐστὶ τὸ K.Q. Sav. cet. [x] καὶ om. K. [y] τὴν ἀ. μὲν (μὲν superscript. in N.)] μὲν τὴν ἀ. K.O.Q. Sav. cet. [z] ἀκμ. προθ. προσβ. (προβ. R.)] προθ. ἀκμ. προσβ. N. ἀκμ. προσβ. τῆς προθ. πρὸς τοὺς ἀγῶνας K.Q. Sav. cet. [a] τῷ] τι O. [b] μὴ τὰ αὐτὰ] Sic N.O.R. Cat. Supp. μήτε αὐτὰ A. Veron. ὥστε μὴ τὰ αὐτὰ K.Q. Sav. cet. [c] τοῦτο] + δὲ N.O. Sav. cet. invitis Cat. Supp. τοῦτο—ἀπειθείας (ἀπαθείας A.) om. K.Q. inclusum a Sav. [d] μὴ] οὐκοῦν μὴ K.Q. Sav. cet. Mox φησὶν om. K.Q. Post τέλει add. φησὶν R. [e] ἵνα—ἐστὶν] καὶ νῦν φησιν, ἀναμνήσθητε τὰς πρότερον ἡμέρας K.Q. [f] εἶτα, ἵνα] ἵνα γὰρ N. εἶτα—πέσῃ] ἵνα δὲ μὴ ἐν τῷ αὐτῷ τις ὑποδ. πέσῃ ἀκούων K.Q. [g] τις om. N. Cat. Supp. Sav. cet. [h] χαλεποτέρως N. Mox ἐμπίπτων . . . . ἐργάζεται K.Q. Sav. cet. invitis Cat. Supp. [i] καιρίας] μυρίας K. [k] καὶ om. K.Q. Mox φανερὰν pro φοβερὰν K. Mut. Sav. cet. invito Supp. [l] οὐχ] καὶ οὐχ A.N.R. Supp. Veron. καὶ a 2da m. insertum in O. Mox ἔπιπτον O.Q.

Digitized by Google

πιπτον; [m]Μηδὲ γὰρ, ἐπειδὴ μὴ ἐπάθομεν τὰ αὐτὰ, ἀμεριμνήσωμεν· μέχρις οὗ τὸ σήμερον [n]λέγεται, ἔξεστιν ἡμῖν ἀνακτήσασθαι. [o]Ἵνα γὰρ μὴ τὰ τῆς ψυχῆς ἀκούσαντες ῥᾳθυμήσωμεν, προστίθησι καὶ τὰ τοῦ σώματος. [p]Τότε γὰρ οὕτω γίνεται, καθάπερ τις βασιλεὺς ἄρχοντας ἁμαρτόντας μεγάλα, πρότερον C
ἀπογυμνοῖ [q]οἷον τῆς στρατείας, [r]καὶ τὴν ζώνην ἀφελόμενος, καὶ τὸ ἀξίωμα, καὶ [s]τὸν κήρυκα, τότε κολάζει· οὕτω καὶ [t]ἐνταῦθα τοῦ πνεύματος [v]ἡ μάχαιρα ἐργάζεται. [w]Εἶτα περὶ τοῦ υἱοῦ [x]διαλέγεται· "Πρὸς ὃν ἡμῖν ὁ λόγος," φησί. [y]Τί ἐστι, "Πρὸς ὃν ἡμῖν ὁ λόγος;" [z]Αὐτῷ, φησὶν, ἔχομεν δοῦναι εὐθύνας τῶν πεπραγμένων. [a]Ναί· πῶς οὖν ἵνα μὴ πέσωμεν, μηδὲ ὀλιγοψυχήσωμεν; Ἱκανὰ μὲν οὖν [b]κἀκεῖνα παιδεῦσαι, φησίν· ἔχομεν δὲ καὶ "ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανοὺς, Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ." Ὅτι γὰρ διὰ τοῦτο προσέθηκεν, D
ἐπήγαγεν· "Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν." Διὰ [c]τοῦτο ἀνωτέρω ἔλεγεν· "Ἐν ᾧ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι." Ὅρα τοίνυν πῶς καὶ ἐνταῦθα [d]τὸ αὐτὸ ποιεῖ. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἦλθε, φησὶν, ὁδὸν ἣν καὶ ἡμεῖς νῦν, μᾶλλον δὲ καὶ τραχυτέραν· πάντων [e]γὰρ ἔλαβε τῶν ἀνθρωπίνων πεῖραν. [f]Εἶπεν ἐκεῖ, "Οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ," τὴν θεότητα αἰνιττόμενος. 74

[g]Εἶτα, ἐπειδὴ τῆς σαρκὸς ἐπελάβετο, συγκαταβατικώτερον πάλιν διαλέγεται λέγων· [5]"Ἔχοντες οὖν ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς·" καὶ μείζονα [h]δείκνυσι τὴν κηδεμονίαν, καὶ ὅτι [i]ὥσπερ οἰκείων προΐσταται, καὶ οὐ θέλει αὐτοὺς ἐκπεσεῖν. Μωϋσῆς μὲν γὰρ, φησὶν, οὐκ εἰσῆλθεν εἰς τὴν κατά-

[5] v. 14.

[m] μηδὲ (μὴ N.O.) γὰρ] μὴ οὖν K.Q. Sav. cet. [n] λέγεται] καλεῖται K. Mox ὑμῖν N. [o] ἵνα γὰρ] ἀλλ' ἐπεὶ οὕτως εἶπεν, ἵνα K.Q. Sav. cet. Mox ῥᾳθυμήσωσιν K.O.Q. Mut. Supp. Sav. cet. [p] τότε (τοῦτο O.)—γίνεται] δηλῶν ὅτι K.Q. Sav. cet. [q] οἷον om. K.Q. Mox στρατίας (sic) A. [r] καὶ] εἶτα K.Q. Sav. cet. Statim τῆς ζώνης N.R. [s] τὸν κήρυκα] ἀποκηρύξας ex corr. A. τὸν κ. παραστησάμενος Sav. cet. repugnantibus libris. Statim καὶ τότε O. [t] ἐνταῦθα om. K.Q. Sav. cet. [v] ἡ μ.] τότε ἡ μ. K.Q. ἡ μ. τότε Sav. cet. [w] εἶτα] + τοῦτο εἰπὼν, φοβερώτερον ἔτι τὸν λόγον ποιῶν K.Q. Ben. et inter uncos Sav. Mor. [x] διαλέγεται] + καί φησι K.Q. Sav. cet. Mox φησὶ om. iidem. [y] Haec τί—λόγος; om. Sav. cet. invitis omnibus. [z] αὐτῷ, φ. ἔχομεν] Sic R. Cat. Mut. τῷ φ. ἔχωμεν A. ᾧ, φ. ἔχομεν N.O. Veron. ἀντὶ τοῦ, αὐτῷ μέλλομεν K.Q. Sav. cet. [a] ναί—πέσωμεν] ναί· πῶς ἵνα μὴ ἀλύωμεν N. οὐκοῦν μὴ ἀναπέσωμεν K.Q. Sav. cet. [b] κἀκ. παιδ. φ.] κἀκ. φ. παιδ. O. φ. κἀκ. παιδ. N. καὶ τὰ εἰρημένα παιδεῦσαι· ὁ δὲ οὐκ ἀρκεῖται, ἀλλ' ἔτι προστίθησι λέγων K.Q. Sav. cet. [c] τοῦτο] + καὶ A. [d] τὸ om. N. et a pr. m. O. [e] γὰρ om. K.N.Q. [f] εἶπεν] εἶτα εἰπὼν K.Q. [g] εἶτα om. K.Q. Post ἐπελάβετο add. ἐνταῦθα iidem. [h] δεικνὺς K.Q. [i] ὥσπερ] ὡς ὑπὲρ O.Q. Cat. non Supp.

παυσιν, αὐτὸς δὲ εἰσῆλθε. [k]*Καὶ πῶς αὐτὸ οὐδαμοῦ τέθεικε*
B *θαυμαστὸν, ἵνα μὴ δόξωσιν ἀπολογίαν εὑρίσκειν· συμπεριέλαβε* [l]*δὲ αὐτὸ,* [m]*καὶ ἵνα μὴ δόξῃ κατηγορεῖν τοῦ ἀνδρὸς, φανερῶς αὐτὸ οὐκ εἶπεν. Εἰ γὰρ, οὐδενὸς τούτων* [n]*λεχθέντος, ταῦτα προέφερον, λέγοντες,* [6]"*Κατὰ* [o]*Μωϋσέως καὶ κατὰ τοῦ νόμου* [p]*οὗτος εἴρηκε·*" *πολλῷ μᾶλλον εἰ εἶπεν, οὐκ ἔστι Παλαιστίνη, ἀλλ' οὐρανὸς, μείζονα* [q]*ἂν τούτων εἶπον. Ἀλλ' οὐ τὸ πᾶν τῷ* (470)
ἱερεῖ δίδωσιν, ἀλλὰ καὶ τὰ παρ' ἡμῶν ζητεῖ, λέγω δὴ τὴν ὁμολογίαν. "*Ἔχοντες* [r]*γὰρ, φησὶν, ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανοὺς,* [s]*Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ, κρατῶμεν τῆς ὁμολογίας.*" [t]*Ποίαν ὁμολογίαν λέγει; Ὅτι ἀνάστασίς ἐστιν, ὅτι ἀνταπόδοσις, ὅτι μυρία ἀγαθὰ, ὅτι ὁ Χριστὸς θεός ἐστιν, ὅτι*
C *ἡ πίστις ὀρθή· ταῦτα* [v]*ὁμολογήσωμεν, ταῦτα κατέχωμεν. Ὅτι* [w]*γὰρ ταῦτα ἀληθῆ, δῆλον ἐκ τοῦ τὸν ἀρχιερέα ἔνδον εἶναι.* [x]*Οὐκ ἐξεπέσομεν, ὁμολογήσωμεν· εἰ καὶ μὴ πάρεστι τὰ πράγματα, ἀλλ' ἡμεῖς ὁμολογήσωμεν· εἰ ἄρτι παρῆν, ψεῦδος ἦν. Ὥστε καὶ τοῦτο ἀληθὲς, τὸ ὑπερτίθεσθαι·* [y]*καὶ γὰρ ὁ ἀρχιερεὺς ἡμῶν μέγας.* [7]"*Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν.*" *Οὐκ ἔστι, φησὶν, ἀγνοῶν τὰ ἡμέτερα, ὡς πολλοὶ* [z]*τῶν ἀρχιερέων, οἳ τοὺς ἐν θλίψεσιν*
D *οὐκ ἴσασιν, οὐδὲ ὅτι ποτέ ἐστι θλῖψις. Ἐπὶ* [a]*γὰρ ἀνθρώπων ἀδύνατον εἰδέναι τὴν κάκωσιν τοῦ κακουμένου τὸν μὴ πεῖραν λαβόντα καὶ διὰ τῶν αἰσθητῶν ἐλθόντα.* [b]*Πάντα ὑπέστη ὁ ἀρχιερεὺς ὁ ἡμέτερος· διὰ γὰρ τοῦτο πρῶτον ὑπέστη, καὶ τότε ἀνέβη, ἵνα δύνηται συμπαθεῖν.* "[c]*Πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας.*" *Ὅρα πῶς καὶ ἄνω τὸ,* "[d]*παραπλησίως,*" *τέθεικε, καὶ ἐνταῦθα τὸ,* "*καθ' ὁμοιότητα.*" *Τουτέστιν, ἐδιώχθη, ἐνεπτύσθη, κατηγορήθη, ἐσκώφθη, ἐσυκοφαντήθη,* [e]*ἀπηλάθη, τὸ τέλος ἐσταυρώθη.* "*Καθ' ὁμοιότητα χω-*

6 Act. xxi. 21, 28? 7 v. 15.

[k] *καὶ πῶς—θαυμαστὸν*] *καὶ πῶς, ἐγὼ λέγω. οὐ θαυμαστὸν δὲ, εἰ οὐδ. αὐτὸ τέθεικεν· ἢ γὰρ* K.Q. Sav. cet. *καὶ πῶς τοῦτο οὐδ. τέθεικεν;* Supp. [l] *δὲ*] *καὶ* K.Q. Sav. cet. Statim *αὐτὸ* O. Supp. *αὐτὸν* Edd. [m] *καὶ*] *ἢ* K.Q. Sav. cet. [n] *λεχθέντων* K. [o] *τοῦ* M. Edd. *τοῦ* deest in omnibus. [p] *αὐτὸς εἴρηκε* A.N.R. *εἴρηκεν αὐτὸς* Veron. [q] *ἂν* om. K.Q. Statim *τοῦτον* Supp. [r] *γὰρ*] *οὖν* K.Q. Sav. cet. Mox *μέγαν* om. A. [s] *Ἰησοῦν*] + *Χριστὸν* N. [t] *ποίαν* om. K. [v] *ὡμολογήσαμεν* ex corr. O. Mox *κατέχομεν* O. *κατάσχωμεν* N. [w] *γὰρ*] Sic A.N.O.R. Cat. Supp. *δὲ* Edd. [x] *οὐκ*] *οὐκοῦν ὅτι οὐκ* K.Q. Sav. cet. [y] *καὶ*] *οὐ* A. [z] *τῶν ἀρχ.* om. N. Mox *ἴσασιν, ἀλλ' οὐδὲ* K.O.Q. Sav. cet. invitis Cat. Supp. [a] *γὰρ* om. K.Q. Statim *τῶν ἀνθρώπων* K.Q. Sav. cet. [b] *πάντα*] + *γὰρ* A. Veron. et ex corr. O. [c] *πεπειρασμένον* O.Q. Sav. cet. invitis Cat. Supp. [d] *παραπλήσιον* A.R. Veron. Statim *τέθεικε* pro *ἔθηκε* omnes. [e] *ἀπελάσθη* R. *ἐσυκοφ. ἀπηλ.* om. K.Q. Statim *τέλος* sine artic. Q.

Digitized by Google

ρὶς ἁμαρτίας." Ἐνταῦθα καὶ ἄλλο αἰνίττεται, ὅτι δυνατὸν 75
χωρὶς ἁμαρτίας καὶ ἐν θλίψεσιν ὄντα διενεγκεῖν. Ὥστε καὶ
ὅταν λέγῃ, "[f]ἐν ὁμοιώματι σαρκὸς," οὐ τοῦτό φησιν, ὅτι
ὁμοίωμα σαρκὸς, ἀλλ' ὅτι σάρκα ἀνέλαβε. Διὰ τί οὖν εἶπεν,
"ἐν ὁμοιώματι;" [g]Ὅτι περὶ ἁμαρτωλοῦ σαρκὸς ἔλεγεν·
ὁμοία γὰρ ἦν τῇ σαρκὶ τῇ ἡμετέρᾳ· τῇ μὲν γὰρ φύσει ἡ αὐτὴ
ἦν ἡμῖν, τῇ δὲ ἁμαρτίᾳ οὐκέτι ἡ αὐτή. [8]"Προσερχώμεθα οὖν
μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος αὐτοῦ, ἵνα λάβωμεν
[h]ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν." Θρόνον
χάριτος [i]τίνα φησί; Τὸν θρόνον τὸν βασιλικὸν, περὶ οὗ φη-
σιν· [9]"Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν [k]μου."
Τί ἐστι, "Προσερχώμεθα μετὰ παρρησίας;" Ὅτι ἀναμάρτητον B
ἔχομεν [l]ἀρχιερέα, καταγωνιζόμενον τὴν οἰκουμένην· [10]"Θαρ-
σεῖτε γὰρ, φησὶν, ἐγὼ νενίκηκα τὸν κόσμον." Τὸ [m]γὰρ πάντα
μὲν παθεῖν, καθαρὸν δὲ εἶναι ἁμαρτημάτων, τοῦτό [n]ἐστιν. Εἰ
[o]καὶ ἡμεῖς ὑπὸ ἁμαρτίας ἐσμὲν, φησὶν, [p]ἀλλ' αὐτὸς ἀναμάρτη-
τος. Πῶς [q]προσερχώμεθα μετὰ παρρησίας; [r]Θρόνος γὰρ
χάριτός ἐστιν, οὐ θρόνος κρίσεως νῦν. Διὰ [s]τοῦτο μετὰ παρ-
ρησίας, ἵνα λάβωμεν ἔλεον, [t]καὶ οἷον ζητοῦμεν. Φιλοτιμία γὰρ
τὸ πρᾶγμά ἐστι, [v]δωρεὰ βασιλική. "Καὶ χάριν εὕρωμεν εἰς C
εὔκαιρον βοήθειαν." [w]Καλῶς εἴρηκεν, "εἰς εὔκαιρον βοήθειαν."
[x]Ἂν νῦν προσέλθῃς, φησὶ, λήψῃ καὶ χάριν καὶ ἔλεον· εὐκαίρως
γὰρ προσέρχῃ· ἂν δὲ τότε προσέλθῃς, οὐκέτι· ἄκαιρος γὰρ
τότε ἡ πρόσοδος· οὐ γάρ ἐστι τότε θρόνος χάριτος. [y]Ἕως
τότε κάθηται χαριζόμενος· ὅταν δὲ ἡ [z]συντέλεια, τότε ἐγείρε-
ται εἰς κρίσιν· [11]"Ἀνάστα γὰρ, [a]φησὶν, ὁ θεὸς, κρῖνον τὴν

8 v. 16. 9 Psal. cix. 1. 10 Joan. xvi. 33. 11 Psal. lxxxi. 8.

[f] ἐν om. A. [g] ὅτι om. K.N.O.Q. Sav. cet. invitis Cat. Supp. Mut. Mox ὁμοίωμα pro ὁμοία K. [h] ἔλεος R. [i] τίνα φησὶ] τὴν ἄφεσιν R. τίνα λέγει K.Q. [k] μου] + ἕως ἂν θῶ τοὺς ἐ. σου ὑπ. τῶν π. σου K.O.Q. Sav. cet. Statim ὡσεὶ ἔλεγε pro τί ἐστι K.Q. Sav. cet. [l] ἱερέα Cat. et a pr. m. O. [m] γὰρ] δὲ K.Q. Mox μὲν om. A.R. Veron. [n] ἐστιν] + εἶναι καθ' ὁμοιότητα K.Q. [o] καὶ om. K.Q Sav. cet. Statim ὑπὸ ἁμαρτίαις O. ὑπὸ ἁμαρτίαν K.N.Q.R. Sav. cet. invitis Cat. Supp. Mox φησὶν om. K.Q. [p] ἀλλ' αὐτὸς (οὗτος N.)] αὐτὸς δὲ K.Q. Sav. cet. [q] προσερχόμεθα O. Cat. [r] θρ. γὰρ] Sic N.O.R. Cat. γὰρ om. A. Supp. θρ. φησὶ K.Q. ὅτι θρ. Sav. cet. Mox ἐστιν om. Supp. ἐστι νῦν (mox om. νῦν) K.Q. [s] τοῦτο] + προσερχώμεθα K.Q. Mut. Sav. cet. [t] καὶ om. K.Q. Supp. Sav. cet. Post ζητοῦμεν add. φησὶ K.Q. Sav. cet. [v] δωρεὰ] καὶ δωρεὰ N. Sav. cet. [w] καλῶς] καὶ καλῶς N. εἶπεν pro εἴρηκεν K.O.Q. [x] ἂν νῦν (νῦν ἂν N.) πρ. φ.] δηλῶν ὅτι ἂν νῦν πρ. K.Q. [y] ἕως τότε (ὅτε Cat.)] θρόνος χάριτός ἐστιν, ἕως K.Q. Sav. cet. Post χαριζόμενος add. ὁ βασιλεὺς K.N.O.Q.R. Cat. Sav. cet. [z] συντέλεια] + γένηται K.N. Sav. cet. + ἐπιστῇ Supp. [a] φησιν om. R. Mox κρίνων K.O.Q. Supp.

Digitized by Google

γῆν." "[b]Προσερχώμεθα μετὰ παρρησίας." [c]*Η πάλιν ἐκεῖνό
D φησι· μηδὲν ἔχοντες συνειδὸς πονηρὸν, τουτέστι, μὴ διστά-
ζοντες· οὐ γὰρ δύναται μετὰ παρρησίας ὁ τοιοῦτος προσελθεῖν.
Διὰ [d]τοῦτο λέγει· [12] "Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ
σωτηρίας ἐβοήθησά σοι." Ἐπεὶ καὶ νῦν τὸ μετὰ τὸ λουτρὸν
ἁμαρτάνοντας εὑρίσκειν μετάνοιαν, χάριτός ἐστιν. Ἵνα δὲ μὴ
[e]ἀκούων ἀρχιερέα, νομίσῃς [f]ἑστάναι αὐτὸν, εὐθέως ἐπὶ τὸν θρό-
νον ἄγει· ὁ δὲ ἱερεὺς οὐ κάθηται, ἀλλ' ἕστηκεν. Ὁρᾷς ὅτι τὸ
γενέσθαι ἀρχιερέα [g]οὐχὶ φύσεώς ἐστιν, ἀλλὰ [h]χάριτος καὶ
76 συγκαταβάσεως καὶ κενώσεως; Τοῦτο καὶ [i]ἡμῖν εὔκαιρον νῦν
εἰπεῖν, προσερχώμεθα μετὰ παρρησίας αἰτοῦντες· μόνον πίστιν
[k]προσάγωμεν, καὶ πάντα δίδωσι. Νῦν ὁ τῆς δωρεᾶς ἐστι και-
ρὸς, μηδεὶς [l]ἑαυτοῦ ἀπογινωσκέτω. Τότε τῆς ἀπογνώσεως ὁ
καιρὸς, ὅταν ὁ νυμφὼν κλείηται, ὅταν εἰσέλθῃ ὁ βασιλεὺς τοὺς (471)
ἀνακειμένους ἰδεῖν, ὅταν ἀπολάβωσι τοὺς κόλπους τοῦ πατριάρ-
χου οἱ μέλλοντες τούτων ἀξιοῦσθαι· νῦν δὲ οὔπω· ἔτι γὰρ τὸ
θέατρον συνέστηκεν, ἔτι ὁ ἀγὼν [m]ἐνέστηκεν, ἔτι τὸ βραβεῖον
μετέωρον.

B [n]Σπουδάσωμεν οὖν· καὶ γὰρ Παῦλός φησιν, [13] "Οὕτω τρέ-
χω, ὡς οὐκ ἀδήλως." Δρόμου χρεία, καὶ δρόμου σφοδροῦ. Ὁ
τρέχων οὐδένα τῶν [o]ἀπαντώντων ὁρᾷ, [p]κἂν διὰ λειμώνων, κἂν
δι' αὐχμηρῶν τόπων [q]διαβαίνῃ· ὁ τρέχων οὐ πρὸς τοὺς θεατὰς
ὁρᾷ, ἀλλὰ πρὸς τὸ βραβεῖον· κἂν πλούσιοι, κἂν πένητες ὦσι,
κἂν σκώπτῃ τις, κἂν ἐπαινῇ, κἂν ὑβρίζῃ, κἂν λίθοις βάλλῃ, κἂν
τὴν οἰκίαν [r]διαρπάζῃ, [s]κἂν παῖδας ἴδῃ, κἂν γυναῖκα, κἂν [t]ὁτιοῦν,
ἑνὸς γίνεται μόνου, τοῦ τρέχειν, [v]τοῦ λαβεῖν τὸ βραβεῖον. Ὁ

[12] Esai. xlix. 8. [13] 1 Cor. ix. 26.

[b] προσερχώμεθα] ἔστι καὶ ἕτερόν τι εἰπεῖν. προσερχώμεθα, φησὶ K.Q. Sav. cet. [c] ἢ πάλιν ἐκεῖνό φ.] τουτέστι iidem. Mox τουτέστι om. K.N.Q. Sav. cet. [d] τοῦτο] + ἀλλαχοῦ Q. + καὶ ἀλλαχοῦ K. Sav. cet. [e] ἀκούσας O. Sav. cet. Post h. v. add. αὐτὸν K.O.Q. Mut. Sav. cet. [f] ἑστάναι αὐτὸν, εὐθέως] Sic A.N.R. Veron. αὐτὸν ἑστάναι εὐθέως O.Q. Cat. ἑστάναι, εὐθέως αὐτὸν Sav. cet. Statim αὐτὸν ἐπὶ τ. θ. ἄγει (ἀνάγει Cat.) N.O. Cat. ἐπὶ τ. θ. αὐτὸν ἄγει Q. [g] οὐχὶ pro οὐ N.O.Q. Cat. [h] χάριτος καὶ om. Cat. Mut. Mox καὶ κενώσεως om. K.Q. [i] ἡμῖν om. K.Q. Statim νῦν εὔκ. pro εὔκ. νῦν K.Q.R. [k] προσαγάγωμεν N.Q. Sav. cet. Statim καὶ πάντως ληψόμεθα. νῦν K.Q. [l] ἑαυτὸν N.O. [m] ἕστηκεν K.N.Q. et a pr. m. O. receptum a Sav. cet. [n] ΗΘΙΚΟΝ. Περὶ τοῦ σπουδαίους εἶναι ἐν τοῖς καλοῖς, καὶ μὴ θεατρομανεῖν καὶ ἀσελγαίνειν, μάλιστα γέροντας· καὶ ὅτι τὸ συμμέτρως χρῆσθαι γάμῳ σεμνῷ καὶ οἴνῳ καὶ τοῖς ὁμοίοις οὐδὲν παραβλάπτει πρὸς θεοσέβειαν. Veron. [o] ἀπαντώντων] Sic N.O.Q. Mut. ἀπαντώντων (sic) K. ἀπάντων Edd. Lacuna est in R. usque ad p. 76 C. οὐ μόνον οὐδέν. [p] κἂν] ὁ τρέχων καὶ K.Q. [q] διαβαίνει K.Q. ὁδεύῃ Veron. [r] διαρπάσῃ K.N.Q. διασπάσῃ O. [s] κἂν παῖδας—γυναῖκα (γυναῖκας N.) om. A. [t] ὁτιοῦν] + οὐδαμῶς ἐπιστρέφεται, ἀλλ' K.Q. Sav. cet. Mox γίνεται om. K.Q. [v] τοῦ] καὶ N.

Digitized by Google

τρέχων οὐδαμοῦ ἵσταται· ἐπεὶ κἂν μικρὸν ῥᾳθυμήσῃ, τὸ πᾶν C
ἀπώλεσεν. Ὁ τρέχων οὐ μόνον οὐδὲν [w]ὑφαιρεῖ πρὸ τοῦ τέ-
λους, ἀλλὰ καὶ τότε μάλιστα ἐπιτείνει τὸν δρόμον. Τοῦτό
μοι εἴρηται πρὸς τοὺς λέγοντας, ἐν νεότητι ἠσκήσαμεν, ἐν νεό-
τητι ἐνηστεύσαμεν, γεγηράκαμεν [x]νῦν. Μάλιστα νῦν τὴν εὐλά-
βειαν ἐπιτείνειν [y]ἐχρῆν. Μή μοι τὰ παλαιὰ ἀρίθμει κατορ-
θώματα, νέαζε καὶ ἄκμαζε νῦν [z]μάλιστα. Ὁ μὲν γὰρ τὸν
σωματικὸν τοῦτον [a]δρόμον τρέχων, εἰκότως, ἐπειδὰν ἡ πολιὰ
καταλάβῃ, οὐχ ὁμοίως τρέχειν δύναται· ἐν γὰρ τῷ σώματι τὸ D
πᾶν τοῦ ἀγῶνός ἐστι· σὺ δὲ τίνος ἕνεκεν ἐλαττοῖς τὸν δρόμον;
Ψυχῆς γὰρ ἐνταῦθα χρεία, ψυχῆς διεγηγερμένης· ἡ δὲ ψυχὴ
ἐν γήρᾳ ῥώννυται μᾶλλον, τότε [b]ἀκμάζει, τότε γαυροῦται.
Καθάπερ γὰρ σῶμα, ἕως μὲν ἂν πυρετοῖς συνέχηται καὶ ἐπαλ-
λήλοις νοσήμασι, κἂν ἰσχυρὸν [c]ᾖ, τεταλαιπώρηται, ἐπειδὰν δὲ
ἀπαλλαγῇ τῆς πολιορκίας ἐκείνης, ἀνακτᾶται τὴν οἰκείαν δύνα-
μιν· οὕτω καὶ [d]ἡ ψυχὴ ἐν [e]νεότητι πυρέττει, [f]καὶ δόξης αὐτὴν
ἔρως κατέχει μάλιστα καὶ τρυφῆς καὶ ἀφροδισίων καὶ πολλῶν 77
ἄλλων φαντασιῶν· [g]τὸ δὲ γῆρας ἐπελθὸν, πάντα ταῦτα [h]ἀπε-
λαύνει τὰ πάθη, τὰ μὲν διὰ τὸν [i]κόρον, τὰ δὲ διὰ τὴν φιλοσο-
φίαν. [k]Τοὺς γὰρ τόνους χαλάσαν τοῦ σώματος τὸ γῆρας,
οὐδὲ βουλομένην ἀφίησιν αὐτοῖς [l]χρῆσθαι τὴν ψυχὴν, ἀλλ᾽
ὥσπερ πολεμίους παντοδαποὺς καταστεῖλαν, ἐν καθαρῷ [m]θορύ-
βων χωρίῳ καθίστησιν αὐτὴν, καὶ πολλὴν ἐργάζεται τὴν γαλή-
νην, καὶ τὸν φόβον ἐπεισάγει πλείονα. Εἰ [n]γὰρ μηδεὶς ἕτερος,
φησὶν, ἀλλ᾽ οἱ γεγηρακότες ἴσασιν, ὅτι τελευτῶσι, [o]καὶ ὅτι B
πάντως ἐγγὺς ἑστήκασι τοῦ θανάτου. Ὅταν οὖν αἱ μὲν ἐπιθυ-
μίαι [p]ὑπεξιστῶνται αἱ βιωτικαὶ, ἡ δὲ τοῦ δικαστηρίου προσδο-
κία ἐπεισέρχηται, τὸ δυσπειθὲς αὐτῆς μαλάττουσα, οὐχὶ μᾶλ-
λον προσεκτικωτέρα γίνεται, ἐὰν θέλῃ; Τί οὖν, φησὶν, ὅταν
ἴδωμεν τῶν νέων χαλεπωτέρους τοὺς γέροντας; Ὑπερβολήν μοι

[w] ὑφεξαιρεῖ O. Mox τοῦτο pro τότε N. [x] νῦν om. A.R. Veron. Statim νῦν μ. pro μ. νῦν iidem. [y] χρὴ K.N.O.Q. Sav. cet. [z] μάλιστα] μᾶλλον N.O. Sav. cet. μάλιστα μὲν pro μάλιστα. ὁ μὲν A. Veron. νέαζε—μάλιστα] δυνατὸν καὶ νῦν ἀκμάζειν, ἂν ἐθέλωμεν, μάλιστα K.Q. [a] δρ. τρέχων pro τρέχων δρ. omnes. Mox οὐκέτι pro οὐχ N. Sav. cet. [b] ἀκμάζει] νεάζει K.Q. [c] ἦν N. Mox ἐπὰν δὲ K.O.Q. [d] ἡ om. iidem. [e] νεότητι] + μὲν οὖσα K.Q. Sav. cet. [f] καὶ om. K.Q. [g] τὸ δὲ γ. ἐπελθὸν] τοῦ δὲ γήρως (τοῦ γ. δὲ K.Q.) αὐτῇ ἐπελθόντος K.Q. Sav. cet. [h] ἐξελαύνει N.O. ἀπελαύνεται K.Q. Sav. cet. Statim τὰ παθήματα A.R. τὰ σωματικὰ Veron. [i] κόρον] καιρὸν K.Q.R. et a pr. m. N. receptum a Sav. cet. *satietatem* Mut. [k] τοὺς] + μὲν N. Sav. cet. [l] χρήσασθαι a pr. m. O. τὴν ψυχὴν om. K.Q. [m] θορύβων] καὶ ἀθορύβῳ N. [n] γὰρ] + καὶ K.Q. Sav. Cet. Mox φησὶν om. iidem. [o] καὶ om. N. [p] ὑπεξιστῶνται A.N.O.R. ὑπεξίστανται K.Q. ἐξιστῶνται Edd.

Digitized by Google

λέγεις κακίας· καὶ γὰρ ἐπὶ τῶν μαινομένων, οὐδενὸς ὠθοῦντος, ὁρῶμεν αὐτοὺς κατὰ κρημνῶν [q]χωροῦντας. Ὅταν οὖν καὶ γέρων
C [r]τὰ νέων νοσῇ, ὑπερβολὴ κακίας ἐστί· καὶ οὐδὲ ἐν νεότητι ὁ τοιοῦτος ἀπολογίαν [s]ἂν ἔχοι· οὐ γὰρ [t]δύναται λέγειν, [14]"Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς." Ὁ γὰρ ἐν γήρᾳ μένων ὁ αὐτὸς, δείκνυσιν ὅτι καὶ ἐν [v]νεότητι, οὐ δι' ἄγνοιαν, οὐδὲ δι' ἀπειρίαν, οὐδὲ διὰ τὴν ἡλικίαν τοιοῦτος ἦν, ἀλλὰ διὰ ῥᾳθυμίαν. Ἐκεῖνος γὰρ δύναται λέγειν, "Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς," ὁ τὰ [w]τῷ γέροντι προσήκοντα ποιῶν, ὁ ἐν τῷ γήρᾳ μεταβαλλόμενος· εἰ δὲ καὶ ἐν γήρᾳ τὰ αὐτὰ ἀσχημονεῖ, πῶς ἄξιον γέροντα [x]τὸν τοιοῦτον ὀνομάζεσθαι, οὐδὲ τὴν ἡλικίαν αἰδούμενον; Ὁ γὰρ λέγων,
D "Ἁμαρτίας νεότητός μου [y]καὶ ἀγνοίας μου μὴ μνησθῇς," ὡς ἐν τῷ γήρᾳ κατορθῶν, ταῦτά φησι. Μὴ τοίνυν διὰ τῶν ἐν [z]τῷ γήρᾳ γινομένων ἀποστερήσῃς σαυτὸν καὶ τῆς τῶν [a]ἐπὶ νεότητι ἁμαρτημάτων συγγνώμης. Πῶς γὰρ οὐκ ἄτοπον καὶ συγγνώμης ἐπέκεινα τὸ γινόμενον; [b]Γέρων ἐν [c]καπηλείοις καθέζεται, [d]γέρων εἰς ἱπποδρόμια σπεύδει, γέρων εἰς [e]θέατρα ἀναβαίνει, καθάπερ τὰ παιδία τρέχων μετὰ τοῦ πλήθους. Ὄντως αἰσχύνη καὶ γέλως, τῇ μὲν πολιᾷ κοσμεῖσθαι ἔξωθεν, [f]ἔνδοθεν
78 δὲ παιδὸς φρόνημα ἔχειν. Κἂν μὲν ὑβρίσῃ τις νέος, εὐθέως προβάλλεται τὰς πολιάς. Σὺ αὐτὰς αἰδέσθητι πρῶτος· εἰ δὲ σὺ [g]τὰς ἑαυτοῦ οὐκ αἰδῇ, καὶ ταῦτα γέρων ὢν, πῶς τὸν νέον τὰς σὰς αἰδεῖσθαι [h]ἀξιοῖς; Οὐκ αἰδῇ τὰς πολιὰς, ἀλλ' αἰσχύνεις αὐτάς. Ὁ θεός σε ἐτίμησε [i]τῇ λευκότητι τῶν τριχῶν, (472)
ἔδωκέ σοι προεδρίαν πολλήν· τί προδίδως τὴν τιμήν; Πῶς σε αἰδεσθήσεται ὁ νέος, ὅταν αὐτοῦ πλέον ἀσελγαίνῃς; Ἡ γὰρ πολιὰ τότε αἰδέσιμος, [k]ὅταν τὰ τῆς πολιᾶς πράττῃ· ὅταν δὲ
B νεωτερίζῃ, τῶν νέων καταγελαστότερος ἔσται. Πῶς οὖν δυνή-

[14] Psal. xxiv. 7.

[q] βαροῦντας A. [r] τὰ τῶν νέων K.N. Sav. cet. Post ὑπερβολὴ add. τοῦτο K.Q. Sav. cet. [s] ἂν om. A.K.O.R. Veron. [t] δυνατὸς A.R. Veron. [v] νεότητι] + ὑπάρχων Edd. ὑπάρχων om. A.K.O.Q. Statim διὰ sine elisione bis N. [w] τῷ om. N. [x] τὸν τοιοῦτον] τοῦτον N. et ex corr. O. [y] καὶ ἀγν. μου om. N. Mut. et a pr. m. O. [z] τῷ om. K.O.Q. Mox ἑαυτὸν O. [a] ἐπὶ τῇ ν. K.N.O.Q. Sav. cet. [b] γέρων] + μεθύει N. Sav. cet. γέροντα ἐν καπ. καθέζεσθαι, γέροντα εἰς ἱπ. σπεύδειν, γέροντα εἰς θ. ἀναβαίνειν, καθ. τὰ π. τρέχοντα corr. a 2da m. O. [c] καπηλίοις A. καπηλείῳ (vel –λίῳ) K.Q. [d] γέρων om. N. Statim εἰς ἱπποδρόμια N. ἐν ἱπποδρομίᾳ A. Veron. ἐν ἱπποδρομίῳ R. εἰς ἱπποδρομίας K.O.Q. Sav. cet. [e] θέατρον R. Veron. Mox καθ. παιδίον N.O. Sav. cet. [f] ἔνδον a pr. m. O. [g] τὰς ἑαυτοῦ] τὰς σαὐτοῦ K. τὰς ^{σ}αὐτοῦ (sic) N. τὰ σ^{ε}αυτου (sic) O. τὰς σεαυτοῦ Q. Sav. cet. [h] ἀξιοῖς] + πολιὰς N.O. Sav. cet. [i] τῇ] ἐν τῇ A. Veron. et corr. O. [k] ὅταν—πράττῃ om. A.

Digitized by Google

σεσθε [l]τῷ νέῳ ταῦτα παραινεῖν ὑμεῖς οἱ γέροντες, μεθύοντες
ὑπὸ τῆς ἀταξίας; Οὐ τῶν [m]γερόντων κατηγορῶν ταῦτα λέγω,
ἀλλὰ τῶν νέων. Οἱ γὰρ ταῦτα [n]πράττοντες, ἐμοὶ, κἂν εἰς
ἑκατοστὸν [o]ἔλθωσιν ἔτος, νέοι εἰσί· καθάπερ οἱ νέοι, κἂν παι-
δία μικρὰ ὦσι, σωφρονῶσι δὲ, [p]γερόντων εἰσὶν ἀμείνους. Καὶ
οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλὰ καὶ ἡ γραφὴ ταύτην οἶδε τὴν
διάκρισιν· [15]"Γῆρας γὰρ, φησὶ, [q]τίμιον, οὐ τὸ πολυχρόνιον,
καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος." Καὶ γὰρ τὴν πολιὰν C
τιμῶμεν, οὐκ ἐπειδὴ τὸ λευκὸν χρῶμα τοῦ μέλανος προτιμῶμεν,
ἀλλ' ὅτι τεκμήριόν ἐστι τῆς ἐναρέτου ζωῆς, καὶ ὁρῶντες ἀπὸ
τούτου στοχαζόμεθα τὴν ἔνδον πολιάν· [r]ἂν δὲ τἀναντία τῇ
πολιᾷ διαπράττωνται, καταγέλαστοι γενήσονται διὰ τοῦτο
μᾶλλον. [s]Ἐπεὶ καὶ τὸν βασιλέα τιμῶμεν, καὶ τὴν ἁλουργίδα
καὶ τὸ διάδημα, ἐπειδὴ σύμβολά ἐστι τῆς ἀρχῆς· [t]ἐὰν δὲ ἴδω-
μεν αὐτὸν μετὰ τῆς ἁλουργίδος ἐμπτυόμενον, ὑπὸ τῶν δορυ-
φόρων καταπατούμενον, [v]ἀγχόμενον, εἰς δεσμωτήριον ἐμβαλ-
λόμενον, σπαραττόμενον, ἆρα [w]αἰδεσθησόμεθα τὴν ἁλουργίδα, D
ἢ τὸ διάδημα, ἀλλ' οὐχὶ καὶ αὐτὸ τὸ σχῆμα [x]δακρύσομεν; Μὴ
ἀξίου τοίνυν διὰ τὴν πολιὰν τιμᾶσθαι, ὅταν αὐτὴν αὐτὸς ἀδικῇς·
καὶ γὰρ καὶ [y]αὐτὴ δίκην ὀφείλει παρὰ σοῦ λαβεῖν, ὅτι σχῆμα
λαμπρὸν οὕτω καὶ τίμιον καταισχύνεις. Οὐ κατὰ πάντων ταῦ-
τα λέγομεν, οὐδὲ κατὰ τοῦ γήρως ἁπλῶς ἡμῖν ὁ λόγος, [z]οὐχ
οὕτω μέμηνα, ἀλλὰ κατὰ ψυχῆς [a]νέας τὸ γῆρας αἰσχυνούσης·
[b]οὐδὲ ὑπὲρ τῶν γεγηρακότων ταῦτα ἀλγοῦντες λέγομεν, ἀλλὰ
τῶν καταισχυνόντων τὴν πολιάν. Βασιλεὺς γάρ ἐστιν ὁ γέρων,
[c]ἐὰν ἐθέλῃ, καὶ τοῦ τὴν ἁλουργίδα ἔχοντος βασιλικώτερος, τῶν 79
παθῶν κρατῶν, καὶ ἐν τάξει δορυφόρων ὑποτάττων τὰ πάθη·
ἐὰν δὲ ἕλκηται, καὶ [d]καταβιβάζηται ἀπὸ τοῦ θρόνου, καὶ χρη-
μάτων ἔρωτος [e]καὶ δόξης κενῆς καὶ καλλωπισμοῦ καὶ τρυφῆς
[f]καὶ μέθης καὶ ὀργῆς καὶ ἀφροδισίων γίνηται δοῦλος, καὶ καλ-

15 Sap. iv. 8, 9.

[l] τὸν νέον R. [m] γερόντων] + δὲ N. Sav. cet. Post λέγω add. μὴ γένοιτο K.Q. Sav. cet. [n] πράσσοντες K.N.O.Q. Post ἐμοὶ add. δοκεῖ K.N.Q. Sav. cet. [o] ἔλ. ἔτος] ἔτος ἔλ. K.O.Q. [p] τῶν γερόντων K.N.O.Q. Sav. cet. [q] τίμιον om. A. Veron. Mox καὶ ἡλικίας γήρως. ἀλλὰ βίος R. [r] ἂν] κατὰ A. Statim τὰ ἐναντία O.Q. τῇ πολιᾷ om. R. [s] ἐπεὶ] οὕτω K.Q. [t] ἐὰν] ἂν A.O.Q. [v] ἀγχόμενον—σπαραττόμενον om. A. Mox ἐμβαλόμενον O. βαλλόμενον R. [w] αἰδεσθήσονται K. Post διάδημα add. εἰπέ μοι K.Q. Sav. cet. [x] δακρύσωμεν A. et ex corr. O. [y] αὕτη K.Q. Mox λαβεῖν παρὰ σοῦ hoc ord. K.O.Q. [z] οὐχ οὕτω μ.] οὕτω μέμηνεν R. [a] νέας] νεαζούσης καὶ N. [b] οὔτε A.R. Veron. οὐδὲ ὑπὲρ τῶν γ.] καὶ κατὰ τῶν κακῶς γ. N. Mox ἀλλὰ om. idem. [c] ἐὰν] ἂν K.Q. Statim θέλῃ N. [d] καταβιάζηται a pr. m. O. [e] καὶ δόξης κ. om. Mut. in marg. habent N.O. [f] καὶ om. A. Mox γίνεται A. γένηται R.

Digitized by Google

λωπίζηται ἐλαίῳ τὴν τρίχα, καὶ τὴν ἡλικίαν ὑπὸ τῆς προαιρέσεως ὑβριζομένην [g]δεικνύῃ· ποίας οὐκ ἂν εἴη κολάσεως ὁ τοιοῦτος ἄξιος; Ἀλλὰ μὴ [h]γένοισθε τοιοῦτοι οἱ νέοι· οὐδὲ γὰρ ὑμῖν συγγνώμη ἐστὶν ἁμαρτοῦσι. Τί δήποτε; Ὅτι ἔξεστι γέροντα εἶναι ἐν νεότητι· [i]ὥσπερ ἐν γήρᾳ νέοι εἰσὶν, οὕτω καὶ
B τοὐναντίον. Ὥσπερ γὰρ ἐκεῖ οὐδένα ἡ θρὶξ λευκαινομένη σώζει, οὕτως οὐδὲ ἐνταῦθα μέλαινα οὖσα ἐμποδίζει. Εἰ γὰρ ἀσχημονέστερον [k]τὸν γέροντα ταῦτα ποιεῖν, ἅπερ εἶπον, πολλῷ μᾶλλον [l]ἢ τὸν νέον· ἀλλ' ὅμως οὐδὲ ὁ νέος κατηγορίας ἀπήλλακται. Νέος γὰρ ἐκεῖ δύναται συγγνώμην ἔχειν μόνον, ὅταν εἰς διοίκησιν πραγμάτων [m]καλῆται, ὅταν ἄπειρος ᾖ, ὅταν χρόνου δέηται καὶ πείρας· ὅταν δὲ δέῃ [n]σωφροσύνην καὶ ἀνδρείαν ἐπιδείξασθαι, οὐκέτι, οὐδὲ ὅταν δέῃ χρημάτων κρατεῖν. Ἔστι γὰρ ὅπου μᾶλλον τοῦ γέροντος κατηγορεῖται ὁ νέος. [o]Ἐκεῖνος
C μὲν γὰρ πολλῆς δεῖται θεραπείας, τοῦ γήρως ἐξασθενοῦντος αὐτόν· οὗτος δὲ δυνάμενος, [p]ἐὰν θέλῃ, ἀρκεῖν ἑαυτῷ, ποίας [q]ἂν τύχοι [r]συγγνώμης, ὅταν ἁρπάζῃ μᾶλλον τοῦ γέροντος, [s]ὅταν μνησικακῇ, ὅταν ἐξουθενῇ, ὅταν μὴ [t]προΐστηται μᾶλλον τοῦ γέροντος, ὅταν πολλὰ φθέγγηται ἀκαίρως, [v]ὅταν ὑβρίζῃ, ὅταν λοιδορῆται, ὅταν μεθύῃ; Εἰ δὲ ἐν τῇ σωφροσύνῃ νομίζει μὴ δύνασθαι ἐγκαλεῖσθαι, ὅρα αὐτὸν καὶ ἐνταῦθα πολλὰ ἔχοντα τὰ βοηθήματα, ἐάνπερ βούληται. Εἰ γὰρ καὶ σφοδρότερον
D αὐτὸν τοῦ γέροντος ἡ ἐπιθυμία [w]ἐνοχλεῖ, ἀλλ' ὅμως ἐστὶ πολλὰ, ἃ μᾶλλον τοῦ γέροντος ποιῆσαι δυνήσεται, καὶ ἐπᾴδειν [x]τὸ θηρίον ἐκεῖνο. Ποῖα δὴ ταῦτά ἐστι; [y]Πόνοι, ἀναγνώσεις, παννυχίδες, νηστεῖαι. Τί οὖν πρὸς ἡμᾶς ταῦτα, [z]φησὶ, τοὺς μὴ μονάζοντας; Ταῦτα ἐμοὶ λέγεις; εἰπὲ Παύλῳ, ὅταν λέγῃ, [16]"Ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει·" ὅταν λέγῃ, "Τῆς σαρκὸς πρόνοιαν μὴ [a]ποιεῖσθε εἰς ἐπιθυμίας·" οὐ γὰρ δὴ μοναχοῖς ταῦτα ἔγραφε [b]μόνον, ἀλλὰ πᾶσι τοῖς οὖσιν

16 Ephes. vi. 18. Rom. xiii. 14.

g δεικνύῃ] ἔχῃ (ῃ in ras.) O. h γένησθε A.O. γίνεσθε N. Mox ἁμαρτάνουσι N.R. Sav. cet. ἁμαρτῶσι a pr. m. O. i ὥσπερ] καὶ ὥσπερ K.O.Q. Sav. cet. ὥσπερ καὶ N. k τὸν] τὸ R. Mox ποιεῖν R. et ex corr. O. Edebatur ποιεῖ. l Vid. Annot. m ἐγκαλῆται ex corr. N.O. n σωφροσύνης ἀνδρείαν (ἀνδρεία A.) A.K.Q.R. Veron. o ἐκεῖνος—θεραπείας om. A. p ἐὰν] + μὴ A.R. Veron. μὴ superscript. in O. q ἂν om. N. Statim τύχοι K.N. O.Q. τύχῃ Edd. r συγγνώμης] + μὴ βουλόμενος K.Q. Sav. cet. s ὅταν—γέροντος om. A. ὅταν ἐξουθενῇ om. N.R. Mut. Veron. t πρυΐσταται O.R. Veron. μᾶλλον τοῦ γ. om. K.Q. v ὅταν ὑβρίζῃ om. R. Statim ὅταν λοιδορῇ idem. w ἐνοχλῇ A. ἐνοχλοῖ N. x τῷ θηρίῳ R. καὶ ἐπᾴδειν—ἐκεῖνο om. K.Q. inclusum a Sav. y πόνοι post νηστεῖαι transp. K.Q. z φησὶ K.O.Q.R. φῂς Edd. a ποιεῖτε Veron. ποιῆτε R. et ex corr. O. Statim εἰς ἐπιθυμίαν A. b μόνον om. K.Q. ante μοναχοῖς transp. N.

Digitized by Google

(473) ἐν ταῖς πόλεσι. Μὴ γὰρ ὁ κοσμικὸς ὀφείλει τι [c]πλέον ἔχειν
τοῦ μονάζοντος, ἢ [d]τὸ γυναικὶ συνοικεῖν μόνον; ἐνταῦθα ἔχει
τὴν συγγνώμην, ἐν δὲ τοῖς ἄλλοις οὐκέτι, ἀλλὰ πάντα ἐξ ἴσης
τῷ μονάζοντι πράττειν αὐτὸν προσῆκε. Καὶ οἱ μακαρισμοὶ δὲ
οἱ παρὰ τοῦ Χριστοῦ οὐ μονάζουσι μόνον εἰσὶν εἰρημένοι· ἐπεὶ
τὸ πᾶν ἀπώλετο τῆς οἰκουμένης, καὶ [e]κατηγοροῦμεν ὠμότητα
τοῦ θεοῦ. Εἰ δὲ οἱ μακαρισμοὶ τοῖς μονάζουσίν εἰσι μόνοις
εἰρημένοι, καὶ τὸν κοσμικὸν οὐ δυνατὸν αὐτοὺς κατορθῶσαι, αὐ- B
τὸς δὲ τὸν γάμον ἐπέτρεψεν, ἄρα αὐτὸς [f]πάντας ἀπώλεσεν.
Εἰ γὰρ οὐ δυνατὸν μετὰ γάμου τὰ τῶν μοναζόντων ποιεῖν,
[g]πάντα ἀπόλωλε καὶ διέφθαρται, καὶ εἰς στενὸν κατεκλείσθη
[h]τὰ τῆς ἀρετῆς. Πῶς [i]δὲ τίμιος ὁ γάμος, ὁ τοσοῦτον ἐμπο-
δίζων ἡμῖν; Τί [k]οὖν; Δυνατὸν, [l]καὶ σφόδρα δυνατὸν, καὶ γυ-
ναῖκας ἔχοντας τὴν ἀρετὴν μετιέναι, ἐὰν θέλωμεν. Πῶς; Ἐὰν
ἔχοντες [m]γυναῖκας, ὡς μὴ ἔχοντες ὦμεν· ἐὰν μὴ χαίρωμεν ἐπὶ
κτήσεσιν, ἐὰν τῷ κόσμῳ χρώμεθα ὡς μὴ καταχρώμενοι. Εἰ δέ C
τινες ἐνεποδίσθησαν [n]ἀπὸ γάμου, εἰδέτωσαν ὅτι οὐχ ὁ γάμος
ἐμπόδιον, ἀλλ' ἡ προαίρεσις ἡ κακῶς χρησαμένη τῷ γάμῳ·
[o]ἐπεὶ οὐδὲ ὁ οἶνος ποιεῖ μέθην, ἀλλ' ἡ κακὴ προαίρεσις, καὶ τὸ
πέρα τοῦ μέτρου [p]χρῆσθαι. Μετὰ συμμετρίας τῷ γάμῳ χρῶ,
καὶ πρῶτος ἐν τῇ βασιλείᾳ ἔσῃ, καὶ πάντων ἀπολαύσεις τῶν
ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλαν-
θρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ
ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Η. 81

[1] Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν θεὸν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν·

[1] Cap. V. v. 1—3.

[c] πλ. ἔχειν pro ἔχειν πλ. A.K.N.O.R. [d] τὸ] τοῦ A. Veron. τῷ O.R. [e] κατηγορήσαμεν Q. κατηγορήσαμεν ἂν Sav. cet. invitis nostris. [f] πάντα K. O.Q. [g] πάντα (superscript.) ἀπώλετο N. [h] τὰ τῆς ἀ. om. A. [i] δὲ] + καὶ K.Q. Sav. cet. Post γάμος add. καὶ ἡ κοίτη ἀμίαντος A.R. Veron. invito Mut. [k] οὖν] + ἔστιν εἰπεῖν K.Q. Sav. cet. [l] καὶ σφ. δ. om. A. Statim γυναῖκα K. Mox θελήσωμεν A.R. Veron. [m] γυναῖκα A.K.O.Q. Sav. cet. Mox παραχρώμενοι O.Q. [n] ἀπὸ] ὑπὸ K.N.O.Q. Sav. cet. Mox ἰδέτωσαν K.Q. et ex corr. N. receptum a Sav. cet. *sciant* Mut. [o] ἐπειδὴ N. Mox τὴν μέθην N.R. Sav. cet. [p] χρῆσθαι] χρήσασθαι N. κεχρῆσθαι. χρῆσαι K.Q. Sic, sed κεχρῆσθαι in marg. a 2da m. O. Mox χρῶ om. O.Q. et probab. K.

Digitized by Google

καὶ διὰ [a]ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ [b]ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν.

B ΘΕΛΕΙ δεῖξαι λοιπὸν ὁ μακάριος Παῦλος, ὅτι πολλῷ βελτίων ἡ διαθήκη αὕτη τῆς παλαιᾶς. Ποιεῖ [c]οὖν τοῦτο, πόρρωθεν προκαταβάλλων τοὺς λογισμούς. Ἐπειδὴ γὰρ οὐδὲν [d]ἦν [e]σωματικὸν ἢ φανταστικὸν, οἷον, οὐ ναὸς, οὐχ ἅγια ἁγίων, οὐχ ἱερεὺς τοσαύτην ἔχων [f]σκευὴν, οὐ παρατηρήσεις νομικαὶ, ἀλλ' ὑψηλότερα καὶ [g]τελειότερα πάντα, καὶ οὐδὲν τῶν σωματικῶν, τὸ δὲ πᾶν ἐν τοῖς πνευματικοῖς [h]ἦν· οὐχ οὕτω δὲ [i]τὰ πνευματικὰ τοὺς ἀσθενεστέρους ἐπήγετο, ὡς τὰ σωματικά· [k]τοῦτον ὅλον ἀνακινεῖ τὸν λόγον. Καὶ θέα τὴν σύνεσιν· ἀπὸ τοῦ ἱερέως
C [l]πρώτου ποιεῖται τὴν ἀρχὴν, καὶ συνεχῶς αὐτὸν ἀρχιερέα καλεῖ, καὶ ἀπ' αὐτοῦ [m]πρώτου δείκνυσι τὴν διαφοράν. Διὰ τοῦτο ὁρίζεται πρῶτον τί ἐστιν ἱερεὺς, καὶ δείκνυσιν [n]εἴ τινα ἔχει ἱερέως, καὶ [o]εἴ τινα σύμβολα γίνεται ἱερωσύνης. [p]Ἀντέπιπτε δὲ αὐτῷ, ὅτι οὐδὲ εὐγενὴς ἦν, [q]οὔτε ἐκ φυλῆς [r]ἦν ἱερατικῆς, οὔτε ἐπὶ τῆς γῆς [s]ἱερεύς· πῶς οὖν ἱερεὺς, [t]φησί; Καὶ ὥσπερ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, [v]ἀπίθανον λόγον λαβὼν, [w]εἰ πίστις ἐργάζεται τοῦτο ὅπερ οὐκ ἴσχυσεν [x]ὁ πόνος ὁ τοῦ νόμου καὶ ὁ τῆς
D πολιτείας [y]ἱδρὼς, κατέφυγεν ἐπὶ τὸν πατριάρχην, καὶ εἰς ἐκεῖνον τὸν χρόνον τὸ πᾶν [z]ἀνήγαγεν· οὕτω δὴ καὶ ἐνταῦθα, [a]ἀνατέμνει τῆς ἱερωσύνης τὴν ἑτέραν ὁδὸν, ἀπὸ τῶν φθασάντων αὐτὴν προτιθείς. Καὶ καθάπερ ἐπὶ τῆς κολάσεως οὐ τὴν γέενναν παραφέρει μόνον, ἀλλὰ καὶ [b]τὰ ἐπὶ τῶν πατέρων συμβάντα· οὕτω δὴ καὶ ἐνταῦθα, πρῶτον ἀπὸ τῶν παρόντων [c]τοῦτο βεβαιοῦται. Ἔδει μὲν γὰρ ἀπὸ τῶν [d]οὐρανίων τὰ ἐπίγεια

HOM. VIII. [a] ταύτην] τοῦτο R. Mox καθὼς καὶ περὶ K.Q. [b] αὐτοῦ N. Statim περὶ ἁμ. Q.R. ὑπὲρ ἁμ. om. K. [c] οὖν] δὲ K.Q. Sav. cet. invitis Cat. Supp. Mox καταβάλλων Q. [d] ἦν om. a pr. m. N. [e] σωμ. ἢ (οὐδὲ O. Supp.) φαντ.] τῶν σωματικῶν K.Q. [f] κατασκευὴν K.N. Sav. cet. invitis Cat. Supp. [g] τελεώτερα K. Mox πρόσκαιρον pro τῶν σωματικῶν K.Q. [h] ἦν om. A. Cat. [i] τὰ om. A. Mox ὑπήγετο Cat. [k] τοῦτον ὅλ.] τούτων ὅλων N. τούτου χάριν τοῦτον ὅλ. K.Q. Sav. cet. Statim κινεῖ A.K.Q. Sav. cet. [l] πρῶτον ex corr. O. [m] πρῶτον N. Sav. cet. ποιεῖται pro δείκνυσι R. [n] εἰ om. K.Q. Sav. cet. Post ἱερέως add. σύμβολα O. [o] εἰ om. K.Q. Sav. cet. Statim τὰ σύμβολα ταῦτα σ. pro τινα σ. N.O. Supp. Mut. [p] ἀντ. δὲ] καὶ ἐπείπερ ἀντ. K.Q. Sav. cet. Mox ὅτι οὐδὲ—ἐπὶ τῆς γῆς ἱερεὺς om. K.Q. [q] οὐδὲ N.O. [r] ἦν om. Cat. Supp. [s] ἱερεὺς] + εἰκὸς δὲ ἦν διὰ τοῦτό τινας εἰπεῖν K.Q. Sav. cet. invitis Cat. Supp. Mut. [t] φησί; καὶ ὥσπερ] οὗτος; ὅπερ iidem. Post ἐπιστολῇ add. τοῦτο καὶ νῦν ποιεῖ iidem. [v] ἀπίθανον] + γὰρ iidem. [w] εἰ] ἢ A. Supp. Mut. φησὶν, ἢ N. ὡς ἡ O. [x] ὁ π. ὁ τοῦ ν.] Sic omnes. ὁ τοῦ ν. π. Edd. [y] ἱδρὼς] + καὶ θέλων δεῖξαι ὅτι τὸ δοκοῦν ἀδύνατον γέγονε καὶ κατώρθωται K.Q. Sav. cet. invitis Supp. Mut. [z] ἤγαγεν K. [a] τέμνει K.Q. Sav. cet. [b] τὰ om. A. [c] τοῦτο] Sic K.O.Q. Supp. Sav. cet. αὐτὸ N. Cat. οὕτω A. Veron. τοῦτο om. R. [d] ἐπουρανίων καὶ ἐπίγεια O. Statim πιστεύεσθαι Cat.

Digitized by Google

πιστοῦσθαι, ἀλλ' ὅταν ἀσθενεῖς ὦσιν οἱ ἀκούοντες, τὸ ἐναντίον 82
γίνεται. Τέως οὖν ἃ [e]κοινά ἐστι, τίθησι πρῶτα, καὶ τότε
(474) δείκνυσιν ὅτι ὑπερέχει. Ἡ γὰρ κατὰ σύγκρισιν ὑπεροχὴ οὕτω
γίνεται, [f]ὅταν ἐν μὲν τοῖς κοινωνῇ, ἐν δὲ τοῖς ὑπερέχῃ· εἰ δὲ μὴ,
οὐκέτι κατὰ σύγκρισιν γίνεται. "Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώ-
πων λαμβανόμενος." Τοῦτο κοινὸν τῷ Χριστῷ. "Ὑπὲρ ἀν-
θρώπων καθίσταται [g]τὰ πρὸς τὸν θεόν." Καὶ [h]τοῦτο. "Ἵνα
προσφέρῃ δῶρά τε καὶ θυσίας [i]ὑπὲρ τοῦ λαοῦ." Καὶ τοῦτο,
οὐχ [k]ὅλον· τὰ δὲ λειπόμενα, οὐκέτι. "Μετριοπαθεῖν δυνάμε-
νος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις." Ἐνταῦθα λοιπὸν ἡ ὑπερ- B
οχή. "Ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν· καὶ [l]διὰ ταύτην
ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέ-
ρειν [m]ὑπὲρ ἁμαρτιῶν." Εἶτα [n]καὶ ἄλλα· ὑφ' ἑτέρου, φησὶ,
γίνεται, καὶ οὐκ αὐτὸς ἐπιπηδᾷ. Καὶ τοῦτο κοινόν. [2]"Καὶ
οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, [o]ἀλλὰ καλούμενος ὑπὸ τοῦ
θεοῦ, καθὼς καὶ [p]Ἀαρών." Ἐνταῦθα ἕτερόν τι [q]πάλιν θερα-
πεύει, [r]ὅτι ἀπὸ θεοῦ ἀπέσταλται. Ὃ ἄνω καὶ κάτω Ἰουδαίοις
διαλεγόμενος ἔλεγεν ὁ Χριστός· [3]"Ὁ πέμψας με μείζων μού
ἐστι·" καὶ, "Ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα." [s]Ἐνταῦθά μοι δοκεῖ C
καὶ [t]τῶν Ἰουδαίων αἰνίττεσθαι τοὺς [u]ἱερέας, ὡς [v]οὐκέτι ὄντας
ἱερέας, τοὺς ἐπιπηδῶντας, καὶ τὸν νόμον τῆς ἱερωσύνης παρα-
φθείροντας. [4]"Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε [w]γε-
νηθῆναι ἀρχιερέα." Ποῦ οὖν ἐχειροτονήθη, φησίν; Ὁ γὰρ
Ἀαρὼν ἐχειροτονήθη πολλάκις, ὡς ἐπὶ τῆς ῥάβδου, [x]καὶ ὅτε
τὸ πῦρ κατῆλθε καὶ ἠφάνισε τοὺς ἐπιπηδῆσαι βουλομένους τῇ
ἱερωσύνῃ· ἐνταῦθα δὲ [y]τοὐναντίον, οὐ μόνον οὐδὲν ἔπαθον, ἀλλὰ
καὶ εὐδοκιμοῦσι. Πόθεν [z]οὖν; [a]Ἀπὸ προφητείας τοῦτο δείκνυ-
σιν. [b]Οὐδὲν ἔχει αἰσθητὸν, οὐδὲν ὁρατόν· διὰ τοῦτο ἀπὸ προ-

[2] v. 4. [3] Joan. xii. 49. viii. 42. [4] v. 5.

[e] κοινὰ] ἐκεῖνα A. [f] ὅταν—γίνεται om. K. [g] τὰ πρὸς τὸν θ. om. O. Cat. Mut. [h] τοῦτο] + κοινὸν K.Q. Sav. cet. καὶ τοῦτο om. R. [i] ὑπὲρ] + ἁμαρτιῶν R. [k] ὅλον] + δὲ K.Q. Sav. cet. invitis Cat. Supp. δὲ eras. in N. [l] δι' αὐτὴν A.K.Q. Veron. Post καθὼς add. καὶ R. [m] ὑπὲρ] περὶ A.K.O. Q.R. [n] καὶ ἄλλα] ἀλλὰ καὶ R. καὶ ἄλλο N.O. Mut. καὶ ἄλλα—οὐκ αὐτὸς] καὶ ἄλλο (ἄλλα K.Q.) προστίθησιν· ὅτι ὑφ' ἑ. γίνεται, καὶ ὅτι οὐκ αὐτὸς K.Q. Sav. cet. [o] ἀλλὰ] ἀλλ' ὁ R. [p] Ἀαρὼν] + οὕτως καὶ ὁ Χριστὸς O. [q] πάλιν om. R. [r] ὅτι] δεικνὺς ὅτι K.Q. Sav. cet. Mox ἀπὸ τοῦ θ. A.N. Sav. cet. [s] ἐνταῦθα] οὐ μὴν ἀλλὰ K.Q. [t] τῶν] τοὺς (mox om. τοὺς) N. O. Cat. [u] ἱερεῖς R. [v] οὐκέτι] Sic N.O. Cat. οὐκ Sav. cet. Haec ὡς—ἱερέας om. A.K.Q.R. Veron. Supp. invitis Cat. Mut. [w] γεννηθῆναι A. Cat. [x] καὶ] ὡς Q. Mox ἐπιπ. βουλ. τῇ ἱ. N.O.Cat. ἐπιπ. τῇ ἱ. (+μου A.) βουλ. A. K.Q.R. Supp. ἐπιπηδῶντας τῇ ἱ. Edd. [y] τοὐναντίον—εὐδοκιμοῦσι] τοιοῦτον οὐδὲν ἔστιν εἰπεῖν K.Q. [z] οὖν] + τοῦτο δείκνυσιν K.Q. Sav. Mor. Mox τοῦτο δ. om. K.Q. [a] ἀπὸ τῆς πρ. K.N.Q. Sav. cet. [b] οὐδὲν] + γὰρ K. Q. Mox οὐδὲ ὁρατὸν K.N. Veron. Sav. Mor. invitis Cat. Supp. Mut.

Digitized by Google

D φητείας, [c]ἀπὸ τῶν μελλόντων ἰσχυρίζεται· “Ἀλλ’ ὁ [d]λαλήσας
πρὸς αὐτὸν, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε.” [e]Τί
πρὸς τὸν υἱὸν τοῦτο; Ναὶ, φησί· προκατασκευή [f]ἐστι τοῦ ὑπὸ
θεοῦ χειροτονηθῆναι. [5]“Καθὼς καὶ ἐν ἑτέρῳ λέγει, Σὺ [g]ἱερεὺς
εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.” Πρὸς τίνα [h]δὲ
εἴρηται τοῦτο; τίς ἐστι κατὰ τὴν τάξιν Μελχισεδέκ; Οὐδεὶς
[i]ἕτερος· πάντες γὰρ ὑπὸ νόμον ἦσαν, πάντες ἐσαββάτιζον,
πάντες περιετέμνοντο· οὐδένα ἂν [k]ἔχοι τις ἕτερον δεῖξαι.
83 [6]“[a]Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις [l]τε καὶ
ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, μετὰ
κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς
ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱὸς, ἔμαθεν ἀφ’ ὧν ἔπαθε τὴν
[m]ὑπακοήν.” Ὁρᾷς ὅτι οὐδὲν [n]ἄλλο, ἢ τὸ κηδεμονικὸν παρίστησι
καὶ τῆς ἀγάπης τὴν ὑπερβολήν; Τί γὰρ βούλεται τὸ, “μετὰ
κραυγῆς ἰσχυρᾶς;” Οὐδαμοῦ τοῦτο τὸ εὐαγγέλιόν φησιν, [o]οὐδ’
ὅτι ἐδάκρυσεν εὐχόμενος, οὐδ’ ὅτι κραυγὴν [p]ἐποιήσατο. Ὁρᾷς
ὅτι [q]συγκατάβασις ἦν; Οὐ γὰρ ἐνῆν εἰπεῖν ὅτι ηὔξατο, ἀλλὰ
B καὶ, “μετὰ κραυγῆς ἰσχυρᾶς;” “Καὶ εἰσακουσθεὶς, φησὶν, ἀπὸ
τῆς εὐλαβείας, καίπερ ὢν υἱὸς, ἔμαθεν ἀφ’ ὧν ἔπαθε τὴν ὑπακοήν·
[7]καὶ τελειωθεὶς ἐγένετο [r]πᾶσι τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος
σωτηρίας αἰωνίου, προσαγορευθεὶς ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ
τὴν τάξιν Μελχισεδέκ.” Ἔστω μετὰ κραυγῆς· διὰ τί καὶ
ἰσχυρᾶς, [s]καὶ δακρύων; “Προσενέγκας, φησὶ, καὶ εἰσακουσθεὶς
[t]ἀπὸ τῆς εὐλαβείας.” [v]Τί λέγεις; Αἰσχυνέσθωσαν αἱρετικοί·
ὁ υἱὸς τοῦ θεοῦ ἀπὸ εὐλαβείας ἠκούετο. Καὶ τί περὶ τῶν προ-
C φητῶν πλέον ἂν εἴποι τις; Ποία δὲ καὶ ἀκολουθία εἰπεῖν,
“Εἰσακουσθεὶς ἀπὸ τῆς [w]εὐλαβείας, καίπερ ὢν υἱὸς, ἔμαθεν ἀφ’
ὧν ἔπαθε τὴν ὑπακοήν;” [x]Ταῦτα περὶ θεοῦ ἄν τις εἴποι; καὶ τίς
οὕτω μέμηνε; τίς δὲ παραπαίων ἂν [y]ταῦτα ἐφθέγξατο; “Εἰσ-

[5] v. 6. [6] v. 7, 8. [7] v. 9, 10.

[c] ἀπὸ] καὶ ἀπὸ K.Q. [d] λαλήσας] + φησὶ N.O. Mut. Sav. cet. [e] τί—φησὶ] τί πρὸς τὸν υἱὸν τοῦτο; (τί—τοῦτο; om. K.Q.) ναὶ, φησὶ, τοῦτο πρὸς τὸν υἱὸν εἴρηται. τί δαὶ συμβάλλεται τὸ τοιοῦτον πρὸς τὸ ζητούμενον; καὶ πάνυ γε K.Q. Sav. cet. [f] ἐστι] γάρ ἐστι iidem. [g] ἱ. εἰς τὸν αἰ.] εἶ εἰς τὸν αἰ. ἱ. O. [h] δὲ om. N. et a pr. m. O. Statim εἴρηκε A.K.Q.R. Supp. Mox τί ἐστι A. Veron. [i] ἕτερος] + ἢ οὗτος K.Q. Sav. cet. Mox ὑπὸ τὸν ν. N. Sav. cet. [k] ἔχοι τις] ἔχοιεν Cat. Mut. et a pr. m. N.O. Post ἕτερον add. φησὶ A.K.Q. Sav. cet. [l] τε om. N. [m] ἀκοὴν a pr. m. O. [n] ἄλλο] + ποιεῖ Edd. ποιεῖ om. K.Q. inclusum a Sav. [o] οὐδ’] οὐχ N. οὔτε K. οὐδὲ Cat. Mox οὐδὲ ὅτι N.O. Cat. [p] ἐποιήσατο] ἀφῆκεν N. Sav. cet. [q] συγκατ. ἦν] συγκαταβάσεις εἰσὶν N. Mox ἦν pro ἐνῆν idem. [r] πᾶσι om. N.R. post αὐτῷ (αὐτὸν R.) transp. O. Cat. [s] καὶ μετὰ δακρύων προσενέγκας, φ. Edd. repugnantibus libris et Supp. [t] ἀπὸ] ὑπὸ K.Q. [v] τί λ. αἰσχ. αἱρετικοὶ] αἰσχ. αἱρετικοὶ, ἀθετοῦντες τὴν σάρκα. τί λ. K.Q. Supp. Sav. cet. invitis Cat. Mut. [w] εὐλαβείας] + καὶ ἐπαγαγεῖν K.Q. Sav. cet. [x] ταῦτα—ὑπακοὴν om. R. [y] ταῦτα] ἐνταῦθα A.

Digitized by Google

(475) ακουσθεὶς, φησὶν, ἀπὸ τῆς εὐλαβείας, ἔμαθεν ἀφ' ὧν ἔπαθε
τὴν ὑπακοήν." Ποίαν [z]ὑπακοήν; ὁ μέχρι θανάτου πρὸ τούτου
ὑπακούσας, ὡς πατρὶ υἱὸς, [a]πῶς ὕστερον ἔμαθεν; Ὁρᾷς ὅτι
περὶ τῆς [b]σαρκώσεως εἴρηται; [c]Εἰπὲ δή μοι, τοῦ πατρὸς ἐδεῖτο, D
ἵνα σωθῇ ἀπὸ τοῦ θανάτου; καὶ διὰ τοῦτο [d]περίλυπος ἦν, καὶ
ἔλεγεν· [8]"Εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο;"
[e]οὐδαμοῦ δὲ περὶ ἀναστάσεως ἐδεήθη τοῦ πατρὸς, ἀλλὰ τοὐναν-
τίον αὐτὸς ἀποφαίνεται λέγων· [9]"Λύσατε τὸν ναὸν τοῦτον,
[f]καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν·" καὶ, "Ἐξουσίαν ἔχω θεῖναι
τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· [g]οὐδεὶς
αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ;" Τί οὖν
ἐστι; [h]τίνος ἕνεκεν ἐδεῖτο; Καὶ πάλιν [i]ἔλεγεν· [10]"Ἰδοὺ ἀνα- 84
βαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθή-
σεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐ-
τὸν θανάτῳ, καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμ-
παῖξαι καὶ μαστιγῶσαι [k]καὶ σταυρῶσαι, καὶ τῇ τρίτῃ ἡμέρᾳ
ἀναστήσεται·" καὶ οὐκ εἶπεν, ὅτι ἀναστήσει με ὁ πατήρ. Πῶς
οὖν περὶ τούτου ἐδεήθη; Ἀλλὰ περὶ τίνων [l]ἐδεῖτο; περὶ τῶν
πιστευσάντων εἰς αὐτόν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· [m]εἰσα-
κούεται εὐκόλως. Ἐπειδὴ γὰρ οὐδέπω περὶ αὐτοῦ δόξαν εἶχον
τὴν προσήκουσαν, εἶπεν ὅτι εἰσηκούσθη· ὥσπερ καὶ αὐτὸς τοὺς
μαθητὰς παραμυθούμενος, ἔλεγεν· [11]"Εἰ ἠγαπᾶτέ με, ἐχάρητε B
ἂν, ὅτι πρὸς τὸν πατέρα [n]μου πορεύομαι, [o]καὶ ὁ πατήρ μου
μείζων μού ἐστι." Πῶς δὲ οὐχ ἑαυτὸν ἐδόξασεν ὁ ἑαυτὸν κενώ-
σας, ὁ παραδοὺς ἑαυτόν; [12]"Παρέδωκε γὰρ, φησὶν, ἑαυτὸν
ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν·" καὶ πάλιν, "Δοὺς ἑαυτὸν ἀντίλυτρον
ὑπὲρ πάντων ἡμῶν." [p]Τί οὖν ἐστιν; Ὁρᾷς ὅτι διὰ τὴν σάρκα
ταπεινὰ φθέγγεται περὶ [q]ἑαυτοῦ; Οὕτω καὶ ἐνταῦθα, "Καίπερ
ὢν υἱὸς, ἀπὸ τῆς εὐλαβείας εἰσηκούσθη," φησί. [r]Βούλεται αὐ-

8 Matth. xxvi. 39. 9 Joan. ii. 19. x. 18. 10 Matth. xx. 18, 19. 11 Joan. xiv. 28. 12 Gal. i. 4. 1 Tim. ii. 6.

[z] ὑπακοὴν] + ἔμαθεν K.Q. Sav. cet. [a] πῶς] + δὲ καὶ iidem. [b] σαρκώσεως] Sic A.N.O. Cat. Supp. Mut. Edebatur σαρκός. Post εἴρηται add. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν A.N.O.R. Mut. Veron. invita Cat. [c] εἰπὲ δή μοι] ἐπειδὴ R. Statim πότερον ἐδεῖτο τοῦ π. ἵνα O. [d] π. ἦν, καὶ ἔλεγεν] ἔλεγε, π. ἐστιν ἡ ψυχή μου, καὶ K.Q. [e] οὐδαμοῦ δὲ] πῶς οὖν οὐδαμοῦ O. Statim περὶ τῆς ἀν. A.K.Q. Sav. cet. Mox ἀλλὰ καὶ τοὐν. K.Q. Sav. cet. [f] καὶ] + ἐγὼ N.O. Mut. Sav. cet. [g] οὐδεὶς] καὶ οὐδεὶς K.Q. οὐδεὶς γὰρ N.R. Mox ἀλλ' ἐγὼ K.Q. Sav. cet. [h] τίνος] καὶ τίνος iidem. [i] ἔλεγεν] λέγει A.N.O. Sav. cet. [k] καὶ σταυρῶσαι om. R. [l] ἐδεήθη N. Sav. cet. Statim περὶ om. N.O. Cat. [m] εἰσακούσεται K. et ex corr. O. [n] μου om. Cat. et a pr. m. N. μου post πατὴρ om. K. [o] καὶ] + γὰρ Cat. et ex corr. O. ὅτι pro καὶ Sav. cet. invitis omnibus. [p] τί οὖν ἐστιν om. K.Q. Supp. inclusum a Sav. [q] αὐτοῦ N.O. Cat. Statim οὕτω om. N. Mox ἠκούσθη O. [r] βούλεται] + γὰρ K.Q. Sav. cet.

Digitized by Google

τοῦ δεῖξαι τὸ κατόρθωμα ὃν μᾶλλον ἢ τῆς χάριτος τοῦ θεοῦ.
C Τοσαύτη, φησὶν, ἦν αὐτοῦ ἡ εὐλάβεια, ὡς καὶ ἀπὸ τούτου αἰ-
δεῖσθαι αὐτὸν τὸν θεόν. Ἔμαθεν ὑπακούειν, [s]φησὶ, τῷ θεῷ.
Ἐνταῦθα πάλιν δείκνυσιν ὅσον τῶν παθημάτων τὸ κέρδος.
"Καὶ τελειωθεὶς, φησὶν, [t]ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος
σωτηρίας." Εἰ δὲ ἐκεῖνος, υἱὸς ὢν, ἐκέρδανεν ἀπὸ τῶν παθημά-
των [v]τὸ ὑπακούειν, πολλῷ μᾶλλον ἡμεῖς. Ὁρᾷς ὅσα περὶ ὑπα-
κοῆς διαλέγεται, ὥστε πείθεσθαι [w]αὐτούς; δοκοῦσι γάρ [x]μοι
ἀφηνιάζειν. [y]Ἀφ' ὧν ἔπαθε, φησὶ, συνεχῶς ἔμαθεν ὑπακούειν
D τῷ θεῷ. "Καὶ τελειωθείς·" διὰ τῶν [z]παθημάτων. Τοῦτό
ἐστιν ἄρα τελείωσις, καὶ διὰ τούτου ἐλθεῖν εἰς τελείωσιν χρή.
Οὐ μόνον γὰρ αὐτὸς ἐσώθη, ἀλλὰ καὶ ἑτέροις τοῦτο γέγονε
[a]περιουσία σωτηρίας. "Τελειωθεὶς γὰρ ἐγένετο τοῖς ὑπακού-
ουσιν αὐτῷ [b]αἴτιος σωτηρίας."

"Προσαγορευθεὶς, [c]φησὶν, ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ τὴν
τάξιν Μελχισεδέκ. [13]Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος, καὶ δυσερ-
μήνευτος." Μέλλων [d]καθιέναι εἰς τὴν διαφορὰν τῆς ἱερωσύνης,
85 πρότερον αὐτοῖς ἐπιτιμᾷ, δεικνὺς ὅτι καὶ ἡ τοσαύτη συγκατά-
βασις γάλα ἦν, καὶ διὰ τὸ νηπίους εἶναι, πλέον ἐνδιέτριβε τῷ
[e]ταπεινῷ λόγῳ τῷ κατὰ σάρκα, καὶ ὡς περί τινος δικαίου δια-
λέγεται. Καὶ θέα, οὔτε ἀπεσιώπησε τὸν λόγον πάντη, οὔτε
εἶπε· τὸ μὲν [f]γὰρ, ἵνα ἀναγάγῃ αὐτῶν τὴν διάνοιαν, [g]καὶ πείσῃ
τελείους εἶναι, καὶ μὴ ἀποστερεῖσθαι τῶν μεγάλων δογμάτων·
τὸ δὲ, ἵνα μὴ καταχώσῃ αὐτῶν τὸν νοῦν. "Περὶ οὗ πολὺς ἡμῖν
ὁ λόγος, [h]φησὶ, καὶ δυσερμήνευτος λέγειν, ἐπεὶ νωθροὶ γεγόνατε
ταῖς ἀκοαῖς." [i]Ἐπειδὴ ἐκεῖνοι οὐκ ἀκούουσι, διὰ τοῦτο δυσερ-
μήνευτος ὁ λόγος. [k]Ὅταν γάρ τις πρὸς ἀνθρώπους ἔχῃ μὴ
B παρακολουθοῦντας, μηδὲ τὰ λεγόμενα νοοῦντας, ἑρμηνεῦσαι κα-
λῶς αὐτοῖς οὐ δύναται. Ἀλλ' ἴσως τις ὑμῶν τῶν ἐνταῦθα ἑστη-
κότων ἰλιγγιᾷ, καὶ ἐπήρειαν τὸ πρᾶγμα νομίζει, εἰ [l]δι' Ἑβραί-

13 v. 11.

[s] τῷ θεῷ, φησὶ hoc ord. N.O. Cat. [t] ἐγένετο] + πᾶσι A.N. Sav. cet. πᾶσιν post αὐτῷ add. O. Cat. [v] τὸ ὑπ.] τὴν ὑπακοὴν A.K.N. Supp. Sav. cet. Mox ὑμεῖς O. [w] αὐτοῖς N. [x] μοι] + συνεχῶς K.Q. Sav. cet. Post ἀφηνιάζειν iidem add. καὶ τοῖς λεγομένοις μὴ παρακολουθεῖν (ἀκολουθεῖν Q.)· τοῦτο γὰρ ᾐνίξατο τῷ εἰπεῖν, νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. [y] ἀφ' ὧν—θεῷ om. K.Q. inclusum a Sav. [z] παθημάτων] + φησὶ K.Q. Sav. cet. [a] π. σωτηρίας] ἐκ περιουσίας K.Q. Sav. Mor. [b] αἴτιος] + αἰωνίου N. Sav. cet. [c] φησὶν om. K.Q. post θεοῦ transp. N.O. [d] καθιέναι] + τὸν λόγον Edd. τὸν λόγον om. Cat. et a pr. m. O. [e] ταπεινῷ om. K.Q. [f] γὰρ om. K.Q. Mut. [g] καὶ πείσῃ] καταπείσῃ corr. ex κατὰ πάσῃ A. Post δογμάτων add. πεποίηκε Edd. πεποίηκε om. K.Q. Mut. [h] φησὶ om. K.Q.R. [i] ἐπειδὴ] ἐπεὶ R. τί οὖν; ἐπειδὴ K.Q. [k] ὅταν γὰρ] οὐδαμῶς· ἀλλ' ὅταν K.Q. [l] διὰ Ἑβρ. A.R. Veron. Mox τῶν τελ. ἀκοῦσαι λόγων A.K.N.O.Q. τὸν τελειότερον λαλῆσαι λόγον Edd.

Digitized by Google

ους αὐτὸς ἐνεποδίσθη τῶν τελειοτέρων ἀκοῦσαι λόγων. Τάχα
μὲν [m]οὖν καὶ ἐνταῦθα, πλὴν ὀλίγων, πολλοὺς εἶναι [n]τοιούτους
οἶμαι, ὥστε λέγεσθαι καὶ περὶ ὑμῶν τοῦτο· τῶν δὲ ὀλίγων ἕνε-
κεν ἐρῶ. [o]Ἄρ' οὖν ἀπεσιώπησεν, ἢ πάλιν αὐτὸν ἀνέλαβεν ἐν
τοῖς [p]ἐφεξῆς, καὶ ταὐτὸν ἐποίησεν, οἷον ἐν τῇ πρὸς Ῥωμαίους
(476) ἐπιστολῇ; καὶ γὰρ ἐκεῖ πρότερον ἐπιστομίσας τοὺς ἀντιλέ-
γοντας, καὶ εἰπὼν, [14] "Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀντα- C
ποκρινόμενος τῷ θεῷ;" τότε τὴν λύσιν ἐπάγει. Ἐγὼ δὲ αὐτὸν
[q]οὐδὲ πάντη σεσιγηκέναι, οὐδὲ εἰρηκέναι οἶμαι, ἵνα εἰς πόθον
ἀγάγῃ τοὺς ἀκροατάς. Μνημονεύσας γὰρ καὶ εἰπὼν μεγάλα
τινὰ ἐναποκεῖσθαι τῷ λόγῳ, ὅρα πῶς μετ' [r]ἐγκωμίου ποιεῖται
τὴν ἐπιτίμησιν. Τοῦτο γὰρ ἀεὶ τῆς [s]σοφίας Παύλου, τὰ δυσ-
χερῆ τοῖς χρηστοῖς ἀναμιγνύναι· ὃ καὶ ἐν τῇ πρὸς Γαλάτας
ποιεῖ, λέγων, [15] "Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐνέκοψε;" καὶ,
"Τοσαῦτα ἐπάθετε εἰκῇ; εἴγε καὶ εἰκῇ·" καὶ, "Πέποιθα [t]εἰς
ὑμᾶς ἐν κυρίῳ." [u]Ὃ καὶ τούτοις φησί· [16] "Πεπείσμεθα δὲ περὶ D
ὑμῶν τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας." Δύο [v]γὰρ ταῦτα
ποιεῖ· [w]οὔτε ἐπιτείνει, οὔτε ἀφίησιν αὐτοὺς ἀναπεσεῖν. Εἰ γὰρ
τὰ ἑτέρων παραδείγματα ἱκανὰ τὸν ἀκούοντα ἀναστῆσαι, καὶ
εἰς ζῆλον [x]ἀγαγεῖν· ὅταν [y]τις παρ' ἑαυτοῦ τὸ ὑπόδειγμα ἔχῃ,
καὶ ἑαυτὸν κελεύηται ζηλοῦν, [z]ἤδη τὸ δυνατὸν συνεισάγεται.
[a]Καὶ τοῦτο οὖν δείκνυσι, καὶ οὐκ ἀφίησιν ὡς σφόδρα κατεγνω- 86
σμένους ἀναπεσεῖν, οὐδὲ ὡς ἀεὶ ὄντας κακοὺς, ἀλλ' [b]ὅτι ποτὲ
ἐγένοντο καὶ χρηστοί.

[17] "Καὶ γὰρ ὀφείλοντες [c]εἶναι διδάσκαλοι διὰ τὸν χρόνον,"
φησί. Δείκνυσιν ἐνταῦθα πρὸ πολλοῦ χρόνου πεπιστευκότας
αὐτούς· δείκνυσι δὲ ὅτι καὶ [d]ἄλλους ὀφείλουσι κατηχεῖν. Ὅρα
γοῦν αὐτὸν συνεχῶς ὠδίνοντα τὸν περὶ τοῦ ἀρχιερέως [e]εἰσαγα-
γεῖν λόγον, καὶ ἀεὶ ἀναβαλλόμενον. Ἄκουε γὰρ [f]ὅπως ἤρξατο·
"Ἔχοντες ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς·" καὶ

[14] Rom. ix. 20. [15] Gal. v. 7. iii. 4. v. 10. [16] Hebr. vi. 9. [17] v. 12.

[m] οὖν] + γε O. [n] τούτους K. [o] ἆρα οὖν A.K.N. [p] ἐφεξῆς] + εὔδηλον ὅτι ἀνέλαβε K.Q. [q] οὔτε bis N. Sav. cet. οὔτε in 2do loco A. [r] ἐγκωμίων R. et a pr. m. O. [s] φιλοσοφίας K. [t] ἐφ' ὑμᾶς N. Mox δὲ om. idem. [v] γὰρ om. K.Q. [w] οὔτε ἐπιτείνει om. A.N.O.R. Mut. Veron. invito Supp. Post ἀναπεσεῖν add. εἰκότως K.Q. Supp. Sav. cet. [x] ἀναγαγεῖν R. Veron. [y] τις] + καὶ K.Q. Mox παρακελεύηται N. Sav. cet. [z] ἤδη τὸ δυνατὸν (ἀγαθὸν N.) συνεισάγεται] πολλῷ μᾶλλον ἐντεῦθεν ἤδη τὸ δυνατὸν τῆς διδασκαλίας εἰσάγεται K.Q. Sav. cet. invito Supp. [a] καὶ—ἀφίησιν] οὐκ ἀφίησι γὰρ K.Q. [b] ὅτι] + καὶ O.R. Veron. Mox καὶ om. a pr. m. O. ὡς pro καὶ Veron. Post χρηστοὶ add. λέγει K.Q. Sav. cet. [c] εἶναι om. K. Post διδάσκαλοι add. φησὶν O. Mox φησὶ om. O. Sav. cet. [d] ἄλλους] λαϊκοὶ N. Cat. Mut. et a pr. m. O. δείκνυσι δὲ—κατηχεῖν om. K.Q. [e] εἰσάγειν R. Supp. [f] ὅπως A.O.R. Cat. Supp. πῶς Edd.

Digitized by Google

παρεὶς εἰπεῖν πῶς μέγαν, πάλιν φησὶ, "Πᾶς γὰρ ἀρχιερεὺς ἐξ
B ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν θεόν·" καὶ πάλιν, "Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα." Καὶ πάλιν εἰπὼν, "[g]Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ," πάλιν ἀναβάλλεται λέγων, "Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις καὶ ἱκετηρίας [h]προσήνεγκεν." Ἐπεὶ οὖν τοσαυτάκις ἐξεκρούσθη, ὡσανεὶ ἀπολογούμενός φησιν, ἡ αἰτία παρ' [i]ὑμᾶς. Βαβαὶ, πόση διαφορά; ὀφείλοντες [k]ἄλλους διδάσκειν, οὐδὲ ἁπλῶς μαθηταί
C εἰσιν, ἀλλὰ μαθηταὶ ἔσχατοι. "Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν [l]χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τινα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ." [m]Ἐνταῦθα τὴν ἀνθρωπότητά φησιν. Ὥσπερ [n]γὰρ ἐπὶ τῶν ἔξωθεν γραμμάτων [o]πρῶτον τὰ στοιχεῖα δεῖ μαθεῖν, οὕτω καὶ [p]ἐνταῦθα πρῶτον [q]περὶ τῆς ἀνθρωπότητος [r]ἐδιδάσκοντο. Ὁρᾷς τίς ἡ αἰτία τοῦ ταπεινὰ φθέγγεσθαι; Οὕτω καὶ Ἀθηναίοις ἐποίησεν [s]ὁ Παῦλος διαλεγόμενος καὶ λέγων· [18]"Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ θεὸς, τανῦν παραγγέλλει [t]τοῖς
D ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν, καθότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν." Διὰ τοῦτο εἰ μέν [v]τι ὑψηλὸν λέγει, ἐν βραχεῖ τοῦτό φησι· τὰ δὲ ταπεινὰ [w]πολλαχοῦ διέσπαρται τῆς ἐπιστολῆς. Καὶ οὕτω [x]δὲ τὸ ὑψηλὸν δείκνυται· τὸ γὰρ σφόδρα ταπεινὸν οὐκ ἀφίησι περὶ τῆς θεότητος ταῦτα ὑποπτεύεσθαι. Οὕτω καὶ ἐνταῦθα τὸ ἀσφαλὲς [y]ἐφυλάττετο. Τὴν δὲ νωθρότητα ταύτην [z]τί κατεργάζεται, ἐν τῇ πρὸς Κορινθίους τοῦτο μάλιστα ἐσήμανεν ἐπι-
87 στολῇ, εἰπών· [19]"Ὅπου γὰρ ἐν ὑμῖν [a]ζῆλος καὶ ἔρις καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε;" Θέα [b]δέ μοι τὴν σύνεσιν αὐτοῦ τὴν πολλὴν, πῶς καταλλήλως ἀεὶ τοῖς ὑποκειμένοις πάθεσι

18 Act. xvii. 30, 31. 19 1 Cor. iii. 3.

[g] σὺ] + εἰ K.O.Q. Cat. Sav. cet. [h] προσενέγκας K.O.Q. Cat. [i] ὑμῖν Cat. ὑμῶν Veron. Mox πόση ἡ δ. Q. [k] ἀλλήλους K.N. [l] χρόνον] + φησὶ N. Sav. cet. [m] ἐνταῦθα] στοιχεῖα ἀρχῆς K.Q. ἐνταῦθα στ. ἀρχῆς Sav. cet. λέγει pro φησιν K.Q. Post φησιν add. τοῦ Χριστοῦ a 2da m. N.O. [n] γὰρ om. a pr. m. N. Mox ἔξωθεν om. K.Q. [o] πρῶτα N. et bis Cat. [p] ἐνταῦθα] ἐπὶ τῶν θείων λογίων K.Q. Sav. cet. [q] περὶ] τὰ περὶ O. Cat. περὶ om. R. [r] ἐδιδάσκοντο] ἔδει διδάσκεσθαι K.Q. Sav. cet. [s] ὁ Π. διαλ.] διαλ. ὁ Π. N.O. Cat. ὁ Π. om. K.Q. Post διαλεγόμενος add. αὐτοῖς K.Q. Sav. cet. [t] τοὺς ἀνθρώπους O. [v] τι] τοι A. Supp. Mox λέγοι N.O. Cat. Supp. [w] πολλοῦ K. [x] δὲ] δὴ O. [y] ἐφυλάττετο. τὴν δὲ—ἐπιστολῇ] φυλάττων, τὰ ταπεινὰ προσάπτει τῇ ἀνθρωπότητι· καὶ τὸ αἴτιον, τὸ μὴ δύνασθαι αὐτοὺς τῶν τελείων ἀκούειν. τοῦτο μ. ἐν τῇ πρὸς Κορ. ἐσήμανεν ἐπιστολῇ K.Q. Sav. cet. [z] τί] ποῦ N. Mox μᾶλλον ἐσήμ. τ. pro τ. μάλιστα ἐσήμ. idem. [a] ζῆλοι K.Q. Statim ἔρεις A. Veron. [b] δὲ om. K.Q.

Digitized by Google

προσφέρεται. Ἐκεῖ μὲν [c]γὰρ ἡ ἀσθένεια ἀπὸ [d]ἀμαθίας τὸ
πλέον ἐγένετο, μᾶλλον δὲ ἀπὸ ἁμαρτημάτων· ἐνταῦθα δὲ οὐκ
ἀπὸ ἁμαρτημάτων [e]μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν θλίψεων τῶν
συνεχῶν. Διὸ καὶ λέξεσι [f]δείξασθαι δυναμέναις τὴν διαφορὰν
κέχρηται, [g]οὐ λέγων, σαρκικοὶ γεγόνατε, ἀλλὰ νωθροί. Ἐκεῖ
σαρκικοὶ, ἐνταῦθα δὲ μείζων ἡ ὀδύνη· ἐκεῖνοι γὰρ οὐκ ἠδυνήθησαν
[h]ἐνεγκεῖν, ἅτε σαρκικοὶ ὄντες· οὗτοι δὲ ἠδυνήθησαν. [i]Τὸ γὰρ B
εἰπεῖν, "Ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς," δηλοῦντος ἦν ὅτι
(477) πάλαι ὑγίαινον, [k]καὶ ἦσαν ἰσχυροὶ, τῇ προθυμίᾳ ζέοντες, [l]ὃ καὶ
ὕστερον [m]αὐτοῖς μαρτυρεῖ. "Καὶ γεγόνατε χρείαν ἔχοντες
γάλακτος, [n]οὐ στερεᾶς τροφῆς." Ἀεὶ [o]δὲ γάλα τὸν ταπεινὸν
λόγον καλεῖ, [p]καὶ ἐνταῦθα καὶ ἐκεῖ. "Ὀφείλοντες εἶναι, φησὶ,
διδάσκαλοι διὰ τὸν [q]χρόνον." Δι' ὃ μάλιστα ἐξελύθητε, καὶ
νήπιοι γεγόνατε, διὰ τοῦτο μάλιστα ὀφείλετε εἶναι ἰσχυροὶ,
διὰ τὸν χρόνον. Γάλα δὲ [r]καλεῖ διὰ τὸ τοῖς ἀφελεστέροις C
ἁρμόζειν· τοῦτο δὲ ἐναντίον τοῖς [s]τελειοτέροις, καὶ βλαβερὸν
τὸ ἐν τούτοις διατρίβειν. Ὥστε [t]οὐκ ἔδει τὰ νομικὰ ἐπεισφέρεσθαι
νῦν, οὐδὲ ἀπὸ τούτων τὴν σύγκρισιν γίνεσθαι, ὅτι ἀρχιερεὺς,
[v]καὶ ἔθυσε, καὶ ἐδεήθη κραυγῆς καὶ ἱκετηρίας. Ὅρα γοῦν
πῶς ἡμῖν ταῦτα [w]προσίσταται· ἀλλ' ἐκείνους [x]τότε ἔτρεφεν,
οὐδαμοῦ προσιστάμενα αὐτοῖς. Ἄρα οὖν [y]τροφὴ ἀληθὴς τὰ
λόγια τοῦ [z]θεοῦ· [20]"Δώσω γὰρ αὐτοῖς, φησὶν, οὐ λιμὸν ἄρτου,
οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου." D
"Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα." Οὐκ εἶπεν, ἔθρεψα, δεικνὺς
ὅτι οὐκ ἔστι [a]τὸ τοιοῦτον τροφὴ, ἀλλ' ὥσπερ ἐπὶ τῶν παιδίων
τῶν μικρῶν τῶν [b]οὐ δυναμένων ἄρτῳ τρέφεσθαι· τὰ γὰρ τοι-

20 Amos viii. 11. 1 Cor. iii. 2.

[c] γὰρ om. N. [d] ἀμαθίας] ἀπειθείας R. ἀμαθίας super rasuram habet O. τὸ πλ. ἐγένετο post ἁμαρτημάτων transp. N. [e] μόνον om. Veron. [f] δείξασθαι Supp. Mut. δέξασθαι Edd. et Codd. [g] οὐ λέγων (λέγω N.)—ὀδύνη] ἐκεῖ μὲν λέγων, σ. ἐστε, ἐνταῦθα δὲ, ἐπεὶ μ. ἡ ὀδύνη K.Q. Sav. cet. Statim καὶ ἐκεῖνοι (κἀκεῖνοι Supp.) μὲν οὐκ K.Q. Supp. Sav. cet. [h] ἀνενεγκεῖν K.O.Q. Supp. Veron. [i] τὸ] τῷ A.K.O.Q.R. Veron. invitis Cat. Supp. Mox ἐπεὶ om. K.N. [k] καὶ ἦσαν—ζέοντες] ὑγίαινον γὰρ K.Q. [l] ὃ assumtum ex N.O.R. Supp. Mut. [m] αὐτοῖς] Sic N.O. Supp. Mut. αὐτοὺς A.R. Veron. αὐτοὺς τοῦτο παθεῖν K.Q. Sav. cet. [n] οὐ] καὶ οὐ bis N. Sav. cet. [o] δὲ om. K.Q. Cat. [p] καὶ ἐντ. καὶ ἐκεῖ (κἀκεῖ R. Supp. καλεῖ A.)] καὶ ἐκεῖ καὶ ἐντ. N.O. [q] χρόνον] + ὡσεὶ ἔλεγε K.Q. Sav. cet. Post δι' ὃ add. καὶ R. [r] καλεῖ] + τὸν ταπεινὸν λόγον K.Q. Sav. cet. [s] τελείοις N.O. Cat. τελεωτέροις R. [t] οὐκ ἔδει] οὐκέτι Cat. Supp. Mox ἐπιφ. N. Supp. [v] καὶ] + ὅτι K.Q. Sav. cet. Mox ἐθ. μετὰ κραυγῆς Q. Mut. Sav. cet. invitis Cat. Supp. [w] προΐσταται O. προΐστανται R. Mox προϊστάμενα iidem. [x] τότε om. R. [y] τρ. ἀληθὴς pro ἀληθὴς τρ. A.K.N.O.R. Cat. Supp. [z] θεοῦ] + τρέφουσα τὴν ψυχήν. ὅτι δὲ ὁ λόγος τροφὴ, δῆλον ἐκεῖθεν K.Q. Sav. cet. [a] τὸ—παιδίων om. K.Q. [b] οὐ eras. in K.

Digitized by Google

αὗτα οὐ ποτίζεται, ἀλλ' ἡ τροφὴ αὐτοῖς ἀντὶ ποτοῦ [c]γίνεται.
Καὶ οὐκ εἶπε, χρείαν ἔχετε, ἀλλὰ, "Γεγόνατε χρείαν ἔχοντες
γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς·" τουτέστιν, [d]ὑμεῖς ἠθελή-
σατε, ὑμεῖς ἑαυτοὺς εἰς τοῦτο κατεστήσατε, εἰς ταύτην τὴν
χρείαν. [21]"Πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δι-
καιοσύνης· [e]νήπιος γάρ ἐστι." [f]Τί ἐστιν ὁ λόγος τῆς δικαιο-
σύνης; Ἐνταῦθά μοι δοκεῖ καὶ βίον αἰνίττεσθαι· ὅπερ καὶ ὁ
88 Χριστὸς ἔλεγεν, [22]"Ἐὰν μὴ [g]περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν
πλέον τῶν γραμματέων καὶ Φαρισαίων." Τοῦτο καὶ αὐτός
φησιν· "Ἄπειρος λόγου δικαιοσύνης·" τουτέστιν, [h]ὁ τῆς ἄνω
φιλοσοφίας ἄπειρος οὐ δύναται παραδέξασθαι βίον ἄκρον καὶ
ἠκριβωμένον. [i]Ἡ δικαιοσύνην ἐνταῦθα τὸν Χριστόν φησι, καὶ
[k]τὸν ὑψηλὸν περὶ αὐτοῦ λόγον. Ὅτι μὲν οὖν νωθροὶ γεγόνα-
σιν, εἶπε· πόθεν δὲ, οὐκέτι προσέθηκεν, [l]αὐτοῖς ἀφιεὶς εἰδέναι,
καὶ μὴ βουλόμενος ἐπαχθῆ [m]τὸν λόγον ἐργάσασθαι. Ἐπὶ δὲ
τῶν Γαλατῶν καὶ ἐθαύμασε καὶ ἠπόρησεν, ὃ πολλῷ μεῖζον πρὸς
παραμυθίαν ἐστὶν, ὡς οὐκ ἂν [n]προσδοκήσαντός ποτε τοῦτο
B γενέσθαι· τοῦτο γάρ ἐστιν ἡ διαπόρησις. Ὁρᾷς νηπιότητα
ἑτέραν οὖσαν; [o]ὁρᾷς τελειότητα ἑτέραν; Γενώμεθα [p]τέλειοι
ταύτην τὴν τελειότητα· ἔνεστι καὶ παῖδας ὄντας καὶ νέους, πρὸς
ἐκείνην ἐλθεῖν τὴν τελειότητα· οὐ γάρ ἐστι φύσεως, [q]ἀλλ' ἀρε-
τῆς. [23]"Τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ
αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ
κακοῦ." [r]Οὐκ εἶχον τὰ αἰσθητήρια γεγυμνασμένα ἐκεῖνοι, οὐδὲ
[s]ᾔδεισαν καλὸν καὶ κακόν. [t]Νῦν οὐ περὶ βίου αὐτῷ ὁ λόγος,
C ὅταν λέγῃ, "πρὸς διάκρισιν [v]καλοῦ καὶ κακοῦ·" τοῦτο [w]γὰρ
παντὶ ἀνθρώπῳ δυνατὸν εἰδέναι καὶ εὔκολον· ἀλλὰ περὶ δογμά-
των ὑγιῶν καὶ ὑψηλῶν, [x]καὶ διεφθαρμένων καὶ ταπεινῶν. Τὸ
παιδίον οὐκ οἶδε τὴν φαύλην καὶ τὴν [y]δόκιμον τροφὴν διαιρεῖν·

21 v. 13. 22 Matth. v. 20. 23 v. 14.

[c] γίνεται] δίδοται N. Cat. Post γίνεται add. οὕτω καὶ ἐνταῦθα Sav. cet. invitis omnibus. [d] ὑμεῖς ἠθ. om. A. ὑμεῖς—ταύτην] ὑμεῖς ἠθ. εἰς ταύτην ἐλθεῖν K.Q. [e] νήπιος γάρ ἐστι] τί ἐστιν ἄπειρος λ. δ. O. Mut. [f] τί] τίς Cat. et ex corr. O. Statim λόγος sine artic. K.Q.R. Cat. Veron. [g] περισσεύῃ Cat. Supp. Statim ὑμῶν (ὑμᾶς Veron.) ἡ δ. A.K.Q. Veron. [h] ὁ assumtum ex A.K.N.Q.R. [i] ἢ] + καὶ K. Sav. cet. [k] τὸν om. A. [l] αὐτοὺς A.R. Veron. [m] τὸν λόγον] ἑαυτὸν N. [n] προσδοκήσαντα N. [o] ὁρᾷς] + καὶ K.Q. [p] τέλειοι] + τοίνυν K.Q. Sav. cet. τέλειοι post ταύτην transp. O. post τελειότητα N. Mox ἔνεστι—τελειότητα om. K. [q] ἀλλ' om. A. [r] οὐκ] τί δαί; οὐκ K.Q. Sav. cet. ἆρα οὐκ O. Mox ἐκεῖνοι γεγ. inverso ord. N.O. Cat. [s] ᾔδεσαν O. Cat. Statim τί καλὸν K.Q. Sav. cet. [t] νῦν] ἀλλὰ νῦν O. Mox κἂν pro ὅταν K.Q. [v] καλοῦ] + τε O. [w] γὰρ] + ἂν N. [x] καὶ om. A.K.Q. Supp. Sav. cet. Statim δ. τε καὶ K.Q. Sav. cet. [y] δοκίμην Q. Mox χνοῦν pro χοῦν Veron.

Digitized by Google

πολλάκις γοῦν καὶ χοῦν ἐνέβαλεν εἰς τὸ στόμα, καὶ τὸ βλαβε-
ρὸν ἐδέξατο, [z]καὶ πάντα ἀδιακρίτως ποιεῖ· ἀλλ' οὐ τὸ τέλειον.
[a]Τοιοῦτοί εἰσιν οἱ πᾶσιν [b]προσέχοντες ἁπλῶς, καὶ ἀδιακρίτως
τὰς ἀκοὰς ἐκδιδόντες· [c]ὃ δοκεῖ μοι καὶ τούτους αἰτιᾶσθαι, ὡς
ἁπλῶς περιφερομένους, καὶ νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις
[d]διδόντας ἑαυτούς· ὃ καὶ πρὸς τῷ τέλει ᾐνίξατο λέγων, [24]"Δι-
δαχαῖς ποικίλαις καὶ ξέναις μὴ [e]παραφέρεσθε." Τοῦτό ἐστι, D
"Πρὸς διάκρισιν [f]καλοῦ καὶ κακοῦ." [25]"Λάρυγξ μὲν γὰρ σῖτα
[g]γεύεται, ψυχὴ δὲ δοκιμάζει λόγους."

[h]Καὶ ἡμεῖς τοίνυν τοῦτο μάθωμεν· [i]μὴ, ἐὰν [k]ἀκούσῃς, ὅτι
οὐκ ἔστιν Ἕλλην, οὐδὲ Ἰουδαῖος, εὐθέως Χριστιανὸν εἶναι νομί-
σῃς, ἀλλ' ἐξέτασον καὶ τὰ ἄλλα [l]ἅπαντα· ἐπεὶ καὶ Μανιχαῖοι
καὶ πᾶσαι [m]αἱ αἱρέσεις τοῦτο ὑπέδυσαν τὸ προσωπεῖον, [n]πρὸς
τὸ οὕτως ἀπατᾶν τοὺς ἀφελεστέρους· [o]ἀλλ' ἐὰν ἔχωμεν τὰ
αἰσθητήρια τῆς ψυχῆς γεγυμνασμένα πρὸς διάκρισιν καλοῦ τε
(478) καὶ κακοῦ, [p]δυνάμεθα τοὺς τοιούτους διακρίνειν. Πῶς δὲ γεγυ- 89
μνασμένα γίνεται ἡμῶν τὰ αἰσθητήρια; [q]Ἀπὸ τῆς συνεχοῦς
ἀκροάσεως, ἀπὸ τῆς τῶν γραφῶν ἐμπειρίας. Ὅταν γὰρ [r]προ-
θῶμεν αὐτῶν τὴν πλάνην, καὶ σήμερον ἀκούσῃς καὶ αὔριον, [s]καὶ
δοκιμάσῃς μὴ καλῶς ἔχειν, τὸ πᾶν ἔμαθες, τὸ πᾶν ἔγνως· κἂν
σήμερον μὴ καταλάβῃς, αὔριον καταλήψῃ. "[t]Τὰ αἰσθητή-
ρια, φησὶ, γεγυμνασμένα ἐχόντων." Ὁρᾷς ὅτι χρὴ γυμνάζειν
ἡμῶν τὴν ἀκοὴν ταῖς ἀκροάσεσι ταῖς θείαις, ὥστε μὴ ξενοφω-
νεῖσθαι; "Γεγυμνασμένα, φησὶ, πρὸς διάκρισιν·" τουτέστιν,
ἔμπειρον εἶναι. Ὁ μὲν λέγει μὴ εἶναι ἀνάστασιν, ὁ δὲ οὐδὲν
τῶν μελλόντων προσδοκᾷ, ἄλλος ἕτερον [v]λέγει θεὸν, ἄλλος B

[24] Hebr. xiii. 9. [25] Job. xxxiv. 3.

[z] καὶ om. A. [a] τοιοῦτον. τοιοῦτοι N. Sav. cet. τοιοῦτον om. O. Cat. Supp. τοιοῦτοι om. A.K.Q.R. Veron. [b] προσέχοντες (παρέχοντες K.) ἁ.] Sic omnes. ἁ. προσέχοντες Edd. Mox ἐκδ. τὰς ἀκ. hoc ord. K.Q. [c] ὃ—αἰτιᾶσθαι (αἰνίττεσθαι a pr. m. O.)] Sic O. Cat. Mut. καὶ τούτους αἰτιᾶται Veron. ἀδοκίμοις. (ἀδοκίμους R.) καὶ τούτους αἰτιᾶται N.R. Sav. cet. ἀδοκίμοις. οὓς καὶ αἰτιᾶται K.Q. Ab ἐκδιδόντες ad ἐκείνοις lacuna est in A. [d] ἐκδιδόντας A. ἐκδόντας O. [e] παραφέρεσθαι N. et a pr. m. A. παραδέχεσθε R. Statim τουτέστι N. [f] καλοῦ] + τε N.O. Sav. cet. invitis Cat. Supp. [g] γεύεται] + φησὶ K.Q. [h] ΗΘΙΚΟΝ. Περὶ μελέτης τῶν θείων γραφῶν, καὶ ὅτι Ἔσδρας μετὰ τὸ καυθῆναι τὰς βίβλους, τὰς θείας ἀπεγράψατο γραφάς. Veron. [i] μὴ] καὶ μὴ K.Q. Sav. cet. Mox ἂν pro ἐὰν R. Veron. [k] ἀκούσῃς ὅτι] ἀκούσωμεν K.Q. Mox νομίσωμεν, ἀλλ' ἐξετάσωμεν iidem. [l] πάντα O. Mox καὶ οἱ M. idem. [m] αἱ accessit ex Q.R. et corr. M. πᾶσα αἵρεσις O. Mox ὑπεδύσαντο N. ὑπεδύσατο O. [n] πρὸς τὸ superscript. in O. Mox ἀπατᾷ a pr. m. idem. [o] ἀλλὰ ἐὰν N. ἀλλὰ ἂν O. Mox τε om. N. [p] δυνησόμεθα K.Q. Sav. cet. [q] ἀπὸ—ἀκροάσεως om. A. post ἐμπειρίας transp. N.O.R. Mut. [r] προσθῶμεν ex corr. O. προενθυμηθῶμεν R. προσέχωμεν (et mox τῇ πλάνῃ) N. [s] καὶ om. Q.R. Veron. Mut. [t] τὰ] τῶν τὰ K.Q. Sav. cet. Mox ἔχοντες O. [v] λέγειν A.

Digitized by Google

ἀπὸ Μαρίας αὐτὸν ἔχειν τὴν ἀρχήν. Καὶ θέα εὐθέως [w]πῶς ἐξ
ἀμετρίας πάντες ἐξέπεσον, οἱ μὲν πλεονάσαντες, οἱ δὲ ἐλαττώ-
σαντες. Οἷον, πρώτη μὲν [x]πάντων αἵρεσις ἡ Μαρκίωνος· ἐκείνη
ἕτερον θεὸν [y]ἐπεισήγαγε τὸν οὐκ ὄντα. Ἰδοὺ τὸ πλέον. Μετ'
ἐκείνην ἡ Σαβελλίου, τὸν υἱὸν [z]καὶ τὸ πνεῦμα καὶ τὸν πατέρα
ἓν εἶναι λέγουσα. Εἶτα ἡ Μαρκέλλου καὶ Φωτεινοῦ, καὶ [a]αὐτὴ
τὰ αὐτὰ πρεσβεύουσα. [b]Καὶ ἡ Παύλου τοῦ Σαμοσατέως, ἐκ Μα-
ρίας λέγουσα τὴν ἀρχὴν αὐτὸν [c]ἐσχηκέναι. Εἶτα ἡ Μανιχαίων·
C αὕτη γὰρ πασῶν νεωτέρα. [d]Μετ' ἐκείνας ἡ Ἀρείου. Εἰσὶ δὲ
καὶ ἕτεραι. [e]Καὶ διὰ τοῦτο τὴν πίστιν [f]παρελάβομεν, ἵνα μὴ
ἀναγκαζώμεθα μυρίαις ἐπιέναι αἱρέσεσι, καὶ πράγματα ἔχειν,
ἀλλ' ὅπερ ἂν ἢ προσθεῖναι, ἢ [g]ἀφελεῖν τις ἐπιχειρήσειεν ἐκεί-
νης, τοῦτο νόθον εἶναι νομίσωμεν. Καθάπερ γὰρ οἱ τοὺς κα-
νόνας διδόντες οὐκ ἀναγκάζουσι μυρία μέτρα περιεργάζεσθαι,
ἀλλὰ τὸ δοθὲν ἐκεῖνο [h]κατέχειν κελεύουσιν· οὕτω καὶ ἐπὶ τῶν
δογμάτων. Ἀλλ' οὐδεὶς βούλεται [i]ταῖς γραφαῖς προσέχειν· εἰ
D γὰρ προσείχομεν, οὐ μόνον οὐκ ἂν [k]περιεπέσομεν τῇ ἀπάτῃ,
ἀλλὰ καὶ ἑτέρους ἀπατωμένους ἀπηλλάξαμεν ἄν, καὶ τῶν κιν-
δύνων ἐξειλκύσαμεν. Ὁ γὰρ ἰσχυρὸς στρατιώτης [l]οὐ μόνον
ἑαυτῷ ἀρκέσαι δύναται, ἀλλὰ καὶ τὸν παραστάτην διαφυλάξαι,
καὶ τῆς τῶν πολεμίων [m]κακίας ἐλευθερῶσαι. Νῦν δὲ οὐδὲ ὅτι
γραφαί εἰσιν ἴσασί τινες· [n]ἀλλὰ τὸ μὲν πνεῦμα τὸ ἅγιον το-
σαῦτα ᾠκονόμησεν, ὥστε αὐτὰς φυλαχθῆναι. Καὶ ὁρᾶτε ἄνωθεν,
ἵνα μάθητε τοῦ θεοῦ τὴν ἄφατον φιλανθρωπίαν. Ἐνέπνευσε
τῷ μακαρίῳ [o]Μωϋσεῖ, τὰς πλάκας [p]ἐκόλαψε, κατέσχεν αὐτὸν
90 τεσσαράκοντα ἡμέρας ἐπὶ τοῦ ὄρους, καὶ πάλιν [q]τοσαύτας,
ὥστε δοῦναι τὸν νόμον. Μετὰ [r]δὲ ταῦτα προφήτας ἔπεμψε
μυρία [s]παθόντας δεινά. Ἐπῆλθε πόλεμος, [t]ἀνεῖλον πάντας,
κατέκοψαν, ἐνεπρήσθησαν αἱ βίβλοι. Ἑτέρῳ πάλιν ἀνδρὶ θαυ-
μαστῷ ἐνέπνευσεν, ὥστε αὐτὰς ἐκθέσθαι, τῷ [v]Ἔσδρᾳ λέγω, καὶ

[w] πῶς om. N. [x] πάντων in marg. O. Mox ἦν pro ἡ R. [y] ὑπεισ. K.Q. [z] καὶ (καὶ om. K.N.O.?) τὸ πν. καὶ τὸν π.] Sic A.K.N.O.R. Mut. καὶ τὸν π. καὶ τὸ πν. Edd. Post ἓν add. πρόσωπον N. Sav. cet. [a] αὐτὴ pro αὕτη N.R. καὶ αὐτὴ τὰ αὐτὰ πρ. om. A. [b] καὶ] εἶτα K.Q. Sav. cet. [c] εἰληφέναι N. [d] μετ'] καὶ μετ' O. [e] καὶ] ἡμεῖς δὲ K.Q. Sav. cet. [f] παρελάβομεν (παραλάβωμεν A.)] + ἁπλῶς iidem. [g] ἀφαιρεῖν N. Mox νομίζωμεν K.Q. [h] κελ. κατέχειν hoc ord. N.O. [i] ταῖς om. N.O. [k] περιεπέσαμεν N.O. προσείχομεν Veron. [l] οὐχ ἑαυτῷ μόνον N.O. [m] κακίας] βλάβης K.Q. Sav. cet. *malitia* Mut. [n] ἀλλὰ τὸ μὲν πν. τὸ ἁ.] ἀλλὰ τὸ μὲν ἁ. πν. O. καίτοι τὸ πν. τὸ ἁ. K.Q. Sav. cet. Post φυλαχθῆναι add. ἡμεῖς δὲ παρατρεπόμεθα O. [o] Μωσῇ N. Μωϋσῇ in rasura O. [p] ἐγκολάψαι (γ̄ in ras.) O. [q] τοσαύτας] ἄλλας τοσ. N.R. τοσ. ἑτέρας K.Q. Sav. cet. invito Mut. [r] δὲ om. K.Q. [s] παθόντας] ἔπαθον οὗτοι K.Q. [t] ἀνεῖλεν N.R. et a pr. m. O. Statim ἅπαντας κατέκοψεν N. [v] Ἔζρᾳ A. Mox πεποίηκε pro ἐποίησε omnes.

ἀπὸ λειψάνων συντεθῆναι ἐποίησε. Μετὰ δὲ τοῦτο ᾠκονόμησεν ἑρμηνευθῆναι αὐτὰς ὑπὸ τῶν ἑβδομήκοντα· [w]ἡρμήνευσαν ἐκεῖνοι. Παρεγένετο ὁ Χριστὸς, [x]δέχεται αὐτὰς, οἱ ἀπόστολοι εἰς πάντας αὐτὰς διασπείρουσι, σημεῖα ἐποίησε καὶ θαύματα ὁ Χριστός. [y]Τί δὴ μετὰ τοσαύτην πραγματείαν; Καὶ οἱ ἀπόστολοι B
ἔγραψαν, καθὼς καὶ Παῦλος εἶπεν, [26]"Ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε." Καὶ ὁ Χριστὸς [z]πάλιν ἔλεγε, [27]"Πλανᾶσθε, μὴ εἰδότες τὰς γραφάς." Καὶ Παῦλος πάλιν [a]ἔλεγε, [28]"Διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα [b]ἔχωμεν" καὶ [c]πάλιν, "Πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος·" καὶ, "Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως." Καὶ ὁ προφήτης, [29]"Ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός·" καὶ ἑτέρωθι πάλιν, "[d]Πᾶσα διήγησίς σου ἔστω ἐν νόμῳ ὑψίστου·" καὶ πάλιν, "Ὡς γλυκέα τῷ λάρυγγί μου [e]τὰ λόγιά σου·" [f]οὐκ C
εἶπε, τῇ ἀκοῇ μου, ἀλλὰ, "τῷ λάρυγγί μου·" "ὑπὲρ μέλι [g]καὶ κηρίον τῷ στόματί μου." Καὶ [h]ὁ Μωϋσῆς, [30]"Μελετήσεις ἐν αὐτοῖς, φησὶ, διαπαντὸς, ἀνιστάμενος, καθεζόμενος, κοιταζόμενος." [31]"[i]Ἐν αὐτοῖς ἴσθι," φησί. Καὶ μυρία ἄν τις [k]εἴποι περὶ αὐτῶν. Ἀλλ' ὅμως μετὰ τοσαῦτα εἰσί τινες οὐδὲ εἰδότες ὅτι εἰσί ποτε γραφαί. Διά τοι τοῦτο οὐδὲν ὑγιὲς, [l]οὐδὲν χρήσιμον παρ' ἡμῶν γίνεται. Ἀλλ' εἰ μέν τις τὰ τῆς στρατείας [m]μανθάνειν βούλοιτο, ἀνάγκη τοὺς νόμους αὐτὸν μανθάνειν τοὺς D
(479) στρατιωτικούς· καὶ εἴ τις τὴν κυβερνητικὴν, ἢ τὴν τεκτονικὴν ἐπιστήμην [n]μανθάνειν ἐθέλοι, ἢ εἴ τι ἕτερον, τὰ τῆς τέχνης αὐτὸν [o]ἀνάγκη μανθάνειν· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον [p]βούλονται· καὶ ταῦτα τῆς ἐπιστήμης ταύτης πολλῆς δεομένης τῆς ἀγρυπνίας. Ὅτι γὰρ καὶ τοῦτο τέχνη ἐστὶ διδασκαλίας δεομένη, ἄκουσον τοῦ προφήτου λέγοντος, [32]"Δεῦτε, τέκνα, ἀκούσατέ μου, φόβον κυρίου διδάξω ὑμᾶς." Ἄρα ἀληθῶς διδασκαλίας

26 1 Cor. x. 11. 27 Matth. xxii. 29. 28 Rom. xv. 4. 2 Tim. iii. 16. Col. iii. 16. 29 Psal. i. 2. Sirac. ix. 15. Psal. cxviii. 103. 30 Deut. vi. 7. 31 1 Tim. iv. 15. 32 Psal. xxxiii. 12—14.

[w] ἑρμήνευσαν N. ἡρμ. ἐκεῖνοι om. K. inclusum a Sav. [x] δέχονται αὐτὰς οἱ ἀ. R. Mut. Mox τέρατα pro θαύματα R. [y] τί δὴ] ἔτι δὲ O. εἶτα τί; K.Q. Sav. cet. [z] πάλιν] Sic A.N.O.R. Mut. πάλιν om. Edd. δὲ pro πάλιν K.Q. [a] ἔλεγε om. K.Q. [b] ἔχομεν A.R. Veron. [c] πάλιν] ἀλλαχοῦ K.Q. Mox καὶ πάλιν, ὁ λόγος iidem. [d] πᾶσα—πάλιν om. K.Q. [e] τὰ λόγια—λάρ. μου om. A. [f] οὐκ] καὶ οὐκ N. οὐκ εἶπε—λάρ. μου om. K.Q. [g] καὶ κηρίον om. K.Q. [h] ὁ om. R. [i] ἐν αὐτοῖς ἴσθι, φ.] διὰ τοῦτο καὶ ὁ (ὁ om. Q.). Παῦλος γράφων πρὸς Τιμόθεον ἔλεγεν· ἐν αὐτοῖς ἴσθι, ταῦτα μελέτα K.Q. Sav. cet. [k] εἴποι π. αὐτῶν pro π. αὐτῶν εἴποι omnes. [l] οὐδὲ χρ. O. [m] μανθάνειν] εἰδέναι K.Q. Sav. cet. [n] μαθεῖν O. γινώσκειν K.Q. Sav. cet. [o] ἀν. μανθάνειν] μανθάνειν ἀν. N.R. μαθεῖν ἀν. O. ἀν. παιδεύεσθαι K.Q. [p] βούλονται] ἔστι ποιοῦντας ἰδεῖν K.Q. Sav. cet.

Digitized by Google

δεῖται ὁ τοῦ θεοῦ φόβος. Εἶτά φησι, "Τίς ἐστιν ἄνθρωπος ὁ
θέλων [q]ζωήν;" ζωὴν τὴν ἐκεῖ λέγει. Καὶ πάλιν, "Παῦσον τὴν
91 γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον·
ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ
δίωξον αὐτήν." Ἆρα ἴστε, τίς ταῦτα εἶπε; προφήτης, ἢ ἱστο-
ριογράφος, ἢ ἀπόστολος, ἢ εὐαγγελιστής; Οὐκ [r]ἔγωγε οἶμαι,
πλὴν ὀλίγων· καὶ αὐτοὶ δὲ οὗτοι πάλιν, ἐὰν παραγάγωμεν μαρ-
τυρίαν ἑτέρωθεν, τὸ αὐτὸ ὑμῖν πείσονται. Ἰδοὺ γάρ, ἐρῶ [s]τὸ
αὐτὸ ῥητὸν, ῥήμασιν ἑτέροις εἰρημένον· [33] "Λούσασθε, καθαροὶ
[t]γένεσθε, ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν
ἀπέναντι τῶν ὀφθαλμῶν μου, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε
κρίσιν." "[v]Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ ποίησον
B ἀγαθόν·" "Μάθετε καλὸν ποιεῖν." Ὁρᾷς ὅτι διδασκαλίας δεῖ-
ται ἡ ἀρετή; οὗτος μὲν [w]γὰρ λέγει, "Φόβον κυρίου διδάξω
ὑμᾶς·" ἐκεῖνος δὲ, "Μάθετε καλὸν ποιεῖν." Ἆρ' οὖν ἴστε ποῦ
ταῦτα [x]ἔγκειται; Οὐκ ἔγωγε οἶμαι, πλὴν ὀλίγων. Καίτοι καθ'
ἑκάστην ἑβδομάδα δὶς ἢ [y]καὶ τρὶς ταῦτα ὑμῖν ἀναγινώσκεται·
καὶ ἀνελθὼν ὁ [z]ἀναγνώστης λέγει πρῶτον τὸ βιβλίον τίνος
ἐστὶ, τοῦ [a]δεῖνος προφήτου· καὶ τότε λέγει ἃ λέγει, ὥστε εὐ-
σημότερα ὑμῖν εἶναι, καὶ μὴ μόνον τὰ ἐγκείμενα εἰδέναι, ἀλλὰ
καὶ τὴν αἰτίαν τῶν γεγραμμένων, [b]καὶ τίς ταῦτα εἴρηκεν.
C Ἀλλὰ πάντα εἰκῇ, [c]ἀλλὰ πάντα μάτην· πᾶσα γὰρ ἡ σπουδὴ
εἰς τὰ βιωτικὰ κεκένωται, καὶ τῶν πνευματικῶν λόγος οὐδείς.
Διὰ τοῦτο [d]οὐδὲ ἐκεῖνα ὑμῖν κατὰ γνώμην ἐκβαίνει, ἀλλὰ πολ-
λαὶ κἀκεῖ δυσκολίαι. Ὁ μὲν [e]γὰρ Χριστός φησιν, [34] "Αἰτεῖτε
τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν·"
καὶ [f]ταῦτα μὲν ἐν προσθήκης εἶπε μέρει δοθήσεσθαι· ἡμεῖς δὲ
τὴν τάξιν [g]ἀντεστρέψαμεν, καὶ ζητοῦμεν τὴν γῆν, καὶ τὰ ἀγαθὰ
τὰ ἐν τῇ γῇ, ὡς ἐκείνων ἐν προσθήκης μέρει δοθησομένων ἡμῖν.
Διὰ τοῦτο οὔτε ταῦτα, οὔτε ἐκεῖνα ἔχομεν. Ἀνανήψωμεν οὖν
ποτε, καὶ γενώμεθα τῶν [h]μελλόντων ἐπιθυμηταί· οὕτω γὰρ καὶ

33 Esai. i. 16, 17. 34 Matth. vi. 33.

[q] ζωὴν] + ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθὰς O. Mut. [r] ἐγὼ A. [s] τὸ αὐτὸ] αὐτὸ τὸ O. τὸ αὐτὸ τοῦτο N. Sav. cet. [t] γίνεσθε a pr. m. O. [v] παῦσον —ἀγαθὸν om. K.Q. inclusum a Sav. [w] γὰρ om. K.Q. [x] ἐγκαλεῖται K.Q. [y] καὶ om. K. [z] ἀναγινώσκων O. (Cf. Var. Lect. ad Tom. XI. p. 527 E.) [a] δεινὸς] + τυχὸν K.Q. Sav. cet. Post προφήτου add. ἢ ἀποστόλου ἢ εὐαγγελιστοῦ iidem. [b] καὶ—εἴρηκεν om. K.Q. [c] [ἀλλὰ] Sav. ἀλλὰ om. N. erasum in O. [d] οὐδὲ ἐκ. ὑμῖν] ὑμῖν οὔτε ἐκ. O. Mox κατὰ γν. ὑμῖν pro ὑμῖν κατὰ γν. K.Q. λόγον pro γνώμην Veron. [e] γὰρ] οὖν K.Q. Sav. cet. Mox ζητεῖτε pro αἰτεῖτε O. Post αἰτεῖτε add. πρῶτον R. [f] τ. μὲν] ὁ μὲν τ. K.Q. Statim ἐν om. K. Mox προσθήκαις Q. [g] ἀνεστρ. a pr. m. O. Mox ζητοῦμεν (ζῆ in rasura) idem. [h] μελλόντων] + ἀγαθῶν K.Q. Sav. cet.

Digitized by Google

ταῦτα ἕψεται. [i]Οὐδὲ γὰρ ἔνι τὸν [k]τὰ κατὰ θεὸν ζητοῦντα, μὴ D
καὶ τῶν ἀνθρωπίνων ἐπιτυχεῖν· ἀπόφασίς ἐστι τῆς ἀληθείας αὐτῆς τοῦτο λεγούσης. Μὴ τοίνυν ἄλλως ποιῶμεν, [l]ἀλλ' ἀνεχώμεθα τῆς συμβουλῆς τοῦ Χριστοῦ, [m]ἵνα μὴ πάντων ἐκπέσωμεν. Ὁ δὲ θεὸς ἱκανός ἐστι κατανύξαι [n]ὑμᾶς, καὶ ποιῆσαι βελτίους, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ [o]ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Θ. 92

[1]Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ θεὸν, βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου. Καὶ τοῦτο [a]ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ θεός.

(480) [b]ἨΚΟΥΣΑΤΕ ὅσα Ἑβραίοις ἐνεκάλεσεν [c]ὁ Παῦλος,
βουλομένοις ἀεὶ μανθάνειν περὶ τῶν αὐτῶν· καὶ εἰκότως. B
"Ὀφείλοντες γὰρ [d]εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ [e]διδάσκειν ὑμᾶς τινα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ." [f]Δέδοικα μὴ καὶ πρὸς ὑμᾶς ταῦτα καιρὸν ἂν ἔχοι λέγεσθαι, ὅτι ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, [g]οὐδὲ μαθητῶν τάξιν ἐπέχετε, [h]ἀλλ' ἀεὶ τὰ αὐτὰ ἀκούοντες, [i]καὶ περὶ τῶν αὐτῶν, ὡς οὐδενὸς ἀκούοντες, οὕτω διάκεισθε· κἂν ἔρηταί τις ὑμᾶς, οὐδεὶς [k]ἀποκρίνασθαι δυνήσεται, πλὴν ὀλίγων σφόδρα καὶ εὐαριθμήτων. Τοῦτο δὲ οὐ μικρὰ
ζημία. Πολλάκις γὰρ τὸν διδάσκαλον βουλόμενον [l]προελθεῖν C
περαιτέρω, καὶ μυστικωτέρων ἅψασθαι καὶ ὑψηλοτέρων λόγων, οὐκ ἀφίησιν ἡ ἀπροσεξία τῶν μαθητευομένων. Καθάπερ γὰρ

[1] Cap. VI. v. 1—3.

[i] οὐδὲν Q. [k] τὰ κ. θ. ζητοῦντα] κ. θ. ζῶντα K.Q. [l] ἀλλ' (ἀλλὰ O.) ἀνεχώμεθα] Sic N.O.R. Mut. ἀλλ' ἐχώμεθα K.Q. ἀλλ' ἀντεχώμεθα Edd. Mox θεοῦ pro Χριστοῦ R. [m] ἵνα—βελτίους] ἵνα καὶ τῶν παρόντων καὶ τῶν (τῶν om. Q.) μελλόντων ἐπιτύχωμεν ἀγαθῶν K.Q. [n] ὑμᾶς N.O.R. Mut. ἡμᾶς Edd. Post ποιῆσαι repetit ὑμᾶς R. [o] ἁγίῳ] + καὶ ζωοποιῷ N. Post τιμὴ add. καὶ προσκύνησις N.O. Sav. cet. Hom. IX. [a] ποιήσωμεν A.K.Q. Statim ἐὰν ἐπιτρ. R. [b] ἀκούσατε R. *audite* Mut. [c] ὁ Παῦλος om. A. Statim βουλομένους A. Veron. βουλόμενος R. ὁ Παῦλος—ὀφ. γὰρ] εἰκότως ὁ Παῦλος. βουλόμενος γὰρ αὐτοὺς ἀεὶ διαλέγεσθαι τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν οὕτως ἔλεγεν· ὀφείλοντες K.Q. [d] εἶναι] + φησὶν O. [e] διδάσκοντος R. διδάσκεσθαι K.Q. Mox λόγων R. [f] δέδοικα] + δὲ K.Q. Sav. cet. [g] οὔτε K.Q. [h] ἀλλ' ἀεὶ] ἀλλὰ οἱ A. Statim τε pro τὰ R. [i] καὶ om. A. [k] ἀποκρίνεσθαι R. [l] προσελθεῖν A. et olim O.

ἐπὶ τῶν γραμματιστῶν, [m]ἂν ἀεὶ τὰ στοιχεῖα ἀκούων ὁ παῖς μὴ
κρατῇ, ἀεὶ ἔσται αὐτῷ ἀνάγκη τὰ αὐτὰ ἐνηχεῖν τῷ παιδὶ, [n]καὶ
οὐ πρότερον ἀποστήσεται διδάσκων, ἕως ἂν ἐκεῖνα μαθεῖν ἀκρι-
βῶς δυνηθῇ· καὶ γὰρ ἀνοίας ἐστὶ πολλῆς, τὰ πρότερα μὴ ἐν-
θέντα καλῶς, ἐφ' ἕτερα ἄγειν αὐτόν· οὕτω δὴ καὶ ἐπὶ τῆς ἐκκλη-
σίας, ἂν ἀεὶ τὰ αὐτὰ λεγόντων ἡμῶν, μηδὲν πλέον [o]μανθάνητε,
D οὐδέποτε [p]τὰ αὐτὰ λέγοντες παυσόμεθα. Εἰ μὲν [q]γὰρ ἐπι-
δείξεως ἦν ἡμῖν ὁ λόγος καὶ φιλοτιμίας, ἐχρῆν ἀεὶ μεταπηδᾶν
καὶ μεταβαίνειν, [r]οὐδὲν φροντίζοντας ὑμῶν ἕνεκεν, ἀλλὰ τῶν
κρότων τῶν παρ' ὑμῶν [s]μόνον· ἐπειδὴ δὲ οὐ πρὸς τοῦτο τὴν
σπουδὴν ἐθέμεθα, ἀλλὰ πάντα ὑπὲρ τῆς ὠφελείας ἡμῖν πονεῖται
τῆς ὑμετέρας, οὐ [t]παυσόμεθα περὶ τῶν αὐτῶν ὑμῖν διαλεγόμενοι,
ἕως ἂν αὐτὰ κατορθώσητε. Ἐπεὶ [v]ἐνῆν πολλὰ καὶ περὶ Ἑλλη-
νικῆς λέγειν δεισιδαιμονίας, καὶ περὶ Μανιχαίων, καὶ περὶ Μαρ-
93 κιωνιστῶν, καὶ μεγάλα πλήττειν αὐτοὺς τῇ τοῦ θεοῦ χάριτι·
ἀλλ' οὐκ ἔχει καιρὸν ὁ λόγος. Τοῖς γὰρ οὐδέπω τὰ [w]αὐτῶν
εἰδόσιν ἀκριβῶς, τοῖς οὐδέπω μεμαθηκόσιν ὅτι [x]τὸ πλεονεκτεῖν
κακὸν, τίς ἂν τοὺς τοιούτους εἴποι λόγους, καὶ ἐφ' ἕτερα ἀγάγοι
πρὸ καιροῦ; [y]Ἡμεῖς μὲν οὖν οὐ παυσόμεθα τὰ αὐτὰ λέγοντες,
ἄν τε πεισθῆτε, ἄν τε μή· δεδοίκαμεν δὲ μὴ [z]τῷ συνεχῶς τὰ
αὐτὰ λέγειν, ἐὰν μὴ ἀκούητε, μείζονα [a]τοῖς παρακούουσι τὴν
καταδίκην ἐργασώμεθα. Οὐ πρὸς [b]πάντας δέ μοι [c]ταῦτα ῥη-
τέον· οἶδα γὰρ πολλοὺς ὠφελουμένους ἀπὸ τῆς ἐνταῦθα εἰσόδου,
οἳ δικαίως ἂν ἐκείνων καταβοήσαιεν ὡς ἐνεδρευόντων αὐτοὺς διὰ
B τῆς οἰκείας [d]ἀμαθίας καὶ ἀπροσεξίας. Πλὴν [e]ἀλλ' οὐδὲ οὕτως
ἐνεδρευθήσονται· τὸ [f]γὰρ συνεχῶς τὰ αὐτὰ ἀκούειν, καὶ τοῖς
εἰδόσι χρήσιμον· ὃ γὰρ ἴσμεν πολλάκις ἀκούσαντες, [g]μᾶλλον
κατενύγημεν. Οἷόν τι λέγω· [h]ἴσμεν ὅτι καλὸν ἡ ταπεινοφρο-
σύνη, καὶ ὅτι πολλάκις διελέχθη περὶ αὐτῆς ὁ Χριστός· ἀλλ'
ὅταν καὶ αὐτῶν τῶν ῥημάτων [i]ἐπακούσωμεν, καὶ τῶν εἰς αὐτὰ
θεωρημάτων, πλέον τι πάσχομεν, κἂν μυριάκις [k]ἀκούσωμεν.

[m] ἂν om. N. [n] καὶ] διὸ καὶ in marg. O. [o] μανθάνετε Sav. cet. invitis libris et Veron. [p] τὰ om. K.Q. Mox πανόμεθα a pr. m. O. [q] γὰρ om. A. Veron. Mox ὁ λόγος ἡμῖν hoc ord. K.Q.R. ἡμῖν om. A. [r] οὐδὲν] + ἢ ὀλίγα K.Q. [s] μόνων R. Veron. μόνον post κρότων transp. K.Q. Sav. cet. [t] πανόμεθα Q. Post ὑμῖν add. ἀεὶ O.R. Mut. [v] ἕνι K.Q. [w] ἑαυτῶν N. et ex corr. O. receptum a Sav. cet. [x] τὸ om. R. [y] ἡ. μὲν οὖν] ὅμως ἡ. μὲν K.Q. [z] τὸ A.R. Veron. Mox ἀκούσητε O. [a] τοῖς παρ. om. R. Mox ἐργασόμεθα K.N. [b] πάντα ante corr. O. [c] ταῦτα] τὰ αὐτὰ εἰ (sic) R. Mox ὠφελημένους Q.R. [d] ἀμαθίας A.K.N. et ex corr. O. ἀμαθείας Edd. [e] ἀλλ' om. A. [f] γὰρ] γοῦν K.Q. Mox χρήσιμα A. [g] μᾶλλον] πάλιν A.N. Veron. ἀκούσαντες πάλιν (corr. ex πάλιν ἀκούσαντες) O. *amplius* Mut. [h] ἴσμεν om. K.Q.R. Post Χριστὸς add. ἴσμεν Q. [i] ἀκούσωμεν O. [k] ἀκούωμεν O.

Digitized by Google

Εὔκαιρον [l]οὖν καὶ ἡμᾶς [m]νῦν εἰπεῖν ὑμῖν· “Διόπερ ἀφέντες τὸν
τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα.”
[n]Τίς ἐστιν ἡ ἀρχὴ τοῦ λόγου; Αὐτὸς ἐφεξῆς τίθησι, λέγων·
“Μὴ πάλιν θεμέλιον, [o]φησὶ, καταβαλλόμενοι μετανοίας ἀπὸ C
νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ θεὸν, βαπτισμῶν διδαχῆς, ἐπι-
θέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου.”
Εἰ δὲ τοῦτο ἀρχὴ, τί ἄλλο ἐστὶ τὸ δόγμα τὸ ἡμέτερον, ἢ τὸ
μετανοῆσαι ἀπὸ νεκρῶν ἔργων, καὶ διὰ τοῦ πνεύματος λαβεῖν
τὴν πίστιν εἰς ἀνάστασιν νεκρῶν, καὶ κρίματος αἰωνίου; [p]Τί δέ
ἐστιν ἀρχή; Οὐδὲν ἄλλο, ἢ τοῦτο [q]ἀρχήν φησιν, ὅταν μὴ βίος
ἀκριβὴς παρῇ. Καθάπερ γὰρ τὸν εἰς τὴν μάθησιν τῶν γραμ-
μάτων εἰσερχόμενον, τὰ στοιχεῖα δεῖ πρῶτον ἀκοῦσαι· οὕτω καὶ D
τὸν Χριστιανὸν [r]ταῦτα εἰδέναι ἀκριβῶς, καὶ μηδὲν ἀμφιβάλλειν
περὶ αὐτῶν. Εἰ δὲ δέοιτο πάλιν διδασκαλίας, οὔπω τὸν θεμέ-
λιον ἔχει· τὸν γὰρ ἑδραῖον πεπηγέναι [s]χρὴ καὶ ἑστάναι, καὶ μὴ
μετακινεῖσθαι. Εἰ δὲ μέλλοι τις κατηχηθεὶς [t]καὶ βαπτισθεὶς
μετὰ ἔτη δέκα περὶ πίστεως πάλιν ἀκούειν, καὶ ὅτι πιστεῦσαι
(481) χρὴ εἰς ἀνάστασιν νεκρῶν, οὔπω τὸν θεμέλιον ἔχει, [v]πάλιν τὴν 94
ἀρχὴν τοῦ Χριστιανισμοῦ ζητεῖ. Ὅτι γὰρ ἡ πίστις [w]θεμέλιος,
τὸ δὲ λοιπὸν οἰκοδομὴ, ἄκουε αὐτοῦ λέγοντος· [2]“Ἐγὼ θεμέλιον
τέθεικα, ἄλλος [x]δὲ ἐποικοδομεῖ. Εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν
θεμέλιον τοῦτον, χρυσὸν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρ-
τον, καλάμην.”

“[y]Μὴ πάλιν, φησὶ, θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ
νεκρῶν ἔργων.” Τί δέ ἐστιν, “Ἐπὶ τὴν τελειότητα φερώμεθα;”
Πρὸς αὐτὴν χωρῶμεν [z]λοιπὸν, φησὶ, τὴν ὀροφήν· τουτέστι, B
βίον ἄριστον ἔχωμεν. Ὥσπερ γὰρ ἐπὶ τῶν στοιχείων τὸ πᾶν
[a]τὸ ἄλφα συνέχει, καὶ ὁ θεμέλιος τὴν πᾶσαν οἰκοδομήν· οὕτω
καὶ τοῦ βίου τὴν καθαρότητα ἡ περὶ τὴν πίστιν πληροφορία.
Ταύτης δὲ ἄνευ οὐκ ἔστιν εἶναι Χριστιανόν· ὥσπερ οὐδὲ θεμελίων
ἄνευ οἰκοδομὴν, οὐδὲ στοιχείων χωρὶς ἔμπειρον γραμμάτων

[2] 1 Cor. iii. 10, 12.

[l] οὖν om. R. [m] νῦν εἰπεῖν ὑμῖν] ὑμῖν εἰπεῖν K.Q.R. ὑμῖν εἰπεῖν νῦν O. [n] τίς] τί A. τί δὲ K.Q. Sav. cet. Statim ἡ om. Q.R. Mox ἑρμηνεύει pro τίθησι K.Q. Sav. cet. [o] φησὶ om. K.Q. Cat. Supp. Mox μετανοίας om. R. [p] τί— ἀρχή; om. K.Q. inclusum a Sav. [q] ἀρχὴ, φ. Supp. Mut. ἀρχὴν δὲ φ. Cat. [r] ταῦτα] πάντα R. Post ἀκριβῶς add. πρῶτον χρὴ K.Q. Sav. cet. [s] χρὴ] προσῆκε iidem. [t] καὶ βαπ. om. R. Statim μετὰ δέκα ἔτη K.Q. [v] πάλιν] πλὴν R. [w] θεμέλιος A.K.N.Q.R. Cat. Supp. Edebatur θεμέλιον. [x] δὲ om. N. Supp. Veron. Mox εἴ τις ἐποικοδομεῖ om. A.Q.R. [y] μὴ (καὶ pro μὴ R.) πάλιν, φ.] διὰ τοῦτο ἔλεγε, μὴ πάλιν (+φησὶ O.) K.O.Q. Sav. cet. [z] λοιπὸν, φ.] φ. λοιπὸν K.Q.R. τὴν ὀροφὴν om. iidem. λοιπὸν τὴν ὀρ. φ. hoc ord. O. Statim τουτέστι om. K.Q. [a] τὸ ἄ. συνέχει] ἔχει τὸ ἄ. K.Q. Post πᾶσαν add. συνέχει et post πίστιν add. ἔχει iidem.

Digitized by Google

[b]γενέσθαι. Ἀλλ᾿ ἐάν τις ἀεὶ περὶ τὰ στοιχεῖα [c]στρέφηται,
[d]ἢ εἴ τις περὶ τὸν θεμέλιον, οὐ περὶ τὴν οἰκοδομὴν, [e]οὐδέπω
C ἔσται αὐτῷ τι [f]πλέον. Σὺ δὲ μὴ νομίσῃς [g]ἠλαττῶσθαι τὴν
πίστιν [h]διὰ τὸ στοιχεῖον κληθῆναι· [i]ἡ γὰρ πᾶσα δύναμις αὕτη
ἐστίν. Ὅταν [k]γὰρ λέγῃ, "Πᾶς γὰρ ὁ μετέχων γάλακτος,
ἄπειρος λόγου δικαιοσύνης, νήπιος γάρ ἐστιν·" οὐ γάλα [l]ταύτην
καλεῖ· ἀλλὰ τὸ ἀμφιβάλλειν ἔτι περὶ τούτων, [m]τοῦτό ἐστιν
ἀσθενοῦς διανοίας καὶ λόγων δεομένης πολλῶν. Τὰ γὰρ δό-
γματα ταῦτά ἐστι τὰ ὑγιῆ· τέλειον γὰρ ἐκεῖνον καλοῦμεν τὸν
μετὰ [n]τῆς πίστεως βίον ἔχοντα ὀρθόν. [o]Ἐὰν δέ τις πίστιν
μὲν ἔχῃ, πράττῃ δὲ πονηρὰ, καὶ περὶ [p]αὐτῆς ταύτης ἀμφι-
D βάλλῃ, καὶ ὑβρίζῃ τὴν διδασκαλίαν· εἰκότως αὐτὸν φήσομεν
νήπιον, ἐπὶ τὴν ἀρχὴν ἀναδραμόντα. Ὥστε κἂν μυρία ἔτη ἐν
τῇ πίστει [q]ἔχωμεν, καὶ μὴ βέβαιοι ὦμεν ἐν αὐτῇ, νήπιοί ἐσμεν,
ὅταν βίον αὐτῇ μὴ [r]συμβαίνοντα ἐπιδεικνύμεθα, ὅταν ἔτι θεμέ-
λιον καταβαλλώμεθα. Τούτοις δὲ μετὰ τοῦ βίου καὶ ἄλλο
ἐγκαλεῖ, ὡς παρασαλευθεῖσι, καὶ δεομένοις θεμέλιον [s]καταβάλ-
λειν μετανοίας ἀπὸ νεκρῶν ἔργων. Τὸν γὰρ ἀπό τινος εἰς ἕτε-
ρον μετατιθέμενον, καὶ τὸ μὲν ἀφιέντα, [t]τοῦτο δὲ αἱρούμενον,
πρότερον αὐτοῦ καταγνῶναι χρὴ, καὶ ἀποστῆναι τῇ διαθέσει,
καὶ τότε ἐλθεῖν ἐφ᾿ ἕτερον· εἰ δὲ τοῦ προτέρου πάλιν ἔχεσθαι
[v]μέλλοι, [w]πῶς τοῦ δευτέρου ἅψεται; Τί [x]οὖν, φησὶ, περὶ τοῦ
νόμου; Κατέγνωμεν αὐτοῦ, καὶ πάλιν ἐπ᾿ αὐτὸν ἀνατρέχομεν.
Τοῦτο οὐκ ἔστι μετάθεσις· καὶ [y]γὰρ ἐνταῦθα ἔχομεν νόμον.
[3]"Νόμον οὖν, φησὶ, καταργοῦμεν διὰ τῆς πίστεως; Μὴ γέ-
νοιτο, ἀλλὰ νόμον ἱστῶμεν." Ἐγὼ δὲ περὶ πονηρῶν εἶπον

3 Rom. iii. 31.

b γενέσθαι] εἶναι K.Q.R. Sav. cet. Statim ἀλλ᾿ ὥσπερ ἐὰν K.N.Q. Sav. cet. Mox ἀεὶ om. R. et a pr. m. O. c στρέφεται A. καταγίνηται K.Q. Sav. cet. d ἢ om. A.N.O. Veron. invito Supp. De seqq. vid. Annot. e οὐδέποτε K.O.Q.R. Mut. Sav. cet. Sic ex corr. rec. N. f πλέον] + οὕτω καὶ ἐφ᾿ ἡμῶν· ἂν γὰρ ἀεὶ ἐπὶ τὴν ἀρχὴν (ἐν τῇ ἀρχῇ Supp.) τῆς πίστεως μένωμεν, οὐδέποτε πρὸς τὸ τέλειον (πρὸς τῷ τέλει Supp.) ταύτης ἀναβησόμεθα K.Q. Supp. Sav. cet. g ἐλαττοῦσθαι K.Q.R. h διὰ τὸ στ.] τῷ (τῷ om. A.) διὰ στοιχείων A. Veron. i ἡ γὰρ—ἐστὶν om. K.Q.R. inclusum a Sav. k γὰρ] δὲ R. γοῦν Supp. γὰρ om. O. ὅταν—πᾶς γὰρ] καὶ γὰρ ὅταν λέγῃ, πᾶς K.Q. l αὐτὴν R. m τοῦτό ἐστιν ἀ. δ.] τουτέστιν, ἀ. δ. τοῦτο K.Q. n τῆς om. O.R. o ἂν K.Q. p αὐτῆς] + δὲ K.Q. Supp. Sav. cet. Mox ταύτης om. R. q ἔχομεν A.O. Mox βεβαίως Q. r συμφέροντα K.Q.R. Statim ἐπιδεικνυώμεθα K.Q. Sav. cet. ὅταν ἔτι θ. κ. om. K.Q.R. s καταβαλεῖν K.Q.R. Supp. μετανοίας om. K. t τοῦτο] τοῦ R. τὸ Cat. τὸν Supp. v μέλλει K.Q.R. w πῶς om. K.Q. Mox ἅψηται A. et corr. O. ἅψαιται (sic) a pr. m. O. ἅψαιτο Cat. οὐχ ἅψεται Q. x οὖν om. R. Mox κατέγνω A. τί οὖν—ἀνατρέχομεν] τί φῂς; κατέγνωμεν τοῦ νόμου, καὶ πάλιν ἐπ᾿ αὐτὸν τρέχειν κελεύεις; K.Q. Supp. y γὰρ om. K.Q.R.

Digitized by Google

[z]πραγμάτων. Ὁ γὰρ μέλλων [a]ἐπ' ἀρετὴν μετιέναι, πρότερον
τῆς κακίας [b]καταγνῶναι ὀφείλει, καὶ τότε αὐτὴν μετελθεῖν· οὐ
γὰρ [c]ἴσχυεν ἡ μετάνοια καθαροὺς αὐτοὺς δεῖξαι. Διὰ τοῦτο B
εὐθέως ἐβαπτίζοντο, ἵν', ὅπερ ἀδυνάτως εἶχον ἐργάσασθαι δι'
ἑαυτῶν, [d]τοῦτο διὰ τῆς τοῦ Χριστοῦ γένηται χάριτος. Οὔτε
οὖν μετάνοια ἀρκεῖ πρὸς [e]τὸν καθαρισμὸν, ἀλλὰ [f]δεῖ τὸ βά-
πτισμα παραλαβεῖν. [g]Ἐπὶ γοῦν τὸ βάπτισμα [h]ἔδει ἔρχεσθαι,
πρότερον καταγνόντα τῶν ἡμαρτημένων αὐτῷ, καὶ καταψηφι-
σάμενον. [i]Τί δέ ἐστι, "Βαπτισμῶν διδαχῆς;" Οὐχ ὡς πολλῶν
ὄντων [k]τῶν βαπτισμῶν, ἀλλ' ἑνός. Τί οὖν [l]αὐτὸ πληθυντικῶς
εἶπε; Διὰ τὸ εἰπεῖν, "Μὴ πάλιν θεμέλιον καταβαλλόμενοι
[m]μετανοίας." Εἰ γὰρ πάλιν αὐτοὺς [n]ἐβάπτισε, καὶ ἄνωθεν
κατήχησε, καὶ πάλιν ἐξ ἀρχῆς βαπτισθέντες ἐδιδάσκοντο τὰ C
πρακτέα, [o]καὶ τὰ μὴ πρακτέα, διηνεκῶς ἔμελλον ἀδιόρθωτοι μέ-
νειν. "Καὶ ἐπιθέσεως χειρῶν." Οὕτω γὰρ τὸ πνεῦμα ἐλάμ-
βανον· [4] "[p]Ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας," φησίν.
"Ἀναστάσεώς τε [q]νεκρῶν." Τοῦτο [r]γὰρ ἔν τε τῷ βαπτίσματι
[s]γίνεται, καὶ ἐν τῇ ὁμολογίᾳ βεβαιοῦται. "[t]Καὶ κρίματος
αἰωνίου." Διὰ [v]τί δὲ ταῦτά φησιν; Ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς
[w]ἢ παρασαλεύεσθαι ἤδη πεπιστευκότας, ἢ κακῶς βιοῦν καὶ ῥᾳ-
θύμως, [x]λέγει, νήψατε. Οὐκ [y]ἔνι εἰπεῖν, [z]ἐὰν ῥᾳθύμως ζήσωμεν, D
[a]πάλιν βαπτισθησόμεθα, πάλιν [b]κατηχηθησόμεθα, πάλιν λη-
ψόμεθα πνεῦμα· [c]κἂν νῦν τῆς πίστεως ἐκπέσωμεν, πάλιν δυνη-

4 Act. xix. 6.

[z] πραγμάτων] + ἀλλ' οὐ περὶ νόμου Supp. ἐγὼ δὲ—μέλλων] οὐ περὶ νόμου τοῦτο, ἀλλὰ περὶ πονηρῶν εἶπε πρ. καὶ γὰρ ὁ μέλλων K.Q. [a] ἐπ' ἀρετῇ A. ἐπ' om. K.Q. invito Supp. Statim ἰέναι Cat. [b] μεταγνῶναι R. Mox ταύτην O. Cat. [c] ἴσχυσεν a pr. m. O. [d] τοῦτο] + μᾶλλον K.Q.R. Statim θεοῦ pro Χριστοῦ K.Q.R. Cat. Mut. Mox γενήσεται R. γένοιτο K.O.Q. Sav. cet. invito Supp. [e] τὸν om. K.Q. [f] δεῖ] + καὶ ex corr. N. [g] ἐπὶ] ἐπεὶ A. *quia* Mut. [h] ἔδει ἔρχ.] ἔρχ. δεῖ K.Q.R. Cat. Sav. cet. [i] τί δὲ—ἑνὸς] βαπτισμῶν, φησὶ, δ. τί ἐστι τοῦτο; ἆρα ὡς πολλῶν ὄντων β. καὶ οὐχ ἑνὸς τοῦτο λέγει; ἄπαγε K.Q. [k] τῶν om. O. Veron. invitis Cat. Supp. [l] αὐτὸ] αὐτὸς τοῦτο K.Q.R. [m] μετανοίας om. R. Cat. et in text. O. [n] ἐβάπτιζε A.N.R. Cat. Supp. Mox κατήχιζεν (sic) R. [o] καὶ τὰ μὴ πρ. om. A. Veron. [p] ἐπιθέντος] + γὰρ K.Q. Sav. cet. Mox τὰς χ. τοῦ Π. hoc ord. K.Q. Supp. τὰς om. a pr. m. O. Post φησὶν add. ἦλθε τὸ πνεῦμα τὸ ἅγιον K.Q. Sav. cet. [q] νεκρῶν] + καὶ κρίματος αἰωνίου K.Q. [r] γὰρ om. K.Q. τε om. K.Q.R. [s] γινόμενον K.Q. Proximum καὶ om. K.Q.R. [t] καὶ—φησιν] τίνος δὲ ἕνεκεν ταῦτα λέγει K.Q. [v] τί] τοῦτο O. [w] ἢ παρασ. om. O. [x] λέγει (λέγειν R.), ν.] Sic O.R. Cat. Mut. ν. φησὶν Supp. λέγει οὖν, ν. A.N. Veron. Ben. λέγει, ν. om. K.Q. Sav. Mor. Post νήψατε (vel ῥᾳθύμως) add. ἀπάγων οὖν αὐτοὺς τῆς τοιαύτης ῥᾳθυμίας, καὶ προσεκτικωτέρους ποιῶν, τοῦτον τὸν λόγον κινεῖ K.O.Q. Sav. cet. invitis Cat. Supp. Mut. [y] ἔνι] + γὰρ K.Q. Sav. cet. [z] ἐὰν] ὅτι καὶ R. ὅτι ἐὰν (sed ἐὰν in ras.) O. ὅτι ἂν νῦν K.Q. Sav. cet. [a] πάλιν om. R. π. κατηχ. π. βαπτ. inverso ord. K.Q. [b] κατηχησόμεθα Supp. κατηχησθόμεθα (sic) A. Statim καὶ πάλιν K.O.Q. Sav. cet. Mox λ. τὸ πνεῦμα K.Q. Sav. cet. [c] κἂν] ἢ ὅτι ἂν iidem.

Digitized by Google

σόμεθα βαπτιζόμενοι τὰ ἁμαρτήματα ἀπολούσασθαι, καὶ τῶν (482) αὐτῶν τυχεῖν [d]ὧνπερ καὶ πρότερον. Σφάλλεσθε, φησὶ, ταῦτα νομίζοντες· [5]"Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους θεοῦ ῥῆμα, δυνάμεις τε
96 μέλλοντος αἰῶνος, [e]καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντας."

Καὶ ὅρα πῶς [f]ἐντρεπτικῶς καὶ ἀπαγορευτικῶς ἄρχεται· "Ἀδύνατον·" [g]μηκέτι, φησὶ, προσδόκα τὸ μὴ δυνατόν. [h]Οὐ γὰρ εἶπεν, οὐ πρέπει, οὐδὲ συμφέρει, οὐδὲ ἔξεστιν, [i]ἀλλ', "ἀδύνατον·" ὥστε [k]εἰς ἀπόγνωσιν ἐμβαλεῖν, [l]εἰ ὅλως ἐφωτίσθητε ἅπαξ. Εἶτα ἐπάγει, "Γευσαμένους [m]τε τῆς δωρεᾶς τῆς ἐπουρανίου." [n]Εἰ ἐγεύσασθε, φησὶ, τῆς δωρεᾶς τῆς ἐπουρανίου· τουτέστι, τῆς ἀφέσεως. "Καὶ μετόχους [o]γενηθέντας πνεύ-
B ματος ἁγίου, καὶ καλὸν γευσαμένους θεοῦ ῥῆμα." Τὴν διδασκαλίαν ἐνταῦθα [p]λέγει. "Δυνάμεις τε μέλλοντος αἰῶνος." Τίνας λέγει δυνάμεις; [*]Ἢ τὸ θαύματα ἐπιτελεῖν, ἢ τὸν ἀρραβῶνα τοῦ πνεύματος. "Καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντας." "Ἀνακαινίζειν, φησὶν, εἰς μετάνοιαν·" τουτέστι, διὰ μετανοίας· [q]τὸ γὰρ εἰς μετάνοιαν, διὰ μετανοίας, ἐστί. Τί οὖν; [r]ἐκβέβληται ἡ μετάνοια; Οὐχ ἡ μετάνοια, μὴ γένοιτο, ἀλλ' ὁ διὰ λουτροῦ πάλιν ἀνακαινισμός. Οὐ γὰρ εἶπεν, ἀδύνατον ἀνακαινισθῆναι εἰς μετάνοιαν, καὶ ἐσίγησεν· [s]ἀλλὰ πῶς
C ἀδύνατον, ἐπήγαγεν· "ἀνασταυροῦντας." Ἀνακαινισθῆναι, τουτέστι, καινὸν γενέσθαι· τὸ γὰρ καινοὺς ποιῆσαι, τοῦ λουτροῦ μόνον ἐστίν· [6]"Ἀνακαινισθήσεται γὰρ, φησὶν, ὡς ἀετοῦ ἡ νεότης σου." Τῆς δὲ μετανοίας ἐστὶ τὸ, καινοὺς γενομένους, εἶτα παλαιωθέντας ὑπὸ [t]τῶν ἁμαρτημάτων, ἀπαλλάξαι τῆς παλαιότητος καὶ [v]στερροὺς ἐργάσασθαι· εἰς ἐκείνην [w]μέντοι τὴν λαμ-

[5] v. 4—6. [6] Psal. cii. 5.

[d] ὥσπερ K.Q.R. [e] καὶ παραπ. πάλιν om. R. [f] ἐντρεπτικῶς om. A. [g] μηκέτι, φ.] φ. μηκέτι R. Cat. et a pr. m. O. φ. τουτέστι, μηκέτι K.Q. Sav. cet. [h] οὐ γὰρ] οὐκ K.Q. [i] ἀλλὰ, ἀδ. N. Supp. [k] εἰς] καὶ εἰς A. εἰς om. Supp. [l] εἰ—ἐπάγει] εἰπὼν δὲ, τοὺς ἅπαξ φωτισθέντας, ἐπήγαγε K.Q. [m] τε om. R. [n] Haec, εἰ ἐγεύσασθε—ἐπουρανίου, accesserunt ex N.R. Mut. [o] γεγενημένους K.Q. Mox ῥ. θεοῦ pro θεοῦ ῥ. iidem. [p] λέγει] + καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου N.R. Cat. Mut. [q] Haec, τὸ γὰρ—ἐστὶ, sunt in libris omnibus, non in Edd. [r] ἐκβέβληται ἡ μ.] ἐκβάλλει τὴν μ. K. Statim οὐχ ἡ μ. om. K.Q.R. [s] ἀλλὰ πῶς ἀδ. ἐπήγαγεν] Sic O.R. Cat. Mut. ἀλλ' ἐπήγαγεν, ἀδ. Supp. ἀλλ' εἰπὼν, ἀδ. ἐπήγαγεν Edd. [t] τῶν om. K.Q. [v] στερροὺς] καινοὺς K.Q. Sav. cet. invitis Cat. Supp. Statim ἐργάζεσθαι a pr. m. O. [w] μέντοι] μὲν N. Mox ἄγειν K.Q.R.

Digitized by Google

πρότητα ἀγαγεῖν οὐκ ἔνι· ἐκεῖ γὰρ τὸ ὅλον ἡ χάρις ἦν. "Ἀνα-
σταυροῦντας [x]ἑαυτοῖς, φησὶ, τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγμα-
τίζοντας." Ὃ δὲ λέγει, [y]τοῦτό ἐστι· τὸ βάπτισμα σταυρός
ἐστι, [z]καὶ συνεσταυρώθη ὁ παλαιὸς ἡμῶν ἄνθρωπος. [7] "[a]Σύμ- D
μορφοι γὰρ γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ·" καὶ
πάλιν, "Συνετάφημεν [b]οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν
θάνατον." Ὥσπερ οὖν οὐκ ἔνι δεύτερον σταυρωθῆναι τὸν Χρι-
στόν· τοῦτο γὰρ παραδειγματίσαι αὐτόν [c]ἐστιν· εἰ γὰρ θάνατος
αὐτοῦ οὐκέτι [d]κυριεύσει, εἰ ἀνέστη, [e]τῇ ἀναστάσει κρείττων γε-
νόμενος τοῦ θανάτου, [f]εἰ διὰ τοῦ θανάτου τὸν [g]θάνατον κατε-
πάλαισεν, εἶτα πάλιν σταυροῦται, μῦθος πάντα ἐκεῖνα καὶ
παραδειγματισμός. Ὁ τοίνυν [h]δεύτερον βαπτίζων, πάλιν αὐ-
τὸν σταυροῖ. Τί δέ ἐστιν, "ἀνασταυροῦντας;" Ἄνωθεν πάλιν
σταυροῦντας. Ὥσπερ γὰρ ἀπέθανεν [i]ὁ Χριστὸς ἐν τῷ σταυρῷ, 97
οὕτως ἡμεῖς ἐν τῷ βαπτίσματι, οὐ τῇ σαρκὶ, ἀλλὰ τῇ ἁμαρτίᾳ.
Ὅρα θάνατον, καὶ θάνατον· ἐκεῖνος ἀπέθανε [k]τῇ σαρκί· ἡμῶν
ὁ παλαιὸς ἄνθρωπος ἐτάφη, καὶ ἀνέστη ὁ καινὸς, [l]ὁ σύμμορφος
γενόμενος τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. Εἰ τοίνυν
[m]ἀνάγκη βαπτισθῆναι, ἀνάγκη πάλιν [n]τὸν αὐτὸν ἀποθανεῖν
τοῦτον· τὸ γὰρ βάπτισμα οὐδέν ἐστιν ἄλλο, ἢ ἀναίρεσις τοῦ
βαπτιζομένου, καὶ ἔγερσις ἐκείνου. Καὶ καλῶς εἶπεν, "[o]ἑαυ-
τοῖς ἀνασταυροῦντας·" ὁ γὰρ τοῦτο ποιῶν, ὡς τῆς προτέρας
χάριτος ἐπιλαθόμενος, καὶ ῥᾳθύμως τὸν ἑαυτοῦ βίον οἰκονομῶν, B
ὡς [p]ὄντος ἑτέρου βαπτίσματος, [q]οὕτω πάντα διαπράττεται.
[r]Διόπερ προσέχειν χρὴ καὶ ἀσφαλίζεσθαι. Τί ἐστι, "Γευσα-
μένους τῆς δωρεᾶς τῆς ἐπουρανίου;" Τουτέστι, τῆς ἀφέσεως
τῶν ἁμαρτημάτων· τοῦτο γὰρ θεοῦ μόνου χαρίζεσθαι, καὶ ἡ
χάρις ἅπαξ ἐστὶ [s]χάρις. [8] "Τί οὖν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ,

[7] Rom. vi. 4, 5. (coll. Philipp. iii. 10.) [8] Rom. vi. 1, 2.

[x] ἑαυτοῖς, φ.] φ. ἑαυτοῖς K.O.Q.R. Cat. [y] τοῦτο] τοιοῦτον K.Q.R. Supp. [z] καὶ συν.] συν. γὰρ K.Q. Sav. cet. [a] συμ. γὰρ (γὰρ om. N.R.)] καὶ πάλιν, συμ. iidem. [b] οὖν om. K.Q. Cat. [c] ἐστιν] + οὕτως οὐδὲ βαπτισθῆναι K.Q. Sav. cet. Infra post παραδειγματισμὸς add. οὕτως οὐκ ἔνι οὐδὲ δεύτερον βαπτισθῆναι Supp. [d] κυριεύει K.Q.R. Cat. et ex corr. O. [e] τὴν ἀνάστασιν R. τῇ ἀν. om. K.Q. inclusum a Sav. [f] εἰ διὰ τοῦ θ. om. R. Pro iis καὶ dant K.Q. [g] θάνατον] + κατήργησε N. [h] δεύτερον] + αὐτὸν A. + ἑαυτὸν Edd. invitis K.N.O.Q.R. Supp. Mut. [i] ὁ om. R. Post οὕτως add. καὶ O. [k] τῇ σαρκί· ἡμῶν] ἐν τῇ σαρκὶ ἡμῶν (ἡμῶν om. Sav. cet.), ἡμεῖς δὲ τῇ ἁμαρτίᾳ (plene interpung. Sav. cet.) διὰ τοῦ βαπτίσματος (+ ἡμῶν Sav. cet.) K.Q.R. Sav. cet. invitis Cat. Supp. [l] ὁ om. R. Mox γεγονὸς (sic) O. [m] ἀνάγκη] ἀναγκάζῃ R. Post ἀνάγκη add. πάλιν K.Q. Mut. Sav. cet. ἀν. βαπτ. πάλιν Cat. ἀν. δὶς βαπτ. Supp. [n] τὸν assumtum ex O.Q.R. Cat. Mut. ἀποθ. αὐτὸν τοῦτον K. αὐτὸν ἀποθ. (om. τοῦτον) Supp. [o] αὐτοῖς A.K.Q.R. Mox ἐπιλανθανόμενος O. Cat. [p] ὄντως A. [q] οὕτω πάντα] αὐτὸ K.Q. αὐτῷ R. [r] διὸ K.Q.R. Mox δεῖ pro χρὴ K.R. [s] χάρις om. R.

Digitized by Google

ἵνα ἡ χάρις πλεονάσῃ; Μὴ γένοιτο.” Εἰ [t]δὲ ἀεὶ μέλλοιμεν
χάριτι σώζεσθαι, οὐδέποτε ἐσόμεθα ἀγαθοί. Ὅπου γὰρ μία
ἐστὶ χάρις, καὶ οὕτω ῥαθυμοῦμεν· εἰ ᾔδειμεν ὅτι πάλιν [v]ἔστιν
C ἀπολούσασθαι τὰ ἁμαρτήματα, ἆρα ἂν ἐπαυσάμεθα ἁμαρτά-
νοντες; Οὐκ ἔγωγε οἶμαι. Πολλὰ ἐνταῦθα [w]δείκνυσι τὰ δῶρα· (483)
καὶ ἵνα [x]μάθῃς, κατηξιώθητε, φησὶ, τοσαύτης ἀφέσεως. [y]Ὁ
γὰρ ἐν σκότῳ καθεζόμενος, [z]ὁ ἐχθρὸς, ὁ πολέμιος, ὁ ἀπηλλο-
τριωμένος, ὁ θεοστυγὴς, ὁ ἀπολλύμενος, [a]οὗτος ἐξαίφνης φωτι-
σθεὶς, [b]πνεύματος ἀξιωθεὶς, δωρεᾶς ἐπουρανίου, υἱοθεσίας, βασι-
λείας [c]οὐρανῶν, τῶν ἄλλων ἀγαθῶν, μυστηρίων ἀπορρήτων, καὶ
οὐδὲ οὕτω βελτίων γενόμενος, ἀλλ' ἄξιος [d]μὲν ὢν ἀπωλείας,
τυχὼν δὲ σωτηρίας καὶ τιμῆς, ὡς τὰ μεγάλα κατωρθωκὼς, πῶς
D ἂν δύναιτο βαπτισθῆναι πάλιν; Δύο τοίνυν τρόποις τὸ πρᾶγμα
ἀδύνατον ἔφησεν εἶναι, καὶ [e]τὸν ἰσχυρότερον ὕστερον ἔθηκεν·
ἑνὶ μὲν, ὅτι [f]οὐκ ἄξιος ὁ τοιούτων καταξιωθεὶς, καὶ πάντα προ-
δοὺς τὰ δωρηθέντα αὐτῷ, πάλιν ἀνακαινισθῆναι· [g]οὐδὲ δυνατόν
ἐστιν αὐτὸν πάλιν ἀνασταυροῦσθαι· τοῦτο γάρ ἐστι παραδειγ-
ματίσαι. Οὐκ ἔστι τοίνυν δεύτερον λουτρὸν, οὐκ ἔστιν· εἰ δὲ
ἔστι, καὶ [h]τρίτον, καὶ τέταρτόν ἐστι· [i]τὸ γὰρ πρότερον ἀεὶ
ὑπὸ τοῦ ὑστέρου καταλύεται, καὶ τοῦτο [k]ἀεὶ ὑπὸ ἄλλου, καὶ
τοῦτο εἰς ἄπειρον. “[l]Καὶ καλὸν, φησὶ, γευσαμένους θεοῦ
98 ῥῆμα·” καὶ οὐκ ἀποκαλύπτει αὐτό· “δυνάμεις τε μέλλοντος
αἰῶνος·” τὸ γὰρ ζῆν ὡς ἀγγέλους, [m]τὸ μηδενὸς δεῖσθαι τῶν
ἐνταῦθα, τὸ εἰδέναι ὅτι τῆς τῶν μελλόντων αἰώνων ἀπολαύσεως
[n]πρόξενον ἡμῖν [o]γίνεται, [p]τοῦτο διὰ τοῦ πνεύματός ἐστι μα-

[t] δὲ] γὰρ K. Mox μέλλοιμεν N.O. Supp. μέλλομεν Edd. [v] ἔστιν om. N. Post ἀπολούσασθαι add. ἔνι ex corr. recent. idem. Mox τὰ αὐτὰ ἁμ. K.Q. [w] δείκνυσι] + ὄντα O.R. + ταῦτα K.Q. [x] μάθῃς] + ἄκουσον K.Q.R. Sav. cet. Statim καταξιωθήσεται A. κατηξιώθης K.Q. Sav. cet. [y] ὁ γὰρ om. K.Q. Sav. cet. [z] ὁ om. R. Cat. Mox ὁ πολέμιος om. K.Q. [a] οὗτος] οὗτος οὖν A.O. non Cat. Supp. ὁ τοιοῦτος οὖν K.Q. Sav. cet. [b] καὶ πνεύματος Q.R. Mox καὶ δωρεᾶς K. [c] οὐρανίου R. Veron. [d] μὲν ὢν] μένων R. [e] τὸν] τὸ R. ὕστερον om. idem. Mox τέθεικεν K.Q. [f] οὐκ] + ἔστιν N. Mox ἀξιωθεὶς pro καταξ. R. [g] οὐδὲ] δευτέρῳ δὲ ὅτι οὐ K.Q. Supp. Sav. cet. Mox ἀναστ. πάλιν inverso ord. K.Q.R. [h] τρίτον] + ἐστὶ K.Q.R. et a pr. m. O. receptum a Sav. cet. [i] τὸ γὰρ πρ. ἀεὶ ὑπὸ τοῦ ὑστ. (ὑπὸ τοῦ ὑστ. ἀεὶ N.O. Supp.)] καὶ (καὶ om. R.) ὑπὸ τοῦ ὑστ. ἀεὶ τὸ πρῶτον K.Q.R. Sav. cet. [k] ἀεὶ] πάλιν iidem. Statim ὑπὸ τοῦ ἄ. K.O.Q.R. Sav. cet. [l] καὶ—ζῆν] εἰπὼν δὲ καὶ καλὸν θ. γευσαμένους ῥ. δυνάμεις τε αἰ. μ. (δυν. τε μ. αἰ. transp. post αἰνίττεται Supp.) οὐκ ἀποκ. αὐτὸ, ἀλλ' αἰνίττεται, καὶ (καὶ om. Supp.) μονονουχὶ ταῦτα (τοῦτο Supp.) λέγει, ὅτι τὸ ζῆν K.Q. Supp. Sav. cet. [m] τὸ] τοῦ A. [n] πρόξενον ἡμῖν] πρόξενος ἡμῖν ἡ υἱοθεσία K.Q. Supp. Sav. cet. [o] γίνεται] + τὸ εἰς τὰ ἄδυτα ἐκεῖνα εἰσελθεῖν προσδοκᾶν iidem. [p] τοῦτο διὰ τ. πν. ἔστι μ.] διὰ τ. πν. ἔστι ταῦτα (τοῦτο O.R. Cat.) μ. K.O.Q.R. Cat. Supp. Sav. cet.

Digitized by Google

θεῖν, [q]καὶ εἰς τὰ ἄδυτα ἐκεῖνα εἰσελθεῖν. [r]Τί εἰσιν αἱ δυνάμεις
τοῦ μέλλοντος αἰῶνος; [s]Ἡ ζωὴ ἡ αἰώνιος, ἡ ἀγγελικὴ διαγωγή.
[t]Τούτων ἤδη τὸν ἀρραβῶνα ἐλάβομεν [v]διὰ τῆς πίστεως παρὰ
τοῦ πνεύματος. Εἰπέ [w]μοι τοίνυν, [x]εἰ εἰς βασίλεια εἰσαχθεὶς,
καὶ πάντα ἐμπιστευθεὶς τὰ ἐκεῖ, εἶτα [y]προὔδωκας ἅπαντα, ἆρα
ἂν ἐνεπιστεύθης πάλιν;

[z]Τί οὖν; οὐκ ἔστι μετάνοια, [a]φησίν; Ἔστι μετάνοια, ἀλλὰ
βάπτισμα οὐκ ἔστι δεύτερον. Μετάνοια [b]δέ ἐστι, καὶ πολλὴν B
ἔχει τὴν ἰσχὺν, καὶ τὸν σφόδρα τοῖς ἁμαρτήμασι βεβαπτισμέ-
νον, εἰ βουληθείη, δυναμένη ἀπαλλάξαι τοῦ τῶν ἁμαρτημάτων
φορτίου, καὶ τὸν κινδυνεύοντα καταστῆσαι ἐν ἀσφαλείᾳ, [c]κἂν
πρὸς αὐτὸν ἔλθῃ τῆς κακίας τὸν πυθμένα. Καὶ τοῦτο πολλα-
χόθεν [d]δῆλον. [9]"Μὴ ὁ πίπτων γὰρ, φησὶν, οὐκ ἀνίσταται;
ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει;" Ἔστιν, ἐὰν βουλώμεθα,
μορφωθῆναι τὸν Χριστὸν ἐν ἡμῖν πάλιν· ἄκουε γὰρ Παύλου
λέγοντος, [10]"Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ C
Χριστὸς ἐν ὑμῖν·" μόνον ἁψώμεθα τῆς μετανοίας. Ὅρα [e]γὰρ
θεοῦ φιλανθρωπίαν· ἔδει ἡμᾶς παντὶ τρόπῳ κολασθῆναι παρὰ
τὴν ἀρχὴν, ὅτι καὶ νόμον λαβόντες [f]τὸν φυσικὸν, καὶ μυρίων
ἀπολαύσαντες ἀγαθῶν, τόν [g]τε δεσπότην ἠγνοήκαμεν, καὶ βίον
ἀκάθαρτον βεβιώκαμεν· [h]καὶ οὐ μόνον οὐκ ἐκόλασεν, ἀλλὰ καὶ
μυρίων μετέδωκεν ἀγαθῶν, [i]καὶ ὡς ἂν εἰ μεγάλα κατωρθωκότες
ἦμεν. Πάλιν [k]ἐξεπέσομεν, καὶ οὐδὲ οὕτω κολάζει, ἀλλ' ἔδωκε
τὸ τῆς μετανοίας φάρμακον, πάντα ἡμῶν τὰ ἁμαρτήματα [l]ἱκα-
νὸν ἀφανίσαι καὶ ἀπαλεῖψαι, μόνον ἐὰν [m]εἰδῶμεν τὸ φάρμακον
[n]ὁποῖόν ἐστι, καὶ πῶς αὐτὸ ἐπιτιθέναι δεῖ. [o]Ποῖον οὖν ἐστι τὸ D
φάρμακον τῆς μετανοίας, καὶ [p]πῶς κατασκευάζεται; Πρῶτον,

9 Jer. viii. 4. 10 Gal. iv. 19.

[q] καὶ—εἰσελθεῖν om. K.Q. Cat. Supp. Sav. cet. [r] τί εἰσιν (ἔστιν O.R.) αἱ (αἱ om. O.) δ.] τί ἐστι, δυνάμεις τε (τε om. Cat.) K.Q. Cat. Supp. Sav. cet. [s] ἡ ζ. ἡ αἰ. om. R. [t] τοῦτον K.N.O.Q.R. Supp. invito Mut. [v] διὰ om. K.Q. Mox διὰ pro παρὰ K.O.Q.R. Mut. non Supp. [w] μοι om. K.Q.R. [x] εἰ] ἂν K.Q. Mox βασιλειαν O. βασιλείαν K.Q. βασιλεῖαν R. *regnum* Mut. [y] προέδωκας K.Q. ἂν προέδωκας R. Post ἐνεπιστεύθης add. τὰ ἐκεῖ N. Sav. cet. [z] ΗΘΙΚΟΝ. Περὶ τῆς θείας μεταλήψεως, καὶ ὅτι ταύτης ἄξιοι οἱ κατὰ τὸν βίον ἄληπτοι· οἱ δὲ μὴ τοιοῦτοι, κἂν ἅπαξ, ἀλλ' εἰς κρίμα ἑαυτῶν προσέρχονται. Veron. [a] φησὶν om. K.Q. [b] δὲ om. K.Q. Mox π. ἔχουσα pro καὶ π. ἔχει K.Q. Sav. cet. [c] κἂν] ἂν A. [d] δῆλον] δυνατὸν ἀποδεῖξαι K.Q. Sav. cet. Mox γὰρ om. K.Q.R. [e] γὰρ] γοῦν O. γὰρ om. K.Q. [f] τὸν om. K. [g] τε om. N. Statim ἠγνοήσαμεν A.R. Veron. Mox ἐβιώσαμεν K.O.Q.R. [h] καὶ] ὁ δὲ K.Q. Sav. cet. καὶ om. A. [i] καὶ om. K.Q. Sav. cet. [k] ἐξεπέσαμεν O.R. Statim καὶ om. O. [l] ἱκανὸν] + ὂν O. Statim ἀπαλ. καὶ ἀφαν. hoc ord. K.O.Q.R. Mut. [m] ἴδωμεν A.R. Veron. ἴδωμεν ex corr. O. ἰδῶμεν N. [n] ὁποῖον] + τε R. eras. in O. Mox περιθεῖναι A.N. Veron. [o] ὁποῖον A.N.O.R. Veron. [p] πῶς] + αὐτὸ Edd. invitis libris.

Digitized by Google

ἀπὸ καταγνώσεως τῶν οἰκείων [q]ἁμαρτημάτων· [11] “Τὴν ἀνομίαν
[r]γάρ μου, [s]φησὶν, οὐκ ἐκάλυψα·” [t]καὶ, “Ἐξαγορεύσω κατ' ἐμοῦ
τὴν ἀνομίαν μου τῷ κυρίῳ, καὶ σὺ [v]ἀφῆκας τὴν ἀσέβειαν τῆς
καρδίας μου·” καὶ πάλιν, “Λέγε σὺ [w]τὰς ἁμαρτίας σου πρῶ-
τος, ἵνα δικαιωθῇς·” καὶ, “Δίκαιος [x]ἑαυτοῦ κατήγορος ἐν πρω-
τολογίᾳ.” Δεύτερον, ἀπὸ ταπεινοφροσύνης πολλῆς· ὥσπερ
99 γὰρ σειρά τις [y]ἐστὶ χρυσῆ, κἂν ἀρχὴν λάβῃ, πάντα ἕπεται.
Ἐὰν γὰρ ὁμολογήσῃς τὴν ἁμαρτίαν ὡς ὁμολογῆσαι χρὴ, τα-
πεινοῦται ἡ ψυχή· τὸ γὰρ συνειδὸς αὐτὴν [z]συστρέφον, κατε-
στάλθαι ποιεῖ. Δεῖ δὲ καὶ ἕτερα [a]προσθεῖναι τῇ ταπεινο-
φροσύνῃ, [b]ἐὰν τοιαύτη ᾖ οἵαν ὁ μακάριος Δαυὶδ [c]οἶδε [d]λέγων,
[12] “Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξ-
ουδενώσει.” Τὸ γὰρ συντριβὲν οὐ διανίσταται, οὐ πλήττει,
ἀλλὰ πρὸς τὸ παθεῖν κακῶς [e]ἐστιν ἕτοιμον, αὐτὸ δὲ οὐ διανί-
σταται. Τοιοῦτόν ἐστι συντριβὴ καρδίας· κἂν ὑβρισθῇ, κἂν
B πάθῃ [f]κακῶς, ἡσυχάζει, καὶ οὐχ ὁρμᾷ πρὸς ἄμυναν. Μετὰ δὲ
τὴν ταπεινοφροσύνην, εὐχῶν δεῖ ἐκτενῶν, δακρύων πολλῶν, τῶν (484)
[g]μεθ' ἡμέραν, τῶν ἐν νυκτί· [13] “Λούσω γὰρ, φησὶ, καθ' ἑκά-
στην νύκτα τὴν κλίνην μου· [h]ἐν δάκρυσί μου τὴν στρωμνήν μου
βρέξω· ἐκοπίασα ἐν τῷ στεναγμῷ μου·” καὶ πάλιν, “Ὅτι
σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ
ἐκίρνων.” [i]Καὶ μετὰ τὴν εὐχὴν τὴν οὕτως ἐκτενῆ, ἐλεημοσύνης
δεῖ πολλῆς. Τὸ γὰρ μάλιστα ἰσχυρὸν ἐργαζόμενον τὸ φάρ-
μακον τῆς μετανοίας, τοῦτό ἐστι. Καὶ καθάπερ ἐπὶ τῶν ἰατρι-
C κῶν βοηθημάτων ἐστὶ φάρμακον πολλὰς μὲν λαμβάνον βοτά-
νας, μίαν δὲ τὴν κυριωτάτην· οὕτω καὶ ἐπὶ τῆς μετανοίας αὕτη
ἡ βοτάνη κυριωτέρα, καὶ τὸ πᾶν αὕτη [k]γένοιτο ἄν. Ἄκουε
γὰρ τί φησιν ἡ [l]θεία γραφή· [14] “Δότε ἐλεημοσύνην, καὶ πάντα

11 Psal. xxxi. 5. Esai. xliii. 26. Prov. xviii. 17. 12 Psal. l. 19.
13 Ibid. vi. 7. ci. 10. 14 Luc. xi. 41. Tob. xii. 9. Sirac. iii. 30.

q ἁμαρτημάτων] + καὶ ἀπὸ ἐξαγορεύσεως Edd. Haec desunt in A.N.O.R. Mut. sed in marg. A. rubricatum περὶ ἐξαγορεύσεως. Post ἁμαρτημάτων pergunt, εἶπα γὰρ, φησὶν, ἐξαγορεύσω κ. τ. ἑ. ceteris omissis K.Q. r γάρ μου] μου γὰρ O.R. γὰρ om. N. s φησὶν] + ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου Edd. invitis libris et Mut. t καὶ] + εἶπα in marg. O. Mox ἁμαρτίαν pro ἀνομίαν N. καὶ—κυρίῳ om. R. v ἀφεῖλες R. w τὰς ἁμαρτίας (ἀνομίας O.) σ. πρ.] πρ. τὰς ἀνομίας σ. K.Q. πρῶτον pro πρῶτος R. x ἑαυτῷ A. Veron. y ἐστὶ] + πολλὴ R. z συστρέφων K. a προσεῖναι K.Q. Sav. cet. b ἐὰν] ἵνα iidem. Post ᾖ add. ἡ ψυχὴ K.Q. c οἶδε] Sic R. Mut. εἶχε A.N.O. Veron. ηὔχετο K. Sav. cet. λαβεῖν ηὔχετο Q. d λέγειν R. Post h. v. add. καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ θεός· καὶ πάλιν K.Q.R. Sav. cet. invito Mut. e ἐστιν ἕτ.] ἕτ. ἐστιν K.Q. f κακὸν Q. g μεθ' ἡμ.] ἐν ἡμέρᾳ K.O.Q. Sav. cet. τῶν ἐν νυκτὶ, τῶν ἐν ἡμέρᾳ hoc ord. K.Q. h ἐν] + δὲ N. Sav. cet. i καὶ μετὰ] μετὰ δὲ K.O.Q.R. Mox ὄντως pro οὕτως N. k γένοιτ' ἂν K. Post ἂν add. αὐτῇ O. l θεία om. K.N.Q.

Digitized by Google

ἔσται καθαρά·" καὶ πάλιν, "Ἐλεημοσύναις καὶ πίστεσιν ἀπο-
καθαίρονται ἁμαρτίαι·" [m]καὶ, "Πῦρ φλογιζόμενον [n]ἀποσβέσει
ὕδωρ, καὶ ἐλεημοσύνη καταπαύσει ἁμαρτίας μεγάλας." Εἶτα
τὸ [o]μηδενὶ ὀργίζεσθαι, μηδὲ μνησικακεῖν, τὸ πᾶσιν ἀφιέναι τὰ
ἁμαρτήματα· [15]"Ἄνθρωπος [p]γὰρ ἀνθρώπῳ συντηρεῖ ὀργὴν,
φησὶ, καὶ παρὰ κυρίου ζητεῖ ἴασιν·" "Ἄφετε, [q]ἵνα ἀφεθῇ D
ὑμῖν." Καὶ τὸ ἐπιστρέφειν ἀδελφοὺς ἀπὸ τῆς πλάνης· [16]"Πο-
ρεύου γὰρ, φησὶ, [r]καὶ ἐπίστρεφε τοὺς ἀδελφούς σου, ἵνα ἀφε-
θῶσί σοι αἱ ἁμαρτίαι σου." [s]Καὶ ἀπὸ τοῦ πρὸς τοὺς ἱερεῖς
ἔχειν οἰκείως· [17]"[t]Κἂν ἁμαρτίας ᾖ, φησὶ, πεποιηκώς [v]τις,
ἀφεθήσεται αὐτῷ." Τὸ προΐστασθαι τῶν ἀδικουμένων, τὸ μὴ
ἔχειν ὀργὴν, τὸ πάντα πράως φέρειν.

Ἆρα πρὸ μὲν τοῦ μαθεῖν ὅτι ἔστι διὰ μετανοίας ἀπολούσα-
σθαι τὰ ἁμαρτήματα, οὐκ ἐναγώνιοι ἦτε, [w]ὅτι οὐκ ἔστιν ἕτερον
λουτρὸν, καὶ ἀπεγινώσκετε ἑαυτῶν; Νυνὶ δὲ μαθόντες δι' ὅσων 100
ἡ μετάνοια καὶ ἡ ἄφεσις κατορθοῦται, καὶ ὅτι δυνησόμεθα τὸ
πᾶν ἐκφυγεῖν, [x]ἐὰν βουληθῶμεν αὐτῇ χρήσασθαι δεόντως, ποίας
[y]ἂν τύχοιμεν συγγνώμης, [z]οὐδὲ εἰς νοῦν ἐρχόμενοι τῶν ἡμετέρων
ἁμαρτημάτων; Εἰ γὰρ τοῦτο ἦν, πάντα ἤνυστο. Ὥσπερ γὰρ
ὁ τὴν θύραν εἰσελθὼν, ἔνδον ἐστὶν, [a]οὕτως ὁ τὰ οἰκεῖα ἀναλογι-
ζόμενος [b]κακὰ, καὶ ἐπὶ τὴν θεραπείαν αὐτῶν πάντως ἥξει. Ἂν
δὲ λέγῃ, ἁμαρτωλός εἰμι, μὴ ἀναλογίζηται δὲ αὐτὰ κατ' εἶδος,
καὶ λέγῃ, ὅτι τόδε καὶ τόδε ἥμαρτον· οὐδέποτε [c]παύσεται, ἀεὶ
μὲν ὁμολογῶν, φροντίζων δὲ οὐδέποτε τῆς διορθώσεως. Ἐὰν B
γὰρ [d]ἀρχὴν θῆται, πάντως καὶ τὰ ἄλλα ἕπεται, ἂν [e]εἰς ἓν ἀρχὴν
ἐπιδείξηται· πανταχοῦ γὰρ ἡ ἀρχὴ καὶ τὰ προοίμια δύσκολα.

15 Sirac. xxviii. 3. Matth. vi. 14. 16 Luc. xxii. 32. 17 Jac. v. 15.

[m] *καὶ*] + *πάλιν* K.Q. Sav. cet. [n] *σβέσει* K.Q.R. et a pr. m. O. [o] *μηδενὶ*] Sic K.O.Q.R. Supp. Mut. *μηδὲ* A. *μὴ* Edd. [p] *γὰρ* om. A.N. Mut. Mox *καὶ παρὰ κ. ζ. ἴασιν* om. K.Q.R. [q] *ἵνα ἀφεθῇ*] *ἵνα ἀφεθήσεται* A. *καὶ ἀφεθήσεται* K.Q. Proximum *καὶ* om. K.Q. [r] *καὶ—σου*] *πρὸς τοὺς ἀδ. σου, καὶ ἐπίστρεφε αὐτοὺς* K.Q. [s] *καὶ ἀπὸ τοῦ*] *τὸ* K.Q. Sav. Mor. [t] *κἂν*] + *γὰρ* K.Q. Sav. cet. Mox *φησὶν, ᾖ* pro *ᾖ, φησὶ* K.Q.R. *φησὶ* om. a pr. m. O. [v] *τις* om. K.Q. Mox *αὐτῷ* om. A. Veron. [w] *ὅτι*] *γνόντες ὅτι* Edd. *γνόντες* om. K.Q.R. Mut. inclusum a Sav. Mox *λουτρὸν* om. A. [x] *ἐὰν* pro *ἂν* A.K.N.Q.R. [y] *ἂν τύχ.*] Sic A.N.O. *ἂν* om. R. *οὖν τύχ.* Veron. *τύχ. ἂν* K.Q. Sav. cet. [z] *οὐδὲ*] *μηδὲ* Veron. Mox *οἰκείων* pro *ἡμετέρων* O. [a] *οὕτως*] + *καὶ* K.Q.R. Mox *λογιζόμενος* N. Sav. cet. [b] *κακὰ*] + *ἂν γὰρ ἀναλογίζηται αὐτὰ καθ' ἑκάστην* K.Q. Sav. cet. invito Mut. Proximum *καὶ* om. O. Mox *ἂν δὲ λέγῃ ὅτι ἁμ.* A. [c] *παύσεται*] *δὲ παύηται* R. *λέγων* pro *ὁμολογῶν* idem. *οὐδέποτε—οὐδέποτε*] *ἢ ἂν οὐδέποτε παύηται μὲν λέγων, οὐδέποτε δὲ φροντίζῃ* K.Q. Post *διορθώσεως* add. *οὐδὲν αὐτῷ πλέον ὄφελος* K.Q.R. [d] *ἀρχὴν θῆται* (*θεῖται* R.)] Sic K.O.Q.R. *principium posueritis* Mut. *ἄρξηται* Edd. [e] *εἰς* (*εἰ* A.) *ἓν ἀρχὴν*] *εἴσοδον* K.Q. Sav. cet. *εἴσοδον καὶ ἀρχὴν* R. et a pr. m. O. *sive ingressum sive initium* Mut.

Digitized by Google

[f]Ταύτην οὖν καταβαλώμεθα, καὶ πάντα εὔκολα ἔσται καὶ ῥᾷστα. Ἀρξώμεθα [g]τοίνυν, παρακαλῶ, ὁ μὲν ἀπὸ τοῦ τὰς εὐχὰς ἐπιτεῖναι, [h]ὁ δὲ ἀπὸ τοῦ δακρύειν συνεχῶς, ὁ δὲ ἀπὸ τοῦ κατηφεῖν· οὐδὲ γὰρ [i]οὐδὲ τοῦτο τὸ οὕτω μικρὸν ἀνόνητον· [18] "Εἶδον γάρ, φησὶν, ὅτι ἐλυπήθη, καὶ ἐπορεύθη στυγνὸς, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ." Πάντες δὲ ἀπὸ ἐλεημοσύνης, καὶ τοῦ [k]ἀφιέναι
C τοῖς πλησίον τὰ ἁμαρτήματα, καὶ [l]ἐκ τοῦ μὴ μνησικακεῖν μηδὲ ἀμύνεσθαι, ταπεινώσωμεν ἑαυτῶν τὰς ψυχάς. Ἐὰν ἐννοῶμεν συνεχῶς τὰ [m]ἡμαρτημένα ἡμῖν, οὐδὲν ἡμᾶς ἐπᾶραι δυνήσεται τῶν ἔξωθεν, οὐ πλοῦτος, οὐ δυναστεία, οὐκ ἀρχὴ, [n]οὐ τιμή· ἀλλὰ κἂν εἰς [o]αὐτὸ τὸ ὄχημα τὸ βασιλικὸν καθίσωμεν, στενάζομεν πικρόν. Ἐπεὶ καὶ ὁ μακάριος Δαυῒδ βασιλεὺς ἦν, καὶ ἔλεγε, "Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην [p]μου·" καὶ οὐδὲν ἀπὸ τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος παρεβλάβη, [q]οὐκ ἐτυφώθη· ᾔδει γὰρ ἑαυτὸν ἄνθρωπον ὄντα· καὶ ἐπειδὴ [r]συντέτριπτο
D τὴν καρδίαν, ἐθρήνει. Τί γάρ ἐστι τὰ ἀνθρώπινα πράγματα; τέφρα καὶ κόνις, καὶ ὡσεὶ [s]χνοῦς κατὰ πρόσωπον ἀνέμου, καπνὸς καὶ σκιὰ, καὶ φύλλον [t]περιφερόμενον καὶ ἄνθος, ὄναρ καὶ διήγημα καὶ μῦθος, ἄνεμος [v]καὶ ἀὴρ χαῦνος ἁπλῶς καὶ διαρρέων, πτερὸν οὐχ ἱστάμενον, ῥεῦμα παρατρέχον, καὶ [w]εἴ τι τούτων οὐδαμινέστερον. Τί γὰρ, εἰπέ μοι, μέγα νομίζεις; ποῖον ἡγῇ μέγα ἀξίωμα εἶναι; τὸ τοῦ ὑπάτου; οὐδὲν γὰρ τούτου τοῦ
101 ἀξιώματος [x]εἶναι μεῖζον νομίζουσιν οἱ πολλοί. Τοῦ ἐν τοσαύτῃ τοίνυν λαμπρότητι [y]γενομένου, τοῦ μεγάλως θαυμασθέντος, ὁ μὴ ὕπατος ἔλαττον ἔχει οὐδέν· ἐν τῷ αὐτῷ καὶ οὗτος κἀκεῖνός ἐστιν ἀξιώματι· ὁμοίως ἑκάτεροι μετ' [z]ὀλίγον οὐκ εἰσί. Πότε ἐγένετο, πόσον χρόνον, εἰπέ μοι; ἡμερῶν δύο; Τοῦτο καὶ ἐν ὀνείροις γίνεται. Ἀλλ' ὄναρ, φησὶν, ἐστί. Καὶ τί τοῦτο; τὸ γὰρ ἐν ἡμέρᾳ, οὐκ ὄναρ, εἰπέ μοι; διὰ τί μὴ ταῦτα μᾶλλον (485)

18 Esai. lvii. 17, 18. 19 Psal. vi. 7.

[f] ταύτην] Sic K.N.O.Q.R. ταῦτα Edd. Statim καταβαλλώμεθα A.K.Q. καταλαβώμεθα R. [g] τοίνυν] οὖν R. [h] ὁ δὲ—συνεχῶς om. A. [i] [οὐδὲ] Sav. οὐδὲ om. K.Q.R. Mox μικρὸν ἢ ἀν. O. Mut. [k] ἀφεῖναι a pr. m. O. Mox πᾶσι pro πλησίον A. [l] ἐκ] ἀπὸ K.Q. Sav. cet. Post ταπεινώσωμεν add. οὖν K.Q. [m] ἡμαρτ. ἡμῖν] ἡμῖν ἡμαρτ. K.O.Q.R. Mox δυν. τῶν ἔξ. K.N.O.Q.R. τῶν ἔξ. δυν. Edd. [n] οὐ τιμὴ om. N. [o] αὐτὸ om. K.Q. Statim καθ. τὸ βασ. hoc ord. K.O.Q.R. Mox στενάξωμεν A.O.R. Veron. [p] μου] + ἐν δάκρυσίν μου O. Statim καὶ om. Q. [q] οὐκ] καὶ οὐκ Edd. καὶ om. K.O.Q.R. Mut. [r] συντέτριπτο] Sic A.N. συνετέτριπτο O. συνέτριπτο (sic) Veron. συντετριμμένην εἶχε K.Q.R. Sav. cet. [s] χοῦς ante corr. O. [t] φερόμενον K.Q.R. et a pr. m. O. [v] καὶ om. K.Q.R. καὶ ante διαρρέων accessit ex K,O.Q.R. Mut. [w] εἴ τι] ἔτι A. Veron. Mox οὐδαμινέστερα iidem. οὐδαμινώτερον N.O. [x] μεῖζον εἶναι inverso ord. O. Floril. p. 232. (Tom. xii. p. 540 A.) εἶναι om. Veron. [y] γινομ. R. γεγενημ. O. Flor. Mox κἀκεῖνος καὶ οὗτος hoc ord. K.Q.R. Flor. [z] ὀλίγων A. ὄντες pro εἰσὶ R.

Digitized by Google

[a]λέγομεν ὄναρ; Ὥσπερ γὰρ τὰ ὀνείρατα, τῆς ἡμέρας κατα-
λαβούσης, ἐλέγχεται οὐδὲν ὄντα· οὕτω [b]καὶ ταῦτα, τῆς νυκτὸς
καταλαβούσης, ἐλέγχεται οὐδὲν ὄντα· τὸ γὰρ ἴσον ἥ τε νὺξ καὶ B
ἡ ἡμέρα ἀπέλαβον τοῦ χρόνου, καὶ ἐξ [c]ἴσου διενείμαντο τὸν
πάντα αἰῶνα. Ὥσπερ τοίνυν ἐν ἡμέρᾳ τοῖς ἐν νυκτὶ [d]γενομένοις
οὐ γάννυταί τις· οὕτως οὐδὲ ἐν νυκτὶ τῶν μεθ' ἡμέραν ἀπολαῦσαι
δυνατόν. Γέγονας ὕπατος; [e]Κἀγὼ ἐν νυκτί. Ἀλλ' ἐγὼ ἐν
νυκτὶ, καὶ σὺ ἐν ἡμέρᾳ; Καὶ τί τοῦτο; οὐδὲ οὕτω μου πλέον
τι ἔχεις, εἰ μὴ ἄρα [f]τὸ λέγεσθαι, ὁ δεῖνα [g]ὁ ὕπατος, καὶ τὸ τὴν
ἀπὸ τῶν ῥημάτων ἔχειν ἡδονὴν πλέον [h]ἔχειν ποιεῖ. Οἷόν τι
λέγω, σαφέστερον γὰρ αὐτὸ ἐρῶ· ἐὰν εἴπω, ὁ δεῖνα [i]ὕπατός
ἐστι, καὶ [k]χαρίσωμαι τὸ ῥῆμα, οὐχ ἅμα ἐλέχθη, καὶ ἀπῆλθεν;
Οὕτω καὶ τὰ πράγματά ἐστιν· ἅμα ἐφάνη ὕπατος, καὶ [l]οὐκ
ἔστι. Θῶμεν δὲ [m]ἐνιαυτὸν, καὶ δύο ἐνιαυτοὺς, καὶ τρεῖς καὶ C
τέσσαρας· [n]ποῦ εἰσιν οἱ δέκα [o]ὕπατοι γενόμενοι; Οὐδαμοῦ.
Ἀλλ' ὁ Παῦλος οὐχ οὕτως· ἦν μὲν γὰρ καὶ ζῶν [p]διαπαντὸς,
οὐ μίαν ἡμέραν, [q]οὐδὲ δύο, οὐδὲ δέκα [r]καὶ εἴκοσι, [s]οὐ τριάκοντα,
οὐδὲ ἐνιαυτοὺς δέκα καὶ εἴκοσι, [t]οὐδὲ τριάκοντα, [v]καὶ ἐτελεύ-
τησε· [w]καὶ τετρακοσιοστὸν λοιπὸν ἔτος παρελήλυθε, καὶ ἔτι
καὶ νῦν [x]λαμπρός ἐστι, [y]καὶ πολλῷ λαμπρότερος ἢ ὅτε ἔζη.
Καὶ ταῦτα μὲν ἐν τῇ γῇ· τὴν δὲ ἐν [z]τοῖς οὐρανοῖς λαμπρότητα
τῶν ἁγίων τίς ἂν παραστήσειε λόγος; Διὸ, παρακαλῶ, ταύτην D
ζητήσωμεν τὴν λαμπρότητα, ταύτην διώξωμεν, [a]ἵνα αὐτῆς τύ-
χωμεν· ἡ γὰρ ὄντως λαμπρότης αὕτη ἐστίν. Ἀποστῶμεν
λοιπὸν τῶν βιωτικῶν, ἵνα εὕρωμεν χάριν καὶ ἔλεον, ἐν Χριστῷ
Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ [b]πατρὶ ἅμα τῷ ἁγίῳ πνεύ-

[a] λέγωμεν R. [b] καὶ om. Q.R. Mox καταλαμβανούσης Flor. et olim O. οὕτω—ὄντα om. A.K. Veron. Mut. [c] ἴσης K.Q.R. Sav. cet. ἴσης ex corr. O. Mox αἰῶνα pro χρόνον K.O.Q.R. Mut. [d] γινομ. Q. Mox γάννυται K. et ante corr. N. [e] κἀγὼ—καὶ σὺ (σὺ om. A.) ἐν ἡμέρᾳ] Sic A.N.O. Veron. Mut. κἀγὼ ἐν ν. ὡς καὶ σὺ ἐν ἡμ. R. κἀγώ. ἀλλὰ σὺ ἐν ἡμ. ἐγὼ δὲ ἐν ν. K.Q. Sav. cet. [f] τὸ] τῷ bis K.Q. [g] ὁ om. K.R. Flor. et a pr. m. O. [h] ἔχειν] τι K.Q.R. [i] ὕπατός ἐστι om. R. [k] χαρήσομαι K. χαρίσομαι Q. Statim τῷ ῥήματι A.O. Flor. τῷ λόγῳ K.Q. [l] οὐκ ἔστι] Sic Flor. οὐκέτι A.N.O.R. Veron. οὐκέτι ἐστὶ K.Q. Sav. cet. [m] ἐνιαυτὸν] + εἶναι K.Q. Sav. cet. [n] ποῦ] + οὖν N. .Sav. cet. [o] ὕπ. γενόμενοι] οἱ γεν. ὕπ. R. ἔτη ὕπ. γεν. O. Flor. ἐνιαυτοὺς γεν. ὕπ. K.Q. [p] διαπαντὸς] Sic A.N. Veron. Mut. δ. λαμπρὸς O. Flor. λαμπρὸς δ. K.Q.R. Sav. cet. [q] οὐδὲ] καὶ R. [r] καὶ pro οὐδὲ K.O.Q.R. Flor. Mut. Statim εἴκοσι pro εἴκοσιν K.N.O. [s] οὐ] οὐδὲ R. οὐ τριάκοντα om. O. Flor. Mut. [t] οὐδὲ] καὶ Sav. cet. invitis omnibus. [v] καὶ] καὶ ἐξ οὗ K.Q. ἀλλὰ ἐξ οὗ Sav. cet. [w] καὶ om. K.Q. Sav. cet. Statim τριακοσ. K. [x] λαμπρός ἐστι] Sic N. ἐστι λαμπρὸς O.Q.R. Flor. ἐστι λαμπρότερος K. λαμπρότερός ἐστι Edd. [y] καὶ om. A. [z] τοῖς om. K.Q.R. Mox ἂν om. K.Q. [a] ἵνα αὐτῆς τύχωμεν om. K.Q. [b] πατρὶ] + δόξα N.Q. + ἡ δόξα A. Mox δόξα—προσκύνησις om. A.N.Q. κράτος, τ. καὶ προσκ. om. R.

Digitized by Google

ματι δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ι.

102 [1] Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς ἐρχόμενον πολλάκις ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ θεοῦ· ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος, καὶ κατάρας ἐγγύς· ἧς τὸ τέλος [a] εἰς καῦσιν.

ΜΕΤΑ φόβου τῶν λογίων [b] ἀκούωμεν τοῦ θεοῦ, μετὰ φό-
B βου καὶ τρόμου πολλοῦ· [2] "Δουλεύσατε γὰρ, φησὶ, τῷ κυρίῳ
ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ." Εἰ δὲ καὶ ἡ χαρὰ
ἡμῶν, καὶ ἡ ἀγαλλίασις μετὰ [c] τρόμου ὀφείλει εἶναι, ὅταν καὶ
φοβερὰ ᾖ τὰ λεγόμενα, οἷα τὰ νῦν, τίνος οὐκ ἐσμὲν ἄξιοι τι-
μωρίας, μὴ μετὰ φρίκης ἐπακούοντες τῶν λεγομένων; Εἰπὼν
[d] γὰρ ὅτι ἀδύνατον τοὺς παραπεσόντας βαπτισθῆναι δεύτερον,
καὶ τὴν [e] διὰ λουτροῦ ἄφεσιν λαβεῖν, καὶ δείξας τὸ φρικτὸν τοῦ
πράγματος, ἐπάγει· "Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς [f] πολ-
C λάκις ἐρχόμενον ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις
δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ [g] τοῦ θεοῦ·
ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος, καὶ κατάρας
ἐγγύς· ἧς τὸ τέλος εἰς καῦσιν." Φοβηθῶμεν [h] οὖν, ἀγαπητοί·
οὐκ ἔστι Παύλου αὕτη ἡ ἀπειλὴ, οὐκ ἔστιν ἀνθρώπου τὰ ῥή-
ματα· τοῦ πνεύματός [i] εἰσι τοῦ ἁγίου, τοῦ Χριστοῦ τοῦ λα-
λοῦντος ἐν αὐτῷ. [k] Ἆρα τίς ἐστιν ὁ τούτων τῶν ἀκανθῶν κα-
θαρός; Εἰ δὲ καὶ ἦμεν καθαροὶ, οὐδὲ οὕτω θαρρεῖν ἐχρῆν, ἀλλὰ
δεδοικέναι καὶ τρέμειν, μήποτε ἄκανθαι βλαστήσωσιν ἐν ἡμῖν·
D ὅταν δὲ ὅλοι δι' [l] ὅλων ἄκανθαι ὦμεν καὶ τρίβολοι, πόθεν θαρ-
ροῦμεν, εἰπέ μοι, καὶ ὕπτιοι γινόμεθα; τί τὸ [m] ποιοῦν ἡμᾶς
ῥᾳθυμεῖν; Εἰ ὁ δοκῶν ἑστάναι, ὀφείλει δεδοικέναι μὴ πέσῃ·
[3] "[n] Ὁ δοκῶν γὰρ ἑστάναι, φησὶ, βλεπέτω μὴ πέσῃ·" ὁ πεσὼν
[o] πῶς ὀφείλει μεριμνᾶν ὥστε ἀναστῆναι; Εἰ Παῦλος φοβεῖται
μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένηται, [p] καὶ δέδοικε

[1] Cap. VI. v. 7, 8. [2] Psal. ii. 11. [3] 1 Cor. x. 12. ix. 27.

Hom. X. [a] εἰς καῦσιν] ἀπώλεια N. [b] ἀκούσωμεν K. et olim O. [c] τρόμου] φόβου K.Q.R. Mox γίνεσθαι pro εἶναι O. Sav. cet. [d] γὰρ ὅτι] Sic N.O.R. Mut. γὰρ om. K.Q. Sav. cet. γὰρ ὅτι ἀδ.] ἀδ. γὰρ A. Veron. [e] διὰ τοῦ λ. Edd. τοῦ om. A.K.O.Q. Supp. Statim ἄφ. πάλιν λαβεῖν K.Q.R. Sav. cet. [f] ἐρχ. πολλάκις hoc ord. N. [g] τοῦ om. R. [h] οὖν om. K.Q. [i] ἐστιν R. [k] ἄρα N. Veron. [l] ὅλων] ὅλου K.Q. Sav. cet. [m] ποιεῖν R. [n] ὁ δοκῶν—πέσῃ deletum in R. [o] πῶς] + οὐκ O.Q.R. Mut. [p] καὶ—ἀδόκιμος om. R. Supp. Mox ὁ οὕτω δ. post γένηται transp. K.Q. Mut.

Digitized by Google

τὸ μὴ γενέσθαι ἀδόκιμος, ὁ οὕτω δόκιμος· ἡμεῖς οἱ γενόμενοι
ἤδη ἀδόκιμοι, τίνα [q]ἕξομεν συγγνώμην, οὐδένα φόβον ἔχοντες,
(486) ἀλλ᾽ ὡς συνήθειαν, οὕτω πληροῦντες τὸν Χριστιανισμὸν, καὶ
[r]ἀφοσιούμενοι; Φοβηθῶμεν τοίνυν, ἀγαπητοί· [4]“[s]Ἀποκαλύ- 103
πτεται γὰρ ὀργὴ τοῦ θεοῦ ἀπ᾽ οὐρανοῦ·” φοβηθῶμεν· ἀποκα-
λύπτεται γὰρ οὐκ [t]ἐπ᾽ ἀσέβειαν μόνον, ἀλλὰ καὶ “ἐπὶ πᾶσαν
ἀδικίαν.” [v]Τί ἐστιν, “ἐπὶ πᾶσαν ἀδικίαν;” Καὶ μικρὰν καὶ
[w]μεγάλην. Ἐνταῦθα τοῦ θεοῦ τὸ φιλάνθρωπον αἰνίττεται.
Ὑετὸν δὲ τὴν διδασκαλίαν φησί· καὶ ὅπερ ἀνωτέρω ἔλεγεν,
“Ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον,” τοῦτο καὶ ἐν-
ταῦθά [x]φησι. [y]Καὶ πολλαχοῦ ὑετὸν τὴν διδασκαλίαν [z]ἡ γραφὴ
λέγει·” [5]“Ἐντελοῦμαι γὰρ, φησὶ, ταῖς νεφέλαις τοῦ μὴ
βρέξαι [a]εἰς αὐτὸν ὑετόν·” περὶ τοῦ ἀμπελῶνος λέγουσα· [b]ὅπερ
ἀλλαχοῦ λιμὸν ἄρτου καὶ δίψαν ὕδατος καλεῖ· καὶ πάλιν, “Ὁ
ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων.” B

“Γῆ γὰρ ἡ πιοῦσα, φησὶ, τὸν ἐπ᾽ αὐτῆς [c]πολλάκις ἐρχόμε-
νον ὑετόν.” [d]Ἐνταῦθα δηλοῖ, ὅτι καὶ ἐδέξαντο καὶ συνέπιον
τὸν λόγον, καὶ πολλάκις [e]τούτου ἔτυχον, καὶ οὐδὲ οὕτως ἀπώ-
ναντο. [f]Εἰ γὰρ μὴ ἐγεωργήθης, φησὶν, εἰ μὴ ἀπέλαυσας
ὑετῶν, οὐκ ἦν τοσοῦτον [g]τὸ κακόν· [6]“Εἰ [h]γὰρ μὴ ἦλθον,
φησὶ, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον·” [i]εἰ δὲ πολλά-
κις ἔπιες καὶ ἐδέξω, τίνος ἕνεκεν [k]ἀντὶ καρπῶν ἕτερα ἐξήγαγες;
[7]“Ἔμεινα γὰρ, φησὶν, ἵνα ποιήσῃ σταφυλὴν, ἐποίησε δὲ ἀκάν-
θας.” [l]Ὁρᾷς ὅτι πανταχοῦ ἡ γραφὴ ἀκάνθας καλεῖ τὰ ἁμαρ-
τήματα; Καὶ γὰρ [m]καὶ ὁ Δαυῒδ φησιν, [8]“Ἐστράφην εἰς C
ταλαιπωρίαν, ἐν τῷ ἐμπαγῆναί μοι [n]ἄκανθαν.” Οὐ γὰρ ἁπλῶς
ἐπέρχεται, ἀλλ᾽ ἐμπήγνυται· κἂν [o]μικρὸν αὐτῆς ἐναπομείνῃ, κἂν
μὴ πᾶσαν αὐτὴν ἐξέλωμεν, [p]αὐτὸ τὸ μικρὸν ὀδυνᾷ ὁμοίως,
καθάπερ [q]ἐπὶ τῆς ἀκάνθης. Καὶ τί λέγω αὐτὸ τὸ μικρόν; καὶ

[4] Rom. i. 18. [5] Esai. v. 6. Amos viii. 11. Psal. lxiv. 10. [6] Joan. xv. 22. [7] Esai. v. 2. [8] Psal. xxxi. 4.

[q] ἕξομεν] + ἀπολογίαν καὶ K.O.Q. Sav. cet. [r] ἀφομοιούμενοι R. [s] ἀποκαλύπτεται — φοβηθῶμεν om. A. τοῦ ante θεοῦ om. R. Veron. eras. in O. [t] ἐπὶ K. [v] Haec τί ἐστιν, ἐπὶ (ἐπὶ om. R.) π. ἀδ. accesserunt ex K.N.O. Q.R. Mut. [w] μεγάλην] + φησὶν K.Q. [x] φησι] φησι. γῆ γὰρ ἡ πιοῦσα πολλάκις R. λέγων, γῆ γὰρ ἡ π. τὸν ὑετὸν K.Q. [y] καὶ π. ὑετὸν τὴν δ.] ὑετὸν δὲ τὴν δ. π. R. καὶ om. K.Q. [z] ἡ γρ. λ.] εὑρεῖν ἐστι παρὰ τῆς γραφῆς λαμβανόμενον K.Q. [a] εἰς αὐτὸν om. K. [b] ὅπερ] ὃ K.Q.R. Cat. et a pr. m. O. [c] π. ἐρχ.] ἐρχ. π. N.R. [d] ἐνταῦθα] + τοῦτο K.Q. Proximum καὶ om. R. [e] τοῦτον A. [f] εἰ] + μὲν K.Q. Sav. cet. Mox φησὶν om. K. [g] τὸ om. A. Veron. [h] γὰρ om. K.Q. [i] εἰ δὲ om. A. Veron. νῦν pro εἰ Supp. [k] ἀντὶ τῶν κ. K.O.Q. Mox ἐξήνεγκας R. [l] ὁρᾷς] ὅρα δὲ R. [m] καὶ om. R. Cat. [n] ἀκάνθας A. Statim οὐχ ἁπλῶς K.Q. [o] μικρὸν] + γὰρ K.Q. Mox καὶ pro κἂν K.Q. Sav. cet. [p] αὐτὸ om. A. Supp. Veron. [q] ἐπὶ] καὶ ἐπὶ A. Mox λέγει A.

Digitized by Google

μετὰ τὸ ἐξαιρεθῆναι, ἐπιπολὺ [r]τῆς πληγῆς τὴν ὀδύνην ἐναφίησι·
[s]καὶ δεῖ θεραπείας πολλῆς καὶ ἰατρείας, ὥστε τέλεον αὐτῆς ἐλευ-
D θερωθῆναι· οὐδὲ γὰρ ἀρκεῖ τὸ [t]ἐξελεῖν μόνον τὴν ἁμαρτίαν,
ἀλλὰ δεῖ καὶ [v]τὸν πληγέντα θεραπεῦσαι τόπον. Ἀλλὰ δέδοικα
μὴ πρὸς ἡμᾶς [w]ᾖ τὰ λεγόμενα μᾶλλον ἢ πρὸς ἑτέρους· "[x]Γῆ
γὰρ ἡ πιοῦσα, φησὶ, τὸν ἐπ' αὐτῆς ἐρχόμενον πολλάκις ὑετόν·"
[y]ἀεὶ πίνομεν, ἀεὶ ἀκούομεν, ἀλλ' εὐθέως τὴν νοτίδα ἀπόλλυμεν,
τοῦ ἡλίου ἀνατείλαντος, [z]καὶ διὰ τοῦτο ἀκάνθας ἐκφέρομεν.
Τίνες οὖν αἱ ἄκανθαι; Ἀκούσωμεν τοῦ Χριστοῦ λέγοντος, ὅτι
[9]"Ἡ μέριμνα τοῦ αἰῶνος τούτου, καὶ ἡ [a]ἀπάτη τοῦ πλούτου
συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται." "Γῆ γὰρ ἡ
πιοῦσα, [b]φησὶ, τὸν ἐπ' αὐτῆς ἐρχόμενον πολλάκις ὑετὸν, καὶ
104 τίκτουσα βοτάνην εὔθετον." [c]Ὅτι οὐδὲν οὕτως εὔθετον, ὡς
[d]βίου καθαρότης, οὐδὲν οὕτως εὔρυθμον, ὡς βίος ἄριστος, οὐ-
δὲν οὕτως εὔθετον, ὡς ἀρετή. "[e]Καὶ τίκτουσα, φησὶ, βοτάνην
εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας
ἀπὸ τοῦ θεοῦ." Ἐνταῦθα [f]τὸν θεόν φησιν αἴτιον τῶν ἁπάντων
γίνεσθαι, πλήττων [g]ἠρέμα τοὺς Ἕλληνας, τοὺς τῇ δυνάμει τῆς
γῆς τῶν καρπῶν τὴν γέννησιν ἐπιγράφοντας. Οὐδὲ γὰρ αἱ
γεωργικαὶ χεῖρες, φησὶν, εἰσὶν αἱ τὴν γῆν πρὸς τὴν τῶν καρ-
B πῶν φορὰν διεγείρουσαι, ἀλλὰ τὸ παρὰ τοῦ θεοῦ πρόσταγμα·
διὰ τοῦτό [h]φησι, "Μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ θεοῦ."
Καὶ ὅρα πῶς ἐπὶ τῶν ἀκανθῶν οὐκ εἶπε, τίκτουσα ἀκάνθας,
οὐδὲ τῷ χρησίμῳ τούτῳ ὀνόματι ἐχρήσατο, ἀλλὰ τί; "Ἐκφέ-
ρουσα ἀκάνθας·" ὡς ἂν εἴποι τις, ἐκβράσσουσα, ἐκβάλλουσα.
[i]"Ἀδόκιμος, φησὶ, καὶ κατάρας ἐγγύς." Βαβαὶ, πόσην [k]ἔχει
παραμυθίαν ὁ λόγος; Κατάρας [l]γὰρ εἶπεν ἐγγὺς, οὐ κατάρα·
ὁ δὲ [m]μηδέπω εἰς τὴν κατάραν ἐμπεσὼν, ἀλλ' ἐγγὺς γενόμενος,

9 Matth. xiii. 22.

[r] τῆς πληγῆς om. K.Q. ἐμποιεῖ pro ἐναφίησι iidem. [s] καὶ] + διὰ τοῦτο K.Q. Sav. cet. Mox πολλῆς καὶ ἰατρείας om. K.Q. [t] ἐξελθεῖν R. [v] τὸν] τοῦ τὸν Supp. Veron. τοῦτον A. ἀλλὰ καὶ τοῦ θεραπεῦσαι τὸν πλ. τ. R. [w] ᾖ] εἴη A. Supp. Veron. Statim τὸ λεγόμενον K.Q. Sav. cet. [x] γῆ—φησὶ] τὸ γῆ ἡ π. iidem. φησὶ post αὐτῆς transp. A. Statim ἐρχ. πολλάκις hoc ord. bis K.N.O.Q. [y] ἀεὶ] + γὰρ K.Q. Supp. Sav. cet. Mox ἀνατέλλοντος A.N. Supp. Veron. [z] καὶ om. R. post διὰ τοῦτο transp. K.Q. [a] ἀγάπη olim O. Mox συμπλήγει Q. [b] φησὶ om. R. Mox καὶ τίκτουσα β. εὔ. om. idem. [c] ὅτι om. K.Q.R. Sav. cet. ὅτι insert. ex corr. in O. [d] βίου καθ.] βίος ἄριστος K.O.Q. Mut. invito Supp. Mox βίου καθ. pro βίος ἄρ. K.O.Q. [e] καὶ om. K. φησὶ om. a pr. m. A. [f] τὸν θ. φησιν pro φησι τὸν θ. K.O. Q.R: Cat. Supp. Mox γίνεσθαι om. R. Cat. [g] ἠρ. τοὺς Ἑλλ. pro τοὺς Ἑλλ. ἠρ. K.O.Q.R. Cat. Mox γένεσιν O. Cat. Supp. [h] φ. μεταλαμβάνει εὐλ.] τὸ μεταλαμβάνειν εὐλ. ἐπήγαγεν K.Q. Statim ἀπὸ θεοῦ R. [i] ἀδόκιμος —ἐγγὺς om. A. [k] ἔχει παρ.] παρ. εἶχεν R. [l] [γὰρ] Sav. γὰρ om. K.Q. Mox οὐ κατάραν K.Q.R. et corr. O. [m] μήπω A. Cat. Supp. Statim εἰς τὴν ἀρὰν K.O.R. Mox ἐκπεσὼν A.

Digitized by Google

καὶ μακρὰν γενέσθαι δυνήσεται. [n]Καὶ οὐ τούτῳ μόνῳ παρεμυ- C
θήσατο, ἀλλὰ καὶ τῷ ἑξῆς· οὐ γὰρ [o]εἶπεν, ἀδόκιμος, καὶ κατά-
ρας ἐγγὺς, ἥτις καήσεται· ἀλλὰ τί; "Ἧς τὸ τέλος εἰς καῦ-
σιν·" [p]ἐὰν μέχρι τέλους ἐπιμείνῃ, φησίν· ὥστε, [q]ἐὰν ἐκτέμωμεν
καὶ κατακαύσωμεν τὰς ἀκάνθας, δυνησόμεθα τῶν μυρίων ἀπο-
λαῦσαι ἀγαθῶν, καὶ γενέσθαι δόκιμοι, καὶ εὐλογίας μετασχεῖν.
Εἰκότως [r]δὲ τὴν ἁμαρτίαν τρίβολον ἐκάλεσεν, εἰπὼν, "[s]Ἐκφέ-
ρουσα δὲ ἀκάνθας καὶ τριβόλους·" ὅθεν γὰρ ἂν αὐτὴν κατά- D
σχῃς, πλήττει καὶ δάκνει, καὶ ἔστιν [t]ἀηδὴς καὶ τῷ ἰδεῖν.

Καθαψάμενος τοίνυν αὐτῶν ἱκανῶς, καὶ φοβήσας καὶ πλήξας,
[v]θεραπεύει πάλιν, ὥστε μὴ πλέον καταβαλεῖν καὶ ὑπτίους ἐργά-
σασθαι· τὸν γὰρ νωθρὸν ὁ πλήττων νωθρότερον ἐργάζεται.
Οὔτε οὖν πάντη κολακεύει, ὥστε μὴ [w]ὑπτίους ποιῆσαι, οὔτε
(487) πάντη πλήττει· ἀλλ' ὀλίγον [x]ἐμβαλὼν τὸ πληκτικὸν, πολὺ
τὸ θεραπευτικὸν προσφέρει διὰ τῶν [y]ἐπαγομένων. Τί γάρ φη-
σιν; Οὐχ ὡς κατεγνωκότες ὑμῶν ταῦτα λέγομεν, οὐδὲ ὡς νομί- 105
ζοντες ὑμᾶς ἀκανθῶν πλήρεις, ἀλλὰ δεδοικότες μὴ τοῦτο γένη-
ται· βέλτιον [z]γὰρ ὑμᾶς τοῖς ῥήμασι φοβῆσαι, ἵνα μὴ τοῖς
πράγμασιν ἀλγήσητε. Καὶ τοῦτο τῆς συνέσεως Παύλου μάλι-
στα. [a]Καὶ οὐκ εἶπε, νομίζομεν, οὐδὲ, στοχαζόμεθα, οὐδὲ,
προσδοκῶμεν, οὐδὲ, ἐλπίζομεν, ἀλλὰ τί; [10]"Πεπείσμεθα [b]δὲ
περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας, εἰ
καὶ οὕτω λαλοῦμεν." Ὃ καὶ Γαλάταις γράφων ἔλεγε, [11]"[c]Πέ-
ποιθα δὲ εἰς ὑμᾶς ἐν κυρίῳ, ὅτι οὐδὲν ἄλλο [d]φρονήσετε." Ἐκεῖ
μὲν γὰρ, ἐπειδὴ σφόδρα κατεγνωσμένοι ἦσαν, καὶ οὐκ εἶχεν B
αὐτοὺς ἀπὸ τῶν παρόντων ἐπαινέσαι, ἀπὸ τῶν μελλόντων τοῦτο
ποιεῖ· "[e]Ὅτι οὐδὲν ἄλλο, φησὶ, φρονήσετε·" [f]οὐκ εἶπε, φρο-
νεῖτε, ἀλλὰ, "φρονήσετε·" ἐνταῦθα δὲ ἀπὸ τῶν παρόντων·

10 v. 9. 11 Gal. v. 10.

[n] καὶ—μόνῳ] οὐ τούτῳ δὲ μόνον K.Q. [o] εἶπεν] + εἴ τις K.Q. Mox καίεται pro ἥτις καήσεται iidem. [p] ἐὰν μ. τ. (+ οὕτως N.) ἐπιμ. φησὶν (+ τοῦτο πείσεται N.)] δηλῶν ὅτι ἐὰν μ. τ. οὕτως ἐπιμ. τοῦτο πείσεται K.Q. Sav. cet. [q] ἐὰν om. Q. [r] δὲ om. R. [s] φέρουσα A. [t] ἀηδὴς] Sic A.K.N.Q. *molestus* Mut. ἀειδὴς Edd. Statim καὶ τὸ ἰ. A.R. Veron. [v] θεραπεύει π. om. R. Mox καταβάλλειν A. Veron. [w] ὑπτ. ποιῆσαι] ἐπᾶραι K.Q. Sav. cet. Iidem post πλήττει add. ὥστε μὴ ὑπτ. ποιῆσαι. [x] ἐμβάλλων A. Veron. ἐμβαλὼν om. K.Q. Mox καὶ πολὺ iidem. [y] ἐπαγομένων] + ὥστε ὃ βούλεται κατορθῶσαι K.Q. Sav. cet. Statim καὶ τί φ. K.Q. Post φησι add. πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείττονα καὶ ἐχ. σ. εἰ καὶ οὕτω λαλοῦμεν. τουτέστιν K.Q. Sav. cet. invitis Cat. Supp. Mut. [z] γὰρ] δὲ K.Q. [a] καὶ om. K.Q. [b] δὲ] γὰρ A. Veron. δὲ—λαλοῦμεν om. K.Q. Sav. cet. [c] πεποίθαμεν K.Q. R. [d] φρονήσετε] + οὐκ εἶπε, φρονεῖτε, ἀλλὰ φρονήσετε Sav. cet. invitis libris. Sequentia ἐκεῖ μὲν—φησὶ, φρονήσετε absunt a Veron. [e] ὅτι om. K.Q. Sav. cet. Mox φρονήσετε, λέγων pro φησὶ, φρονήσετε iidem. [f] οὐκ—φρονήσετε om. R. Sav. cet.

Digitized by Google

“Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ [g]κρείττονα, καὶ ἐχό-
μενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν.” Καὶ ἐπειδὴ ἀπὸ τῶν
παρόντων οὐ τοσαῦτα εἶχεν εἰπεῖν, ἀπὸ τῶν παρελθόντων κατα-
σκευάζει τὴν παραμυθίαν, καί φησιν· [12] “Οὐ γὰρ ἄδικος ὁ θεὸς
ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, [h]καὶ τῆς ἀγάπης, ἧς ἐνεδείξασθε
εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις, καὶ διακονοῦν-
τες.” Βαβαὶ, πῶς αὐτῶν ἀνεκτήσατο τὴν ψυχὴν καὶ ἀνέρρωσε,
C τῶν παλαιῶν ἀναμνήσας πραγμάτων, καὶ [i]εἰς ἀνάγκην κατα-
στήσας τοῦ μὴ προσδοκᾶν ἐπιλελῆσθαι τὸν θεόν; Ἀνάγκη
γὰρ ἐκεῖνον ἁμαρτάνειν τὸν μὴ πεπληροφορημένον περὶ τῆς
[k]ἐλπίδος, καὶ λέγειν [l]ὅτι ἄδικος ὁ θεός. Ὥστε συνηνάγκασεν
αὐτοὺς [m]πάντως προσδοκᾶν ἐκεῖνα τὰ μέλλοντα. Τὸν [n]γὰρ
ἀπεγνωκότα ἀπὸ τῶν παρόντων καὶ ἀπαγορεύσαντα, [o]ἀπὸ τῶν
μελλόντων ἀναρρῶσαι δυνήσεταί τις· ὡς καὶ αὐτὸς Γαλάταις
γράφων ἔλεγεν, [13] “Ἐτρέχετε [p]καλῶς·” καὶ πάλιν, “Τοσαῦτα
D ἐπάθετε εἰκῆ; εἴγε καὶ εἰκῆ.” Ὥσπερ [q]δὲ ἐνταῦθα μετὰ ἐπι-
πλήξεως τίθησι τὸ ἐγκώμιον, λέγων, “Ὀφείλοντες εἶναι διδά-
σκαλοι διὰ τὸν χρόνον·” οὕτω καὶ ἐκεῖ, [14] “Θαυμάζω ὅτι οὕτω
ταχέως μετατίθεσθε,” μετ' [r]ἐκπλήξεως τὸ ἐγκώμιον· περὶ γὰρ
μεγάλων, ὅταν [s]ἐκπέσωσι, θαυμάζομεν. Ὁρᾷς ἐγκεκρυμμένον
τὸν ἔπαινον τῇ κατηγορίᾳ καὶ τῇ διαβολῇ; Καὶ οὐ περὶ [t]ἑαυ-
τοῦ τοῦτο μόνον φησὶν, ἀλλὰ καὶ περὶ πάντων· οὐ γὰρ εἶπε,
πέπεισμαι, ἀλλὰ, “Πεπείσμεθα [v]περὶ ὑμῶν τὰ κρείττονα,”
[w]καὶ χρηστὰ, φησίν. Ἤτοι περὶ πολιτείας, ἢ [x]περὶ ἀντιδό-
σεως ταῦτά φησιν. Εἶτα εἰπὼν ἀνωτέρω, ὅτι ἀδόκιμος καὶ
κατάρας ἐγγὺς, καὶ ὅτι εἰς καῦσιν ἔσται, [y]οὐ πάντως, φησὶ,
106 περὶ ὑμῶν τοῦτο λέγομεν· “Οὐ γὰρ ἄδικος ὁ θεὸς ἐπιλαθέσθαι
τοῦ ἔργου ὑμῶν, [z]καὶ τῆς ἀγάπης.” [a]Τίνος οὖν ἕνεκεν ταῦτα

[12] v. 10. [13] Gal. v. 7. iii. 4. [14] Ibid. i. 6.

[g] κρείττονα A.K.N.O.Q. κρείττω Edd. Mox εἰ om. K. [h] καὶ] + τοῦ κόπου K.Q. Supp. Sav. cet. invitis Cat. Mut. τοῦ κ. marg. adscript. in O. Mox ἣν pro ἧς O. [i] εἰς] + ποίαν R. Mox ἐπιτελῆσθαι A. [k] ἐλπίδος] τοῦ θεοῦ δικαιοκρισίας, καὶ τῆς τῶν ἑκάστῳ βεβιωμένων κατ' ἀξίαν παρ' αὐτοῦ ἀνταποδόσεως N. Sav. cet. invitis Cat. Supp. Mut. Sic in marg. O. [l] ὅτι] ὥστε R. [m] πάντας A. [n] γὰρ] δὲ Q. [o] ἀπὸ] τὸ R. [p] καλῶς] + τίς ὑμᾶς ἐνέκοψε; K.O.Q. Sav. cet. [q] δὲ] + καὶ R. Statim μετ' ἐπιπλ. K. Cat. μετ' ἐκπλήξεως Supp. [r] ἐπιπλήξεως K.Q. Mut. [s] ἐκπέσῃ R. [t] αὐτοῦ R. Mox φησὶν om. K.Q. Post πάντων add. λέγει Q. [v] περὶ ὑμῶν om. R. [w] καὶ (+ τὰ O.) χρηστά, φ.] (καὶ eras.) τὰ χρήσιμα φ. R. τουτέστι, τὰ χρηστὰ K.Q. Sav. cet. [x] περὶ om. K.Q.R. Veron. Mox λέγει pro φησιν K.Q. ἤτοι—φησιν om. O. [y] οὐ—λέγομεν] ἵνα μὴ δόξῃ περὶ αὐτῶν τοῦτο λέγειν, ἐπήγαγεν εὐθέως τὸ K.Q. Sav. cet. [z] καὶ] + τοῦ κόπου K.Q. Sav. cet. Sic ex corr. O. [a] τίνος—ἕκαστον] δηλῶν ὅτι εἰ καὶ οὕτω λαλοῦμεν, οὐ πάντως περὶ ὑμῶν τοῦτο λέγομεν. καὶ εἰ περὶ ἡμῶν οὐ λέγεις, τί δήποτε καθάπτῃ νωθροὺς καλῶν, καὶ μεμνημένος ἀκανθῶν ἐκφοβεῖς; ἐπειδὴ ἐπιθυμοῦμεν, φησὶν, ἕνα ἕκαστον K.Q. Sav. cet.

Digitized by Google

εἴπομεν; [15] "Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους· ἵνα μὴ [b]νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας."

[c]"Ἐπιθυμοῦμεν," φησίν. Οὐκ ἄρα [d]σπουδάζομεν μόνον, B
οὐδὲ μέχρι ῥημάτων τοῦτο βουλόμεθα· [e]ἀλλὰ τί; Ἐπιθυμοῦμεν τῆς ἀρετῆς [f]ὑμᾶς [g]ἔχεσθαι· οὐχ ὡς τῶν προτέρων καταγινώσκοντες, [h]φησὶν, ἀλλ' ὑπὲρ τῶν μελλόντων δεδοικότες. [i]Καὶ οὐκ εἶπεν, [k]ὅτι οὐχ ὡς τῶν προτέρων καταγινώσκοντες, ἀλλὰ τῶν παρόντων· ἐξελύθητε γὰρ, ῥᾳθυμότεροι γεγόνατε. [l]Ἀλλ' ὅρα πῶς προσηνῶς καὶ ἐνέφηνε, καὶ οὐκ ἔπληξε. [m]Τί γάρ φησιν; "Ἐπιθυμοῦμεν δὲ [n]ἕκαστον ὑμῶν τὴν αὐτὴν σπου-
(488) δὴν ἐνδείκνυσθαι ἄχρι τέλους." Τοῦτο [o]γὰρ τὸ θαυμαστόν ἐστι τῆς Παύλου συνέσεως, ὅτι οὐκ ἐνδείκνυται ὅτι ἐνέδωκαν,
ὅτι καθυφῆκαν. Τὸ γὰρ εἰπεῖν, "Ἐπιθυμοῦμεν ἕκαστον ὑμῶν," C
τοῦτό ἐστιν, ὡς ἂν εἴποι [p]τις, θέλω σε σπουδάζειν ἀεὶ, καὶ οἷος ἧς [q]πρότερον, τοιοῦτον εἶναι καὶ νῦν καὶ εἰς τὸ μέλλον. Τοῦτο γὰρ τὸν ἔλεγχον προσηνέστερον καὶ εὐπαράδεκτον εἰργάζετο. Καὶ οὐκ [r]εἶπε, θέλω, [s]ὅπερ ἦν [t]διδασκαλικῆς αὐθεντίας, ἀλλ' ὃ πατρικῆς ἦν· φιλοστοργίας, [v]τὸ πλέον τοῦ θέλειν, "ἐπιθυμοῦμεν" μονονουχὶ λέγων, σύγγνωτε κἂν φορτικόν τι φθεγξώμεθα. "[w]Ἐπιθυμοῦμεν ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς [x]τὴν πληροφορίαν τῆς ἐλπίδος ὑμῶν ἄχρι τέ-
λους." [y]Ἡ ἐλπὶς, φησὶ, διαβαστάζει, [z]αὕτη ἀνακτᾶται πάλιν· D
μὴ [a]σκυλθῆτε, μὴ ἀπελπίσητε, ἵνα μὴ περιττὴ ὑμῶν ἡ ἐλπὶς

15 v. 11, 12.

[b] νωθρότεροι A.N. Veron. Mox (καὶ ?) μακροθυμίας om. R. [c] ἐπιθυμοῦμεν] + δὲ A.O.R. Mut. φησὶν om. K.Q. [d] σπουδάζομεν μόνον, οὐδὲ (οὐδὲν N.) om. K.Q. Sav. cet. μόνον om. R. Post βουλόμεθα add. μόνον K.Q. Sav. cet. [e] ἀλλὰ τί;] τί ἐπιθυμεῖς, εἰπὲ K.Q. et (praefixo ἀλλὰ) Sav. cet. Statim ἐπιθυμοῦμεν om. K.Q. [f] ὑμᾶς] + ὥστε K.Q. [g] ἔχεσθαι] + διὸ καὶ ταῦτά φαμεν K. + οὐχ ἕνα, ἀλλὰ πάντας ὁμοίως Cat. [h] φησὶν om. K.Q. [i] καὶ om. K.Q. [k] ὅτι om. R. Supp. ὅτι—γεγόνατε] φανερῶς, τῶν παρόντων καταγινώσκομεν· ἐξελύθητε γὰρ καὶ ῥᾳθ. γεγ. ἀλλὰ τῶν προτέρων ἐμφαντικῶς, ἵνα μὴ σφόδρα πλήξῃ K.Q. [l] ἀλλ' ὅρα] καὶ ὅρα K.Q. ἀλλὰ πῶς; ὅρα R. et a pr. m. O. καὶ ante ἐνέφηνε assumtum ex K.Q.R. Mut. [m] τί γάρ φ.] τί λέγων K.Q. [n] ἕκαστον] ἕνα ἕκαστον bis K.Q. et marg. O. Mox ἐνδ. σπουδὴν hoc ord. A.N. Supp. [o] γὰρ om. K.Q. Mox ἐπὶ pro ἐστι A. [p] τις] + λέγοντος K.Q. [q] πρότερος R. καὶ post νῦν om. K. Cat. [r] εἶπεν] + ὅτι R. [s] ὅπερ] ἀλλ' ὅπερ K. [t] διδ. αὐθεντίας (–τείας A.O.)] διδασκαλίας K.Q. Mox πατρικῆς om. K.Q. [v] τὸ] καὶ K.N.Q. Sav. cet. τὸ non hic, sed post θέλειν habet R. [w] ἐπιθ.] + γὰρ ἕνα K.Q. Sav. cet. + γὰρ N. [x] τὴν om. K.O.Q.R. Mox ἄχρι τέλους post σπουδὴν transp. iidem cum Mut. [y] ἡ ἐλπὶς] τί ἐστι τοῦτο; ἡ ἐλπὶς K.Q. Supp. Sav. cet. [z] αὐτὴ R. [a] σκυλθῆτε] Sic Veron. et a pr. m. N. σκυλληθῆτε (sic) Supp. ἐκλυθῆτε Sav. cet. Statim μηδὲ ἀπ. A.K.O.Q. Sav. cet. invitis Cat. Supp.

Digitized by Google

[b]ἢ· ὁ γὰρ ἀγαθὰ ἐργαζόμενος, καὶ [c]ἀγαθὰ ἐλπίζει, [d]καὶ οὐδέ-
ποτε ἀπελπίζει ἑαυτόν. "Ἵνα μὴ [e]νωθροὶ γένησθε." Ἀκμὴν
γένησθε; Καὶ μὴν ἀνωτέρω ἔλεγεν, "Ἐπεὶ νωθροὶ [f]γεγόνατε
ταῖς ἀκοαῖς." Ἀλλ' ὅρα [g]πῶς μέχρι τῆς ἀκοῆς τὴν νωθρότητα
ἔστησεν· ἐνταῦθα [h]δὲ [i]τὸ αὐτὸ δὴ τοῦτο αἰνίττεται· ἀντὶ τοῦ,
μὴ ἐναπομείνητε, φησίν. Ἀλλὰ πάλιν αὐτὸ εἰς τὸν μέλλοντα
ἐξάγει καιρὸν τὸν ἀνεύθυνον, εἰπὼν, "Ἵνα μὴ [k]νωθρότεροι γέ-
107 νησθε·" ἐκείνου γὰρ [l]τοῦ μήπω παρόντος οὐκ ἂν εἴημεν ὑπεύ-
θυνοι. Ὁ μὲν γὰρ εἰς τὸ παρὸν παρακαλούμενος σπουδάζειν,
[m]ὡς ῥᾳθυμῶν, ἴσως καὶ ὀκνηρότερος ἔσται· ὁ δὲ εἰς τὸ μέλλον,
οὐχ οὕτως. "Ἐπιθυμοῦμεν δὲ, [n]φησὶν, ἕκαστον ὑμῶν." Πολλὴ
ἡ φιλοστοργία· καὶ μεγάλων καὶ μικρῶν ὁμοίως κήδεται, καὶ
[o]πάντας οἶδε, καὶ οὐδένα παρορᾷ, ἀλλὰ τὴν αὐτὴν περὶ ἕκαστον
κηδεμονίαν ἐπιδείκνυται, καὶ τὴν ἰσοτιμίαν πρὸς πάντας· ὅθεν
καὶ μᾶλλον ἔπειθε δέξασθαι τὸ φορτικὸν τῶν ῥημάτων. "Ἵνα
μὴ [p]νωθροὶ γένησθε," φησί. Καθάπερ γὰρ ἡ ἀργία τὸ σῶμα
βλάπτει, οὕτω καὶ τὴν ψυχὴν ἡ ἀργία τῶν ἀγαθῶν ὑπτιωτέ-
B ραν ἐργάζεται καὶ ἀσθενῆ. "Μιμηταὶ δὲ, φησὶ, τῶν διὰ πί-
στεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας." [q]Καὶ
τίνες οὗτοί εἰσιν, ἑξῆς λέγει. Πρότερον [r]εἴρηκε, μιμήσασθε τὰ
πρότερα ὑμῶν κατορθώματα· εἶτα, ἵνα μὴ λέγωσι, ποῖα; [s]ἀνά-
γει αὐτοὺς ἐπὶ τὸν πατριάρχην, τῶν μὲν κατορθωμάτων οἴκο-
θεν αὐτοῖς φέρων [t]τὰ ὑποδείγματα, τοῦ [v]δὲ νομίζειν ἐγκατα-
λελεῖφθαι, [w]ἀπὸ τοῦ πατριάρχου· [x]ἵνα μὴ νομίσωσιν ὅτι ὡς
οὐδενὸς ἄξιοι λόγου καταφρονηθέντες [y]ἐγκατελείφθησαν, ἀλλ'
εἰδέναι ἔχωσιν ὅτι τῶν μάλιστα γενναίων ἀνδρῶν τοῦτό ἐστι,
C τὸ διὰ πειρασμῶν ὁδεύειν τὸν βίον, καὶ ὅτι τοῖς θαυμαστοῖς
καὶ μεγάλοις ἀνδράσιν οὕτω κέχρηται ὁ θεός. [z]Δεῖ δὲ, φησὶ,
μετὰ μακροθυμίας ἅπαντα φέρειν· τοῦτο γάρ ἐστι καὶ πιστεύ-

[b] ἢ om. R. Cat. [c] ἀγαθὰ om. a pr. m. N. [d] καὶ om. A. Mox ἀπελπεῖσθαι (sic) idem. [e] νωθρότεροι Veron. Statim γίνεσθαι A. [f] γεγόνατε] + φησὶν O. [g] πῶς] + ἐκεῖ K.Q. Supp. Sav. cet. [h] δὲ om. Q. Sav. cet. [i] τὸ αὐτὸ δὴ (δὴ om. A.)—πάλιν αὐτὸ (αὐτοὺς R.)] εἰ καὶ (+ τὸ Q. Supp.) αὐτὸ τοῦτο φθέγγεται, ἀλλ' ἕτερόν τι αἰνίττεται· ἀντὶ γὰρ τοῦ εἰπεῖν (εἰπεῖν om. Supp.) μὴ ἐναπ. τῇ ῥᾳθυμίᾳ, μὴ ν. γένησθε, εἶπε. πάλιν (+ δὲ Supp.) αὐτοὺς (αὐτὸ Supp.) K.Q. Supp. Sav. cet. [k] νωθροὶ O.R. Supp. εἰπὼν—γένησθε om. K.Q. inclusum a Sav. [l] τοῦ om. K.Q.R. Supp. [m] ὡς ῥ. ἴσως] ἴσως ῥ. K.Q. [n] φησὶν post ὑμῶν transp. K.O.Q.R. Mut. [o] ἅπαντας O.R. [p] νωθρότεροι A.N. Veron. Mox φησὶ om. K.Q.R. [q] καὶ om. Q. [r] εἴρηκε] εἶπεν K.O.Q. Mox τὰ πρότερον R. Supp. [s] ἀν. αὐτοὺς pro αὐτοὺς ἀν. K.N.O.Q.R. Cat. Supp. [t] τὸ ὑπόδειγμα K.Q. Cat. et a pr. m. O. [v] δὲ] μὴ R. [w] ἀπὸ] ὑπὸ olim O. [x] ἵνα μὴ ν.] τοῦτο δὲ ποιεῖ, ἵνα μὴ λέγωσιν K.Q. Sav. cet. Statim ὅτι om. A.N.R. Veron. invita Cat. [y] ἐγκαταλελεῖφθαι N. [z] δεῖ δὲ, φ.] ἄρα (ἆρα Q.) δεῖ K.Q. Mox φ. πάντα pro ἅπαντα φ. R.

Digitized by Google

σαι. Ἐὰν δὲ εἴπῃ ὅτι [a]δίδωσι, καὶ λάβῃς εὐθέως, τί [b]καὶ ἐπί-
στευσας; οὐκέτι γὰρ τῆς πίστεώς ἐστι τοῦτο τῆς σῆς, ἀλλ'
ἐμοῦ, φησὶ, [c]τοῦ δεδωκότος. Ἐὰν [d]δὲ εἴπω ὅτι δίδωμι, καὶ
μετὰ ἑκατὸν ἔτη [e]δώσω, σὺ δὲ μὴ ἀπελπίσῃς· τότε με ἐνόμι-
σας ἀξιόπιστον, τότε τὴν προσήκουσαν περὶ ἐμοῦ δόξαν ἔχεις.
Ὁρᾷς ὅτι πολλάκις ἡ ἀπιστία οὐκ ἐξ [f]ἀνελπιστίας γίνεται D
μόνον, ἀλλὰ [g]καὶ ἐκ τοῦ ὀλιγοψυχεῖν καὶ μὴ μακροθυμεῖν, [h]οὐκ
ἐκ τοῦ καταγνῶναι τοῦ ἐπαγγειλαμένου; "Οὐ γὰρ ἄδικος ὁ
θεὸς, [i]φησὶν, ἐπιλαθέσθαι τῆς ἀγάπης ὑμῶν, καὶ τῆς σπουδῆς
[k]ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις,
καὶ διακονοῦντες." [l]Μεγάλα αὐτοῖς μαρτυρεῖ, οὐκ ἔργα [m]μό-
νον, ἀλλὰ καὶ μετὰ προθυμίας ἔργα· ὃ καὶ ἀλλαχοῦ φησιν,
16 "Οὐ μόνον δὲ, ἀλλὰ καὶ ἑαυτοὺς ἔδωκαν τῷ κυρίῳ καὶ ἡμῖν."
"Ἧς ἐνεδείξασθε, φησὶν, εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες
τοῖς ἁγίοις, καὶ διακονοῦντες." Ὅρα πῶς πάλιν αὐτοὺς θερα- 108
πεύει ἐπαγαγὼν, "[n]καὶ διακονοῦντες;" Ἔτι καὶ νῦν, [o]φησὶ,
διακονοῦντες· [p]καὶ διανίστησιν αὐτοὺς, δεικνὺς ὅτι οὐκ ἐκείνοις
πεποιήκασιν, ἀλλὰ τῷ θεῷ. "Ἣν ἐνεδείξασθε," φησί· [q]καὶ
οὐκ εἶπεν, εἰς τοὺς ἁγίους, ἀλλ' εἰς τὸν θεόν· τοῦτο γάρ ἐστιν,
"εἰς τὸ ὄνομα [r]αὐτοῦ·" διὰ τὸ ὄνομα αὐτοῦ, φησὶ, πάντα πε-
ποιήκατε. Ὁ τοίνυν τοσαύτης παρ' ὑμῶν [s]ἀπολαύων σπουδῆς
καὶ ἀγάπης, οὐ καταφρονήσει ποτὲ ὑμῶν οὐδὲ ἐπιλήσεται.

[t]Ταῦτα ἀκούοντες, παρακαλῶ, διακονῶμεν τοῖς ἁγίοις. Πᾶς B
(489) γὰρ πιστὸς ἅγιος, [v]καθὸ πιστός ἐστι· κἂν κοσμικὸς ᾖ τις,
ἅγιός ἐστιν. 17 "Ἡγίασται γὰρ, φησὶν, ὁ ἀνὴρ ὁ ἄπιστος ἐν
τῇ γυναικὶ, καὶ ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί." [w]Ὅρα πῶς
τὸν ἁγιασμὸν ἡ πίστις ποιεῖ. Κἂν κοσμικὸν τοίνυν ἴδωμεν [x]ἐν
περιστάσει, ὀρέγωμεν χεῖρα· [y]μὴ πρὸς τοὺς ἐν ὄρεσι [z]μόνον
καθημένους ὦμεν σπουδαῖοι· ἅγιοι μὲν γὰρ ἐκεῖνοι καὶ βίῳ καὶ

16 2 Cor. viii. 5. 17 1 Cor. vii. 14.

[a] δίδωμι R. [b] καὶ om. O. Mox γὰρ om. A. Veron. [c] τοῦ] + προλαβόντος τὴν ἐπαγγελίαν καὶ K.Q. Sav. cet. [d] δὲ] μὲν γὰρ K.Q. Statim ὅτι om. R. [e] δῶ R. et a pr. m. O. [f] ἀπιστίας R. Mut. [g] καὶ om. A.N. R. invitis Supp. Mut. [h] οὐκ om. R. Mut. τοῦ καταγνῶναι, quod aberat, est in K.N.O.Q.R. Supp. Mut. [i] φησὶν] τοῦ R. [k] ἧς] ἣν O. [l] μεγάλα—διακονοῦντες om. A. [m] μόνον] + ἁπλῶς K.Q. [n] καὶ] + εἰπὼν K.Q. Sav. cet. καὶ διακ.] διακονήσαντες R. [o] φησὶ] λέγει K.Q. Sav. cet. ἔτι—διακονοῦντες om. R. Supp. [p] καὶ δ. αὐτοὺς] διανιστῶν αὐτοὺς καὶ K.Q. Sav. cet. [q] καὶ οὐκ εἶπεν] οὐχ ἁπλῶς iidem. [r] αὐτοῦ] + ὡσεὶ ἔλεγε iidem. Mox φησὶ om. iidem et in text. O. διὰ τὸ—πάντα om. R. [s] ἀπολαύων post τοίνυν transp. R. post τοσαύτης K.O.Q. [t] ΗΘΙΚΟΝ. Περὶ μετανοίας, καὶ τῆς τῶν δακρύων ὠφελείας· καὶ περὶ τοῦ μὴ ὀργίζεσθαι μηδὲ μνησικακεῖν, ἀλλ' ἀφιέναι καὶ τοῖς πταίσασι· καὶ περὶ ἐλεημοσύνης. Veron. [v] καθότι R. Post πιστὸς add. ἅγιος A. [w] ὁρᾷς R. Mut. et a pr. m. O. [x] ἐν τῇ π. R. [y] μὴ] καὶ μὴ K.Q. μηδὲ R. et a pr. m. O. [z] μόνον καθ.] μοναχοὺς μόνον R.

Digitized by Google

πίστει, ἅγιοι δὲ καὶ οὗτοι τῇ πίστει, πολλοὶ δὲ καὶ βίῳ. Μὴ,
C ἐὰν ἴδωμεν μοναχὸν εἰς φυλακὴν, τότε εἰσέλθωμεν· ἐὰν δὲ κοσμικὸν, μὴ εἰσέλθωμεν· ἅγιός ἐστι καὶ οὗτος, καὶ ἀδελφός. Τί οὖν, φησὶν, ἐὰν ᾖ ἀκάθαρτος [a]καὶ μιαρός; Ἄκουε τοῦ Χριστοῦ λέγοντος, [18] "Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε." Σὺ διὰ τὸν θεὸν ποίησον. Καὶ τί λέγω; κἂν Ἕλληνα ἴδωμεν ἐν περιστάσει, εὖ ποιεῖν δεῖ, [b]καὶ ἁπλῶς πάντα ἄνθρωπον ἐν περιστάσεσιν ὄντα, [c]πολλῷ δὲ μᾶλλον πιστὸν κοσμικόν. Ἄκουε [d]Παύλου λέγοντος, ὅτι [19] "Τὸ καλὸν ποιεῖτε πρὸς πάντας, μάλιστα [e]δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως." Ἀλλ' οὐκ οἶδα πόθεν τοῦτο εἰσενήνεκται, καὶ [f]πόθεν αὕτη κεκράτηκεν ἡ συνήθεια. [g]Ὁ γὰρ
D τοὺς μονάζοντας μόνον ἐπιζητῶν, [h]κἀκείνους μόνους εὖ ποιεῖν θέλων, καὶ ἐκείνους [i]δὲ πάλιν περιεργαζόμενος, καὶ [k]λέγων, ἐὰν [l]μὴ ᾖ ἄξιος, ἐὰν [m]μὴ ᾖ δίκαιος, ἐὰν μὴ σημεῖα ποιῇ, οὐκ [n]ὀρέγω χεῖρα, τὸ πλέον τῆς ἐλεημοσύνης [o]ἐξεῖλε, καὶ τοῦτο δὲ αὐτὸ τῷ χρόνῳ πάλιν ἀναιρήσει. Καίτοιγε [p]ἐλεημοσύνη ἐκείνη ἐστὶν, ἡ εἰς τοὺς ἁμαρτωλοὺς, ἡ εἰς τοὺς [q]ὑπευθύνους. Ἐλεημοσύνη γὰρ τοῦτό ἐστιν, οὐ τὸ τοὺς κατωρθωκότας, ἀλλὰ [r]τὸ τοὺς πεπλημμεληκότας ἐλεεῖν. [s]Καὶ ἵνα μάθῃς, [t]ἄκουε τῆς παραβολῆς. [20] [v]Κατῄει, φησὶ, τὶς ἀπὸ Ἱεροσολύμων εἰς Ἱεριχὼ,
109 καὶ λησταῖς περιέπεσε· [w]καὶ τυπτήσαντες αὐτὸν, εἴασαν παρὰ τὴν ὁδὸν [x]κατεάξαντες. [y]Ἦλθέ τις Λευΐτης, καὶ ἰδὼν αὐτὸν, παρῆλθεν. [z]Ἦλθέ τις ἱερεὺς, καὶ ἰδὼν αὐτὸν, παρέδραμεν. [a]Ἦλθέ τις Σαμαρείτης, καὶ πολλὴν τὴν κηδεμονίαν [b]ἐποιήσατο· ἐπέδησε τὰ τραύματα, ἐπέσταξεν [c]ἔλαιον, [d]ἔθηκεν ἐπὶ

18 Matth. vii. 1. 19 Gal. vi. 10. 20 Luc. x. 30 sqq.

[a] καὶ] ἢ K.Q.R. Mut. [b] καὶ] εἰ δὲ K.Q. Mox ἐν περιστάσει K.O.R. [c] πολλῷ δὲ] εὐεργετεῖν χρὴ, πολλῷ K. [d] τοῦ Παύλου R. Mox ὅτι om. K. Q. Sav. cet. [e] δὲ om. Q.R. [f] πόθεν] πῶς K.Q. [g] ὁ] οὐ olim O. [h] κἀκείνοις μόνον R. μόνους om. Veron. Mox ἐθέλων O. μόνους—ἐκείνους om. A. [i] δὲ om. N. [k] λέγων] ἐλεῶν N. Veron. καὶ λέγων om. Floril. p. 365 (Tom. xii. p. 595 E.) [l] μὴ] Sic Edd. et Flor. μὴ deest in nostris omnibus et Mut. [m] μὴ om. N.R. Mut. [n] ὀρέγων Veron. [o] ἀνεῖλε R. Mox πλεῖον pro πάλιν idem. [p] ἐλεημοσύνης Q. [q] ὑπευθύνους] + γινομένη K.Q. Sav. cet. [r] τὸ om. R. [s] καὶ om. A. [t] ἄκουε] + τί φησιν ὁ Χριστὸς διὰ K.Q. Sav. cet. [v] κατῄει, φ. τὶς] ἄνθρωπός τις κατέβαινεν K.Q. [w] καὶ] οἳ καὶ K.Q.R. Post εἴασαν add. αὐτὸν O. καὶ τυπτήσαντες—ὁδὸν] καὶ πληγὰς αὐτῷ περιθέντες ἀφῆκαν K.Q. [x] κατεάξαντες] ἡμιθανῆ κατεάξαντες A.N. Veron. et ex corr. O. κατεάξαντες—Σαμαρείτης] ἡμιθανῆ τυγχάνοντα. κατὰ δὲ συγκυρίαν Λευΐτης τις παρὰ τὴν ὁδὸν ἦλθε, καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθεν· ὁμοίως δὲ καὶ ἱερεύς τις τὸ αὐτὸ ποιήσας παρέδραμεν. ὕστερον δὲ ἦλθέ τις Σαμαρείτης K.Q. Sav. cet. [y] ἦλθε] + δὲ A.N. Veron. et ex corr. O. [z] ἦλθε—παρέδραμεν om. A.N. Veron. invito Mut. [a] ἦλθε] + δὲ A.N. Veron. et ex corr. O. [b] ἐποιήσατο] + ἐπ' αὐτῷ A.K.Q. Sav. cet. Post ἐπέδησε add. γὰρ K.Q. Sav. cet. [c] τὸ ἔλαιον R. [d] ἔθηκεν] ἀνεβίβασεν K.Q. ἔθηκεν αὐτὸν N. ἀνεβίβασεν αὐτὸν Sav. cet.

Digitized by Google

τὸν ὄνον, ἤγαγεν [e]αὐτὸν εἰς τὸ πανδοχεῖον, εἶπε τῷ πανδοχεῖ,
[f]θεράπευσον αὐτόν. Καὶ ὅρα [g]τὴν φιλοτιμίαν τὴν πολλήν·
“Καὶ ἐγώ σοι δώσω, [h]φησὶν, ὅσον ἂν ἀναλώσῃς.” [i]“Τίς οὖν
ἐστιν [k]ὁ πλησίον αὐτοῦ;” “Ὁ ποιήσας, φησὶ, τὸ ἔλεος μετ’ B
αὐτοῦ.” “Πορεύου οὖν, [l]φησὶ, καὶ σὺ, καὶ ποίει ὁμοίως.” Καὶ
θέα [m]ποίαν εἶπε παραβολήν. [n]Οὐκ εἶπεν ὅτι Ἰουδαῖος εἰς
Σαμαρείτην ἐποίησεν, ἀλλ’ ὅτι Σαμαρείτης τὴν φιλοτιμίαν
ἐκείνην [o]ἅπασαν ἐνεδείξατο. [p]Ταῦτα τοίνυν ἀκούσαντες, μὴ
τῶν οἰκείων τῆς πίστεως μόνον φροντίζωμεν, τῶν δὲ ἄλλων
ἀμελῶμεν. Οὕτω τοίνυν καὶ σὺ, ἐὰν ἴδῃς τινὰ κακῶς πάσχοντα,
μηδὲν περιεργάζου λοιπόν· [q]ἔχει τὸ δικαίωμα τῆς βοηθείας τὸ
κακῶς παθεῖν αὐτόν. Εἰ γὰρ ὄνον ἐὰν ἴδῃς ἀγχόμενον, [r]ἐγεί-
ρεις, καὶ οὐ περιεργάζῃ τίνος ἐστί· πολλῷ μᾶλλον ἄνθρωπον
οὐ δεῖ περιεργάζεσθαι τίνος ἐστί. [s]Τοῦ θεοῦ ἐστι, κἂν Ἕλλην C
ᾖ, κἂν Ἰουδαῖος. [t]Εἰ γὰρ καὶ ἄπιστος, ἀλλὰ βοηθείας δεῖται.
Εἰ [v]μὲν γὰρ ἐξετάζειν καὶ κρίνειν ἐπετράπη σοι, καλῶς ταῦτα
[w]ἔλεγες· νῦν δὲ ἡ συμφορὰ [x]ταῦτα οὐκ ἀφίησί σε ἐξετάζειν.
Εἰ γὰρ οὐδὲ ὑγιαίνοντας περιεργάζεσθαι χρὴ, οὐδὲ τὰ ἑτέρων
πολυπραγμονεῖν, πολλῷ μᾶλλον τοὺς κακῶς πάσχοντας. Ἄλ-
λως δὲ [y]τί; [z]Εἶδες εὐθηνοῦντα [a]αὐτὸν, εὐδοκιμοῦντα, [b]ἵνα
εἴπῃς ὅτι πονηρός ἐστι καὶ φαῦλος; εἰ δὲ κακῶς πάσχοντα
ὁρᾷς, μὴ λέγε ὅτι πονηρός ἐστιν. Ὅταν μὲν γὰρ εὐδοκιμῇ, D
καλῶς ταῦτα λέγομεν· ὅταν δὲ ἐν συμφορᾷ ᾖ καὶ βοηθείας δεῖ-
ται, οὐ χρὴ λέγειν ὅτι πονηρός ἐστιν· ὠμότητος γὰρ τοῦτο
καὶ ἀπανθρωπίας [c]καὶ ἀλαζονείας. [d]Τί τῶν Ἰουδαίων ἀνομώ-
τερον γέγονεν, εἰπέ μοι; Ἀλλ’ ὅμως [e]ἐκόλασεν αὐτοὺς ὁ θεὸς,

[e] αὐτὸν om. a pr. m. O. Mox τὸ om. O.Q.R. [f] θερ. αὐτὸν] ἐπιμελήθητι αὐτοῦ K.Q. [g] τὴν om. R. [h] φ. ὅσον] ὅσα K.Q. [i] τίς οὖν—μετ’ αὐτοῦ] εἶτα πυνθάνεται· τίς οὖν δοκεῖ σοι ἐκ τῶν τριῶν τούτων (ἐκ τ. τρ. τ. om. Ben.) πλησίον αὐτοῦ γεγονέναι; ὁ δὲ νομικὸς εἰπὼν, ὁ ποιήσας τ. ἔ. μ. αὐτοῦ, (+ εὐθὺς Q.) ἀκούει K.Q. Sav. cet. [k] ὁ om. R. et a pr. O. Mox φησὶν ὁ π. pro ὁ π. φησὶ O.R. [l] φησὶ om. K.Q. Sav. cet. καὶ ante ποίει om. K. O.R. Sav. cet. [m] ὁποίαν O. [n] οὐκ—ἀλλ’ ὅτι] καὶ πῶς ἔδειξεν ὅτι οὐκ Ἰουδαῖός τις, ἀλλὰ K.Q. [o] ἅπασαν om. R. Statim ἐπεδείξατο N.O. ἀνεδέξατο R. [p] ταῦτα τοίνυν (+ ἅπαντα Veron.)—ἀμελῶμεν] ἐντεῦθεν μανθάνομεν, ἐξ ἴσης προνοεῖσθαι τῶν πάντων, οὐ τῶν οἰ. τῆς π. μόνον ἐπιμελουμένους, τῶν ἀλλοτρίων δὲ ἀμελοῦντες K.Q. Sav. cet. [q] ἔχει] + γὰρ K.Q. Flor. [r] ἐγείρεις αὐτὸν Edd. αὐτὸν deest in nostris. [s] τοῦ om. K. [t] εἰ γὰρ καὶ ἄπιστος om. A.N.O.R. Flor. Veron. Mut. [v] μὲν om. R. Mox ἐπετράπης pro ἐπετράπη σοι R. et a pr. m. O. [w] ἔλεγες] ἐποίεις K.Q. [x] ταῦτα οὐκ ἀφ. σε] οὐκ ἀφ. σε ταῦτα K.O.Q.R. [y] [τί;] Sav. τί om. K.Q. *super haec quid vidisti?* Mut. [z] εἶδες εὐθηνοῦντα] εἰ δὲ εὐθυμοῦντα R. εἶδες post εὐδοκιμοῦντα transp. K.Q. [a] αὐτὸν om. N. Statim ἢ εὐδοκ. K.N.O.Q. Flor. Sav. cet. [b] ἵνα εἴπῃς (εἶπεν A.) ὅτι] ὅτι λέγεις K.Q. Sav. cet. Post φαῦλος add. κακῶς πάσχει iidem. [c] καὶ ἀλαζονείας om. R. [d] τίς . . . . ἀνομώτερος K.Q. γέγονεν om. R. [e] ἐκόλασεν] κολάσας K.Q. καὶ ante δικαίως et mox καὶ ὅμως om. iidem. ὁ θεὸς καὶ om. R.

Digitized by Google

καὶ δικαίως, καὶ σφόδρα δικαίως· καὶ ὅμως τοὺς μὲν συναλ-
γοῦντας αὐτοῖς ἀπεδέξατο, τοὺς δὲ [f]ἐφησθέντας ἐκόλασεν.
[21] "Οὐκ ἔπασχον γάρ, φησὶν, [g]οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰω-
σήφ·" καὶ πάλιν [h]φησὶν, "Ἐκπρίου κτεινομένους, μὴ φείσῃ."
Οὐκ εἶπε, περιέργασαι, καὶ μάθε τίς ἐστι· καίτοι ὡς [i]τὰ πολλὰ
πονηροὶ οἱ ἀπαγόμενοι· τοῦτο γάρ ἐστι μάλιστα ἐλεημοσύνη.
Ὁ μὲν γὰρ [k]φίλον εὖ ποιῶν, [l]οὐ διὰ τὸν θεὸν πάντως ποιεῖ· ὁ
δὲ [m]ἀγνῶτα, οὗτος καθαρῶς διὰ τὸν θεὸν ἐργάζεται. [n]Μὴ (490)
φείσῃ [o]χρημάτων· κἂν πάντα δέῃ κενῶσαι, δός. Ἡμεῖς δὲ
ἀγχομένους ὁρῶντες, ἀποδυρομένους, μυρίων θανάτων χαλεπώ-
τερα πάσχοντας, καὶ ἀδίκως πολλάκις, φειδόμεθα [p]τῶν χρημά-
B των, καὶ ἀφειδοῦμεν τῶν ἀδελφῶν· τῶν ἀψύχων [q]μὲν κηδό-
μεθα, ψυχῆς δὲ ἀμελοῦμεν. Καίτοιγε Παῦλός [r]φησιν, [22] "Ἐν
πραότητι παιδεύειν τοὺς ἀντιδιατιθεμένους, μήποτε δῷ αὐτοῖς ὁ
θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν τῆς ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ
τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκεί-
νου θέλημα." "Μήποτε," φησίν· ὁρᾷς πόσης μακροθυμίας τὸ
ῥῆμα γέμει; Τοῦτον καὶ ἡμεῖς μιμούμενοι, [s]μηδένα ἀπελπίζω-
C μεν. Καὶ [t]γὰρ οἱ ἁλιεῖς, πολλάκις [v]βαλόντες, οὐκ ἐπέτυχον,
ὕστερον δὲ βαλόντες, τὸ πᾶν ἀπέλαβον. Οὕτω καὶ [w]ἡμεῖς
προσδοκῶμεν ὅτι ἀθρόον [x]δείξετε ἡμῖν καρπὸν ὥριμον. Καὶ
γὰρ ὁ [y]γηπόνος ἐπειδὰν σπείρῃ, καὶ τὴν πρώτην ἡμέραν καὶ
τὴν δευτέραν ἀναμένει, καὶ πολὺν χρόνον ἐκδέχεται· [z]καὶ ἀθρόον
πάντοθεν ὁρᾷ τοὺς καρποὺς βλαστάνοντας. Τοῦτο καὶ ἐφ'
[a]ὑμῶν ἔσεσθαι προσδοκῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυ-
ρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ
πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

21 Amos vi. 6. Prov. xxiv. 11. 22 2 Tim. ii. 25, 26.

[f] ἐφηδομένους R. [g] οὐδὲν om. R. [h] φησὶν] ἀλλαχοῦ K.Q. Statim ἐκπριῶ iidem. [i] τὰ om. A. Post ἀπαγόμενοι add. ἀλλ' εἶπεν ἁπλῶς, ἐκπριῶ (ἐκπρίου Sav. cet.) ὅστις ἂν ᾖ, φησὶ K.Q. Sav. cet. [k] φίλῳ R. [l] οὐ om. A. Post πάντως add. μόνον K.Q. [m] τὸν ἀγνῶτα A. Veron. τὸν ἄγνωστον R. Statim οὕτως A. [n] μὴ] καὶ ὁ μέν φησι, μὴ K.Q. Sav. cet. [o] χρημάτων] τουτέστι, χρ. K.Q. Statim ἀλλὰ κἂν K.O.Q. Sav. cet. [p] τῶν om. R. ἀμελοῦμεν pro ἀφειδοῦμεν idem. [q] μὲν] δὲ A.N.R. [r] φησιν] κελεύει K.Q. Sav. cet. Post μήποτε add. φησὶ iidem. [s] μηδὲν R. Statim ἀφελπ. O. [t] γὰρ om. A. [v] βαλόντες] τὸ ἄγκιστρον ῥίψαντες εἰς τὴν θάλασσαν (θάλατταν Sav. cet.) K.Q. Sav. cet. βάλλοντες bis A. [w] ἡμεῖς] + οὐκ ἀπελπίζομεν, ἀλλὰ K.Q. Sav. cet. [x] δείξεται N.O.R. Mut. Mox καρπὸς ὥριμος ex corr. O. [y] γεηπόνος A. [z] καὶ] εἶτα K.Q. Sav. cet. [a] ἡμῶν A.N. R. Veron. Mut.

Digitized by Google

ΛΟΓΟΣ ΙΑ.

[1] Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ θεὸς, ἐπεὶ κατ' οὐδενὸς 111
[a] εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, λέγων· Ἦ μὴν
εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε. Καὶ [b] οὕτω
μακροθυμήσας, ἐπέτυχε τῆς ἐπαγγελίας. Ἄνθρωποι μὲν γὰρ
κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας
πέρας εἰς βεβαίωσιν ὁ ὅρκος.

ΚΑΘΑΨΑΜΕΝΟΣ [c] γενναίως τῶν Ἑβραίων, καὶ φοβή- B
σας αὐτοὺς ἱκανῶς, πρῶτον μὲν τοῖς ἐγκωμίοις παραμυθεῖται,
δεύτερον δὲ, ὃ [d] καὶ ἰσχυρότερόν [e] ἐστι, τῷ πάντως [f] ἐπιτεύ-
ξεσθαι αὐτοὺς τῶν ἐλπιζομένων. Καὶ τὴν παράκλησιν οὐκ ἀπὸ
τῶν [g] μελλόντων ποιεῖται, ἀλλὰ πάλιν ἀπὸ τῶν παρελθόντων·
ὃ δὴ μᾶλλον αὐτοὺς ἔπειθεν. Ὥσπερ γὰρ ἐν τῇ κολάσει δι'
ἐκείνων μᾶλλον φοβεῖ, οὕτω καὶ [h] ἐν τοῖς ἐπάθλοις διὰ τούτων
παρακαλεῖ, τὸ τοῦ θεοῦ δεικνὺς ἔθος· τοῦτο δέ ἐστι, τὸ μὴ
ταχέως ἐπάγειν τὰ ἐπηγγελμένα, ἀλλὰ διὰ μακροῦ τοῦ χρό-
νου. Ποιεῖ δὲ τοῦτο, τῆς [i] τε αὐτοῦ δυνάμεως μέγιστον τεκμή- C
ριον ἐκφέρων, καὶ ἡμᾶς εἰς πίστιν ἐνάγων, ἵνα οἱ ἐν [k] θλίψει
ζῶντες, καὶ τὰς ἐπαγγελίας μὴ λαμβάνοντες μηδὲ τοὺς μισθοὺς,
μὴ ἀπαγορεύωσι πρὸς τοὺς καμάτους. Καὶ πάντας [l] ἀφιεὶς,
καίτοιγε ἔχων πολλοὺς [m] εἰπεῖν, τὸν Ἀβραὰμ εἰς μέσον ἤγαγε,
διά τε τὸ ἀξίωμα τοῦ προσώπου, καὶ διὰ τὸ μάλιστα ἐπ' αὐτοῦ
τοῦτο συμβεβηκέναι. Καίτοιγε ἐν τῷ τέλει τῆς ἐπιστολῆς
φησιν, ὅτι [2] "Οὗτοι πάντες πόρρωθεν [n] αὐτὰς ἰδόντες καὶ
ἀσπασάμενοι, οὐκ ἐκομίσαντο τὰς ἐπαγγελίας, ἵνα μὴ χωρὶς
ἡμῶν τελειωθῶσι." "Τῷ γὰρ Ἀβραὰμ, [o] φησὶν, ἐπαγγειλά-
μενος ὁ θεὸς, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε
καθ' ἑαυτοῦ, λέγων· ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύ- D
νων πληθυνῶ σε. Καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγ-
γελίας." [p] Πῶς οὖν ἐν τῷ τέλει φησὶν, ὅτι οὐκ ἐκομίσατο τὰς

1 Cap. VI. v. 13—15. 2 Hebr. xi. 13, 39, 40.

Hom. XI. [a] εἶχε μείζονος pro μείζονος εἶχε K.N.O.Q.R. Cat. Supp. [b] οὕτως K.N. Cat. Supp. οὗτος Q. [c] [γενναίως] Sav. γενναίως om. K.Q. [d] καὶ om. A. Statim ἰσχυρὸν K.O.Q.R. [e] ἐστι] + ἐλπίδας αὐτοῖς προσαφίησι K.Q. Statim τὸ πάντως A.K.O.Q. Supp. [f] ἐπιτεύξασθαι A.R. Supp. αὐτοὺς om. K.Q. [g] μελλόντων] Sic K.N.O.Q.R. Supp. Mut. ἐνεστώτων Edd. Mox ἀλλ' ἀπὸ (om. πάλιν) R. [h] ἐν] ἐπὶ R. [i] τε αὐτοῦ] ἑαυτοῦ R. [k] θλίψεσι K.O.Q.R. Mut. Mox ἀπαγορεύσωσι K.O.Q. Supp. [l] ἀφεὶς Q. Supp. et ex corr. O. [m] εἶπεν A. Veron. Post μέσον add. οὖν iidem. [n] αὐτὰς] μὲν R. [o] φησὶν om. K.Q. Mox εἶχε μ. pro μ. εἶχε K.O.Q.R. [p] Haec πῶς οὖν—ἐπέτυχε τῆς ἐπαγγελίας desunt in A.K.O.Q.R. Mut. Veron. Leguntur in marg. N. Sav. cet.

Digitized by Google

ἐπαγγελίας· ἐνταῦθα δὲ, ὅτι "μακροθυμήσας ἐπέτυχε τῆς
ἐπαγγελίας;" πῶς [q]οὐκ ἔλαβε; πῶς ἐπέτυχεν; Οὐ περὶ [r]τῶν
αὐτῶν [s]ἐνταῦθά φησι κἀκεῖ, [t]ἀλλὰ διπλῆν ποιεῖται τὴν παρά-
κλησιν. Ἐπηγγείλατο τῷ Ἀβραάμ· καὶ τὰ μὲν [v]ἐνταῦθα
112 μετὰ μακρὸν χρόνον ἔδωκε, τὰ δὲ ἐκεῖ, οὐδέπω· "καὶ οὕτω
μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας." Ὁρᾷς ὅτι οὐχ ἡ
ἐπαγγελία μόνη τὸ πᾶν εἰργάσατο, ἀλλὰ καὶ ἡ μακροθυμία;
Ἐνταῦθα φοβεῖ αὐτοὺς, δεικνὺς ὅτι πολλάκις [w]ἐγκόπτεται
ἐπαγγελία δι' ὀλιγοψυχίαν. Καὶ τοῦτο ἔδειξε [x]μὲν διὰ τοῦ (491)
λαοῦ· ἐπειδὴ γὰρ ὠλιγοψύχησαν, διὰ τοῦτο τῆς ἐπαγγελίας
[y]οὐκ ἔτυχον· τὸ δὲ ἐναντίον δείκνυσι διὰ τοῦ Ἀβραάμ. Εἶτα
πρὸς τῷ τέλει καὶ πλεῖόν τι ποιεῖ· [z]ὅτι καὶ μακροθυμήσαντες
[a]οὐκ ἔτυχον, καὶ οὐδὲ οὕτως ἀσχάλλουσιν.

"Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πά-
B σης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν [b]ὁ ὅρκος· ὁ δὲ θεὸς,
ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ."
Καλῶς. Τίς οὖν ἐστιν ὁ ὀμόσας τῷ Ἀβραάμ; οὐχὶ [c]ὁ υἱός;
Οὗ, φησί. Μάλιστα [d]μὲν αὐτός· ἀλλ' οὐκ ἀμφισβητῶ. Ὅταν
οὖν αὐτὸς ὀμνύῃ, "Ἀμὴν ἀμὴν λέγω ὑμῖν," [e]τὸν αὐτὸν ὅρκον,
οὐ δῆλον ὅτι ἐκ τοῦ μὴ ἔχειν κατὰ μείζονος [f]ὀμόσαι; Ὥσπερ
γὰρ ὁ πατὴρ [g]ὤμοσεν, οὕτω καὶ ὁ υἱὸς ὀμνύει καθ' ἑαυτοῦ,
λέγων, "Ἀμὴν ἀμὴν λέγω ὑμῖν." Ἐνταῦθα [h]αὐτοὺς ἀναμιμνή-
σκει [i]καὶ τῶν ὅρκων [k]τῶν τοῦ Χριστοῦ, ὧν συνεχῶς ἔλεγεν,
C [3]"Ἀμὴν ἀμὴν λέγω [l]σοι, ὁ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ
εἰς τὸν αἰῶνα." Τί ἐστι, "Καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας
εἰς βεβαίωσιν [m]ὁ ὅρκος;" Ἀντὶ τοῦ, ἐκ τούτου λύεται πάσης
ἀντιλογίας ἀμφισβήτησις· οὐ τῆσδε ἢ τῆσδε, ἀλλὰ πάσης.
Ἔδει μὲν οὖν καὶ χωρὶς ὅρκου πιστεύεσθαι τὸν θεόν. [4]"Ἐν ᾧ

[3] Joan. xi. 26. [4] v. 17.

[q] οὐκ] οὖν N. et ex corr. O. καὶ οὐκ K.Q. Mox πῶς καὶ ἐπέτ. K.Q. Sav. cet. καὶ eras. ut videtur, in R. [r] τῶν om. R. [s] ἐντ. φησι] φησὶν ἐντ. O.R. Cat. ἐντ. λέγει Supp. ἐνταῦθα—ἀλλὰ] φησὶν, ἀλλὰ τὰ μὲν ἐντ. τὰ δὲ ἐκεῖ K. Q. [t] ἀλλὰ] + καὶ N.O. Sav. cet. invitis Cat. Supp. [v] ἔνθαδε K.O.Q.R. Cat. Mox μακρὸν τὸν χρ. K.O.Q. [w] ἐκκόπτεται K.O.Q. Cat. [x] μὲν] + καὶ K. Mox ὀλιγόψυχοι ἦσαν pro ὠλιγοψύχησαν R. [y] οὐκ ἔτυχον] Sic nostri omnes. ἐπέτυχον οὐδαμῶς Veron. Sav. Mor. οὐκ ἔτυχον οὐδαμῶς Ben. [z] ὅτι] δείκνυσι γὰρ ὅτι Q. Sav. cet. Proximum καὶ om. R. [a] οὐκ] τινες οὐκ Q. Statim ἔτυχον A.K.N.O.Q. Cat. Supp. ἐπέτυχον Edd. [b] ὁ om. A. Veron. Mox εἶχε μ. pro μ. εἶχε K.O.Q.R. Cat. [c] ὁ υἱός; οὗ, φ.] ὁ θεὸς, φ. R. Post φησὶ add. πόθεν τοῦτο λέγεις; K.Q. Sav. cet. [d] μὲν] + οὖν R. + γὰρ K.Q. Sav. cet. Mox πλὴν pro ἀλλ' K.O.Q.R. Cat. Sav. cet. [e] τὸν αὐτὸν ὅρκον post ὀμνύῃ transp. K.Q. Sav. cet. [f] ὀμνύει K.Q. [g] ὤμνυσιν O. ὄμνυσιν K.Q. Cat. Mut. [h] αὐτὸς A. Veron. Statim ἀναμιμνήσκων K. [i] καὶ] ἐκείνων K.Q. Sav. cet. καὶ om. R. [k] τῶν om. A.R. Supp. Veron. [l] σοι] ὑμῖν K.N.O.Q. Cat. Statim ὅτι ὁ π. O. [m] ὁ om. A. Cat. Veron.

Digitized by Google

περισσότερον βουλόμενος ὁ θεὸς, [n] φησὶν, ἐπιδεῖξαι τοῖς κλη-
ρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ,
[o] ἐμεσίτευσεν ὅρκῳ." Ἐνταῦθα [p] καὶ τοὺς πιστοὺς περιλαμβά-
νει· διὰ τοῦτο καὶ ταύτης μέμνηται τῆς ἐπαγγελίας τῆς πρὸς D
ἡμᾶς κοινῶς γενομένης. "Ἐμεσίτευσε, [q] φησὶν, ὅρκῳ." Πάλιν
ἐνταῦθα τὸν υἱόν φησι μεταξὺ ἀνθρώπων καὶ θεοῦ μεσίτην γε-
γονέναι. [5] "Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύ-
νατον ψεύσασθαι [r] τὸν θεόν." Ποίου καὶ ποίου; Τοῦ τε εἰπεῖν
καὶ ὑποσχέσθαι, τοῦ τε ὅρκον προσθεῖναι τῇ ὑποσχέσει. Ἐπειδὴ
γὰρ παρὰ ἀνθρώποις τοῦτο δοκεῖ πιστότερον εἶναι τὸ τοῦ ὅρ-
κου, διὰ τοῦτο καὶ αὐτὸ προσέθηκεν. Ὁρᾷς ὅτι οὐ τὴν ἀξίαν
τὴν ἑαυτοῦ σκοπεῖ, ἀλλ' ὅπως τοὺς ἀνθρώπους πείσῃ, καὶ 113
ἀνάξια [s] περὶ ἑαυτοῦ ἀνέχεται [t] λέγεσθαι; Τουτέστι, πληρο-
φορῆσαι θέλων. Καὶ ἐπὶ [v] μὲν τοῦ Ἀβραὰμ δείκνυσι τοῦ θεοῦ
ὂν τὸ πᾶν, οὐ τῆς μακροθυμίας ἐκείνου, εἴγε καὶ ὅρκον ἠνέσχετο
προσθεῖναι, [w] εἰ καθ' οὗ ὀμνύουσιν ἄνθρωποι, καὶ ὁ θεὸς κατ'
[x] αὐτοῦ ὤμοσε, τουτέστι, καθ' ἑαυτοῦ. Ἀλλ' ἐκεῖνοι μὲν ὡς
μείζονος, οὗτος δὲ οὐχ ὡς μείζονος· καὶ ὅμως ἐποίησεν. Οὐ
γὰρ ἴσον, ἄνθρωπον [y] καθ' ἑαυτοῦ ὀμόσαι καὶ θεόν· [z] ὁ γὰρ
ἄνθρωπος ἐξουσίαν ἑαυτοῦ οὐκ ἔχει. Ὁρᾷς τοίνυν ὅτι οὐ πρὸς
τὸν Ἀβραὰμ μᾶλλον ἢ πρὸς ἡμᾶς τοῦτο εἴρηται. "[a] Ἰσχυ-
ρὰν, φησὶ, παράκλησιν [b] ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς B
προκειμένης ἐλπίδος." [c] Καὶ ἐνταῦθα πάλιν μακροθυμήσας ἐπέ-
τυχε τῆς ἐπαγγελίας. Νῦν, φησί· καὶ οὐκ εἶπεν, ἐπειδὴ ὤμο-
σεν. Ὅρκος δὲ [d] τί ἐστιν, ἐδήλωσεν εἰπὼν τὸ, κατὰ [e] τοῦ μεί-
ζονος ὀμόσαι. [f] Ἀλλ' ἐπειδὴ ἄπιστόν ἐστι τὸ τῶν ἀνθρώπων
γένος, συγκάτεισιν εἰς τὰ αὐτὰ ἡμῖν. Ὥσπερ οὖν ὄμνυσι δι'
ἡμᾶς, καίτοι ἀνάξιον αὐτοῦ τὸ μὴ πιστεύεσθαι· οὕτω καὶ τὸ,
"Ἔμαθεν ἐξ ὧν ἔπαθεν," [g] εἴρηκεν, ἐπειδὴ οἱ ἄνθρωποι τοῦτο

[5] v. 18.

[n] φησὶν om. K.Q.R. Mut. Statim ἐπιδείξασθαι R. [o] ἐμεσ. ὅρκῳ om. K.Q. [p] καὶ om. K. Mox μεμν. τῆς ἐπ. pro τῆς ἐπ. μεμν. A.K.N.O.Q. Cat. Supp. [q] φησὶν om. K.Q.R. Mox ἐντ. πάλιν pro πάλιν ἐντ. K.Q. [r] τὸν om. K.O.Q. [s] περὶ] τινα K.Q. Statim αὐτοῦ R. [t] λέγεσθαι] + ἐν οἷς ἀδύνατον ψεύσασθαι θεὸν K.Q. Supp. [v] [μὲν] Sav. μὲν om. K.Q. [w] εἰ (εἰ om. R. Mut.) καθ' οὗ (καθῶς Cat.)—καθ' ἑαυτοῦ] καὶ ἄνθρωποι μὲν κατά τινος ὀμνύουσιν· ὁ δὲ θεὸς καθ' ἑαυτοῦ K.Q. invitis Cat. Supp. [x] αὐτὸ R. [y] καθ' ἑαυτοῦ om. K.Q. [z] ὁ] καὶ olim O. Mox ἑαυτοῦ ἐξουσίαν hoc ord. K.O.Q. Cat. [a] ἰσχυροτέραν R. et a pr. m. O. φησὶ om. K.Q. [b] ἔχομεν A.N.R. Veron. Statim καταφεύγοντες K.Q. et a pr. m. O. [c] καὶ—νῦν, φ.] ἄνω εἰπὼν, μακροθ. ἐπέτ. τῆς ἐπ. νῦν φησιν (+ ὅτι Q.) ἰσχυρὰν π. ἔχομεν K.Q. [d] τί] Sic K.O. Cat. Supp. et ex corr. N.Q. τίς Edd. Post ἐστιν add. ἢ ὅτι R. [e] τοῦ om. R. [f] ἀλλ'] καὶ K. Supp. [g] εἴρηται O.Q. Cat. Supp. Mut. Mox εἶναι om. R. Supp.

Digitized by Google

νομίζουσι μᾶλλον εἶναι ἀξιοπιστότερον, τὸ διὰ [h] τῆς πείρας
C ἐλθεῖν. Τί ἐστι, "τῆς προκειμένης ἐλπίδος;" Ἀπὸ τούτων [i] τὰ
μέλλοντα, φησὶ, στοχαζόμεθα· εἰ γὰρ ταῦτα μετὰ τοσοῦτον
ἐξέβη χρόνον, [k] πάντως κἀκεῖνα. Ὥστε τὰ πρὸς τὸν Ἀβραὰμ
γεγενημένα πιστοῦται ἡμᾶς καὶ περὶ τῶν μελλόντων.

[6] "[l] Ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βε-
βαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος·
ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν
Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα." Ἐν τῷ
κόσμῳ ἔτι ὄντας, καὶ [m] οὐδέπω μεταστάντας τοῦ βίου, δείκνυ-
σιν ἤδη ὄντας ἐν τοῖς ἐπηγγελμένοις· διὰ γὰρ τῆς ἐλπίδος ἤδη
D ἐν τῷ οὐρανῷ ἐσμεν. Εἶπεν, ἀναμείνατε· πάντως γὰρ ἔσται.
Εἶτα πληροφορῶν λέγει· μᾶλλον δὲ, τῇ [n] ἐλπίδι· καὶ οὐκ εἶ-
πεν, ἡμεῖς ἐσμεν ἔνδον, [o] ἀλλ', αὐτὴ εἰσῆλθεν ἔνδον· ὅπερ ἀλη-
θέστερον ἦν καὶ πιθανώτερον. Ὥσπερ [p] γὰρ ἡ ἄγκυρα ἐξαρτη- (492)
θεῖσα τοῦ πλοίου, οὐκ ἀφίησιν αὐτὸ περιφέρεσθαι, κἂν μυρίοι
[q] παρασαλεύωσιν ἄνεμοι, ἀλλ' ἐξαρτηθεῖσα ἑδραῖον ποιεῖ· οὕτω
καὶ [r] ἡ ἐλπίς. Καὶ ὅρα [s] τί σφόδρα ἁρμόδιον εὗρεν εἰκόνα· οὐ
γὰρ εἶπε θεμέλιον, ὅπερ [t] ἀπῆδεν, ἀλλὰ, ἄγκυραν. Τὸ γὰρ ἐν
114 σάλῳ ὄν, [v] καὶ οὐ σφόδρα δοκοῦν ἡδράσθαι, ἐπὶ τῆς ὑγρᾶς, ὡς
ἐπὶ γῆς, ἕστηκε, [w] καὶ σαλεύεται, καὶ οὐ σαλεύεται. Ἐπὶ μὲν
[x] γὰρ τῶν [y] σφόδρα στερρῶν καὶ φιλοσόφων, εἰκότως ἐκεῖνο
τέθεικεν ὁ Χριστὸς λέγων· [7] "Ὅστις ᾠκοδόμησε τὴν οἰκίαν
αὐτοῦ ἐπὶ τὴν πέτραν" ἐπὶ δὲ τῶν ἀπαγορευόντων, καὶ ὀφει-
λόντων διὰ τῆς ἐλπίδος διαβαστάζεσθαι, [z] οἰκείως τοῦτο τέθει-
κεν ὁ Παῦλος. Ἡ μὲν γὰρ ζάλη καὶ ὁ πολὺς χειμὼν σαλεύει
τὸ σκάφος· ἡ δὲ ἐλπὶς οὐκ ἀφίησι περιφέρεσθαι, [a] κἂν μυρίοι
παρασαλεύωσιν ἄνεμοι. Ὥστε εἴγε μὴ ταύτην εἴχομεν, πάλαι
ἂν κατεποντίσθημεν. Οὐκ ἐν τοῖς πνευματικοῖς δὲ μόνον, ἀλλὰ
B καὶ ἐν τοῖς βιωτικοῖς πολλὴν [b] ταύτης εὕροι τις ἂν τὴν ἰσχύν·
οἷον, ἐπὶ ἐμπορίας, ἐπὶ γεωργίας, ἐπὶ στρατείας, [c] ἐὰν μὴ ταύ-

[6] v. 19, 20. [7] Matth. vii. 24.

[h] τῆς om. K.Q. [i] τὰ μ. φ.] φ. τὰ μ. N.R. [k] π. κἀκεῖνα. ὥστε] ὥστε κἀκεῖνα R. [l] ἣν ὡς ἄ. ἔχομεν] ἵν' ὡς ἄ. ἔχωμεν A.R. Veron. [m] μηδέπω μεταναστάντας R. [n] ἐλπίδι] + ἤδη ἐτύχετε K.O.Q. Sav. cet. + ἐκεῖ ἐσμεν Supp. [o] ἀλλ'—ἔνδον om. R. [p] γὰρ] δὲ A.N. Veron. Mox ἐξαρτισθεῖσα bis O.R. [q] παρασαλεύσωσιν olim O. Mox ἐξαρτηθεῖσα om. K.Q. inclusum a Sav. cet. τοῦ πλοίου—ποιεῖ] ἑδραῖον ποιεῖ τὸ σκάφος Supp. [r] ἡ om. R. [s] τί] πῶς K.Q. Sav. cet. [t] ἀπεῖδεν O. [v] καὶ οὐ—ἕστηκε] καὶ ἐπὶ τῆς ὑγρᾶς, οὐ σφόδρα δοκεῖ ἡδράσθαι, οὐδ' ὥσπερ ἐπὶ τῆς γῆς ἕστηκε K.Q. Supp. [w] καὶ] καὶ γὰρ K.Q. ἀλλὰ Supp. καὶ σ. om. A. καὶ οὐ σ. om. K.Q. Supp. [x] γὰρ om. K.Q. [y] σφ. στερρῶν] σφοδροτέρων R. Mox ἤδη τελείων pro φιλοσόφων K.Q. [z] οἰκείως] εἰκότως R. [a] κἂν—ἄνεμοι om. O.R. Cat. Mut. Habet in marg. a 2da m. O. [b] ταύτην R. [c] ἐὰν] + γὰρ K.O.Q. Supp. Sav. cet. Mox τις εὐθ. pro εὐθ. τις K.O.Q.R.

Digitized by Google

την εὐθέως τις [d]πρόθηται, οὐδ' ἂν ἅψαιτο ἔργου. Ἄγκυραν
[e]δὲ οὐχ ἁπλῶς εἶπεν, ἀλλ' ἀσφαλῆ [f]καὶ βεβαίαν, [g]οὐ σαλευ-
ομένην· "Εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος·"
[h]ἀντὶ τοῦ, διϊκνουμένην εἰς τὸν οὐρανόν. Εἶτα καὶ τὴν πίστιν
ἐπήγαγεν, ἵνα μὴ μόνον ἐλπὶς ᾖ, ἀλλὰ καὶ ἀληθὴς σφόδρα.
Μετὰ γὰρ τὸν ὅρκον καὶ [i]ἕτερον τίθησι, τὴν διὰ τῶν πραγμά-
των ἀπόδειξιν, ὅτι πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς. Ὁ C
δὲ πρόδρομος, τινῶν ἐστι πρόδρομος, ὥσπερ Ἰωάννης τοῦ Χρι-
στοῦ. Καὶ οὐκ εἶπεν ἁπλῶς, εἰσῆλθεν, ἀλλ', "[k]Ὅπου πρόδρομος
ὑπὲρ ἡμῶν εἰσῆλθεν," ὡς καὶ ἡμῶν ὀφειλόντων καταλαβεῖν.
Οὐ πολὺ γὰρ τοῦ προδρόμου καὶ τῶν [l]ἑπομένων τὸ μέσον·
ἐπεὶ οὐδ' ἂν εἴη πρόδρομος. Τὸν γὰρ πρόδρομον καὶ τοὺς ἑπο-
μένους ἐν τῇ αὐτῇ [m]χρὴ εἶναι ὁδῷ, [n]καὶ ἐπικαταλαμβάνειν.
"Κατὰ τὴν τάξιν, [o]φησὶ, Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς
τὸν αἰῶνα." Ἰδοὺ καὶ ἄλλη παράκλησις, εἴγε ἄνω ὁ ἀρχιερεὺς
[p]ἡμῶν, καὶ πολὺ βελτίων [q]τῶν παρὰ [r]Ἰουδαίοις, οὐ τῷ τρόπῳ D
μόνον, ἀλλὰ καὶ τῷ τόπῳ, καὶ τῇ σκηνῇ, καὶ τῇ διαθήκῃ, καὶ
τῷ προσώπῳ. Καὶ τοῦτο [s]δὲ εἰς τὸ κατὰ σάρκα εἴρηται.

[t]Χρὴ τοίνυν καὶ τοὺς ὧν ἐστιν ἱερεὺς σφόδρα εἶναι βελτίους·
καὶ ὥσπερ [v]πολὺ τὸ μέσον Ἀαρὼν καὶ τοῦ Χριστοῦ, τοσοῦ-
τον ἡμῶν καὶ [w]Ἰουδαίων τὸ μέσον. Ὅρα γάρ· ἄνω ἔχομεν τὸ
ἱερεῖον, ἄνω τὸν ἱερέα, ἄνω τὴν θυσίαν· [x]τοιαύτας ἀναφέρωμεν
θυσίας, τὰς [y]ἐν ἐκείνῳ δυναμένας προσφέρεσθαι τῷ θυσιαστη-
ρίῳ. Οὐκέτι πρόβατα καὶ [z]βόες, οὐκέτι αἷμα καὶ κνῖσα· [a]πάντα 115
ταῦτα λέλυται, καὶ ἀντεισενήνεκται ἀντὶ τούτων ἡ λογικὴ λα-
τρεία. Τί δέ ἐστιν [b]ἡ λογικὴ λατρεία; Τὰ διὰ ψυχῆς, τὰ
[c]διὰ πνεύματος· [8]"Πνεῦμα, φησὶν, ὁ θεός· καὶ τοὺς προσκυ-

8 Joan. iv. 24.

d προσθεῖται O. Statim οὐκ ἂν R. e δὲ] γὰρ R. f καὶ] τε καὶ Edd. τε om. K.O.Q.R. Supp. g οὐ] καὶ οὐ R. οὐ σαλ.] ἵνα δηλώσῃ τὸ ἀψευδὲς τῶν αὐτῇ ἐπερειδομένων εἰς σωτηρίαν· διὸ ἐπάγει K.Q. Sav. cet. οὐ σαλ. ἵνα δείξῃ τὸ ἀψευδὲς—ἐπάγει Supp. h ἀντὶ] τί ἐστι τοῦτο; ἀντὶ K.Q. Sav. cet. i ἑτέραν A.N. Veron. k ὅπου—εἰσῆλθεν om. R. Post εἰσῆλθεν add. Ἰησοῦς N. l ἑπομένων] + ὀφείλει εἶναι K.Q. Sav. cet. m χρὴ εἶναι] εἶναι χρὴ K.N.Q. n καὶ] + τὸν μὲν ὁδεύειν (προοδεύειν Q. Supp.) τοὺς δὲ K.Q. Supp. Sav. cet. o φησὶ om. R. p ἡμῶν] + ἐστιν R. Statim καὶ om. K.Q. Mox βέλτιον R. q τῶν] τοῦ K.Q.R. Cat. r Ἰουδαίοις] + ἐστὶν R. + ὢν K.Q. Mox μόνῳ R. s δὲ om. R. t ΗΘΙΚΟΝ. Περὶ τοῦ διακονεῖν τοῖς ἁγίοις, καὶ μὴ πολυπραγμονεῖν, τίς ἄξιος, ἀλλὰ διὰ τὸν θεὸν πρὸς πάντας ποιεῖν, κἀκεῖθεν ἐκδέχεσθαι τὰς ἀμοιβάς. Veron. v πολὺ om. R. Cat. et a pr. m. O. w τῶν Ἰουδ. A.K.N.Q. Sav. cet. τοσοῦτον—μέσον] οὕτως εἶναί τι μέσον ἀνάγκη K.Q. x τοιαύτας] οὐκοῦν τοιαύτας K.Q. Sav. cet. Statim καὶ ἀναφ. R. y ἐν om. N.R. z βόες] Sic K.N.O.Q.R. βόης A. βόας Edd. Mox κνίσα K.N.O.Q. κνίσσα A. κνίσαι R. κνίσσαν Edd. a πάντα] + γὰρ R. Mox ἀντεισῆκται N. b ἡ om. Q. Veron. τί δὲ—λατρεία om. A.K. c διὰ πν.] κατὰ πνεῦμα O.R.

Digitized by Google

νοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ [d]χρὴ προσκυνεῖν· ὅσα
μὴ δεῖται σώματος, ὅσα μὴ δεῖται ὀργάνων, μὴ τόπων· [e]ὧν
αὐτός τις ἐστὶν ἱερεύς· οἷον ἐπιείκεια, σωφροσύνη, [f]ἐλεημοσύνη,
ἀνεξικακία, μακροθυμία, ταπεινοφροσύνη. Τὰ θύματα ταῦτα
καὶ ἐν τῇ παλαιᾷ ἴδοι τις [g]ἂν ἄνωθεν προδιατετυπωμένα.
B 9 "Θύσατε, [h]φησὶ, τῷ θεῷ θυσίαν δικαιοσύνης· [i]θύσατε θυσίαν
αἰνέσεως·" καὶ, "Θυσία αἰνέσεως δοξάσει με·" καὶ, "Θυσία τῷ
θεῷ πνεῦμα συντετριμμένον·" [k]καὶ, "Τί κύριος ἐκζητεῖ παρὰ
σοῦ, ἀλλ' ἢ τὸ ἀκούειν αὐτοῦ;" "Ὁλοκαυτώματα καὶ περὶ
ἁμαρτίας οὐκ [l]ηὐδόκησας. Τότε εἶπον, ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ
θεὸς, τὸ θέλημά [m]σου·" καὶ πάλιν, "Ἵνα. τί μοι λίβανον ἐκ
Σαβὰ [n]φέρετε;" "Ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ
[o]ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι·" ἀλλ' ἀντὶ τούτων,
"Ἔλεον θέλω, καὶ οὐ θυσίαν." Ὁρᾷς οἵαις θυσίαις εὐαρεστεῖ-
ται ὁ θεός; ὁρᾷς καὶ ἄνωθεν ἤδη τὰς μὲν [p]ἐκκεχωρηκυίας, τὰς
δὲ ἀντεισελθούσας; Ταύτας τοίνυν προσάγωμεν. Ἐκεῖναι μὲν
C γὰρ πλούτου καὶ τῶν ἐχόντων εἰσὶν, αὗται δὲ ἀρετῆς· ἐκεῖναι
ἔξωθεν, αὗται ἔνδοθεν· ἐκείνας καὶ ὁ τυχὼν ἐργάσασθαι [q]δύναιτ'
ἂν, ταύτας δὲ ὀλίγοι. Ὅσῳ [r]γὰρ προβάτου κρείττων ὁ ἄνθρω-
πος, τοσούτῳ αὕτη ἐκείνης ἡ θυσία· ἐνταῦθα γὰρ τὴν ψυχήν (493)
σου ἀναφέρεις θῦμα. Ἔστι [s]δὲ καὶ ἄλλα θύματα, τὰ ὄντως
ὁλοκαυτώματα, [t]τὰ τῶν μαρτύρων σώματα·" [v]ἐκεῖ καὶ ψυχὴ
καὶ σῶμα· ἐκεῖνα ὀσμὴν εὐωδίας ἔχει μεγάλην. Δύνασαι καὶ σὺ,
ἐὰν [w]θέλῃς, τοιαύτην θυσίαν ἀναγαγεῖν. Τί γὰρ, ἐὰν μὴ τῷ
πυρὶ καύσῃς [x]τὸ σῶμα; ἀλλ' ἑτέρῳ πυρὶ δύνασαι· οἷον, τῷ τῆς
D πενίας τῆς ἑκουσίου, τῷ τῆς θλίψεως. Τὸ [y]γὰρ ἐξεῖναι μετὰ
τρυφῆς καὶ πολυτελείας διάγειν, τὸν δὲ ἐπίμοχθον καὶ [z]κατά-
πικρον ἀναιρεῖσθαι βίον, καὶ τὸ σῶμα νεκροῦν, οὐχὶ ὁλοκαύτω-

9 Psal. iv. 6. cvi. 22. xlix. 23. l. 19. Mich. vi. 8. Psal. xxxix. 7, 8. (coll. l. 18.) Jer. vi. 20. Amos. v. 23. Osee vi. 6.

[d] χρὴ] δεῖ K.O.Q. [e] ὧν—ἱερεὺς] Sic O. τις om. N. ἀλλ' ὧν αὐτός ἐστιν ἱ. R. ὧν αὐτός· τί ἐστιν ἱερεῖα; (ἱερεῖς A.) A. Veron. τὰ δέ ἐστιν K.Q. Sav. cet. [f] ἐλεημοσύνη et μακροθυμία om. R. [g] ἂν om. R. [h] φησὶ] γὰρ, φησὶ N. γὰρ, φησὶν ὁ Δαυὶδ K.Q. Sav. cet. [i] θύσατε] καὶ πάλιν, θύσω σοι K.Q. Sav. cet. [k] καὶ—αὐτοῦ om. K.Q. inclusum a Sav. Post αὐτοῦ add. καὶ ἀγαπᾶν αὐτὸν R. [l] εὐδόκησας O. ἐζήτησας K.Q. [m] σου] + καὶ ἄλλο τι κύριος ἐκζητεῖ π. σ. ἀλλ' ἢ τὸ ἀ. αὐτοῦ K.Q. [n] φέρῃς ex φέρεις O. Post φέρετε add. καὶ ἕτερος K.Q. Sav. cet. [o] ψαλμῶν N. Mox ἀλλ' ἀντὶ τούτων om. K.Q. [p] ἐκκεχοινυίας ex corr. A. [q] δύναιτ' ἂν] δύναται A.N. δύνατ' ἂν (sic) R (?) Veron. [r] γὰρ] δὲ A.K.N. Sav. cet. Statim κρεῖττον A. ἄνθρωπος sine artic. K.O. [s] δὲ om. R. Veron. Mox θύμα N. Proximum τὰ om. R. Veron. [t] τὰ om. A. Statim τῶν ἁγίων μ. A.N. Sav. cet. Mox τὰ σώματα A.N. [v] ἐκεῖ] + ἅγια K.Q. Sav. cet. ἐκεῖ—σῶμα om. O.R. invito Mut. [w] θελήσῃς O. Mox ἀγαγεῖν K.Q. [x] τὸ om. R. [y] γὰρ] + μὴ Q. [z] πικρὸν A.N.R. Veron. Statim αἱρεῖσθαι K.N.O.Q. Ben. *eligatur* Mut.

σίς ἐστι; Νέκρωσόν σου τὸ σῶμα καὶ σταύρωσον, καὶ λήψῃ καὶ αὐτὸς τοῦ μαρτυρίου [a]τούτου τὸν στέφανον. Ὅπερ [b]γὰρ ἐκεῖ τὸ ξίφος ἐργάζεται, τοῦτο ἐνταῦθα ἡ προθυμία [c]ποιείτω. Μὴ καιέτω, μηδὲ κατεχέτω χρημάτων ἔρως, ἀλλὰ κατακαιέσθω καὶ [d]σβεννύσθω ἡ ἐπιθυμία αὕτη ἡ ἄτοπος τῷ πυρὶ τοῦ πνεύματος, [e]κατακοπτέσθω τῇ μαχαίρᾳ τοῦ πνεύματος. Αὕτη [f]θυσία 116
καλὴ, οὐ δεομένη ἱερέως, ἀλλ' αὐτοῦ τοῦ προσφέροντος [g]αὐτήν· αὕτη θυσία καλὴ, κάτω μὲν ἐπιτελουμένη, [h]ἄνω δὲ εὐθέως ἀναλαμβανομένη. Οὐχὶ θαυμάζομεν ὅτι τὸ παλαιὸν πῦρ κατιὸν [i]ἅπαντα ἀνήλισκεν; Ἔξεστι καὶ νῦν πῦρ κατελθεῖν πολὺ [k]θαυμαστότερον ἐκείνου, καὶ πάντα ἀναλῶσαι τὰ προκείμενα· μᾶλλον δὲ [l]οὐκ ἀναλῶσαι, ἀλλ' ἀναγαγεῖν εἰς τὸν οὐρανόν· οὐ γὰρ τέφραν αὐτὰ ποιεῖ, ἀλλὰ δῶρα προσφέρει τῷ θεῷ. Τοιαῦται [m]ἦσαν αἱ τοῦ Κορνηλίου [n]προσφοραί· [10] "Αἱ [o]εὐχαί σου γὰρ, φησὶ, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἔμπρο- B
σθεν τοῦ θεοῦ." Ὁρᾷς [p]συζυγίαν ἀρίστην; Τότε ἀκουόμεθα, ὅταν καὶ αὐτοὶ ἀκούωμεν τῶν προσιόντων πενήτων. [11] "[q]Ὃς ἀποφράσσει, φησὶ, τὰ ὦτα αὐτοῦ τοῦ μὴ [q]ἀκοῦσαι πτωχοῦ, τῆς δεήσεως αὐτοῦ οὐκ εἰσακούσεται ὁ θεός." "Μακάριος [r]ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος." [s]Ποία δὲ πονηρὰ, ἀλλ' [t]ἢ ἡ ἡμέρα ἐκείνη, [v]ἡ πονηρὰ τοῖς ἁμαρτωλοῖς; Τί ἐστιν, "ὁ συνιῶν;" Ὁ νοῶν τί ἐστι πένης, ὁ τὴν θλῖψιν αὐτοῦ καταμανθάνων· ὁ γὰρ μαθὼν αὐτοῦ τὴν θλῖψιν, πάντως καὶ εὐθέως αὐτὸν ἐλεήσει. [w]Ὅταν ἴδῃς πένητα, C
μὴ παραδράμῃς, ἀλλ' εὐθέως ἐννόησον [x]τίς ἂν ἦς, εἰ σὺ [y]ἦς ἐκεῖνος· τί οὐκ ἂν ἠθέλησας πάντας ποιεῖν; "Ὁ συνιῶν," φησίν. Ἐννόησον ὅτι [z]ὁμοίως σοι ἐλεύθερός ἐστι, καὶ τῆς αὐτῆς σοι [a]κοινωνεῖ εὐγενείας, καὶ πάντα σοι κοινὰ κέκτηται· [b]καὶ οὐδὲ

10 Act. x. 4. 11 Prov. xxi. 13. Psal. xl. 2.

[a] τούτου om. R. [b] [γὰρ] Sav. γὰρ om. K.Q. [c] ποιεῖται R. [d] σβεννύσθω A.N.O.R. κατασβεννύσθω Edd. καὶ σβ. om. K.Q. [e] κατακ.] καὶ κατακ. N.O. Sav. cet. κατακ. τῇ μ. τοῦ πν. om. K.Q.R. [f] θυσία] ἡ θ. R. [g] αὐτὴν om. R. Mut. Statim αὕτη assumtum ex K.O.Q. Mut. αὕτη ἡ θ. R. οὐ δεομένη—καλὴ om. A. Veron. [h] ἄνωθεν a pr. m. O. [i] πάντα O. [k] θαυμασιώτερον R. [l] οὐκ—τέφραν (τέφρα A.) om. R. [m] εἰσὶν R. [n] προσευχαὶ A.N. Veron. et ex corr. O. [o] προσευχαὶ K.O.Q. Sav. cet. Statim γὰρ om. R. Mox ἐνώπιον pro ἔμπροσθεν K.O.Q.R. Sav. cet. [p] συζυγίαν] θυσίαν R. [q] εἰσακοῦσαι R. Statim πτωχοῦ τῆς δεήσεως, καὶ αὐτοῦ K.Q. [r] ὁ] γὰρ ὁ R. [s] ποία (ποίᾳ N.) δὲ πονηρὰ (πονηρᾷ N.)] οὐκ ἄλλη δὲ αὕτη ἐστὶν K.Q. Sav. cet. [t] ἢ om. O. [v] ἡ πονηρὰ τοῖς ἁ.] Sic O. ἡ τοῖς ἁ. R. τοῖς ἁ. A.N. Veron. ἣ πονηρὰ γίνεται τοῖς ἁ. K.Q. Sav. cet. [w] ὅταν] + δὲ R. [x] τίς ἂν ἦς om. K.Q. [y] ἦς] + ὡς R. Post πάντας add. σοι idem. [z] ὅμοιος A. Floril. p. 366 (Tom. xii. p. 596 B.) [a] κ. εὐγενείας] κ. συγγενείας O.R. κοινωνίας A. Veron. Flor. [b] καὶ—κορέννυνται] ἀλλὰ τοῦτον τὸν οὐδὲν ἔλαττον ἔχοντά σου, οὐδὲ τῶν κ. π. τῶν σῶν ἴσον ποιεῖς. οἱ μὲν γὰρ ἄρτου κορέννυνται K.Q. Sav. cet.

Digitized by Google

τῶν κυνῶν πολλάκις ἴσος ἐστὶ τῶν σῶν· ἀλλ' οἱ μὲν κορέννυν-
ται, οὗτος δὲ πολλάκις ἐκοιμήθη πεινῶν· καὶ [c]τῶν δούλων τῶν
D [d]σῶν ὁ ἐλεύθερος ἀτιμότερος γέγονεν. Ἀλλ' ἐκεῖνοί [e]σοι χρείαν
πληροῦσι. Ποίαν δὴ [f]ταύτην; δουλεύουσί σοι καλῶς; Ἐὰν οὖν
δείξω καὶ τοῦτον [g]χρείαν σοι πληροῦντα πολλῷ μείζονα ἐκεί-
νων; παραστήσεται [h]γάρ σοι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ
ἐξαιρήσεταί σε τοῦ πυρός. Τί τοιοῦτον οἱ δοῦλοι [i]πάντες
ποιοῦσιν; [k]Ὅτε ἡ Ταβιθὰ ἐτελεύτησε, [l]τίς ἀνέστησεν αὐτήν;
δοῦλοι περιστάντες, ἢ πτωχοί; Σὺ δὲ οὐδὲ [m]τῶν δούλων τὸν
ἐλεύθερον ἐν ἴσῳ ποιεῖν ἐθέλεις. Πολύς ἐστιν ὁ κρυμὸς, καὶ [n]ἔρ-
ριπται ῥάκια ἔχων ὁ πένης, ἀποτεθνηκὼς, κροτῶν τοὺς ὀδόντας,
καὶ τῇ ὄψει καὶ τῷ σχήματι ἱκανὸς παρακαλέσαι· σὺ δὲ [o]θερ-
μαινόμενος καὶ μεθύων παρέρχῃ· καὶ πῶς ἀξιοῖς τὸν θεὸν ἐν
117 συμφορᾷ σε ὄντα ἐξελέσθαι; Πολλάκις δὲ καὶ τοῦτο λέγεις·
ἐγὼ εἰ ἤμην, καὶ ἔλαβον πολλὰ ἁμαρτόντα τινὰ, ἀφῆκα ἂν
[p]αὐτὸν, καὶ ὁ θεὸς οὐκ ἀφίησι; Μὴ τοῦτο [q]εἴπῃς· τὸν οὐδὲν
[r]ἁμαρτόντα εἰς σὲ, ὃν δύνασαι ἀπαλλάξαι, τοῦτον περιορᾷς·
[s]πῶς σὲ τὸν ἁμαρτάνοντα εἰς αὐτὸν ἀφήσει; Ἆρα οὐχὶ γεέν-
νης ἄξια ταῦτα; Καὶ [t]τί θαυμαστόν; Σῶμα μὲν πολλάκις
νεκρὸν, [v]ἀναίσθητον, οὐκέτι τῆς τιμῆς αἰσθανόμενον, [w]μυρίοις
καὶ ποικίλοις καὶ διαχρύσοις ἱματίοις περιστέλλεις· [x]τὸ δὲ
B ἀλγοῦν καὶ κοπτόμενον καὶ βασανιζόμενον καὶ κατατεινόμενον
ὑπὸ λιμοῦ [y]καὶ κρυμοῦ περιορᾷς, καὶ πλέον τῇ κενοδοξίᾳ χα-
ρίζῃ, ἢ τῷ φόβῳ τοῦ θεοῦ. Καὶ [z]εἴθε μέχρι τούτου· ἀλλ'
εὐθέως κατηγορίαι κατὰ τοῦ προσιόντος· τί γὰρ οὐκ ἐργάζε-
ται, φησί; τί δὲ ἀργῶν τρέφεται; Εἰπέ μοι, σὺ [a]δὲ ἐργα-
ζόμενος ἔχεις ἃ ἔχεις, οὐχὶ κλῆρον πατρῷον παραλαβών; εἰ δὲ
καὶ ἐργάζῃ, διὰ τοῦτο [b]ὀνειδίζεις ἑτέρῳ; Οὐκ ἀκούεις Παύλου

[c] τῶν om. K.N.O.Q. Sav. cet. [d] σῶν] + πολλάκις R. Statim ἀτιμότερος ὁ ἐλ. hoc ord. K.O.Q. [e] σοι] ἡμῖν K.Q. Sav. cet. Post πληροῦσι add. φησὶ iidem. [f] ταύτην] + εἰπέ μοι ὅτι iidem. [g] χρ. σοι] σοι χρ. O. σοι om. R. Post ἐκείνων add. τί ἐρεῖς K.Q. Sav. cet. [h] γάρ σοι] σοι γὰρ O. σοι om. K. Mox ἐξαιρεῖται R. [i] π. ποιοῦσιν pro ποιοῦσι π. K.N.O.Q.R. [k] ὅτι A. Mox Ταβηθὰ K.Q.R. [l] τίς] τί K. Statim αὐτὴν ἀν. pro ἀν. αὐτὴν K.O.Q.K. [m] τῶν δ.] τὰ δ. K.Q. et ex corr. O. δούλου R. Mox ἐν om. R. [n] ἔρριπται] + ἐπ' ἐδάφους K.N.Q. Sav. cet. Post ἀποτεθνηκὼς add. τῷ κρύει K.Q. Sav. cet. [o] μαινόμενος K.Q. [p] αὐτὸν, καὶ ὁ] ὁ δὲ R. [q] εἴπῃς] + καὶ γὰρ (+ καὶ K.Q.) σὺ K.Q. Sav. cet. [r] ἁμαρτάνοντα R. εἰς σὲ om. R. Mut. et in text. O. Statim οὗ pro ὃν A. Veron. [s] πῶς—ἀφήσει] εἰ δὲ τὸν τοιοῦτον σὺ παραλογίζῃ, πῶς ὁ θεὸς εἰς αὐτὸν ἁμ. σε ἀφήσει K.Q. Sav. cet. [t] τί τὸ θ. R. Post θαυμαστὸν add. εἰ τοῦτο ποιεῖς ὃς K.Q. [v] καὶ ἀν. K.Q. Sav. cet. [w] μύροις ex corr. N. [x] τὸ δὲ ἀλγοῦν om. R. Mox κοπτόμενον N.O.R. Flor. κατακοπτ. Edd. καὶ κ. καὶ β. om. K.Q. [y] καὶ κρυμοῦ om. in text. O. [z] εἴγε R. Statim μ. τούτου ἵστανται, καὶ μὴ εὐθ. K.Q. [a] δὲ om. R. [b] ὀνειδίζεις] ὀνειδίζῃ τῷ R. ἐργάζῃ ἵνα ὀνειδίζῃς K.Q.

Digitized by Google

(494) [c]λέγοντος; μετὰ γὰρ τὸ εἰπεῖν, [d]ὅτι [12]"Ὁ μὴ ἐργαζόμενος
μηδὲ ἐσθιέτω," [e]φησὶν, "Ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκα-
κήσητε."

Ἀλλὰ τί φησιν; Ἐπιθέτης ἐστί. Τί [f]λέγεις, ἄνθρωπε;
ἄρτου ἑνὸς ἕνεκεν καὶ ἱματίου ἐπιθέτην καλεῖς; Ἀλλ' εὐθέως C
πωλεῖ [g]αὐτὸ, φησί. Σὺ δὲ [h]πάντα τὰ σαυτοῦ καλῶς διοικεῖς;
Τί δέ; πάντες [i]ἀπὸ ἀργίας πένονται; οὐδεὶς ἀπὸ [k]ναυαγίου;
οὐδεὶς ἀπὸ δικαστηρίων; οὐδεὶς ἀπὸ κλοπῆς; οὐδεὶς ἀπὸ κιν-
δύνων; οὐδεὶς ἀπὸ [l]νόσου; οὐδεὶς ἀπὸ ἄλλης περιστάσεως;
[m]Ἀλλ', ἂν ἀκούσωμέν τινος τοιαῦτα ἀποδυρομένου καὶ [n]με-
γάλα βοῶντος, καὶ γυμνοῦ ἀναβλέποντος εἰς τὸν οὐρανὸν, καὶ
κομῶντος, καὶ ῥάκια ἠμφιεσμένου, εὐθέως τὸν ἐπιθέτην, τὸν
ἀπατεῶνα, τὸν εἴρωνα καλοῦμεν. Οὐκ αἰσχύνῃ; τίνα ἐπιθέτην
[o]καλεῖς; Μηδὲν δῷς, καὶ μὴ κατηγορήσῃς τἀνδρός. Ἀλλ' ἔχει,
φησὶ, καὶ σχηματίζεται. Τοῦτο [p]σοῦ κατηγορία, οὐκ ἐκείνου. D
Οἶδε πρὸς ὠμοὺς ἔχων, πρὸς θηρία μᾶλλον ἢ πρὸς ἀνθρώπους,
καὶ ὅτι κἂν ἐλεεινὸν [q]φθέγξηται ῥῆμα, οὐδένα ἐφέλκεται· καὶ
διὰ τοῦτο ἀναγκάζεται καὶ σχῆμα περιθεῖναι ἑαυτῷ ἐλεεινότε-
ρον, ἵνα σου κατακλάσῃ τὴν ψυχήν. [r]Ἐὰν ἴδωμέν τινα ἐν
ἐλευθερίῳ σχήματι προσιόντα, οὗτος ἐπιθέτης ἐστὶ, φησὶ, καὶ
ἵνα δόξῃ ἀπὸ εὐγενῶν εἶναι, οὕτω πρόσεισιν· [s]ἂν ἴδωμεν ἐν τῷ
ἐναντίῳ σχήματι, [t]καὶ τοῦτον κακίζομεν. Τί [v]πράξουσι λοι-
πόν; Ὢ τῆς ὠμότητος, ὢ τῆς [w]ἀπηνείας. Τίνος ἕνεκεν, φησὶ, 118
τὰ ἠκρωτηριασμένα μέλη [x]γυμνοῦσι; Διὰ σέ· εἰ ἐλεήμονες
ἦμεν, οὐκ [y]ἔδει τούτων αὐτοῖς τῶν τεχνῶν· εἰ ἐκ πρώτης προσό-
δου ἔπειθον, οὐκ ἂν τοσαῦτα ἐμηχανήσαντο. Τίς [z]οὕτως ἐστὶν
ἄθλιος, ὡς ἐθέλειν τοσαῦτα βοᾶν, ὡς ἐθέλειν ἀσχημονεῖν, ὡς
[a]ἐθέλειν ἀποδύρεσθαι δημοσίᾳ μετὰ τῆς γυναικὸς [b]γεγυμνωμέ-

[12] 2 Thess. iii. 10, 13.

[c] λέγοντος] + ὑμεῖς δὲ τὸ κ. π. μὴ ἐκκακήσητε K.Q. Sav. cet. [d] ὅτι om. K.O.Q. Sav. cet. [e] φησὶν—ἐκκακήσητε] τοῦτο ἐπήγαγεν K.Q. Sav. cet. Statim ἀλλ' ἐπιθέτης, φησὶν, ἐστὶ iidem. [f] λέγεις omnes. φῂς Edd. [g] αὐτὸ φ.] αὐτοῦ τὸ ἱμάτιον K.Q. [h] π. τὰ σ. κ.] π. κ. τὰ σ. O. κ. π. τὰ σ. K. [i] ἀπὸ] οἱ ἀπὸ O. [k] νάυαγίου pro ναυαγίων A.K.O.Q.R. Flor. Mut. οὐδεὶς ἀπὸ δικ. om. A. [l] νόσου pro νόσων A.K.N.O.Q. Flor. [m] ἀλλὰ K.N. ἂν om. A. [n] μέγα K.Q. [o] καλεῖν Flor. Mox τἀνδρὸς A. Veron. τοῦ ἀνδρὸς Sav. cet. [p] σοῦ] σὴ O.R. Mox καὶ οὐκ R. [q] φθέγξεται R. Veron. Mox οὐδὲν R. [r] ἐὰν] + δὲ R. Mox τινα ἐν om. R. ἐν om. K. [s] ἂν] ἐὰν K.O.Q.R. Mox ἐν τῷ om. A.N. Veron. [t] καὶ τ.] κἀκεῖνον R. [v] πράξουσι] πράξω σοι R. [w] ἀπονοίας Veron. Statim καὶ τίνος K.Q. Flor. Sav. cet. Mox φησὶ om. K. [x] γυμνοῦσι; διὰ] γυμνοῦ εἰ διὰ (sic) A. γυμνοῦσιν ἢ διὰ R. [y] ἐδεῖτο R. [z] οὕτως ἐστὶν pro ἐστιν οὕτως K.O.Q.R. ὡς—βοᾶν om. Q. [a] θέλειν O.R. δημοσίᾳ om. R. [b] γεγυμνωμένος Q. Statim ὡς μετὰ K.Q. Mox παιδίων R.

Digitized by Google

νης, μετὰ τῶν παίδων σποδὸν καταπάττεσθαι; Πόσης [c]ταῦτα
πενίας χείρονα; Ἀλλ' ὑπὲρ τούτων [d]οὐκ ἐλεοῦνται μόνον, ἀλλὰ
καὶ κατηγοροῦνται παρ' ἡμῶν. Ἔτι οὖν [e]ἀγανακτήσομεν, ὅτι
B τοῦ θεοῦ δεόμενοι οὐκ εἰσακουόμεθα; ἔτι [f]οὖν δυσχερανοῦμεν,
ὅτι οὐ πείθομεν παρακαλοῦντες; Οὐ φρίττομεν, ἀγαπητοί;
Ἀλλὰ πολλάκις [g]ἔδωκα, φησί. Σὺ δὲ οὐκ ἀεὶ ἐσθίεις; [h]τοὺς
δὲ παῖδας [i]πολλάκις ἀπαιτοῦντας ἀπάγεις; Ὦ τῆς ἀναισχυν-
τίας. Πένητα ἀναίσχυντον καλεῖς; καὶ σὺ μὲν ἁρπάζων οὐκ
ἀναίσχυντος, ἐκεῖνος δὲ ὑπὲρ ἄρτου δεόμενος ἀναίσχυντος; Οὐκ
ἐννοεῖς ὅση τῆς γαστρὸς ἡ ἀνάγκη; οὐχὶ πάντα διὰ τοῦτο
ποιεῖς; οὐχὶ τῶν πνευματικῶν διὰ τοῦτο ἀμελεῖς; οὐχὶ οὐρα-
νὸς πρόκειται καὶ οὐρανῶν βασιλεία; σὺ δὲ τὴν ἐκείνης δεδοικὼς
τυραννίδα, πάντα ὑπομένεις, [k]καὶ ἐκείνης καταφρονεῖς; Αὕτη
C ἐστὶν ἀναισχυντία. Οὐχ ὁρᾷς γέροντας [l]ἀναπήρους; Ἀλλ', ὢ
τῆς λῃρῳδίας· ὁ δεῖνα, φησὶ, [m]τοσούσδε χρυσοῦς δανείζει, [n]ὁ
δεῖνα τοσούσδε, καὶ ἐπαιτεῖ. Παίδων μικρῶν μύθους διηγεῖσθε
καὶ λήρους· καὶ γὰρ [o]ἐκεῖνοι τοιούτων ἀεὶ μύθων παρὰ τῆς
[p]τιτθίδος ἀκούουσιν. Οὐ πείθομαι, οὐ πιστεύω, μὴ γένοιτο.
Δανείζει τις, καὶ ἐν ἀφθονίᾳ ὢν προσαιτεῖ; τίνος ἕνεκεν, εἰπέ
μοι; τί δὲ ἀσχημονέστερον τοῦ ἐπαιτεῖν; κρεῖσσον ἀποθανεῖν,
ἢ ἐπαιτεῖν. Μέχρι τίνος ἀπηνεῖς ἐσμεν; Τί οὖν; πάντες δα-
νείζουσι; πάντες ἐπιθέται εἰσίν; οὐδεὶς πένης [q]ὄντως; Ναὶ,
φησὶ, καὶ πολλοί. Τί οὖν ἐκείνοις οὐκ ἐπικουρεῖς, ἐπειδὴ ἀκρι-
βὴς εἶ τῶν βίων [r]αὐτῶν ἐξεταστής; Σκῆψις ταῦτα καὶ πρόφα-
D σις. [13] "Παντὶ τῷ αἰτοῦντί σε [s]δίδου, καὶ τὸν θέλοντα δανεί-
σασθαι ἀπὸ σοῦ μὴ ἀποστραφῇς·" ἔκτεινον τὴν χεῖρά σου, μὴ
ἔστω συνεσταλμένη. Οὐχὶ τῶν βίων κατέστημεν ἐξετασταὶ,
ἐπεὶ οὐδένα [t]οὕτως ἐλεήσομεν. Διὰ τί, ὅταν τὸν θεὸν παρα-
καλῇς, λέγεις, μὴ μνησθῇς τῶν ἁμαρτιῶν μου; Ὥστε, εἰ καὶ
σφόδρα [v]ἐστὶν ἐκεῖνος ἁμαρτωλὸς, [w]τοῦτο καὶ ἐπ' αὐτοῦ λογί-
ζου, καὶ μὴ μιμνήσκου τῶν ἁμαρτιῶν αὐτοῦ. Φιλανθρωπίας

13 Matt. v. 42.

[c] τ. πένιας] πενίας τ. K.N.Q. [d] οὐκ ἐλ. μ.] οὐ μ. οὐκ ἐλ. K.Q. Sav. cet. [e] ἀναγακτήσωμεν A.O. [f] οὖν om. K.Q. [g] ἔδωκα] δεόμεθα R. Mox αἰτεῖς pro ἐσθίεις idem. [h] τοὺς δὲ] ἢ τοὺς R. [i] π. ἀπαιτοῦντας] π. αἰτοῦντας R. ἀπαιτοῦντας π. K.O.Q. Statim ἐπάγεις R. [k] καὶ ἐκείνης καταφρονεῖς] Sic a pr. m. O. Edebatur καὶ ἐκείνης οὐ (οὐ inclusum a Sav.) καταφρονεῖς. Sic A.R. et οὐ eraso N. ἡ (ἣ K.) ἐκείνης (ἐκείνη a 2da m. O.) σου καταφρόνησις (καταφρονεῖς K?) K.Q. et a 2da m. O. *et illa comtemnis* Mut. [l] ἀπείρους R. [m] τοσ. χρυσοῦς] τοσούσδε (τόσους K.Q.) χρυσίνους K.O.Q. [n] ὁ] καὶ ὁ R. Mox δὲ τόσους pro τοσούσδε K.Q. Sav. cet. δὲ (eras.) τοσούσδε O. [o] ἐκεῖνα R. [p] θετίδος A. τιτθίνος ante corr. O. [q] οὕτως R. [r] αὐτῶν om. R. [s] δίδου] + φησὶ K.Q. [t] ὄντως R. [v] ἐστὶν ἐκεῖνος] ἐκεῖνός ἐστιν K.O.Q. [w] τοῦτο—καὶ μὴ (μὴ om. A.)] ἀλλὰ τοῦτο ἐπ' αὐτοῦ μὴ λογίζου, μηδὲ K.Q.

Digitized by Google

ἐστὶν ὁ καιρὸς, οὐκ ἀκριβοῦς ἐξετάσεως· ἐλέους, οὐ λογισμοῦ. 119
Διατραφῆναι βούλεται· ἂν μὲν βούλῃ, δός· ἂν δὲ μὴ [x]βούλῃ,
ἀπόπεμψον, μὴ [y]ἐπαπορήσας. Διὰ τί ἄθλιος [z]εἶ καὶ ταλαίπω-
ρος; διὰ τί οὐδὲ αὐτὸς ἐλεεῖς, καὶ τοὺς θέλοντας ἀποτρέπεις;
Ὅταν γὰρ ὁ δεῖνα ἀκούσῃ [a]παρὰ σοῦ, ὅτι οὗτος ἀπατεὼν, [b]ὅτι
ἐκεῖνος ὑποκριτὴς, ὅτι ἐκεῖνος δανείζει· οὔτε τούτοις [c]δίδωσιν,
οὔτε ἐκείνοις· πάντας γὰρ ὑποπτεύσει τοιούτους εἶναι. Ἴστε
(495) γὰρ ὅτι τὰ πονηρὰ εὐκόλως ὑποπτεύομεν, τὰ δὲ χρηστὰ, οὐκ-
έτι. Γενώμεθα ἐλεήμονες, [d]οὐχ ἁπλῶς, ἀλλ' ὡς ὁ πατὴρ ἡμῶν
ὁ οὐράνιος· αὐτὸς καὶ μοιχοὺς καὶ πόρνους καὶ γόητας τρέφει· B
καὶ τί [e]λέγω; πᾶν εἶδος κακίας ἔχοντας. [f]Ἐν γὰρ τοσούτῳ
κόσμῳ ἀνάγκη εἶναι καὶ τοιούτους πολλούς· ἀλλ' ὅμως ἅπαντας
τρέφει, ἅπαντας [g]ἐνδιδύσκει· οὐδεὶς λιμῷ διεφθάρη ποτὲ, πλὴν
[h]εἴ τις ἑκών. [i]Οὕτω γενώμεθα οἰκτίρμονες· ἐὰν δέηται, καὶ ἐν
ἀνάγκῃ [k]ᾖ, βοήθει. Νῦν δὲ εἰς [l]τοσοῦτον ἤλθομεν ἀλογίας,
[m]ὥστε μὴ μόνον ἐπὶ τῶν πενήτων τοῦτο ποιεῖν τῶν διὰ τῶν
στενωπῶν βαδιζόντων, ἀλλὰ καὶ ἐπὶ μοναζόντων ἀνδρῶν. Ὁ
δεῖνα ἐπιθέτης ἐστὶ, φησίν. Οὐχὶ τοῦτο ἔλεγον πρώην, ὅτι ἂν
μὲν πᾶσιν ἀδιαφόρως διδῶμεν, ἀεὶ ἐλεήσομεν· [n]ἂν δὲ ἀρξώμεθα
περιεργάζεσθαι, οὐδέποτε ἐλεήσομεν; Τί λέγεις; ἵνα ἄρτον C
λάβῃ, ἐπιθέτης ἐστίν; Εἰ μὲν χρυσίου τάλαντα [o]αἰτεῖ καὶ ἀρ-
γυρίου, ἢ ἱμάτια πολυτελῆ, ἢ ἀνδράποδα, ἢ [p]ἄλλ' ὁτιοῦν, εἰκό-
τως ἄν τις τοῦτον εἴποι ἀπατεῶνα· εἰ δὲ μηδὲν τούτων, ἀλλὰ
διατροφὴν καὶ σκέπην, ἃ φιλοσοφίας ἐστὶ, τοῦτο ἀπατεῶνος,
εἰπέ μοι; Παυσώμεθα τῆς ἀκαίρου ταύτης [q]φιλοπραγμοσύνης,
τῆς σατανικῆς, τῆς ὀλεθρίας. Εἰ μὲν γὰρ ἐν κλήρῳ κατει-
λεγμένον ἑαυτὸν εἶναι λέγοι, ἢ ἱερέα ἑαυτὸν [r]ὀνομάζοι, περιερ-
γάζου, πολυπραγμόνει· οὐ γὰρ [s]ἀκίνδυνος ἐκεῖ ἡ ἀνεξέταστος
κοινωνία· περὶ γὰρ μεγάλων ὁ κίνδυνος· [t]οὐ γὰρ δίδως, ἀλλὰ D
λαμβάνεις· ἂν δὲ διατροφῆς δέηται, μηδὲν ἐξέταζε. Ἐξέτασον,
εἰ βούλει, πῶς [v]ὁ Ἀβραὰμ τὴν φιλοξενίαν περὶ πάντας τοὺς

[x] βουληθῇς R. θελήσῃς O.Q. [y] ἐπαπορήσῃς K.Q.R. μὴ ἐπαπ. om. Flor. [z] εἶ] Sic libri omnes et Flor. ᾖ Edd. [a] παρὰ] ἀπὸ R. [b] ὅτι om. A. Flor. Veron. [c] δώσει K.Q. Mox ὑποπτεύσει K.N.O.Q. Mut. ὑποπτεύσῃ R. ὑποπτεύει Edd. [d] οὐχ] μὴ K.Q. Mox ὑμῶν N. [e] λέγω] + πόρνους K.Q. [f] ἐν] ἐὰν Q. Mox τοιούτους καὶ pro καὶ τοιούτους O.R. [g] ἐκδιδάσκει A. [h] εἴ τις] εἰ μή τις τοῦτο πάθοι K.Q. [i] οὕτω—δέηται] ἡμεῖς δὲ οὔτε γινόμεθα οἰκτ. οὔτε ἐὰν δέῃ R. [k] ᾖ om. A.N.R. Veron. invito Mut. Statim βοηθεῖ Veron. βοηθεῖν R. [l] τοιοῦτον R. τοῦτο O. [m] ὥστε μὴ] ἐντεῦθεν ὅτι οὐ K.Q. Mox ποιοῦμεν pro ποιεῖν, et post βαδιζόντων add. λοιπὸν iidem. [n] ἂν pro ἐὰν A.K.N.O.Q. Mox ἐλεήσομεν om. K.Q. ἂν —ἐλεήσομεν om. R. [o] ᾔτει R. et in text. O. [p] ἄλλο τοιοῦτον A. [q] πολυπραγμοσύνης O. [r] ὀνομάζει A. [s] ἀκίνδυνος] ὁ τυχὼν κίνδυνος R. [t] Haec οὐ γὰρ—λαμβάνεις post ἂν δὲ—ἐξέταζε transp. K.Q. Sav. cet. [v] ὁ assumtum ex K.N.O.Q.

[w]προσιόντας ἐπεδείκνυτο. Εἰ περίεργος ἦν [x]περὶ τοὺς καταφεύγοντας πρὸς αὐτὸν, οὐκ ἂν ἀγγέλους ἐξένισεν· ἴσως γὰρ ἂν, μὴ νομίζων αὐτοὺς ἀγγέλους εἶναι, μετὰ τῶν ἄλλων καὶ τούτους ἀπώσατο· ἀλλ᾽ ἐπειδὴ πάντας ἐδέχετο, ἐδέξατο καὶ ἀγγέλους. Μὴ γὰρ ἀπὸ τοῦ βίου σοι τῶν λαμβανόντων [y]τὸν μισθὸν δίδωσιν ὁ θεός; Ἀπὸ τῆς προαιρέσεως τῆς [z]σῆς, ἀπὸ τῆς φιλοτιμίας τῆς [a]πολλῆς, ἀπὸ τῆς φιλανθρωπίας, ἀπὸ τῆς ἀγαθότητος· αὕτη ἔστω, καὶ πάντων [b]ἐπιτεύξῃ τῶν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΒ.

B [1]Οὗτος γὰρ ὁ Μελχισεδὲκ, βασιλεὺς Σαλὴμ, ἱερεὺς τοῦ θεοῦ
τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ
τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτὸν, ᾧ καὶ δε-
κάτην ἐμέρισεν ἀπὸ πάντων Ἀβραὰμ, πρῶτον [a]μὲν ἑρμη-
νευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ [b]καὶ βασιλεὺς Σα-
λὴμ, ὅ ἐστι βασιλεὺς εἰρήνης, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλό-
C γητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων, ἀφωμοι-
ωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ, [c]μένει ἱερεὺς εἰς τὸ διηνεκές.

ΒΟΥΛΟΜΕΝΟΣ ὁ Παῦλος τὸ διάφορον δεῖξαι τῆς
καινῆς καὶ τῆς παλαιᾶς, πολλαχοῦ αὐτὸ διασπείρει, καὶ [d]ἀκρο-
βολίζεται, καὶ διακωδωνίζει τὰς ἀκοὰς τῶν ἀκροατῶν, καὶ προ-
γυμνάζει. Εὐθέως γὰρ καὶ ἀπὸ τοῦ προοιμίου [e]τοῦτο κατε-
βάλετο, εἰπὼν ὅτι ἐκείνοις μὲν ἐλάλησεν ἐν προφήταις, ἡμῖν
δὲ ἐν υἱῷ· κἀκείνοις μὲν πολυμερῶς καὶ πολυτρόπως, ἡμῖν δὲ
διὰ τοῦ υἱοῦ. Εἶτα περὶ τοῦ υἱοῦ διαλεχθεὶς, τίς εἴη καὶ τί
D ἐργασάμενος, καὶ παραινέσας αὐτῷ πείθεσθαι, ἵνα μὴ τὰ αὐτὰ
[f]πάθωμεν τοῖς Ἰουδαίοις, καὶ εἰπὼν ὅτι ἀρχιερεύς ἐστι κατὰ
τὸν Μελχισεδὲκ, καὶ πολλάκις εἰς τὴν διαφορὰν ταύτην ἐμβῆ-
ναι βουληθεὶς, καὶ πολλὰ προοικονομήσας, καὶ ἐπιτιμήσας αὐ-

[1] Cap. VII. v. 1—3.

[w] παριόντας O. παρόντας R. *transeuntes* Mut. Statim ἐδείκνυτο R. [x] περὶ] πρὸς K.O.Q. Mox καταφυγόντας R. Statim εἰς αὐτὸν A.R. Veron. [y] τὸν μ. δίδωσιν] δίδωσι τὸν μ. K.O.Q.R. [z] σῆς] πολλῆς A. [a] πολλῆς] οἰκείας A.K.Q. Sav. cet. Post φιλανθρ. add. τῆς πολλῆς K.Q. Sav. cet. [b] τεύξει a pr. m. O. Hom. XII. [a] μὲν om. A. Veron. [b] καὶ om. N. [c] μένει] + δὲ A. ἱερεὺς om. K.Q. inclusum a Sav. Statim εἰς τὸν αἰῶνα K. [d] ἀκριβολογεῖται R. [e] τούτου A. Statim κατεβάλετο K.N.O.Q. Cat. Supp. κατεβάλλετο Edd. [f] πάθοιεν A. Veron.

Digitized by Google

τοῖς ὡς ἀσθενέσι, καὶ πάλιν θεραπεύσας καὶ ἀνακτησάμενος
ὥστε θαρρεῖν· τότε λοιπὸν εἰσάγει τὸν τῆς διαφορᾶς λόγον
ἀκμαζούσαις ταῖς ἀκοαῖς· ὁ γὰρ ἀναπεπτωκὼς οὐκ ἂν εὐκόλως
[g]ἀκούσειε. Καὶ ἵνα μάθῃς, ἄκουε τῆς γραφῆς λεγούσης· [2]"Καὶ
(496) οὐκ ἤκουσαν Μωϋσῇ διὰ τὴν ὀλιγοψυχίαν." Διὰ τοῦτο πρότε- 121
ρον κενώσας αὐτῶν τὴν ἀθυμίαν [h]διὰ πολλῶν, καὶ [i]διὰ φοβε-
ρῶν, καὶ διὰ χρηστοτέρων, τότε λοιπὸν καθίησιν εἰς τὸν [k]τῆς
διαφορᾶς λόγον. Καὶ τί φησιν; "Οὗτος γὰρ ὁ Μελχισεδὲκ,
βασιλεὺς Σαλὴμ, ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου." Καὶ τὸ δὴ
θαυμαστὸν, ἐν τῷ τύπῳ δείκνυσι [l]πολλὴν οὖσαν τὴν διαφοράν.
Ὅπερ γὰρ εἶπον, ἀπὸ τοῦ τύπου ἀεὶ πιστοῦται τὴν ἀλήθειαν,
ἀπὸ τῶν [m]παρελθόντων, διὰ τὴν ἀσθένειαν τῶν ἀκροατῶν.
"Οὗτος γάρ, φησὶν, ὁ Μελχισεδὲκ, βασιλεὺς Σαλὴμ, ἱερεὺς
τοῦ θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ [n]ὑποστρέφοντι B
ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτὸν, ᾧ [o]καὶ
δεκάτην ἐμέρισεν ἀπὸ πάντων Ἀβραάμ." Θεὶς τὴν διήγησιν
πᾶσαν [p]ἐν συντόμῳ, μυστικῶς αὐτὴν ἐθεώρησε· καὶ [q]πρῶτον
ἀπὸ τοῦ ὀνόματος. "Πρῶτον μὲν, φησὶν, ἑρμηνευόμενος βασι-
λεὺς [r]δικαιοσύνης." Σεδὲκ γὰρ δικαιοσύνη λέγεται, [s]Μελχὶ δὲ
βασιλεύς· [t]Μελχισεδὲκ βασιλεὺς δικαιοσύνης. [v]Ὁρᾷς καὶ ἐν
τοῖς ὀνόμασι τὴν ἀκρίβειαν; Τίς δέ ἐστι βασιλεὺς δικαιοσύνης,
ἀλλ' ἢ ὁ κύριος ἡμῶν Ἰησοῦς [w]Χριστός; "Βασιλεὺς δικαιοσύ-
νης, ἔπειτα [x]δὲ καὶ βασιλεὺς Σαλὴμ," [y]ἀπὸ τῆς πόλεως· τουτ-
έστι, βασιλεὺς [z]εἰρήνης. Ὃ πάλιν ἐστὶ τοῦ Χριστοῦ· οὗτος C
γὰρ ἡμᾶς δικαίους ἐποίησε, καὶ εἰρηνοποίησε τὰ ἐν τοῖς οὐρα-
νοῖς, καὶ τὰ ἐπὶ τῆς [a]γῆς. [b]Τίς ἄνθρωπος βασιλεὺς δικαιοσύ-
νης καὶ εἰρήνης ἐστίν; [c]Οὐδεὶς, ἀλλ' ἢ μόνος ὁ κύριος ἡμῶν
Ἰησοῦς Χριστός. Εἶτα καὶ ἑτέραν διαφορὰν [d]ἐπάγει· "Ἀπά-
τωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς

[2] Exod. vi. 9.

[g] ἀκούσειε] ἕξειε (sic) A. Mox Μωϋσεῖ K.Q. [h] διὰ] + τῶν A. [i] διὰ om. K. διαφόρων pro διὰ φοβερῶν R. Supp. διὰ ante χρηστοτέρων om. R. [k] τῆς] περὶ τῆς R. Cat. διδασκαλίας pro διαφορᾶς K.N.Q. [l] πολλὴν οὖσαν om. R. Mox γὰρ om. idem. [m] παρελθόντων] + τὰ ἐνεστῶτα Sav. cet. invitis omnibus. [n] ἐπιστρέφοντι K. [o] καὶ om. A. Mox ἐμέρισεν ἀπὸ π. pro ἀπὸ π. ἐμέρισεν K.O.Q.R. Mut. [p] ἐν τῷ σ. A. [q] πρότερον K.Q. Mox φησὶν om. K.Q. [r] δικαιοσύνης] + καλῶς K.Q. Sav. cet. [s] Μελχὰ R. Cat. [t] Μελχισ.] Μελχισ. δὲ N. et marg. O. ἄρα ὁ Μελχισ. K.Q. Sav. cet. Post δικαιοσύνης add. ἐστὶν K.O.Q. Sav. cet. [v] Haec ὁρᾷς—ἀκρίβειαν; om. K.Q. [w] ὁ Χριστὸς O.R. Statim βασ. δικαιοσύνης om. K.Q. Sav. cet. [x] δὲ om. R. καὶ om. K. [y] ἀπὸ τῆς πόλεως om. K.Q. inclusum a Sav. ὅ ἐστι pro τουτέστι K.Q. [z] εἰρήνης] + οὕτω γὰρ ἑρμηνεύεται τὸ Σαλὴμ K.Q. Sav. cet. [a] γῆς] + ὁρᾷς καὶ ἐν τοῖς ὀνόμασι τὴν ἀκρίβειαν; K.Q. [b] τίς] + δαὶ K.Q. Sav. cet. [c] οὐδεὶς] + ἕτερος iidem. Mox Ἰησ. ὁ Χρ. O.R. [d] ἐπάγει] + λέγων K.Q. Sav. cet.

Digitized by Google

τέλος ἔχων, ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ, [e] μένει ἱερεὺς εἰς
τὸ διηνεκές.” Ἐπειδὴ τοίνυν ἀντέπιπτεν αὐτῷ τὸ, “Σὺ ἱερεὺς
D εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ,” ἐκεῖνος δὲ ἐτεθνή-
κει, καὶ οὐκ ἐγένετο ἱερεὺς εἰς τὸν αἰῶνα· ὅρα πῶς αὐτὸ [f] τεθε-
ώρηκεν. Καὶ τίς τοῦτο εἴποι ἂν [g] περὶ ἀνθρώπου; Οὐ τῷ
πράγματι, [h] φησὶ, λέγω· τουτέστιν, οὐκ ἴσμεν πότε τίνα πα-
τέρα ἔσχεν, [i] οὔτε τίνα μητέρα, οὐ πότε ἐδέξατο τὴν ἀρχὴν, οὐ
πότε ἐτελεύτησε. Καὶ τί τοῦτο, φησί; μὴ γὰρ, ἐπειδὴ ἡμεῖς
οὐκ ἴσμεν, οὐκ ἐτελεύτησεν, [k] οὐκ ἔσχε γονεῖς; Καλῶς λέγεις,
καὶ ἐτελεύτησε, καὶ ἔσχε γονεῖς. Πῶς οὖν, “ἀπάτωρ, ἀμήτωρ;”
[l] πῶς, “μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων;” Πῶς; τῷ
122 μὴ [m] ἐμφέρεσθαι. Καὶ τί τοῦτο; [n] Ὅτι, ὥσπερ [o] οὗτος τῷ μὴ
γενεαλογεῖσθαι, οὕτως ὁ Χριστὸς αὐτῇ τῇ φύσει τοῦ πράγμα-
τος. Ἰδοὺ τὸ ἄναρχον, ἰδοὺ τὸ ἀτελεύτητον. Ὥσπερ τούτου
οὐκ ἴσμεν οὔτε ἀρχὴν ἡμερῶν, οὔτε ζωῆς τέλος, διὰ τὸ μὴ γε-
γράφθαι· οὕτως οὐκ [p] ἴσμεν τοῦ [q] Ἰησοῦ, οὐ διὰ τὸ μὴ γεγρά-
φθαι, ἀλλὰ διὰ τὸ μὴ εἶναι. Ἐκεῖνο μὲν γὰρ τύπος, καὶ διὰ
τοῦτο ἀπὸ τοῦ μὴ γεγράφθαι· τοῦτο δὲ ἀλήθεια, καὶ διὰ τοῦτο
ἀπὸ τοῦ μὴ εἶναι. Ὥσπερ [r] γὰρ καὶ ἐν τοῖς ὀνόμασιν· ἐνταῦθα
B μὲν [s] γὰρ προσηγορίαι ἦσαν βασιλεὺς δικαιοσύνης καὶ εἰρήνης,
ἐκεῖ δὲ πραγμάτων ἀλήθεια· οὕτω καὶ ἐνταῦθα [t] προσηγορίαι
εἰσὶν, ἐκεῖ δὲ πραγμάτων ἀλήθεια. Πῶς οὖν ἀρχὴν ἔχει; Ὁρᾷς
ἄναρχον τὸν υἱὸν, οὐ κατὰ τὸ μὴ ἔχειν αἴτιον· τοῦτο γὰρ
ἀδύνατον· ἔχει γὰρ πατέρα· ἐπεὶ πῶς υἱός; ἀλλὰ κατὰ τὸ μὴ
ἔχειν ἀρχὴν [v] ζωῆς, μήτε τέλος; “Ἀφωμοιωμένος [w] δὲ τῷ υἱῷ
τοῦ θεοῦ.” Ποῦ ἡ ὁμοιότης; Ὅτι [x] καὶ τούτου κἀκείνου τὸ
τέλος ἀγνοοῦμεν, καὶ τὴν ἀρχήν· ἀλλὰ [y] τούτου μὲν παρὰ τὸ
μὴ γεγράφθαι, ἐκείνου δὲ παρὰ τὸ μὴ εἶναι. Ἐνταῦθα ἡ ὁμοι-
C ότης. Εἰ δὲ πανταχοῦ [z] ἔμελλεν ἡ ὁμοιότης εἶναι, οὐκέτι τύπος

[e] μένει] + δὲ A. [f] τεθεώρηκε] κατασκευάζει K.Q. Post h. v. add. ἵνα γὰρ μηδεὶς ἀντεπενέγκῃ λέγων K.Q. Sav. cet. [g] περὶ] ἐπὶ (subsequente rasura) N. Post ἀνθρώπου add. ὅτι οὐκ ἀπέθανεν ἢ οὐκ ἤρξατο O. [h] φησὶ om. N. οὐ τῷ—ποτὲ] ὃν οὐκ ἴσμεν K.Q. [i] οὔτε] Sic omnes. ἢ Edd. [k] οὐκ] ἢ οὐκ K.Q. Sav. cet. Mox καλῶς λέγεις om. K.Q. [l] πῶς] + δὲ K.Q. [m] ἐμφέρεσθαι] + τῇ γραφῇ K.Q. Sav. cet. ἐμφέρεσθαι—τῷ μὴ om. R. Mut. invitis Cat. Supp. [n] ὅτι om. A. Veron. Supp. καὶ τί—ὥσπερ] ὥσπερ οὖν K.Q. [o] οὗτος] + ἀπάτωρ K.Q. Sav. cet. + ταῦτα λέγεται Supp. [p] ἴσμεν] + οὐδὲ Sav. cet. invitis omnibus. [q] Ἰησοῦ] Χριστοῦ N. υἱοῦ Cat. [r] γὰρ] γοῦν K.Q. Statim καὶ om. A. Supp. [s] γὰρ om. R. Cat. Supp. ἐνταῦθα—ἐκεῖ δὲ] προσηγορίαι μόνον ἦσαν, οὐ (οἱ Q.) K.Q. [t] προσηγορίαι] + μόνον K.Q. ἀλλ᾿ οὐχὶ pro ἐκεῖ δὲ iidem. Mox πῶς οὖν ἀρχὴν ἔχει om. iidem. [v] ζωῆς μήτε] μήτε ζωῆς K.O.Q. [w] δὲ] φησὶ K.Q. δὲ, φησὶ Supp. Sav. cet. Mox καὶ ποῦ K.Q. Sav. cet. [x] καὶ τούτου κἀκ.] κἀκ. καὶ τούτου K.O.Q. καὶ ἐκείνου καὶ τούτου R. [y] τούτου] τοῦτο A. τοῦ R. Mox τοῦ pro ἐκείνου R. [z] ἔμελλεν ἡ ὁμ. εἶναι] ἡ ὁμ. ἔμελλεν εἶναι K.Q. ἡ ὁμ. ἦν R.

Digitized by Google

ἦν καὶ ἀλήθεια, ἀλλὰ τύπος τὰ ἀμφότερα. [a]῞Ωσπερ οὖν [b]καὶ ἐν ταῖς εἰκόσιν, ἔστι [c]μέν τι ὅμοιον, ἔστι δέ [d]τί ἀνόμοιον· [e]διὰ μὲν τῶν [f]γραμμῶν ὁμοιότης [g]τίς ἐστι τῶν χαρακτήρων· τῶν χρωμάτων δὲ ἐπιτεθέντων, τότε φανερῶς δείκνυται ἡ διαφορὰ, καὶ τὸ [h]μὲν ὅμοιον, τὸ δὲ ἀνόμοιον.

[3] "Θεωρεῖτε δὲ, [i]φησὶ, πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης." Τέως ἥρμοσε τὸν τύπον· θαρρῶν λοιπὸν δείκνυσιν αὐτὸν τῶν [k]ἀληθῶν πραγμάτων τῶν παρὰ Ἰουδαίοις λαμπρότερον. Εἰ [l]δὲ ὁ τύπον ἔχων
(497) τοῦ Χριστοῦ τοσοῦτον, οὐ τῶν ἱερέων, ἀλλὰ καὶ αὐτοῦ τοῦ D
προπάτορος τῶν ἱερέων βελτίων· τί ἄν τις εἴποι περὶ τῆς ἀληθείας; Ὁρᾷς ἐξ ὅσης περιουσίας δείκνυσι τὴν ὑπεροχήν; "Θεωρεῖτε δὲ, φησὶ, πηλίκος οὗτος, ᾧ καὶ δεκάτην [m]ἔδωκεν Ἀβραὰμ ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης." Ἀκροθίνια τὰ λάφυρα λέγεται. [n]Καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι ὡς μετέχοντι τοῦ πολέμου ἔδωκε· διὰ γὰρ τοῦτο εἶπεν, ὑπήντησεν [o]ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων· [p]οἴκοι γὰρ ἐκάθητο, φησὶ, καὶ τῶν αὐτῷ πεπονημένων τὰς ἀπαρχὰς ἔδωκε. [4] "Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευῒ τὴν ἱερατείαν [q]λαμβάνοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον, τουτέστι, τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ." Τοσαύτη, φησὶ, 123
τῆς ἱερωσύνης ἡ ὑπερβολὴ, [r]ὡς τοὺς ὁμοτίμους ἀπὸ προγόνων καὶ τὸν αὐτὸν ἔχοντας προπάτορα, πολλῷ βελτίους εἶναι τῶν ἄλλων. Δεκάτας γοῦν παρ' ἐκείνων λαμβάνουσιν. Ὅταν οὖν εὑρεθῇ τις παρ' αὐτῶν τούτων δεκάτας [s]λαμβάνων, ἆρα οὐχ [t]οὗτοι μὲν ἐν τάξει λαϊκῶν, ἐκεῖνος δὲ ἐν τοῖς ἱερεῦσι; Καὶ οὐ τοῦτο μόνον, ἀλλ' οὐδὲ [v]ὁμότιμος αὐτοῖς ἦν, ἀλλ' ἐξ ἑτέρου γένους· ὥστε οὐκ ἂν ἔδωκεν ἀλλοφύλῳ δεκάτας, εἰ μὴ πολλὴ

[3] v. 4. [4] v. 5.

[a] ὥσπερ οὖν—τῶν χαρακτήρων] οὕτω καὶ ἐν ταῖς σκιαγραφουμέναις εἰκόσι γινόμενον ἴδοι τις ἄν· ἐν ἐκείναις γάρ ἐστι μέν τι καὶ ὅμ. ἔστι δὲ καὶ ἀν. διὰ μὲν γὰρ τῆς ἁπλῶς γραφῆς ὁμοιότης τις ἐστι τοῦ χαρακτῆρος K.Q. Sav. cet. [b] καὶ om. R. [c] μέν τι] μέντοι A. Supp. [d] τι] καὶ Veron. τι om. Supp. ἔστι δέ τι ἀν. om. R. [e] διὰ] τὰ A. Veron. Post μὲν add. γὰρ R. [f] γραμμῶν] Sic N.O. Veron. γραμμάτων A. πραγμάτων R. γεγραμμένων Supp. *scriptione* Mut. [g] τις om. N.R. Supp. [h] μὲν om. K.N.Q. Sav. cet. Mox καὶ τὸ pro τὸ δὲ iidem. καὶ τὸ μὲν ἀν. τὸ δὲ ὅμ. R. [i] φησὶ om. K.Q.R. [k] ἀληθινῶν K.Q. Sav. cet. invitis Cat. Supp. Mox τῶν om. R. Supp. [l] δὲ om. Cat. et in text. O. εἰ δὲ—προπάτορος] ὁ τύπον ἔχων τοῦ Χρ. τοσοῦτον ὄντα R. [m] ἔδωκεν Ἀβρ.] Ἀβρ. ἔδωκεν K.O.Q.R. [n] καὶ—εἰπεῖν] οὐκ ἔστιν οὖν εἰπεῖν, φησὶν K.Q. Mox μετασχόντι K.N.Q. Sav. cet. Sic ex corr. O. [o] ὑποστρέφοντα A. Veron. Statim ἐκ τῆς κοπῆς R. [p] οἴκοι—καὶ τῶν] δηλῶν ὅτι οἴκοι ἐκαθ. καὶ ὅτι τῶν K.Q. Sav. cet. [q] λαμβ.] λαβόντες K. ἔχοντες λαμβ. A. [r] ὡς] ὥστε K.Q. Sav. cet. Sic a pr. m. A. [s] λαβὼν O. Cat. [t] οὗτος A. [v] ὁμόφυλος K.Q. Statim αὐτοῖς ἦν pro ἦν αὐτοῖς omnes.

Digitized by Google

ἣν ἡ τιμή. Βαβαὶ, [w]τί εἰργάσατο; [x]μεῖζον ἢ τὰ κατὰ τὴν
B πίστιν ἐν τῇ πρὸς Ῥωμαίους κινῶν ἐπιστολῇ διεσάφησεν. Ἐκεῖ
μὲν γὰρ καὶ τῆς ἡμετέρας καὶ τῆς Ἰουδαϊκῆς πολιτείας τὸν
Ἀβραὰμ προπάτορα εἶναί φησιν· ἐνταῦθα δὲ [y]αὐτοῦ σφόδρα
κατατολμᾷ, καὶ δείκνυσι τὸν ἀκρόβυστον πολλῷ βελτίονα.
Πῶς οὖν ἔδειξεν ὅτι [z]Λευῒ δεκάτας ἔδωκεν; [a]Ὁ Ἀβραὰμ, φη-
σὶν, ἔδωκε. Καὶ τί πρὸς ἡμᾶς τοῦτο; Μάλιστα [b]μὲν πρὸς
ὑμᾶς· οὐ γὰρ δὴ [c]φιλονεικήσετε τοὺς Λευΐτας βελτίονας εἶναι
τοῦ Ἀβραάμ. [5]"Ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδε-
κάτωκε τὸν Ἀβραάμ." Εἶτα καὶ [d]οὐχ ἁπλῶς παρῆλθεν, ἀλλὰ
C προσέθηκε, "Καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγησεν."
Ἐπειδὴ ἄνω καὶ κάτω τοῦτο ἦν [e]τὸ σεμνὸν, δείκνυσιν [f]ἐκείνου
ὄντα σεμνότερον ἐκεῖνον, [g]ἀπὸ τῆς κοινῆς κρίσεως ἁπάντων.
[6]"Χωρὶς δὲ πάσης ἀντιλογίας, [h]φησὶ, τὸ ἔλαττον ὑπὸ τοῦ
κρείττονος εὐλογεῖται." Τουτέστι, πᾶσι δοκεῖ τὸ ἔλαττον ὑπὸ
τοῦ κρείττονος [i]εὐλογεῖσθαι. Οὐκοῦν κρείττων ὁ τύπος τοῦ
[k]Χριστοῦ, καὶ αὐτοῦ τοῦ τὰς ἐπαγγελίας ἔχοντος. [7]"Καὶ ὧδε
μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν· ἐκεῖ δὲ,
D μαρτυρούμενος ὅτι ζῇ." Ἀλλ' [l]ἵνα [m]μὴ εἴπωμεν, τί ἄνω ἀπέρ-
χῃ; [n]εἰπὲ ἡμῖν· φησὶ, [8]"Καὶ, ὡς ἔπος εἰπεῖν." [o]Καὶ καλῶς
αὐτὸ ἐκόλασε. "Διὰ Ἀβραὰμ καὶ Λευῒ ὁ δεκάτας λαμβάνων
δεδεκάτωται." Πῶς; [9]"[p]Ἔτι ἐν τῇ [q]ὀσφύϊ ἦν, ὅτε συνήντη-
σεν αὐτῷ Μελχισεδέκ." Τουτέστιν, ἐν αὐτῷ [r]ἦν ὁ Λευῒ, [s]εἰ
καὶ μηδέπω ἐτέχθη. Καὶ οὐκ εἶπεν, οἱ Λευῖται, ἀλλ', ὁ Λευΐ.

[5] v. 6. [6] v. 7. [7] v. 8. [8] v. 9. [9] v. 10.

[w] τίς R. [x] μεῖζον ἢ τὰ (τὰ om. O.)—διεσάφησεν] μείζων; ἢ κατὰ τὴν π. πρὸς Ῥ. ἐπιστολὴ δ. R. μεῖζον ἐνταῦθα ὃ ἐβούλετο ἢ κατὰ τὴν π. ὅτε ἐν τῇ πρὸς Ῥ. τὸ αὐτὸ κινῶν ἐπιστολῇ δ. K Q. [y] αὐτοὺς A. σφ. αὐτοῦ inverso ord. K. O.Q. [z] Λευὶς O. [a] ὁ om. R. Mox ἔδωκε om. idem. ὁ Ἀβρ. φ.] εἰπὼν ὁ Ἀβρ. Q. ὅτι ὁ Ἀβρ. K. [b] μὲν] + οὖν A.K.Q.R. invitis Cat. Supp. [c] φιλονεικήσεται O. φιλονεικῆσαι τὸ A. [d] οὐχ ἁ. παρῆλθεν] τοῦτο φήσας οὐκ ἠρκέσθη K.Q. [e] τὸ σεμνὸν] τοσαύτην A. τὸ σ. Ἰουδαίοις K.Q. Sav. cet. [f] ἐκεῖνον Veron. ἐκείνου — ἐκεῖνον (ἐκείνων A. Veron. τοῦτον Supp.)] τούτου σεμνότερον ἐκεῖνο R. [g] ἀπὸ] καὶ ἀπὸ K. Sav. cet. [h] φησὶ om. K.Q. Statim τὸ ἔλαττον—εὐλογεῖται om. Cat. Mut. et in text. O. [i] εὐλογεῖται Cat. Mut. τουτέστι — εὐλογεῖσθαι om. R. [k] Χριστοῦ] κυρίου R. Veron. [l] ἵνα om. A. [m] μὴ] ἐκεῖνα μὴ A.K.N.Q. Sav. cet. invitis Cat. Mut. Statim εἴπωσι K.Q. Sav. cet. ὅτι pro τί R. Veron. [n] εἰπὲ ἡμῖν· φησὶ] τί πρὸς τοὺς ἱερέας ἡμῶν, εἰ Ἀβραὰμ δεκάτην ἔδωκεν; εἰπὲ τὰ εἰς ἡμᾶς· ἐπάγει καὶ λέγει K.Q. Sav. cet. invitis Cat. Mut. [o] καὶ om. R. Cat. Veron. Mox ἐκάλεσε R. Veron. Mut. Post ἐκόλασε add. φανερῶς μὴ εἰπὼν, ἵνα μὴ πλήξῃ K.Q. Sav. cet. [p] ἔτι] ὅτι A.K.N.Q. et ex corr. O. invitis Cat. Mut. ἔτι γὰρ Edd. γὰρ om. A.K.N.O.Q. Cat. Mut. [q] ὀσφύϊ] + τοῦ πατρὸς Edd. τοῦ πατρὸς om. R. Cat. Mut. et a pr. m. O. Mox Μελχισ. sine artic. K.N.O.Q.R. [r] ἦν om. A. Statim ὁ Λευὶς bis A.R. et ex corr. O. [s] εἰ—καὶ οὐκ] καὶ μήπω τεχθεὶς, δι' αὐτοῦ τὴν δεκάτην ἐδίδου. ὅρα, οὐκ K.Q. Sav. cet.

Digitized by Google

[t]Εἶδες ὑπερβολήν; εἶδες πόσον τὸ μέσον τοῦ Ἀβραὰμ καὶ 124 τοῦ Μελχισεδὲκ, τοῦ [v]τὸν τύπον φέροντος τοῦ ἀρχιερέως τοῦ ἡμετέρου; Καὶ δείκνυσι τὴν [w]ὑπεροχὴν ἐξουσίᾳ, οὐκ ἀνάγκῃ γεγενημένην. Ἐκεῖνος γὰρ ἔδωκε τὴν δεκάτην, ὅπερ ἐστὶν ἱερέως· οὗτος εὐλόγησεν, ὅπερ ἐστὶ κρείττονος. Αὕτη ἡ ὑπεροχὴ καὶ εἰς τοὺς ἐκγόνους [x]διαβαίνει. Θαυμαστῶς καὶ περιγεγονότως ἔρριψεν ἔξω τὰ Ἰουδαϊκά. Διὰ [y]τοῦτο ἔλεγε, "Νωθροὶ γεγόνατε," ἐπειδὴ [z]ταῦτα καταβαλέσθαι ἐβούλετο, ὥστε μὴ σκιρτῆσαι αὐτούς. Τοιαύτη γὰρ ἡ σοφία [a]τοῦ Παύλου· προ- B κατασκευάζων πρῶτον, [b]οὕτως ἐμβάλλει εἰς ἃ βούλεται. Δυσπειθὲς γὰρ τὸ γένος τὸ ἀνθρώπινον, καὶ πολλῆς δεόμενον ἐπιμελείας, [c]καὶ πλείονος ἢ τὰ φυτά. Ἐκεῖ μὲν γὰρ φύσις σωμά-
(498) των ἐστὶ καὶ [d]γῆς, εἴκουσα ταῖς τῶν γηπόνων χερσίν· ἐνταῦθα δὲ προαίρεσις, πολλὰς δεχομένη μεταβολὰς, καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο αἱρουμένη· ὀξυρρεπὴς γὰρ αὕτη [e]πρὸς κακίαν.

[f]Διὸ χρὴ [g]πάντοτε φυλάττειν ἑαυτοὺς, μήποτε ἀπονυστάξωμεν. [10]"Ἰδοὺ γὰρ, φησὶν, οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ·" καὶ, "Μὴ δῷς εἰς σάλον τὸν πόδα σου." C Οὐκ εἶπε, μὴ σαλευθῇς, ἀλλὰ, [h]σὺ μὴ δῷς. Ἄρα ἐφ' ἡμῖν τὸ δοῦναι, καὶ οὐκ ἐφ' ἑτέρῳ τινί. Ἂν γὰρ [i]ἐθέλωμεν ἑστάναι ἑδραῖοι καὶ ἀμετακίνητοι, οὐ σαλευθησόμεθα. Τί οὖν; οὐδὲν ἐπὶ [k]τῷ θεῷ; Πάντα μὲν *ἐπὶ τῷ θεῷ· ἀλλ' οὐχ οὕτως, ωστε τὸ αὐτεξούσιον ἡμῶν βλάπτεσθαι. Εἰ τοίνυν ἐπὶ [l]τῷ θεῷ, φησὶ, τί ἡμᾶς αἰτιᾶται; Διὰ τοῦτο εἶπον, [m]ὥστε τὸ αὐτεξούσιον ἡμῶν μὴ βλάπτεσθαι. Ἐφ' [n]ἡμῖν τοίνυν, καὶ ἐπ' αὐτῷ· δεῖ γὰρ ἡμᾶς πρῶτον ἑλέσθαι τὰ ἀγαθὰ, [o]καὶ τότε αὐτὸς τὰ D

10 Psal. cxx. 4, 3.

[t] εἶδες ὑπ.] τὸ μεῖζον, ὡς ἤθελε, κἀντεῦθεν συνάγων εἰς ὑπερβολὴν iidem. [v] τὸν om. N. [w] ὑπεροχὴν—ἀνάγκῃ] ὑπεροχὴν ἑκουσίως καὶ οὐ κατὰ ἀνάγκην O. ὑπεροχὴν οὐ (οὐ om. K.) κατὰ ἀνάγκην K.Q. ὑπερέχουσαν ἐξουσίαν οὐ κατὰ ἀνάγκην R. Vulgatam tuetur Supp. [x] διαβαίνει—ἔρριψεν] διαβαίνει θαυμαστῶς περιγεγονότας (περὶ γεγονότας Q.) ἔρριψε λοιπὸν K.Q. [y] τοῦτο] + ἄρα K.Q. Sav. cet. Statim ἔλεγε, τί νωθροὶ K.Q. [z] αὐτὰ R. Statim καταβάλλεσθαι A. Mox ἀποσκιρτῆσαι K.Q. Supp. Sav. cet. [a] τοῦ om. A. Veron. [b] οὕτως] τότε K. Statim ἐμβάλλεται R. [c] καὶ πλείονος] μᾶλλον K.Q. [d] γῇ Q.R. [e] πρὸς] εἰς R. [f] ΗΘΙΚΟΝ. Περὶ μετανοίας, καὶ περὶ τοῦ μὴ ἀπογινώσκειν. Veron. [g] πάντοθεν R. et olim O. Mox οὐχ ὑπνώσσει (sic) οὐδὲ νυστάξει hoc ord. O. [h] σὺ accessit ex K.O.Q.R. Mut. Mox τὸ μὴ δοῦναι O. Proximum καὶ om. A.N. Veron. [i] θέλωμεν K.O.Q.R. Post σαλευθησόμεθα add. τῷ γὰρ οὕτως εἰπεῖν, τοῦτο ᾐνίξατο K.Q. Sav. cet. [k] τῷ om. R. Mox πάντα—θεῷ om. A.R. * Abhinc folia desunt duo in Q. usque ad finem Homiliae. [l] τῷ om. R. Mox αἰτιᾷ idem. [m] ὥστε] οὐχ οὕτως ὥστε K. Sav. cet. Mox μὴ om. A. [n] ἡμῖν] + ἐστι A.K.N. Sav. cet. Mox ἐλέσθαι πρῶτον hoc ord. K.O. [o] καὶ τότε] καὶ ὅτε ἑλώμεθα ἡμεῖς, τότε καὶ K. Sav. cet. Mox παρ' αὐτοῦ R.

Digitized by Google

παρ' ἑαυτοῦ εἰσάγει. Οὐ προφθάνει τὰς ἡμετέρας βουλήσεις, ἵνα μὴ λυμήνηται τὸ αὐτεξούσιον ἡμῶν· ὅταν [p]δὲ ἡμεῖς ἑλώμεθα, τότε πολλὴν εἰσάγει τὴν βοήθειαν ἡμῖν. Πῶς [q]οὖν ὁ Παῦλός φησιν, [11]"Οὐ τοῦ θέλοντος," [r]εἰ καὶ ἐφ' ἡμῖν ἐστιν, "οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ;" Πρῶτον μὲν [s]οὐχ ὡς ἰδίαν γνώμην εἰσήγαγεν, ἀλλ' ὡς ἐκ τοῦ προκειμένου αὐτὸ [t]συνήγαγε, καὶ ἐκ τοῦ προβληθέντος. Εἰπὼν γὰρ, [12]"[v]Γέγραπται, Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω," [w]λέγει, "Ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ. [x]Ἐρεῖς οὖν μοι, τί ἔτι μέμφεται;" Δεύτερον δὲ, ἐκεῖνο ἔστιν εἰπεῖν, ὅτι οὗ τὸ πλέον [y]ἐστὶ, τὸ πᾶν φησιν εἶναι. Ἡμῶν [z]γὰρ τὸ προελέσθαι καὶ βουληθῆναι, θεοῦ δὲ τὸ ἀνύσαι καὶ εἰς τέλος ἀγαγεῖν. Ἐπεὶ οὖν ἐκείνου τὸ πλέον ἐστὶ, τὸ πᾶν ἐκείνου εἶναί [a]φησι, κατὰ τὴν συνήθειαν τὴν ἀνθρωπίνην [b]εἰπών. Οὕτω [c]γὰρ καὶ ἡμεῖς ποιοῦμεν· οἷόν τι λέγω· ὁρῶμεν οἰκίαν [d]οἰκοδομουμένην καλῶς, καὶ λέγομεν, τὸ πᾶν τοῦ τεχνίτου ἐστί· καίτοιγε οὐ τὸ πᾶν [e]αὐτοῦ ἐστιν, ἀλλὰ καὶ τῶν ἐργατῶν, καὶ τοῦ τὴν ὕλην [f]παρέχοντος δεσπότου, καὶ πολλῶν ἑτέρων·
B ἀλλ' ὅμως ἐπειδὴ τὸ πλέον ἐκεῖνος εἰσήνεγκεν, ἐκείνου τὸ πᾶν εἶναι λέγομεν. [g]Οὕτω δὴ καὶ ἐνταῦθα. Καὶ πάλιν ἐπὶ πλήθους, [h]ἔνθα οἱ πολλοὶ, πάντας εἶναί φαμεν· ἔνθα ὀλίγοι, οὐδένα. Οὕτω καὶ Παῦλός [i]φησιν, "Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ." Κατορθοῖ δὲ ἐνταῦθα [k]δύο μεγάλα· ἓν μὲν, τὸ μὴ ἐπαίρεσθαι. Κἂν τρέχῃς, κἂν σπου-
C δάζῃς, φησὶ, μὴ νόμιζε σὸν εἶναι τὸ κατόρθωμα· ἂν γὰρ μὴ τῆς ἄνωθεν τύχῃς ῥοπῆς, πάντα εἰκῇ. Πλὴν ὅτι τεύξῃ τοῦ [l]σπουδαζομένου, [m]εὔδηλόν ἐστιν, [n]ἕως ἂν τρέχῃς, ἕως ἂν θέλῃς. Οὐ

[11] Rom. ix. 16. [12] Ibid. 15, 19.

[p] δὲ om. R. Mox πολλὴν τότε hoc ord. O.R. [q] οὖν] + εἰ καὶ ἐφ' ἡμῖν ἐστι K. Sav. cet. [r] εἰ] + δὲ A. εἰ—ἐστιν om. K. Mut. Sav. cet. [s] οὐχ ὡς] ὡς οὐκ R. [t] συνῆξε K. [v] γέγραπται om. R. [w] λέγει] ἐπήγαγεν K. Sav. cet. Mox οὖν om. A. [x] ἐρεῖς—μέμφεται om. K. inclusum a Sav. [y] ἐστὶ om. A. Post φησιν add. ἐκείνου R. οὗ τὸ πλέον—εἶναι] καλῶς οὕτως εἶπεν· οὗ γὰρ τὸ πλέον, ἐκείνου καὶ τὸ πᾶν εἶναι ἀνάγκη K. [z] γὰρ] τοίνυν K. Mox δὲ om. A. [a] φησὶ om. A. [b] εἰπὼν] τοῦτο λέγων K. Sav. cet. εἰπὼν om. R. [c] γὰρ om. R. [d] οἰκοδομημένην R. ᾠκοδομημένην N. [e] αὐτοῦ] ἐκείνου R. [f] παρασχόντος K.O.R. Sav. cet. [g] οὕτω—ἐνταῦθα om. K. [h] ἔνθα] + μὲν A.K. Sav. cet. Mox ἔνθα δὲ ὀλ. Edd. δὲ om. A.N.O. [i] φησιν] ἐνταῦθά φ. τὸ K. Sav. cet. [k] δύο] τὰ δύο O. κατορθοῖ—κἂν τρέχῃς] τοῦτο δὲ λέγων, δύο τὰ μέγιστα κατορθοῖ· ἓν μὲν, τὸ μὴ ἐπαίρεσθαι ἐφ' οἷς κατορθοῦμεν· δεύτερον δὲ, τὸ κατορθοῦντας ἀνατιθέναι τῷ θεῷ τὴν τῶν κατορθουμένων αἰτίαν. κἂν τρέχῃς τοίνυν K. Sav. cet. [l] σπουδαζομένου] + μετὰ τῆς ἐκεῖθεν συμμαχίας iidem. [m] δῆλον R. et a pr. m. O. ἐστιν om. K. [n] ἕως—θέλῃς] ἀλλ' ἂν τρέχῃς καὶ σὺ, ἂν θέλῃς K. Sav. cet. A τρέχῃς ad εἶπεν ὅτι εἰκῇ om. A.

Digitized by Google

τοῦτο οὖν εἶπεν, ὅτι εἰκῇ τρέχομεν, [o]ἀλλ' ὅτι εἰκῇ τρέχομεν,
ἐὰν ἡμέτερον εἶναι τὸ πᾶν νομίζωμεν, ἐὰν μὴ τὸ [p]πλέον ἀπονέ-
μωμεν τῷ θεῷ. Οὔτε γὰρ αὐτοῦ [q]εἶναι τὸ πᾶν ἠθέλησεν ὁ θεὸς,
ἵνα μὴ δόξῃ εἰκῇ στεφανοῦν ἡμᾶς· [r]οὔτε ἡμῶν πάλιν, ἵνα μὴ εἰς
ἀπόνοιαν ἐκπέσωμεν. Εἰ γὰρ τὸ ἔλαττον μέρος ἔχοντες [s]με-
γάλα φρονοῦμεν, τί, εἰ τοῦ ὅλου κύριοι ἦμεν; Πολλὰ γὰρ [t]ὁ
θεὸς ὑπὲρ τοῦ τὴν ἀλαζονείαν ἡμῶν [v]ἐκκόψαι πεποίηκε· καὶ ἔτι D
ἡ χεὶρ [w]ἡ ὑψηλή. Πόσοις ἡμᾶς πάθεσι περιέβαλεν, ὥστε [x]ἐκ-
κόψαι ἡμῶν τὸ φρόνημα; πόσοις ἐκύκλωσε θηρίοις; Καὶ γὰρ
ὅταν λέγωσί τινες, τί τοῦτο; [y]εἰς τί τοῦτο; [z]παρὰ τὸ τῷ θεῷ
δοκοῦν ταῦτά φασιν. Ἐν τοσούτῳ σε φόβῳ κατέστησε, καὶ
οὐδὲ οὕτω [a]ταπεινοφρονεῖς, ἀλλὰ μικρᾶς εὐπραγίας ἂν ἐπιλάβῃ
ποτὲ, πρὸς αὐτὸν φθάνεις τὸν οὐρανὸν τῷ φρονήματι.

Διὰ τοῦτο αἱ [b]τάχισται μεταβολαὶ καὶ μεταπτώσεις, καὶ 126
οὐδὲ οὕτω παιδευόμεθα· διὰ τοῦτο θάνατοι συνεχεῖς καὶ ἄωροι,
ἡμεῖς δὲ ὡς ἀθάνατοι φρονοῦμεν, ὡς [c]οὐδέποτε τεθνηξόμενοι·
οὕτως ἁρπάζομεν, οὕτω πλεονεκτοῦμεν, ὡς οὐδέποτε δώσοντες
λόγον· οὕτως οἰκοδομοῦμεν, ὡς ἐνταῦθα μένοντες ἀεί· καὶ οὐδὲ ὁ
τοῦ θεοῦ λόγος καθ' ἑκάστην ἡμέραν ἡμῖν ἐνηχούμενος, οὐδὲ
αὐτὰ παιδεύει τὰ πράγματα. Οὐκ ἔστιν ἡμέραν, οὐκ ἔστιν
(499) ὥραν εἰπεῖν, ἐν ᾗ μὴ συνεχεῖς ἔστιν ἰδεῖν ἐκφοράς· ἀλλὰ πάντα
μάτην, καὶ τῆς σκληρότητος ἡμῶν οὐδὲν καθικνεῖται· οὐδὲ ἐν B
ταῖς ἑτέρων συμφοραῖς βελτίους γενέσθαι δυνάμεθα, μᾶλλον δὲ,
[d]οὐδὲ θέλομεν· ἀλλ' ὅταν αὐτοὶ μόνοι πενθῶμεν, τότε συστελ-
λόμεθα· κἂν ἀνῇ τὴν χεῖρα ὁ θεὸς, πάλιν ἡμεῖς τὴν χεῖρα ἐπή-
ραμεν. Οὐδεὶς [e]ἀνθρώπινα φρονεῖ, οὐδεὶς καταφρονεῖ τῶν ἐν
τῇ γῇ, οὐδεὶς πρὸς τὸν οὐρανὸν ὁρᾷ· ἀλλ' ὥσπερ οἱ χοῖροι κάτω
[f]νεύουσι, πρὸς τὴν γαστέρα [g]κύπτοντες, τῷ βορβόρῳ ἐγκαλιν-
δούμενοι· οὕτω καὶ οἱ πολλοὶ τῶν ἀνθρώπων, βορβόρῳ χαλε-
πωτάτῳ ἑαυτοὺς μολύνοντες οὐκ αἰσθάνονται. Βέλτιον [h]γὰρ

[o] ἀλλ' ὅτι] ἀλλὰ τί R. Mut. [p] πλέον] πᾶν O. [q] εἶναι τὸ π.] τὸ π. εἶναι K.O. εἶναι om. R. [r] οὔτε] + οὖν R. Mox ἐμπέσωμεν O. [s] μέγα K.R. [t] ὁ θεὸς] + ἐποίησεν Edd. ἐποίησεν om. N.O. ὁ θεὸς ἐποίησεν om. R. Statim ὑπὲρ om. O. [v] ἐγκόψαι O. Veron. Statim πεποίηκε (+ ὁ θεὸς R.) accessit ex N.O.R. [w] ἡ ὑψ.] Sic O. Mut. et ante corr. N. ἡ om. A.R. Veron. αὐτοῦ ὑψ. K. Sav. cet. ἡμῶν ὑψ. ex recent. corr. N. Post ὑψηλὴ add. φησὶ K.N. Sav. cet. [x] ἐκκ. ἡμῶν] ἡμῶν ἐκκ. R. ἡμῶν ἐγκ. O. [y] εἰς τί] ἐστιν olim O. [z] παρὰ] τὸ παρὰ R. Sequens τὸ om. A. Mox φησιν A. [a] ταπεινὰ φρονεῖς O. [b] ταχεῖαι K. [c] οὐδέπω Veron. [d] οὐδὲ] οὐ R. et a pr. m. O. [e] ἀνθρώπινα φρονεῖ] Sic A. et a pr. m. N. receptum a Sav. Mor. οὐράνια φρονεῖ Veron. et ex corr. N. ἀνθρώπινα περιφρονεῖ O. ταπεινὰ φρονεῖ K. ταπεινοφρονεῖ R. τὰ ἄνω φρονεῖ ex ingenio edidit Montef. [f] νεύοντες A. [g] κόπτοντες A. Statim καὶ τῷ β. K. Sav. cet. [h] γὰρ om. K.

Digitized by Google

C πηλῷ μολύνεσθαι ἀκαθάρτῳ, ἢ ἁμαρτήμασιν. Ὁ μὲν γὰρ
ἐκεῖθεν μολυνθεὶς, ἀπενίψατο ἐν βραχεῖ χρόνῳ, καὶ γέγονεν
ὅμοιος τῷ [i]μηδὲ ἐμπεσόντι τὴν ἀρχὴν εἰς ἐκεῖνο τὸ τέλμα· ὁ δὲ
εἰς τὸ βάραθρον τῆς ἁμαρτίας ἐμπεσὼν, ἐδέξατο μολυσμὸν οὐχ
ὕδατι καθαιρόμενον, ἀλλὰ πολλοῦ δεόμενον χρόνου, καὶ μετα-
νοίας ἀκριβοῦς, καὶ δακρύων καὶ κοπετῶν, καὶ πλείονος θρήνου
καὶ θερμοτέρου, ἢ ἐπὶ τοῖς φιλτάτοις [k]ἐπιδεικνύμεθα. Οὗτος
μὲν [l]γὰρ ὁ ῥύπος ἔξωθεν ἡμῖν προσγίνεται· διὸ καὶ ταχέως αὐ-
τὸν ἀποτιθέμεθα· [m]ἐκεῖνος δὲ ἔνδοθεν τίκτεται· διὸ καὶ μόλις
αὐτὸν [n]ἀπονιπτόμενοι καθαιρόμεθα. [13] "Ἐκ γὰρ τῆς καρδίας,
D φησὶν, ἐξέρχονται [o]διαλογισμοὶ πονηροὶ, πορνεῖαι, μοιχεῖαι,
[p]κλοπαὶ, ψευδομαρτυρίαι." Διὸ καὶ ὁ προφήτης ἔλεγε·
[14] "Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ θεός·" ἕτερος δὲ,
"[q]Ἀπόπλυνον ἀπὸ κακίας τὴν καρδίαν σου, Ἱερουσαλήμ."
Ὁρᾷς [r]ὅτι καὶ ἡμῶν ἐστι καὶ τοῦ θεοῦ; Καὶ πάλιν, [15] "Μα-
κάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται."
[s]Γενώμεθα καθαροὶ εἰς δύναμιν τὴν ἡμετέραν· ἀποσμήξωμεν
127 ἑαυτῶν τὰ ἁμαρτήματα. Πῶς δὲ ἔστιν [t]ἀποσμῆξαι, ὁ προ-
φήτης διδάσκει, λέγων· [16] "Λούσασθε, καθαροὶ [v]γένεσθε, ἀφέ-
λετε τὰς πονηρίας [w]ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν
ὀφθαλμῶν μου." Τί ἐστιν, "ἀπέναντι τῶν ὀφθαλμῶν μου;"
Ἐπειδή τινες [x]εἶναι δοκοῦσιν ἀπόνηροι, ἀλλὰ τοῖς ἀνθρώποις,
[y]τῷ δὲ θεῷ δῆλοι τάφοι ὄντες κεκονιαμένοι· διὰ τοῦτό φησιν,
οὕτως ἀφέλετε, ὡς [z]ἐγὼ ὁρῶ. "Μάθετε καλὸν ποιεῖν, ἐκζητή-
σατε κρίσιν, ταπεινὸν καὶ πένητα δικαιώσατε, καὶ δεῦτε, καὶ
[a]διαλεχθῶμεν, λέγει κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς
B φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, [b]ὡσεὶ
ἔριον λευκανῶ." Ὁρᾷς ὅτι προτέρους ἡμᾶς ἑαυτοὺς δεῖ καθαί-
ρειν, [c]καὶ τότε ὁ θεὸς καθαίρει; Πρῶτον γὰρ εἰπὼν, "Λού-

13 Matth. xv. 19. 14 Psal. l. 12. Jer. iv. 14. 15 Matth. v. 8.
16 Esai. i. 16—18.

[i] *μηδὲν* A. *μὴ* K. Mox *παρὰ τὴν ἀρχὴν* Edd. et Floril. p. 384. (Tom. xii. p. 604 B.) *παρὰ* om. K.N.R. inclusum a Sav. [k] *ἐπιδεικνύμεθα*] Sic O.R. Flor. *δεικνύμεθα* K. *ἐπιδείκνυσθαι* A. Veron. *ἐπιδείκνυσθε* N. Sav. cet. *solemus ostendere* Mut. [l] *γὰρ*] *οὖν* K. [m] *κἀκεῖνος δὲ* O. *γίνεται* pro *τίκτεται* A. [n] *ἀπον. καθαιρόμεθα*] *ἀπονιπτόμεθα* R. [o] *λογισμοὶ* R. Veron. [p] *κλοπαὶ*] + *δόλοι* A. [q] *ἀπόπλυνε* R. [r] *ὅτι*] + *τὸ κατορθοῦν* K. Sav. cet. [s] *γενώμεθα*] *οὐκοῦν γεν.* iidem. Mox *τὴν* om. K. [t] *ἀποσμήξασθαι* O. *τὸ ἀποσμῆξαι* R. [v] *γένεσθε*] Sic K.N.R. *γίνεσθε* Edd. Statim *ἀφελεσθε* R. [w] *ὑμῶν* om. A.N. [x] *εἶναι δ.*] *δ. εἶναι* N.R. [y] *τῷ δὲ θ.*] *οὗτοι δὲ τῷ θ.* K. Mox *τάφοι ὄντες* pro *ὄντες τάφοι* A.K.N.O. [z] *ἐγὼ* om. A. [a] *διαλεχθῶμεν*] Sic N. et a pr. m. O. *διελεγχῶμεν* (sic) A. *διελεγχθῶμεν* Edd. Mox *ὦσιν* om. O. Alterum *ὦσιν* om. R. [b] *ὡς ἱέριον* (sic) A. *ὡς ἔριον* R. et a pr. m. O. [c] *καὶ—καθαίρει*] *ἵνα καὶ ὁ θεὸς τότε καθάρῃ* K. Mox *γίνεσθε* olim O.

Digitized by Google

σασθε, καθαροὶ γένεσθε," τότε ἐπήγαγεν, " ἐγὼ λευκανῶ." Μηδεὶς τοίνυν τῶν εἰς ἐσχάτην κακίαν ἡκόντων, ἀπογινωσκέτω ἑαυτοῦ· κἂν [d] γὰρ εἰς ἕξιν, φησὶν, ἔλθῃς, καὶ σχεδὸν εἰς φύσιν τῆς κακίας αὐτῆς, μὴ φοβηθῇς. Διὰ γὰρ τοῦτο χρώματα οὐκ ἐξίτηλα, ἀλλὰ σχεδὸν συνουσιωμένα τοῖς ὑποκειμένοις λαβὼν, εἰς τὴν ἐναντίαν αὐτὰ ἔφησε [e] καταστήσειν ἕξιν. Οὐ γὰρ ἁπλῶς πλύνειν ἔφη, ἀλλ' ὡς χιόνα, καὶ ὡς ἔριον λευκαίνειν, ἵνα ἡμῖν χρηστὰς ὑποτείνῃ τὰς ἐλπίδας. Ἆρα μεγάλη τῆς μετανοίας ἡ δύναμις, εἴγε ὡς χιόνα ἡμᾶς ἐργάζεται, καὶ [f] ὡς ἔριον λευκαίνει, C
κἂν προλαβοῦσα ἡ ἁμαρτία [g] βάψῃ τὰς ἡμετέρας ψυχάς. Σπουδάσωμεν τοίνυν καθαροὶ γενέσθαι. Οὐδὲν φορτικὸν ἐπέταξε· "Κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε [h] χήραν." Ὁρᾷς πανταχοῦ πῶς πολὺς τῷ θεῷ [i] τοῦ ἐλέους λόγος, καὶ τῆς τῶν ἀδικουμένων προστασίας; Ταῦτα μετίωμεν τὰ κατορθώματα, καὶ δυνησόμεθα τῇ χάριτι τοῦ θεοῦ καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν· ὧν [k] γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(500) ΛΟΓΟΣ ΙΓ. 128

[1] *Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν· ὁ λαὸς γὰρ ἐπ' αὐτῇ [a] νενομοθέτηται· τίς ἔτι χρεία, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις [b] γίνεται. Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς [c] προσέσχηκε τῷ θυσιαστηρίῳ. Πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν* B
ὁ κύριος ἡμῶν, εἰς ἣν φυλὴν [d] περὶ ἱερέων οὐδὲν Μωϋσῆς ἐλάλησεν.

" [e] ΕΙ *μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν," φησίν. Εἰπὼν περὶ τοῦ Μελχισεδὲκ, καὶ δείξας ὅσῳ κρείττων ἦν τοῦ Ἀβραὰμ, καὶ πολὺ τὸ διάφορον ἀποφήνας, ἐντεῦθεν*

[1] CAP. VII. v. 11—14.

[d] [γὰρ] Sav. γὰρ om. K. Mox *εἰσέλθῃς* Veron. et ex corr. O. [e] *καταστήσειν ἕξιν*] Sic O.R. *κατάστασιν ἄξειν* K. *κατάστασιν ἥξειν* Edd. *in contrarium statum et habitum convertere* Mut. [f] *ὡς*] *ὡσεὶ* K.N. et ex corr. O. [g] *βλάψῃ* R. [h] *χήραν*] + *φησὶν* K.O. Sav. cet. [i] *τοῦ ἐλέους* (*ἐλέου* K. Veron.) *λ.*] *τοῦ ἐλ. ὁ λ.* R. *ὁ τοῦ ἐλ. λ.* A. et ex corr. N. receptum a Sav. cet. [k] *γένοιτο π. ἡ. ἀξιωθῆναι*] Sic omnes. *π. ἡ. ἀξιοῦσθαι γένοιτο* Mor. Ben.
HOM. XIII. [a] *νενομοθέτητο* K.N.O.Q. Sav. cet. [b] *γίνεσθαι* A. [c] *προσέσχε* A. Veron. [d] *π. ἱερέων οὐδὲν*] *οὐδὲν π. ἱερωσύνης* K.O.Q.R. Sav. cet. *nihil de sacerdotibus* Mut. [e] *εἰ μὲν—φησὶν* om. Q. *φησὶν* om. K.

Digitized by Google

ἄρχεται λοιπὸν τῆς διαθήκης αὐτῆς τὸ μέσον ἀποδεικνύναι, καὶ πῶς ἡ μὲν ἀτελὴς, ἡ δὲ τελεία. Καὶ οὐδέπω εἰς αὐτὰ τὰ πρά-
C γματα ἐμβαίνει, ἀλλ' ἀπὸ τῆς ἱερωσύνης τέως μάχεται καὶ τῆς [f]σκηνῆς. Ταῦτα γὰρ πιστότερα ἦν τοῖς ἀπίστοις, ὅταν ἀπὸ τῶν ἤδη προειλημμένων καὶ [g]πεπιστευμένων ἡ ἀπόδειξις γίνηται. Ἔδειξεν ὅτι πολὺ καὶ τοῦ Λευῒ καὶ τοῦ Ἀβραὰμ βελτίων [h]ἦν ὁ Μελχισεδὲκ, ἐν τάξει [i]ἱερέων αὐτοῖς γενόμενος· ἐξ [k]ἑτέρου πάλιν ἐπιχειρεῖ. Ποίου δὴ τούτου; [l]Τίνος ἕνεκεν, φησὶν, οὐκ εἶπε, κατὰ τὴν τάξιν Ἀαρών; Καὶ θέα μοι [m]τὴν ὑπερβολήν· ἀφ' οὗ γὰρ εἰκὸς ἦν αὐτὸν ἐκβαλεῖν [n]τὴν ἱερωσύνην, ἐπειδὴ μὴ κατὰ τὴν τάξιν [o]Ἀαρὼν, ἀπὸ τούτου [p]τοῦτον μὲν ἵστησιν, ἐκ-
D βάλλει δὲ ἐκείνους. [q]Αὐτὸ γὰρ τοῦτο λέγω, φησί· τίνος ἕνεκεν οὐ κατὰ τὴν τάξιν Ἀαρὼν γέγονε; Καὶ τὸ, "[r]Τίς ἔτι χρεία," πολλὴν ἔμφασιν ἔχει. Εἰ μὲν [s]γὰρ [t]ἦν ὁ Χριστὸς κατὰ σάρκα κατὰ τὴν τάξιν Μελχισεδὲκ, ἔπειτα ὁ νόμος γέγονε, [v]καὶ τὰ κατὰ Ἀαρών· εἰκότως ἂν τις εἴποι, ἅτε ὄντα τελειότερα, ταῦτα
129 ἐκεῖνα [w]καταλύειν, ἅτε ἐπεισελθόντα· εἰ δὲ ὁ Χριστὸς ὕστερος, καὶ ἕτερον λαμβάνει τύπον τὸν τῆς ἱερωσύνης, δῆλον ὅτι ὡς ἀτελεστέρων ὄντων [x]ἐκείνων. Θῶμεν γὰρ, φησὶ, τῷ λόγῳ, πάντα πεπληρῶσθαι, καὶ μηδὲν ἀτελὲς εἶναι ἐν τῇ ἱερωσύνῃ· τί οὖν ἔδει κατὰ τὴν τάξιν Μελχισεδὲκ λέγεσθαι, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρών; τίνος ἕνεκεν ἀφεὶς τὸν Ἀαρὼν, ἑτέραν [y]εἰσήνεγκεν ἱερωσύνην, τὴν τοῦ Μελχισεδέκ; "[z]Εἰ μὲν οὖν [a]τελείωσις·" τουτέστι, τῆς τῶν πραγμάτων, τῆς τῶν δογμάτων, τοῦ
B βίου ἡ τελείωσις· "διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν." Καὶ ὅρα πῶς ὁδῷ προβαίνει. [b]Εἶπεν ὅτι κατὰ τὴν τάξιν Μελχισεδὲκ,

[f] σκηνῆς. ταῦτα γὰρ] διαθηκῆς. τότε γὰρ ταῦτα K.Q. Sav. cet. Mox ἦν om. K.Q. [g] πεπιστευκότων K. καὶ πεπ. om. R. Mox γίνεται A.O. Supp. [h] ἦν om. R. Cat. et a pr. m. O. [i] ἱερέως N.R. Cat. Sav. Mox γινόμενος A.K.R. Veron. invitis Cat. Supp. [k] ἑτέρου] + δὲ K.N.Q.R. Sav. cet. invitis Cat. Supp. Mut. [l] τίνος—Ἀαρὼν (Ἀαρὼν om. O.)] τῆς νῦν ἱερωσύνης, καὶ τῆς Ἰουδαϊκῆς K.Q. Sav. cet. [m] τὴν ὑπ.] συνέσεως ὑπ. iidem. Mox ἐκβάλλειν A. Veron. [n] τὴν ἱερ.] Sic K.O.Q.R. Cat. Supp. Mut. τοὺς ἱερεῖς τὴν ἱερ. A. Veron. τῆς ἱερωσύνης N. Sav. cet. [o] Ἀαρὼν] Ἀαρὼν ἦν O. ἦν Ἀαρὼν Cat. [p] τοῦτον] τὸν N.O.Q. Mox οὐκ ἐκβάλλει R. [q] αὐτὸ—γέγονε] ποιεῖ δὲ τοῦτο ἑαυτὸν εἰσάγων ὥσπερ ἀπό τινος διαπορούμενον, τί δήποτε μὴ κατὰ τ. τ. Ἀ. λέγεται, οὕτω τὴν διαπόρησιν λύοντα· καὶ ἐγὼ, φησὶ, τοῦτο αὐτὸ διαπορῶ, τίνος ἕ. μὴ κατὰ τ. τ. Ἀ. γέγονε. τοῦτο γὰρ δηλοῖ τῷ εἰπεῖν, εἰ μὲν οὖν τ. διὰ τῆς Λ. ἱ. ἦν K.Q. Sav. cet. [r] τίς] + δὲ K.Q. [s] γὰρ] οὖν K. Sav. cet. [t] ἦν] πρῶτος ἦν R. πρῴην K.Q. Sav. cet. ἴσ. προῆν Sav. marg. ante esset Mut. Mox τὸ κατὰ σάρκα K.Q. Sav. cet. [v] καὶ τὰ om. K.Q.R. Statim κατὰ τὸν Ἀαρὼν K.O.Q. Supp. Sav. cet. [w] καταλύει A. Supp. Veron. et ex corr. O. Sequens ἅτε om. A. [x] ἐκείνων om. R. [y] εἰσήγαγεν O.R. Mox τὴν om. R. [z] εἰ] ἣ A. ἡ Veron. [a] τελείωσις] + διὰ τῆς Λ. ἱερ. φησὶν, ἦν Edd. Haec om. O.R. Cat. Mut. φησὶν om. A.N. Veron. Mox ἡ τελείωσις—ἦν om. K.Q. [b] εἶπεν ὅτι] ἣ ὅτι A.

Digitized by Google

δεικνὺς ὅτι [c]βελτίων ἡ κατὰ τὴν τάξιν Μελχισεδέκ· πολὺ γὰρ
[d]βελτίων· [e]λοιπὸν καὶ ἀπὸ τοῦ χρόνου τοῦτο δείκνυσιν, ὅτι
μετὰ Ἀαρὼν, [f]δηλονότι ὡς ἀμείνων. Καὶ τί βούλεται τὸ ἑξῆς,
"Ὁ λαὸς γὰρ, φησὶν, ἐπ' αὐτῇ [g]νενομοθέτηται;" τί ἐστιν,
"ἐπ' αὐτῇ;" Αὐτῇ [h]στοιχεῖ, δι' αὐτῆς ἅπαντα πράττει· οὐκ
ἔστιν εἰπεῖν, ὅτι ἑτέροις ἐδόθη. "Ὁ λαὸς ἐπ' [i]αὐτῇ νενομο-
θέτηται·" τουτέστι, [k]κέχρηται αὐτῇ καὶ ἐχρήσατο· οὐκ ἔστιν
εἰπεῖν ὅτι τελεία μὲν ἦν, οὐ προειστήκει δὲ τοῦ λαοῦ. "Ἐπ'
αὐτῇ [l]νενομοθέτηται·" τουτέστιν, αὐτῇ ἐχρήσατο. [m]Τίς οὖν C
ἑτέρας ἱερωσύνης ἦν χρεία; "Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης,
ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται·" εἰ δὲ ἕτερον [n]δεῖ
ἱερέα εἶναι, μᾶλλον δὲ ἑτέραν ἱερωσύνην, ἀνάγκη καὶ νόμον
ἕτερον εἶναι. Τοῦτο πρὸς τοὺς λέγοντας, [o]τί ἔδει καινῆς δια-
θήκης; [p]Εἶχε μὲν γὰρ καὶ μαρτυρίαν εἰπεῖν ἀπὸ προφητείας·
[q]αὕτη ἡ διαθήκη, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν· τέως δὲ [r]ἀπὸ
(501) τῆς ἱερωσύνης μάχεται. Καὶ ὅρα πῶς ἄνωθεν [s]λέγει. Εἶπε,
"κατὰ τὴν τάξιν Μελχισεδέκ. [t]Τούτῳ τὴν Ἀαρὼν ἐξέβαλεν·
οὐ γὰρ ἂν, "κατὰ τὴν τάξιν Μελχισεδὲκ," εἶπεν, εἰ αὕτη ἀμεί- D
νων ἦν. Εἰ τοίνυν ἱερωσύνη [v]εἰσῆκται [w]ἄλλη, δεῖ καὶ διαθήκην
εἶναι· [x]οὔτε γὰρ ἱερέα ἔστι διαθήκης χωρὶς εἶναι καὶ [y]νόμων καὶ
προσταγμάτων, οὔτε ἑτέραν λαβόντα ἱερωσύνην ἐκείνῃ κεχρῆ-
σθαι. Εἶτα, ὅπερ ἀντιθέσεως ἦν, πῶς ἱερεὺς ἂν [z]εἴη, μὴ ὢν
Λευΐτης, τοῦτο διὰ τῶν ἄνω προκαταβαλὼν, οὐδὲ λῦσαι ἀξιοῖ,
ἀλλ' ἐν παραδρομῇ εἰσάγει αὐτό· [a]εἶπον, φησὶν, ὅτι μετετέθη
ἡ ἱερωσύνη· οὐκοῦν καὶ ἡ διαθήκη. Μετετέθη δὲ οὐ τῷ τρόπῳ

[c] βελτίων (βέλτιον ex corr. O.) ἡ (ἦν O.) κατὰ τ. τ. M.] βέλτιον ἦν κατὰ ταύτην K.Q. βελτίων αὕτη ἐκείνης Cat. βελτίων—λοιπὸν καὶ] καὶ βελτίων λοιπόν. καὶ R. [d] βελτίων] + ἐκεῖνος K.Q. Sav. cet. [e] λοιπὸν] + δὲ A.K.O.Q. Sav. cet. [f] δηλονότι—ἑξῆς] δηλῶν πῶς ἄμεινον. τοῦτο γὰρ ἐμφαίνει, τὸ ἑξῆς ἐπάγων, καὶ λέγων K.Q. Mox φησὶν om. K.N.Q. post αὐτῇ transp. O. Cat. [g] νενομοθέτητο K.Q. Sav. cet. [h] στοιχεῖ] + φησὶ iidem. [i] αὐτῇ] + φησὶν O. Statim νομοθετεῖται olim O. νενομοθέτητο K.Q. Sav. cet. [k] κέχρηται—ἐχρήσατο] αὐτῇ ἐχρήσατο καὶ K.Q. [l] νενομοθέτητο N.O. Sav. cet. Haec ἐπ' αὐτῇ—ἐχρήσατο om. K.Q. inclusa a Sav. [m] τίς—χρεία] Sic N.O. Cat. τίς οὖν ἑτ. (+ χρεία in marg.) ἦν ἱερ. A. τίς οὖν χρεία ἑτ. ἱερ. R. τίς γὰρ χρεία ἱερ. ἑτ. ἦν K.Q. τίς οὖν ἑτ. ἦν ἱερ. χρεία Edd. Statim subjung. εἰ τὸ τέλειον εἶχε K.Q. Sav. cet. [n] δεῖ] τινὰ A. Supp. Veron. Post εἶναι add. ἐχρῆν Supp. [o] τί] ὅτι A. δεῖ pro ἔδει K.Q.R. [p] εἶχε] ἔχει O.R. Supp. Mut. Mox γὰρ om. K.Q. [q] αὕτη] ὅτι αὕτη R. [r] ἀπὸ] ὡς ἀπὸ Q. [s] λέγει] ταῦτα εἰπεῖν ὤδινεν K.Q. Sav. cet. [t] τούτῳ] Sic K.N.Q.R. Mut. et ex corr. O. τοῦτο Edd. [v] εἰσήνεκται N. [w] ἄλλη, δεῖ] Sic K.N.O.Q.R. Sav. cet. ἀλλ' ἔδει A. Veron. ἄλλην δεῖ Cat. Statim καὶ om. K. Cat. Sav. cet. Mox εἶναι om. O. Post εἶναι add. ἑτέραν K.Q. Sav. cet. [x] οὔτε—διαθήκης] οὐδὲ γάρ ἐστιν ἱερέα δ. K.Q. οὔτε γάρ ἐστιν διαθήκην R. [y] νόμου O. Mox λαμβάνοντα K.Q. et a pr. m. O. [z] εἴη] ᾖ R. Veron. Mox προκαταλαβὼν R. [a] εἰπὼν A.N.R.

Digitized by Google

μόνον, οὐδὲ τοῖς [b]*προστάγμασιν, ἀλλὰ καὶ τῇ φυλῇ· ἔδει γὰρ καὶ τῇ φυλῇ.* [c]Πῶς; "Μετατιθεμένης γὰρ τῆς [d]*ἱερωσύνης,*" *ἀπὸ φυλῆς εἰς φυλὴν, ἀπὸ τῆς ἱερατικῆς ἐπὶ τὴν βασιλικὴν, ἵνα ᾖ* [e]*ἡ αὐτὴ καὶ βασιλικὴ καὶ ἱερατική.* Καὶ θέα τὸ *μυστήριον·* [f]*πρῶτον ἦν βασιλικὴ, καὶ τότε γέγονεν ἱερατική· ὥσπερ οὖν καὶ ἐπὶ τοῦ* Χριστοῦ· *βασιλεὺς μὲν γὰρ ἦν ἀεὶ,* [g]*ἀρχιερεὺς δὲ γέγονεν, ὅτε τὴν σάρκα ἀνέλαβεν, ὅτε τὴν θυσίαν προσήγαγεν.* Ὁρᾷς *τὴν μεταβολήν;* [h]Καὶ *ἅπερ ἀντιθέσεως ἦν, ταῦτα, ὡς*
B *τῆς τῶν πραγμάτων ἀκολουθίας ἀπαιτούσης, εἰσάγει·* "Ἐφ' ὃν *γὰρ λέγεται* [i]*ταῦτα, φησὶ, φυλῆς ἑτέρας* [k]*μετέσχηκεν.*" Κἀγώ *φημι, καὶ οἶδα ὅτι οὐδὲν* [l]*ἱερωσύνης εἶχεν αὕτη ἡ φυλή·* [m]*μετάθεσις γάρ ἐστιν.* Ἐγὼ *δὲ καὶ* [n]*ἄλλην, φησὶ, δείκνυμι διαφοράν· οὐ μόνον ἀπὸ* [o]*τῆς φυλῆς, οὐδὲ μόνον ἀπὸ τοῦ προσώπου,* [p]*οὐδὲ ἀπὸ τοῦ τρόπου, οὐδὲ ἀπὸ τῆς διαθηκῆς,* [q]*ἀλλὰ*
C *καὶ ἀπ' αὐτοῦ τοῦ τύπου.* [2]"Ὃς *οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου.*" Γέγονε, *φησὶν, ἱερεὺς,* [r]*οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς· ὁ γὰρ νόμος* [s]*ἐκεῖνος τὰ πολλὰ ἄνομος ἦν.* [t]Τί *ἐστιν,* "*ἐντολῆς σαρκικῆς;*" Περίτεμε, *φησὶ, τὴν σάρκα, χρῖσον τὴν σάρκα, λοῦσον τὴν*
D *σάρκα, καθάρισον τὴν σάρκα,* [v]*περίκειρον τὴν σάρκα, ἐπίδησον τὴν σάρκα, θρέψον τὴν σάρκα,* [w]*ἄργησον τῇ σαρκί.* Καὶ τὰ *ἀγαθὰ* [x]*πάλιν τίνα;* Πολλὴ *ζωὴ τῇ σαρκὶ, γάλα καὶ μέλι τῇ*

2 v. 16.

[b] *πράγμασιν* R. [c] *πῶς*] *καὶ πῶς* K. *καὶ πῶς, ἄκουε* Q. *πῶς* om. A. [d] *ἱερωσύνης*] + *φησί. τουτέστι, διὰ τοῦτο μετετέθη* K.Q. Sav. cet. [e] *ἡ* om. A.N.O.R. *αὕτη* pro *αὐτὴ* O. [f] *πρῶτον*] + *μὲν* Edd. *μὲν* om. A.K.N.O.Q. Supp. inclusum a Sav. [g] *ἀρχιερεὺς*] Sic A.K.N.O.Q. Cat. Supp. *ἱερεὺς* Edd. Mox *ἔλαβεν* N. [h] *καὶ ἅπερ*] *εἶτα ὅπερ* K.Q. Post *ἦν* add. *τοῦτο* iidem. [i] *ταῦτα, φ.*] *φ. ταῦτα* O. Cat. *φησὶ* om. K.Q. [k] *μετέσχηκεν*] + *ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θ. πρόδηλον γὰρ ὅτι ἐξ 'Ι. ἀν. ὁ κ. ἡμῶν, εἰς ἣν φ. περὶ ἱερωσύνης οὐδὲν* (*οὐδὲν περὶ ἱερ.* Q.) *Μωϋσῆς ἐλάλησεν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι* K.Q. Sav. cet. [l] *ἱερ.*] *περὶ ἱερ.* Q. [m] *μετάθεσις—τύπου*] *αὕτη ἡ φυλὴ, οὐδέ τις ἀπὸ ταύτης ἱεράτευσε· τοῦτο γὰρ δηλοῖ τὸ, οὐδεὶς προσέσχηκε* (*προσέσχε* K.Q.) *τῷ θ. ἀλλὰ τὸ πᾶν μετάθεσίς ἐστιν. οὕτως ἀναγκαῖον ἦν τὸν νόμον καὶ τὴν παλαιὰν διαθηκὴν μετατεθῆναι, ὅτι καὶ αὐτὴ ἐνήλλακται ἡ φυλή. ὁρᾷς πῶς δείκνυσι καὶ ἄλλην διαφορὰν ἀπὸ τῆς ἐναλλαγῆς τῆς φυλῆς; οὐ μόνον δὲ καὶ ἀπὸ ταύτης δείκνυται ὅσον τὸ διάφορον, ἀλλ' ἤδη καὶ ἀπὸ τοῦ προσώπου, καὶ ἀπὸ τῆς διαθηκῆς, καὶ ἀπὸ τοῦ τρόπου, καὶ ἀπ' αὐτοῦ τοῦ τύπου* K.Q. Sav. cet. invitis Cat. Supp. Mut. [n] *ἄλλην, φ.*] *ἐν ἄλλῃ φυλῇ* R. [o] *τῆς* om. A. [p] *οὐδὲ ἀπὸ τοῦ τρόπου* om. N.R. invitis Cat. Supp. Eadem post *διαθηκῆς* transp. O. *neque ex domo* Mut. [q] *ἀλλὰ καὶ*] *ἀλλ'* A.R. Veron. invitis Cat. Supp. [r] *οὐ*] *ἀλλ' οὐ* K.Q. Sav. cet. Mox *ἐντολῆς σ.* pro *σ. ἐντολῆς* omnes. [s] *ἐκεῖνος—ἄνομος* om. A.R. Veron. invitis Cat. Supp. Mut. [t] *τί ἐστιν—περίτεμε, φησὶ*] *καὶ καλῶς αὐτὸν ἐντολὴν ἐκάλεσε σαρκικήν· πάντα γὰρ ὅσα διωρίζετο σαρκικὰ ἦν. τὸ γὰρ λέγειν, περίτεμε* K.Q. Sav. cet. [v] *περίκειραι* olim O. [w] *ἄρκέσον* (sic) O. *ἄργησον τῇ σ.* om. R. [x] *πάλιν* om. in text. O. *καὶ τὰ ἀγαθὰ—ζωὴ*] *ταῦτα, εἰπέ μοι, οὐχὶ σαρκικά; εἰ δὲ θέλεις μαθεῖν καὶ τίνα ἃ ἐπηγγέλλετο ἀγαθὰ, ἄκουε· πολλὴ ζωὴ, φησὶ* K.Q. Sav. cet.

Digitized by Google

σαρκὶ, εἰρήνη τῇ σαρκὶ, τρυφὴ τῇ σαρκί. Ἀπὸ τούτου τοῦ
νόμου τὴν ἱερωσύνην ἔλαβεν ὁ Ἀαρών· ὁ μέντοι Μελχισεδὲκ
οὐχ οὕτως.

[3] "Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοι-
ότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος." Τί ἐστι κατά-
δηλον; Τὸ μέσον τῆς ἱερωσύνης ἑκατέρας, τὸ διάφορον, ὅσον
[y]κρείττων, "Ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονε."
Τίς; ὁ [z]Μελχισεδέκ; Οὔ, ἀλλ' ὁ Χριστός. "Ἀλλὰ κατὰ 131
δύναμιν ζωῆς ἀκαταλύτου." [4] "[a]Μαρτυρεῖται γὰρ, ὅτι σὺ ἱε-
ρεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν [b]Μελχισεδέκ." Τουτέστιν,
οὐ πρόσκαιρος, οὐδὲ πέρας ἔχων, ἀλλὰ, "[c]κατὰ δύναμιν ζωῆς
ἀκαταλύτου" [d]τουτέστι, διὰ δυνάμεως, διὰ ζωῆς ἀκαταλύτου.
Καίτοι οὐκ ἔστιν [e]ἀκόλουθον τοῦτο τῷ, "Ὃς οὐ κατὰ νόμον
ἐντολῆς σαρκικῆς γέγονε·" τὸ γὰρ ἀκόλουθον ἦν [f]εἰπεῖν, ἀλλὰ
κατὰ πνευματικῆς. Ἀλλὰ διὰ τοῦ σαρκικοῦ τὸ πρόσκαιρον
ἔδειξεν· [g]ὥσπερ καὶ ἀλλαχοῦ λέγει, [5] "Μέχρι καιροῦ διορθώ- B
σεως ἐπικείμενα τὰ δικαιώματα τῆς σαρκός." "Κατὰ δύναμιν
ζωῆς·" [h]τουτέστιν, ὅτι οἰκείᾳ δυνάμει ζῇ. Εἶπεν, ὅτι [i]καὶ
νόμου μετάθεσις γίνεται, καὶ ἔδειξε [k]τέως· ζητεῖ λοιπὸν τὴν
αἰτίαν· ὃ μάλιστα πάντων πληροφορεῖ τὰς τῶν ἀνθρώπων
ψυχὰς, τὸ τὴν αἰτίαν [l]πάντως εἰδέναι, καὶ εἰς πίστιν [m]ἄγει
(502) μᾶλλον, ὅταν καὶ τὴν αἰτίαν μάθωμεν, καὶ τὸν λόγον καθ' ὃν
γίνεται. [6] "Ἀθέτησις μὲν γὰρ γίνεται, [n]φησὶ, προαγούσης ἐν-
τολῆς, διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές." [o]Ἐνταῦθα οἱ
αἱρετικοὶ ἐπιφύονται· [p]ἀλλ' ἄκουε ἀκριβῶς. Οὐκ εἶπε, διὰ τὸ C
πονηρὸν, οὐδὲ διὰ τὸ μοχθηρὸν, ἀλλὰ, "διὰ [q]τὸ ἀσθενὲς καὶ
ἀνωφελές." Καὶ ἀλλαχοῦ δὲ δείκνυσι τὸ ἀσθενές· ὡς ὅταν λέγῃ,

[3] v. 15. [4] v. 17. [5] Hebr. ix. 10. [6] v. 18.

[y] κρείττων ὃς] κρείττον ὃς A. κρεῖττον ὃς N. Cat. κρείττονος R. κρείττων om. K.Q. Post νόμον add. φησὶν A. [z] Μελχ.] + οὗτος Edd. οὗτος om. N.R. Cat. Mut. et a pr. m. O. τίς—Χριστὸς om. K. inclusum a Sav. [a] μαρτυρεῖ Cat. et olim O. Mox σὺ εἶ l. O. Cat. [b] τοῦ Μελχ. K.N.O.Q. Sav. cet. Statim ἄρα pro τουτέστιν K.Q. [c] κατὰ τὴν δ. R. Statim ζωῆς ἀκατ. om. idem. [d] τουτέστι (+ διὰ ζωῆς R.)—ἀκαταλύτου] τοῦτο εἶπεν, ἵνα δηλώσῃ, ὅτι ἱερεὺς γέγονε διὰ δυνάμεως ἰδίας καὶ τοῦ πατρὸς, διὰ ζωῆς ἀπεράντου K.Q. Sav. cet. [e] ἀκ. τοῦτο] τὸ ἀκ. K.Q. Statim τὸ ὃς A.N. τῷ ὡς K. [f] εἰπεῖν] εἰ εἶπεν K.Q. Mox κατὰ πνευματικὴν K.Q. R. Cat. non Supp. [g] ὥσπερ] + γὰρ A. [h] τουτέστιν om. R. [i] καὶ accessit ex O.R. Cat. Mut. καὶ post γίνεται om. K. [k] τέως] Sic R. et a pr. m. O. *interim* Mut. πῶς Edd. et Supp. Neutrum habet Cat. [l] πάντων Cat. et olim O. [m] ἄγει μᾶλλον] πλείονα ἄγει. τότε γὰρ μᾶλλον πιστεύομεν K.Q. Sav. cet. [n] φησὶ om. K.Q. [o] ἐνταῦθα] + ἡμῖν A.K.Q. Sav. cet. Mox ἔτι φυσιοῦνται pro ἐπιφύονται R. [p] ἀλλ' ἄκουε] λέγοντες, ἰδοὺ καὶ ὁ Παῦλος πονηρὰν τὴν ἐντολὴν εἴρηκεν. ἀλλὰ πρόσεχε K.Q. Sav. cet. [q] τὸ] + αὐτῆς Edd. αὐτῆς om. Q.R. Cat. Supp. Mut. et in text. O.

Digitized by Google

[7] "Ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός." Οὐκ ἄρα [r]αὐτὴ ἀσθενὴς,
ἀλλ' ἡμεῖς. [8] "Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος." Τί ἐστιν,
"οὐδὲν ἐτελείωσεν;" [s]Οὐδένα τέλειον εἰργάσατο παρακουό-
μενος. [u]Ἄλλως δὲ, [t]οὐδὲ εἰ ἠκούσθη, τέλειον ἐποίησεν ἂν καὶ
ἐνάρετον. Τέως δὲ οὐ τοῦτό [v]φησιν ἐνταῦθα, ἀλλ' ὅτι οὐδὲν
ἴσχυσε· καὶ εἰκότως. Γράμματα γὰρ ἦν κείμενα, τόδε πρᾶττε,
D καὶ τόδε μὴ πρᾶττε· ὑποτιθέμενα [w]μόνον, οὐχὶ καὶ δύναμιν
ἐντιθέντα. Ἡ δὲ ἐλπὶς οὐ τοιαύτη. [x]Ἀθέτησις τί ἐστιν;
Ἐκβολή. Ἡ ἀθέτησις τῶν κρατούντων ἐστὶν ἀθέτησις· [y]ὥστε
ἔδειξεν ὅτι ἐκράτει, ἀλλὰ κατεφρονήθη λοιπὸν, ἐπειδὴ μηδὲν
ἤνυσεν. Οὐδὲν [z]οὖν ὠφέλησεν ὁ νόμος; Ὠφέλησε μὲν, καὶ
132 σφόδρα ὠφέλησεν, ἀλλὰ πρὸς τὸ ποιῆσαι τελείους οὐκ ὠφέ-
λησε. "[a]Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος," κατὰ τοῦτο λέγει·
πάντα τύποι ἦσαν, πάντα σκιὰ, περιτομὴ, θυσία, σάββατον.
[b]Οὐκ ἴσχυσεν [c]οὖν διαβῆναι εἰς τὴν ψυχήν· διὰ τοῦτο παρα-
χωρεῖ καὶ ὑπεξίσταται. "[d]Ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος,
δι' ἧς ἐγγίζομεν τῷ θεῷ· [9] καὶ καθόσον οὐ χωρὶς ὁρκωμοσίας."
Ὁρᾷς ὅτι ἀναγκαῖον [e]αὐτῷ γέγονε τὸ τοῦ ὅρκου ἐνταῦθα;
Ὥστε διὰ τοῦτο πολλὰ ἄνω ἐφιλοσόφησεν, ὅτι ὤμοσεν [f]ὁ θεὸς,
B καὶ ὤμοσεν ὑπὲρ πλείονος πληροφορίας. "Ἐπεισαγωγὴ δὲ
κρείττονος [g]ἐλπίδος." [h]Εἶχε μὲν γὰρ κἀκεῖνα ἐλπίδα, ἀλλ' οὐ
τοιαύτην· ἤλπιζον γὰρ εὐαρεστήσαντες ἕξειν τὴν γῆν, μηδὲν
πείσεσθαι δεινόν· ἐνταῦθα δὲ ἐλπίζομεν [i]εὐαρεστήσαντες, οὐ
γῆν καθέξειν, ἀλλὰ τὸν οὐρανόν· μᾶλλον δὲ, ὃ πολλῷ τούτου
κρεῖττόν ἐστιν, ἐλπίζομεν ἐγγὺς στήσεσθαι τοῦ θεοῦ, παρ' αὐ-
τὸν [k]ἥκειν τὸν θρόνον τὸν πατρικὸν, λειτουργήσειν αὐτῷ μετὰ
ἀγγέλων. Καὶ ὅρα πῶς αὐτὰ τίθησι κατὰ μικρόν. Ἐκεῖ μὲν

[7] Rom. viii. 3. [8] v. 19. [9] v. 20.

[r] αὐτὴ pro αὕτη R. Cat. Mut. [s] οὐδένα] + φησὶ K.Q. Sav. cet. [t] οὐδὲ] εἰ δὲ K. Statim εἰ om. A. [v] φησιν] + ὁ λόγος Edd. ὁ λόγος om. Cat. Mut. et in text. O. [w] μόνον om. R. Statim οὐχὶ δὲ καὶ Edd. δὲ om. A.R. Cat. Mut. et in text. O. [x] ἀθ. τί (τί om. a pr. m. O.) ἐστιν] τί ἐστιν ἀθέτησις; ἄμειψις K.Q. Sav. cet. Post ἐκβολὴ add. τίνος δὲ ταύτης ([δὲ ταύτης] Sav.) δηλῶν, ἐπήγαγεν εἰπὼν, προαγούσης (προσαγ. K.) ἐντολῆς, οὕτω τὸν νόμον καλῶν, διότι ἐκβέβληται διὰ τὸ αὐτοῦ ἀσθενές· προαγόμενον δὲ, τὸ παρελθὸν καὶ παλαιωθὲν διὰ τὴν ἀσθένειαν K.Q. Sav. cet. Statim ὥστε ἡ ἀθ. iidem. Mox τῶν om. K.Q. [y] ὥστε—ἐπειδὴ] καὶ δῆλον ἐκ τούτου λοιπὸν, ὅτι ἐκράτει, ἀλλὰ κατεφρονήθη, ἐπεὶ K.Q. Sav. cet. [z] οὖν om. R. Post νόμος add. φησὶν idem. [a] οὐδὲν—λέγει] κατὰ τοῦτο τοίνυν λέγει τὸ οὐδὲν γὰρ ἐτ. ὁ ν. καθὸ K.Q. Sav. cet. [b] οὐκ] ἃ οὐκ K.Q. Sav. cet. Mox ἴσχυσαν K. [c] οὖν om. K.Q. Cat. Sav. cet. Post ψυχὴν add. λοιπὸν K.Q. [d] εἰσαγωγὴ A. ἐπεισαγωγῇ (sic) N. ἐπ' εἰσαγωγῇ Cat. Mox ὁρκομοσίας semper A. [e] αὐτῷ] Sic K.O.Q.R. Cat. οὕτω Edd. [f] ὁ θ. καὶ ὤμοσεν om. K. [g] ἐλπίδος] + τί ἐστι τοῦτο; K.Q. Sav. cet. [h] εἶχε—ἐλπίδα] εἶχον μὲν γὰρ κἀκεῖνοι R. εἶχε καὶ ὁ νόμος ἐλπίδα, φησὶν K.Q. Sav. cet. [i] εὐαρεστοῦντες K.Q. [k] ἥξειν K.Q. Sav. cet.

Digitized by Google

γάρ φησιν, "Εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσμα-
τος·" ἐνταῦθα δὲ, "Δι' ἧς ἐγγίζομεν τῷ θεῷ· καὶ καθόσον οὐ
χωρὶς ὁρκωμοσίας." [l]Τί ἐστι, "Καὶ καθόσον οὐ χωρὶς ὁρκω- C
μοσίας;" [m]Τουτέστιν, ἰδοὺ καὶ ἄλλη διαφορά· καὶ οὐδὲ ἁπλῶς
ταῦτα [n]ἐπήγγελται, φησίν. "Οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας
εἰσὶν ἱερεῖς γεγονότες· [10]ὁ δὲ [o]μεθ' ὁρκωμοσίας, διὰ τοῦ λέ-
γοντος πρὸς αὐτὸν, Ὤμοσε κύριος, καὶ οὐ μεταμεληθήσεται, σὺ
ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ· κατὰ τοσοῦτον
κρείττονος διαθήκης γέγονεν [p]ἔγγυος Ἰησοῦς." Δύο τίθησι
διαφοράς· ὅτι οὐκ ἔχει τέλος, [q]ὥσπερ ἡ νομική· τοῦτο δὲ D
[r]ποιεῖ ἀπὸ τοῦ Χριστοῦ τοῦ [s]μετιόντος· "Κατὰ δύναμιν γὰρ,
φησὶ, ζωῆς ἀκαταλύτου." Ποιεῖ δὲ αὐτὸ [t]καὶ ἀπὸ τοῦ ὅρκου,
ὅτι ὤμοσε, καὶ ἀπὸ τοῦ πράγματος· εἰ γὰρ, [v]ἐπειδὴ ἀσθενὴς
ἦν ἐκείνη, ἐξεβλήθη· [w]αὕτη, ἐπειδὴ δυνατή ἐστιν, ἕστηκε. Ποιεῖ
δὲ αὐτὸ καὶ ἀπὸ τοῦ ἱερέως· πῶς; [x]ὅτι εἷς ἐστι· [y]καὶ οὐκ ἂν
εἷς ἦν, εἰ μὴ ἀθάνατος ἦν. Ὥσπερ γὰρ πολλοὶ ἱερεῖς, διὰ τὸ
θνητοὶ εἶναι· οὕτως [z]ὁ εἷς, διὰ τὸ ἀθάνατος εἶναι. "Κατὰ
(503) τοσοῦτον κρείττονος διαθήκης γέγονεν [a]ἔγγυος Ἰησοῦς," [b]καθότι 133
ὤμοσεν αὐτῷ ἀεὶ αὐτὸν [c]ἔσεσθαι, οὐκ ἂν τοῦτο ποιήσας, εἰ μὴ
[d]ζῶν ἦν.

[11]"Ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν." Ὁρᾷς ὅτι εἰς τὸ κατὰ σάρκα [e]τοῦτό φησιν; [f]Ὅταν γὰρ ὡς ἱερεὺς, τότε καὶ ἐντυγχάνει. [g]Ὥστε καὶ ὅταν λέγῃ Παῦλος, [12]"Ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν," [h]τὸ αὐτὸ αἰνίττεται, [i]ὁ ἀρχιερεὺς ἐντυγχάνει. Ἐπεὶ ὁ ἐγείρων τοὺς νεκροὺς

10 v. 21, 22. 11 v. 25. 12 Rom. viii. 34.

[l] τί—ὁρκωμοσίας om. A.O.R. invito Mut. [m] τουτέστιν] ἀντὶ τοῦ K.Q. Statim add. οὐ χωρὶς ὅρκου K.N.Q. Sav. cet. invitis Cat. Supp. Mut. χωρὶς ὅρκου in marg. habet O. [n] ἐπαγγέλλεται R. ἐπηγγείλατο Supp. [o] μετὰ ὁρκ. K.O. Supp. Mox σὺ εἶ ἱερ. O. [p] ἔγγυος] ἐγγὺς ὁ R. Post Ἰησοῦς add. καὶ οἱ μὲν πλείονές εἰσι γεγονότες ἱερεῖς, διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν· ὁ δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην. (v. 23, 24.) K.Q. Sav. cet. [q] ὥσπερ om. K. Post νομικὴ add. καὶ ὅτι μεθ' ὁρκωμοσίας O. Sav. cet. [r] ποιεῖ] ἐποίει ὡς R. [s] μετιόντος] ἀεὶ ὄντος N. μεσιτεύοντος O. [t] καὶ om. R. Cat. ὅτι ὤμοσε om. R. [v] ἐπειδὴ om. R. Post ἦν add. φησὶν K.Q. Sav. cet. [w] αὕτη] + δὲ R. Veron. [x] ὅτι] δεικνὺς ὅτι K.Q. Sav. cet. [y] καὶ οὐκ ἂν] οὐκ ἂν δὲ K.Q.R. Supp. καὶ οὐκ ἂν δὲ N. οὐκ ἂν Cat. [z] ὁ εἷς] εἷς Cat. εἷς ὁ εἷς K.Q. Sav. cet. [a] ἐγγὺς R. [b] καθότι] καὶ καθότι N. et ex corr. O. Mox αὐτῷ om. R. Veron. [c] ἔσεσθαι] + ἱερέα, φησὶν K.Q. Sav. cet. [d] ζῶν] μείζων A.K.N.O.Q. Supp. Mut. [e] τοῦτο] ταῦτα A. Veron. [f] ὅταν—ἐντυγχάνει] ὅτε ἔδειξεν αὐτὸν ἱερέα, τότε εὐκαίρως λέγει τὸ ἐντυγχάνειν K.Q. Sav. cet. [g] ὥστε καὶ] Sic K.N.O.Q. Cat. Sav. cet. ὥστε κἂν R. ὡς A. Veron. [h] τὸ αὐτὸ αἰν.] τοῦτο λέγει K.Q. [i] ὁ ἀρχ. ἐντ.] Sic O.R. ὅτι ὁ ἀρχ. ἐντ. A. ὅτι ἀρχ. ἐντ. N. ὡς ἀρχ. οὖν λέγεται ἐντυγχάνειν K.Q. ὡς ἀρχ. ἐντ. Cat. ὅτι ἀρχ. ὢν ἐντ. Edd. *hoc est, pontifex interpellat* Mut.

Digitized by Google

ὡς θέλει, καὶ ζωοποιῶν, [k]καὶ οὕτως ὡς ὁ πατὴρ, πῶς, [l]ἔνθα
B σῶσαι δεῖ, ἐντυγχάνει; [m]ὁ πᾶσαν τὴν κρίσιν ἔχων, πῶς ἐντυγχάνει; ὁ ἀποστέλλων τοὺς ἀγγέλους, ὥστε τοὺς μὲν εἰς κάμινον ἐμβαλεῖν, τοὺς δὲ σῶσαι, [n]πῶς ἐντυγχάνει; "Ὅθεν, [o]φησὶ, καὶ σώζειν δύναται." Διὰ τοῦτο οὖν σώζει, ἐπειδὴ οὐκ ἀποθνήσκει. Ἐπειδὴ ἀεὶ ζῇ, οὐκ ἔχει διάδοχον, φησίν· εἰ δὲ οὐκ ἔχει διάδοχον, [p]καὶ δύναται πάντων προΐστασθαι. Ἐνταῦθα μὲν γὰρ ὁ ἀρχιερεὺς, εἰ καὶ θαυμαστὸς ἦν, μέχρι τοῦ καιροῦ ἐκείνου ἐν ᾧ ἦν, οἷον ὁ Σαμουὴλ, καὶ ὅσοι τοιοῦτοι· μετὰ δὲ ταῦτα, οὐκέτι· ἐτεθνήκεσαν γάρ· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ
C σώζει εἰς τὸ παντελές. [q]Τί ἐστιν, "εἰς τὸ παντελές;" Μυστήριόν [r]τι αἰνίττεται. Οὐκ ἐνταῦθα μόνον, φησὶν, ἀλλὰ καὶ ἐκεῖ σώζει τοὺς προσερχομένους δι' αὐτοῦ τῷ θεῷ. [s]Πῶς σώζει; "Πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν." [t]Ὁρᾷς τὴν ταπεινότητα; ὁρᾷς τὴν ἀνθρωπότητα; [v]οὐ γὰρ ἅπαξ [w]φησὶν αὐτὸν ἐντυχόντα τούτου τυχεῖν, ἀλλ' ἀεὶ, καὶ ἡνίκα ἂν δέηται [x]ἐντυγχάνειν ὑπὲρ αὐτῶν. "Εἰς τὸ παντελές," [y]τί ἐστιν; Οὐ [z]πρὸς καιρὸν μόνον, ἀλλὰ καὶ [a]ἐκεῖ ἐν τῇ μελλούσῃ ζωῇ. Ἀεὶ οὖν δεῖται τοῦ εὔχεσθαι; καὶ πῶς ἂν ἔχοι λόγον; καὶ ἄνθρωποι
D μὲν πολλάκις δίκαιοι ἐκ μιᾶς αἰτήσεως τὸ πᾶν ἤνυσαν, αὐτὸς δὲ ἀεὶ [b]δεῖται; Τίνος οὖν ἕνεκεν συγκάθηται; Ὁρᾷς ὅτι συγκατάβασίς ἐστι; [c]Τουτέστι, [d]μὴ δείσητε, μηδὲ εἴπητε, [e]ναὶ, φιλεῖ μὲν ἡμᾶς, καὶ παρρησίαν ἔχει πρὸς τὸν πατέρα, ἀλλ' οὐκ ἀεὶ δύναται ζῆν· [f]ἀεὶ γὰρ ζῇ. [13]"Τοιοῦτος γὰρ ἡμῖν [g]καὶ ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν

13 v. 26.

[k] καὶ om. K.Q.R. Mut. Sav. cet. invitis Cat. Supp. [l] ἔνθα σ. δεῖ] ἔνθαδε R. [m] ὁ πᾶσαν τ. κ. ἔ. πῶς ἐντυγχάνει om. K. inclusum a Sav. [n] πῶς ἐντ. om. A. Cat. Veron. [o] φ. καὶ σώζειν] καὶ σώζειν, φ. K.N.Q. Supp. [p] καὶ om. K.Q. Supp. οὐ pro καὶ Cat. [q] τί—παντελὲς om. A.K.Q.R. Supp. Mut. non Cat. [r] τι] + μέγα K.Q. Sav. cet. [s] πῶς σώζει;] καὶ πῶς τοῦτο ποιεῖ ἑρμηνεύων ἐπάγει τὸ K.Q. Post αὐτῶν add. φησὶν K.Q. Sav. cet. [t] ὁρᾷς—ἀνθρωπότητα] ὁρᾷς ὅσον τὰ ταπεινὸν εἶπε διὰ τὴν ἀνθρωπότητα K.Q. Sav. cet. ὁρᾷς τὴν ταπ. om. A. Veron. [v] οὐ γὰρ] οὐχ K.Q. Statim ἅπαξ om. A.R. Veron. et in text. O. [w] φησὶν αὐτὸν ἐντυχόντα (ἐπιτυχόντα A.R. Veron. et a pr. m. O. ἐντυγχάνοντα Supp.) τούτου τυχεῖν] αὐτὸν ἐντυχόντα τούτου τυχεῖν λέγει K.Q. Sav. cet. [x] ἐντυγχάνει K.Q. Post αὐτῶν add. τοῦτο γὰρ δηλοῖ τὸ K.Q. Sav. cet. [y] τί ἐστιν;] τουτέστιν N. τί ἐστιν, εἰς τὸ παντελές; Q. Sav. cet. Sic ex corr. O. τί ἐστιν; om. K. [z] πρὸς καιρὸν (πρόσκαιρον A. Veron.) μόνον] πρὸς τὸ παρὸν μόνον, φησὶν K.Q. Sav. cet. [a] ἐκεῖ] ἀεὶ O. Mox παρούσῃ pro μελλούσῃ K. [b] δέεται O. [c] τουτέστι] τὸ ταπεινὰ φθέγγεσθαι; ὃ δὲ λέγει, τοῦτό (τοιοῦτόν Sav. cet.) ἐστι K.Q. Sav. cet. τουτέστι om. A. Veron. [d] μὴ] μηδὲν K.Q. Sav. cet. Mox μὴ εἴπητε O. Cat. Supp. Veron. μὴ δείσητε, μηδὲ εἴπητε] μὴ δεῖσαί τινα καὶ εἰπεῖν R. [e] ναὶ] ὅτι ναὶ K.Q. [f] ἀεὶ γὰρ ζῇ] λέγῃ πάντοτε ζῶν R. [g] καὶ om. K.N.Q.R. Sav. cet.

Digitized by Google

ἁμαρτωλῶν.” Ὁρᾷς ὅτι περὶ τῆς ἀνθρωπότητος τὸ πᾶν εἴρη- 134
ται; Ὅταν δὲ εἴπω [h]ἀνθρωπότητος, θεότητα [i]ἐχούσης λέγω,
οὐ [k]διαιρῶν, ἀλλὰ ἀφεὶς τὰ πρέποντα ὑποπτεύειν. Εἶδες τὴν
διαφορὰν τοῦ ἀρχιερέως; [l]Ἀνεκεφαλαιώσατο τὰ λεχθέντα·
“[m]Πεπειραμένον δὲ κατὰ πάντα καθ’ ὁμοιότητα χωρὶς ἁμαρ-
τίας.” “Τοιοῦτος γὰρ ἡμῖν, φησὶ, [n]καὶ ἔπρεπεν ἀρχιερεὺς,
ὅσιος, ἄκακος.” [o]Ἄκακος τί ἐστιν; Ἀπόνηρος· [p]ὃ λέγει ἕτερος
προφήτης· [14]“Δόλος οὐχ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ.” Του-
τέστιν, οὐχ ὕπουλος. [q]Τοῦτο ἄν τις περὶ θεοῦ εἴποι; [r]καὶ οὐκ
αἰσχύνεται λέγων, ὅτι ὁ θεὸς οὐκ ἔστιν ὕπουλος, οὐδὲ δολερός; B
περὶ [s]μέντοι τοῦ κατὰ σάρκα ἔχοι ἂν λόγον. “Ὅσιος, ἀμίαν-
τος·” καὶ τοῦτο [t]περὶ θεοῦ εἴποι τις ἄν; [v]ἔχει γὰρ φύσιν μιαί-
νεσθαι; “Κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν.” [w]Τοῦτο οὖν
μόνον δείκνυσι τὸ διάφορον, ἢ καὶ αὐτὴ ἡ [x]θυσία; Πῶς;
[15]“Οὐκ [y]ἔχει, φησὶ, καθ’ ἡμέραν ἀνάγκην, ὥσπερ [z]ὁ ἀρχιερεὺς,
ὑπὲρ τῶν ἁμαρτιῶν αὐτοῦ ἀναφέρειν θυσίας· τοῦτο γὰρ ἐποί-
ησεν ἐφάπαξ, ἑαυτὸν [a]ἀνενέγκας.” [b]Τοῦτο, ποῖον; Ἐνταῦθα
[c]προανακρούεται λοιπὸν τῆς πνευματικῆς θυσίας τὴν ὑπερβολὴν C
καὶ τὸ μέσον. Εἶπε τὸ τοῦ ἱερέως, [d]εἶπε τὸ τῆς πίστεως, εἶπε
τὸ τῆς διαθήκης, οὐχ ὅλον μὲν, εἶπε δὲ ὅμως· ἐνταῦθα προανα-
κρούεται λοιπὸν καὶ [e]αὐτὴν τὴν θυσίαν. Μὴ τοίνυν αὐτὸν ἱερέα
ἀκούσας, [f]ἀεὶ ἱερᾶσθαι νόμιζε· ἅπαξ γὰρ ἱεράσατο, καὶ λοιπὸν

14 Esai. liii. 9. 15 v. 27.

[h] *ἀνθρωπότητος*] Sic a pr. m. O. et ex corr. N. *ἀνθρωπότητα* Edd. [i] *ἐχούσης*] Sic libri omnes cum Cat. Supp. Edebatur *ἔχουσαν*. [k] *διαιρῶ* R. Statim *ἀλλ’ ἀφεὶς* K. Cat. Supp. [l] *ἀνακεφαλαιώσατε* R. Statim *τὰ ἄνω λεχθέντα, ὅτε ἔλεγε, πεπ.* K.Q. Sav. cet. [m] *πεπειραμένος* R. [n] *καὶ* om. K.Q. Sav. cet. [o] *ἄκ. τί ἐστιν*] *τί ἐστιν ἄκ.* N. Supp. [p] *ὃ* (*ὃ* om. R.) *λέγει—εὑρέθη*] *οὐχ ὕπουλος· καὶ ὅτι τοιοῦτος, ἄκουε τοῦ προφήτου λέγοντος, οὐδὲ εὑρ. δ.* K.Q. Sav. cet. Mox *τουτέστιν, οὐχ ὕπ.* om. iidem. [q] *τοῦτο*] + *οὖν* A.N. Supp. Sav. cet. *οὖν* superscript. in O. + *οὐκ* K.Q. Cat. *Num hoc quisquam* etc. Mut. [r] *καὶ*] *ὁ δὲ* K.Q. Sav. cet. [s] *μέντοι*] Sic K.N.O.Q. Cat. Supp. *μὲν οὖν* Edd. *περὶ—λόγον*] *εἰς δὲ τὸ κατὰ σ. ἔχοιεν λόγον* R. [t] *οὐ περὶ* Cat. Edd. *οὐ* om. K.N.O.Q.R. Supp. Statim *περὶ τοῦ θ.* K.N.O.Q. Sav. cet. *num et hoc* etc. Mut. [v] *ἔχει γὰρ φ. μιαίνεσθαι;*] Sic N.R. Supp. Mut. *οὐχ ἔχει γὰρ φ. μ.* K.O.Q. *ἔχει γὰρ φ.* (*φ. γὰρ* A.) *μὴ μ.* A. Cat. Edd. [w] *τοῦτο οὖν*] *τοῦτο οὐ* R. *οὐ τοῦτο οὖν* Supp. Mox *ἀλλὰ* pro *ἢ* R. Supp. [x] *θυσία*] + *καὶ ἡ θυσία* K.Q. Sav. cet. + *καὶ αὐτὴ ἡ θ.* in marg. a rec. m. N. [y] *ἔχει*] + *γὰρ* Q. [z] *ὁ ἀρχ.* (*καὶ ὁ ἀρχ.* N.)—*αὐτοῦ*] *οἱ ἀρχιερεῖς πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν* K.Q.R. Sav. cet. invita Cat. Statim *θυσίας ἀναφ.* inverso ord. K.N.Q. Sav. cet. [a] *προσενέγκας* R. [b] *τοῦτο, ποῖον;*] Sic nostri omnes et Cat. *τοῦτο ποιῶν* Edd. [c] *ἀνακρούεται* R. et a pr. m. O. *ἐνταῦθα—ἱερέως*] *τὸ ὑπὲρ τοῦ λαοῦ ἀνενέγκαι ἑαυτὸν θυσίαν. εἶπεν τὸ μέσον τοῦ ἱερέως* K.Q. [d] Haec *εἶπε τὸ τῆς πίστεως* accesserunt ex N.Q. Supp. et marg. O. [e] *ταύτην* N. *ἐνταῦθα—θυσίαν*] *ἐνταῦθα λοιπὸν περὶ τῆς θυσίας διαλέγεται, καὶ δείκνυσιν αὐτῆς τὴν ὑπερβολὴν* K.Q. [f] [*ἀεὶ*] Sav. *ἀεὶ* om. K.Q.R. Post *νόμιζε* add. *ἔτι* K.Q.

Digitized by Google

ἐκάθισεν. [g]*Ἵνα μὴ νομίσῃς ἄνω ἑστάναι αὐτὸν, καὶ λειτουργὸν*
εἶναι, δείκνυσιν ὅτι οἰκονομίας τὸ πρᾶγμά ἐστιν. Ὥσπερ γὰρ
D *δοῦλος ἐγένετο, οὕτω καὶ ἱερεὺς καὶ λειτουργός· ἀλλ' ὥσπερ*
δοῦλος γενόμενος, οὐκ ἔμεινε δοῦλος, οὕτω καὶ λειτουργὸς γενό-
μενος, οὐκ ἔμεινε λειτουργός· οὐ γὰρ λειτουργοῦ τὸ [h]*καθῆσθαι,*
ἀλλὰ τὸ ἑστάναι. Τοῦτο *οὖν αἰνίττεται* [i]*ἐνταῦθα, καὶ τῆς*
θυσίας τὸ μεγαλεῖον, [k]*εἰ ἤρκεσε μία οὖσα, καὶ ἅπαξ προσε-* (504)
νεχθεῖσα, τοσοῦτον ὅσον [l]*αἱ πᾶσαι οὐκ ἴσχυσαν.* Ἀλλ' *οὔπω*
περὶ [m]*τούτων·* "Τοῦτο *γὰρ ἐποίησεν,"* [n]*φησί.* [o]Τοῦτο, *ποῖον;*
16 "Ἀναγκαῖον *γὰρ ἔχειν, φησὶ, τὶ καὶ* [p]*τοῦτον ὃ προσενέγκῃ·"*
οὐ τὸ ὑπὲρ [q]*ἑαυτοῦ· πῶς γὰρ ὑπὲρ ἑαυτοῦ* [r]*προσέφερεν; ἀλλ'*
135 *ὑπὲρ τοῦ λαοῦ.* Τί *λέγεις;* [s]*καὶ ἰσχύει τοῦτο;* Ναὶ, [t]*φησίν.*
17 "Ὁ *νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας*
[v]*ἀσθένειαν."* [w]Καὶ *οὐ δεῖται τοῦ προσφέρειν ὑπὲρ ἑαυτοῦ;*
Οὔ, *φησίν. Ἵνα γὰρ* [x]*μὴ νομίσῃς τὸ, "ἐποίησεν ἐφάπαξ," καὶ*
περὶ αὐτοῦ εἰρῆσθαι, ἄκουσον τί φησιν· "Ὁ *νόμος γὰρ ἀνθρώ-*
πους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν." [y]Διὰ *τοῦτο*
[z]*καὶ ἀεὶ καὶ ὑπὲρ ἑαυτῶν προσφέρουσιν· ὁ* [a]*μέντοι δυνατὸς, ὁ*
μὴ ἔχων ἁμαρτίαν, τίνος ἕνεκεν [b]*περὶ ἑαυτοῦ προσφέρει,* [c]*ἢ περὶ*
τῶν ἄλλων πολλάκις; "Ὁ *λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ*
τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον." "[d]Τετελειω-
μένον," τί ἐστιν; Οὐ *τίθησι τὰς ἀντιδιαστολὰς* [e]*κυρίας ὁ* Παῦ-
B *λος· εἰπὼν γὰρ, "ἔχοντας ἀσθένειαν," οὐκ εἶπεν υἱὸν δυνατὸν,*
ἀλλὰ, "τετελειωμένον," τουτέστι, δυνατὸν, ὡς ἂν εἴποι τις.
Ὁρᾷς [f]*ὅτι τὸ, υἱὸς, ὄνομα πρὸς ἀντιδιαστολὴν τοῦ δούλου εἴρη-*

16 Hebr. viii. 3. 17 v. 28.

[g] *ἵνα*] + *γὰρ* N.Q. Supp. Sav. cet. *γὰρ* superscript. in K. Mox *αὐτὸν ἑστάναι* hoc ord. K.O.Q. [h] *κάθεσθαι* A. Veron. [i] *ἐνταῦθα*] *τὸ ἐνταῦθα* Q. Statim *καὶ* om. K. Sav. cet. [k] *εἰ*] *ἢ* O.Q. Cat. Sav. cet. *ἦ* R. *ἦ* K. Mox *θυσία* pro *οὖσα* R. [l] *αἱ π.*] *ἅπασαι* A. *καὶ π.* Cat. [m] *τούτων*] *τούτου· τοσοῦτον δὲ τέως φησὶ* K.Q. Sav. cet. [n] *φησὶ*] *ἐφάπαξ* iidem. [o] *τοῦτο—τὶ*] *τουτέστιν, ἀναγκ. ἦν ἔχειν* K.Q. [p] *τοῦτο* R. [q] *αὐτοῦ* A.O. *πῶς—ἑαυτοῦ* om. A. [r] *προσέφερεν* (+ *ἂν* Q.)] + *ἀναμάρτητος ὢν* K.Q. Sav. cet. favente Supp. [s] *καὶ*] + *οὐ δεῖται τοῦ προσφέρειν ὑπὲρ ἑαυτοῦ, ἀλλ'* iidem. Mox *τοσοῦτον* pro *τοῦτο* iidem. [t] *φησὶν*] + *ἵνα γὰρ* (*καὶ ἵνα* K. *διὸ καὶ ἵνα* Q.) *μὴ νομίσῃς τὸ, ἐποίησεν ἐφάπαξ, καὶ περὶ αὐτοῦ εἰρῆσθαι, ἄκουσον τί ἐπάγει* iidem. [v] *ἀσθένειαν*] + *ὁ λόγος δὲ—τετελειωμένον.* R. [w] Haec *καὶ οὐ δεῖται—ἀσθένειαν* om. A.K.Q. Sav. cet. [x] *μὴ*] + *τοῦτο* O. Cat. + *τοῦτον* N. [y] *διὰ*] *οὐκοῦν διὰ* K.Q. [z] *καὶ ἀεὶ καὶ*] Sic A.O.R. Cat. *ἀεὶ καὶ* K.N.Q. *καὶ ἀεὶ* Edd. Mox *αὐτῶν* A. Post *προσφέρουσιν* add. *καὶ ὑπὲρ τοῦ λαοῦ* K.Q. [a] *μέντοι*] *δὲ* R. Post *δυνατὸς* add. *ὢν* K.Q. Sav. cet. [b] *περὶ*] *ὑπὲρ* K.N.O.Q. Sav. cet. *ἢ περὶ* Cat. [c] *ἢ περὶ τῶν ἄλλων* (+ *δὲ* (postea erasum) O.) *πολλάκις*] *ἄρα οὐχ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τοῦ λαοῦ προσέφερε· καὶ τοῦτο ἐφάπαξ* K.Q. Sav. cet. [d] *τετ. τί ἐστιν*] *τί ἐστιν, τετ.* N.O. Haec om. K.Q. inclusa a Sav. Post *ἐστιν* add. *ὅρα* K.O.Q. Sav. cet. [e] *κυρίας* (*κυρίως* Supp. et a pr. m. O.) *ὁ Π.*] Sic A.K.O.Q.R. Supp. *ὁ Π. κυρίας* Edd. [f] *ὅτι*] + *καὶ* N. Supp. et ex corr. O. Statim *ὁ* pro *τὸ* a pr. m. O.

Digitized by Google

ται; Ἀσθένειαν δὲ ἢ [g]ἁμαρτίαν φησὶν, ἢ θάνατον. Τί ἐστιν,
"εἰς τὸν αἰῶνα;" Οὐ νῦν μόνον [h]ἀναμάρτητον, ἀλλ' ἀεί. Εἰ
τοίνυν [i]τέλειός ἐστιν, εἰ μηδέποτε ἁμαρτάνει, [k]εἰ ἀεὶ ζῇ, τίνος
ἕνεκεν προσοίσει [l]πολλὰς ὑπὲρ ἡμῶν θυσίας; Ἀλλὰ τέως μὲν
ὑπὲρ τούτου οὐκ ἰσχυρίζεται· ὑπὲρ [m]δὲ τοῦ μὴ προσφέρειν αὐ-
τὸν ὑπὲρ ἑαυτοῦ, τοῦτο ἰσχυρίζεται.

[n]Ἐπεὶ οὖν τοιοῦτον ἔχομεν ἀρχιερέα, μιμησώμεθα αὐτὸν,
[o]κατ' ἴχνος αὐτοῦ [p]βαίνωμεν. Οὐκ ἔστιν ἄλλη θυσία· μία ἡμᾶς C
[q]ἐκαθάρισε· μετὰ δὲ τοῦτο πῦρ καὶ γέεννα. Καὶ γὰρ [r]καὶ διὰ
τοῦτο ἄνω καὶ κάτω στρέφει λέγων, ἕνα ἱερέα, μίαν θυσίαν, ἵνα
μή τις, [s]νομίζων πολλὰς εἶναι, ἀδεῶς ἁμαρτάνῃ. Ὅσοι τοίνυν
κατηξιώθημεν τῆς σφραγῖδος, ὅσοι τῆς θυσίας [t]ἀπελαύσαμεν,
ὅσοι τῆς ἀθανάτου τραπέζης μετέσχομεν, μένωμεν φυλάττοντες
τὴν εὐγένειαν καὶ τὴν τιμήν· οὐ γὰρ ἀκίνδυνος ἡ ἀπόπτωσις.
Ὅσοι [v]δὲ μηδέπω κατηξιώθησαν τούτων, μηδὲ οὗτοι διὰ [w]τοῦτο
θαρρείτωσαν· ὅταν γάρ τις διὰ τοῦτο ἁμαρτάνῃ, ἵνα τὸ ἅγιον D
βάπτισμα πρὸς ἐσχάταις λάβῃ ταῖς ἀναπνοαῖς, πολλάκις οὐκ
ἐπιτεύξεται. Καὶ, πιστεύσατέ μοι, οὐ φοβῶν ὑμᾶς λέγω, ὃ
μέλλω λέγειν· πολλοὺς οἶδα τοῦτο παθόντας ἐγὼ, οἳ προσδοκίᾳ
μὲν τοῦ [x]φωτίσματος πολλὰ ἡμάρτανον, πρὸς δὲ [y]τῇ ἡμέρᾳ
τῆς τελευτῆς ἀπῆλθον κενοί. Ὁ γὰρ θεὸς [z]διὰ τοῦτο τὸ βά-
πτισμα ἔδωκεν, ἵνα λύσῃ τὰς ἁμαρτίας, οὐχ ἵνα αὐξήσῃ [a]τὰς
ἁμαρτίας· εἰ δέ τις [b]τούτῳ κεχρημένος εἴη πρὸς ἄδειαν τοῦ
πλείονα ἁμαρτάνειν, ῥᾳθυμίας τοῦτο γίνεται αἴτιον. Εἰ γὰρ
μὴ λουτρὸν ἦν, ἀσφαλέστερον [c]ἔζων, ὡς οὐκ ἔχοντες ἄφεσιν. 136
Ὁρᾷς ὅτι τὸ, [18]"Ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθὰ,"
ἡμεῖς ἐσμεν οἱ ποιοῦντες λέγεσθαι; [d]Διὸ, παρακαλῶ, καὶ ὑμεῖς
οἱ ἀμύητοι νήφετε· μηδεὶς ὡς μισθωτὸς, μηδεὶς ὡς ἀγνώμων,
οὕτω μετιέτω τὴν ἀρετὴν, μηδεὶς ὡς βαρὺ καὶ φορτικόν. Μετὰ
προθυμίας τοίνυν ταύτην μετέλθωμεν καὶ χαίροντες. Εἰ γὰρ
μὴ μισθὸς ἔκειτο, οὐκ ἐχρῆν εἶναι ἀγαθόν; ἀλλ' ὅμως κἂν [e]μετὰ

18 Rom. iii. 8.

[g] τὴν ἁμ. et mox τὸν θάν. K.Q. Sav. cet. [h] ἀναμ.] + φησὶν iidem. [i] τέλειος] τελείωσις R. τέλος Cat. Supp. Mox ἁμαρτάνῃ A.R. Cat. Veron. [k] εἰ] ἀλλ' R. Veron. [l] πολλὰς] πολλάκις K.Q. Sav. cet. [m] δὲ om. A. [n] ΗΘΙΚΟΝ. Ὅτι οὐ δεῖ προφάσει τοῦ ἁμαρτάνειν, ὑπερτίθεσθαι τὸ βάπτισμα· δεῖ γὰρ καὶ μετὰ τὸ βάπτισμα πολλῆς ἐργασίας. Veron. [o] κατ'] καὶ κατ' K.Q. Sav. cet. Sic ex corr. O. [p] βαδίσωμεν R. [q] ἐκάθαρε K.O.Q. [r] καὶ om. K.Q. [s] νομίσας R. [t] ἀπηλ. N.O. Sav. cet. Mox μετέχομεν K.O. [v] δὲ om. A. Statim μήπω K.N.Q. [w] τούτων R. [x] βαπτίσματος K.O.Q. [y] τὴν ἡμέραν R. Post τελευτῆς add. μὴ δυνηθέντες αὐτὸ λαβεῖν K.Q. [z] διὰ τοῦτο τὸ om. R. [a] τὰς ἁμαρτίας om. K.Q. inclusum a Sav. cet. [b] τοῦτο A.R. Mox πλεῖον ἁμ. A. Veron. Post ῥᾳθυμίας add. λοιπὸν K.Q. Sav. cet. [c] ἔζων] + ἂν iidem. [d] διὸ—νήφετε om. R. [e] μετὰ om. N.

Digitized by Google

μισθοῦ γενώμεθα ἀγαθοί. [f]Καὶ πῶς οὐκ αἰσχύνη τοῦτο, καὶ
μεγίστη κατάγνωσις; [g]ἐὰν μὴ δῷς μοι μισθὸν, φησὶν, οὐ γίνο-
B μαι σώφρων. Οὐκοῦν τολμῶ τι εἰπεῖν; οὐδέποτε [h]ἔσῃ σώφρων,
οὐδὲ ὅταν σωφρονῇς, [i]εἴγε μισθῷ αὐτὸ ποιεῖς· [k]οὐδὲν ἡγῇ τὴν
ἀρετὴν, εἴγε μὴ ἐρᾷς αὐτῆς. Ἀλλ' ὁ θεὸς διὰ τὴν πολλὴν ἡμῶν
ἀσθένειαν τέως [l]κἂν μισθοῦ ἠθέλησεν αὐτὴν γενέσθαι· ἡμεῖς δὲ
οὐδὲ οὕτω [m]μέτιμεν αὐτήν. Θῶμεν [n]δὲ, εἰ βούλεσθε, ὅτι ἄν-
θρωπός τις μυρία ἐργασάμενος κακὰ ἄπεισι, [o]καὶ καταξιωθεὶς
τοῦ βαπτίσματος· ὅπερ οὐ ταχέως οἶμαι [p]συμβαίνειν· πῶς ἀπ-
ελεύσεται ἐκεῖ, εἰπέ μοι; Ὑπὲρ μὲν τῶν εἰργασμένων οὐκ ἐγκα-
C λούμενος, ἀπαρρησίαστος δὲ [q]ὢν, εἰκότως. Ὅταν γὰρ ἑκατὸν
ἔτη βιώσας, μηδὲν ἀγαθὸν [r]ἔργον ἐπιδείξηται, ἀλλὰ μόνον, ὅτι
οὐχ ἥμαρτε, μᾶλλον δὲ [s]μηδὲ τοῦτο, ἀλλ' ὅτι χάριτι μόνῃ [t]διε-
σώθη, ἑτέρους δὲ ἐστεφανωμένους λαμπροὺς καὶ εὐδοκίμους ἴδῃ·
[v]κἂν εἰς γέενναν μὴ ἐμπέσῃ, ἆρα οἴσει τὴν ἀθυμίαν, εἰπέ μοι; (505)
Ἵνα δὲ ἐπὶ ὑποδείγματος τὸ πρᾶγμα [w]ποιήσω φανερὸν, ἔστω-
σαν δύο στρατιῶται, καὶ ὁ μὲν κλεπτέτω, ἀδικείτω, πλεονεκτείτω·
ὁ δὲ μηδὲν τούτων ἐργαζέσθω, [x]ἀλλὰ ἀνδραγαθείτω, μεγάλα
κατορθούτω, ἐν πολέμοις τρόπαια ἱστάτω, αἱματτέτω τὴν δεξιάν·
D εἶτα καιροῦ ἐπιστάντος, ὁ μὲν ἀπὸ τῆς [y]ἀξίας ἐκείνης, ἐν ᾗ [z]καὶ
ὁ κλέπτης ἦν, ἀθρόον ἐπὶ τὸν βασιλικὸν θρόνον καὶ τὴν ἁλουρ-
γίδα ἀγέσθω· ἐκεῖνος [a]δὲ ἐκεῖ μενέτω, ἔνθα ἦν, ἀπὸ δὲ τῆς φι-
λανθρωπίας μόνον τῆς βασιλικῆς μὴ διδότω δίκην ὧν ἔδρασεν, ἐν
μέντοι τῷ ἐσχάτῳ τόπῳ ἔστω, καὶ ὑπὸ τῷ βασιλεῖ ταττέσθω·
ἆρα οἴσει τὴν ἀθυμίαν, εἰπέ μοι, ὅταν ἴδῃ τὸν [b]μὲν μετ' αὐτοῦ
πρὸς αὐτὴν ἀνελθόντα τῶν ἀξιωμάτων τὴν κορυφὴν, καὶ οὕτω
137 λαμπρὸν γενόμενον, καὶ τῆς οἰκουμένης κρατοῦντα, [c]ἑαυτὸν δὲ
ἔτι κάτω μένοντα, καὶ [d]οὐδὲ αὐτὸ τὸ μὴ κολασθῆναι μετὰ τιμῆς
ἔχοντα, ἀλλ' ἀπὸ τῆς χάριτος καὶ τῆς φιλανθρωπίας τοῦ βασι-
λέως; Κἂν γὰρ ἀφῇ ὁ βασιλεὺς, καὶ [e]ἐγκλημάτων ἀπαλλάξῃ,
ἀλλ' ὅμως αἰσχυνόμενος βιώσεται· οὐ γὰρ δὴ καὶ ἄλλοι αὐτὸν

[f] καὶ πῶς] πῶς γὰρ K.Q. Sav. cet. Mox μεγάλη κατ. R. [g] ἂν K.O.Q.R. [h] ἔσῃ] εἴη A. εἶ O. εἴης Veron. [i] εἴγε] εἰ δὲ R. Statim αὐτὸ μισθῷ hoc ord. K.O.Q. Mox ποιῇς R. Veron. [k] οὐδὲν] + γὰρ K.Q. Sav. cet. [l] κἂν μισθοῦ] καὶ μισθῷ K.Q.R. κἂν μισθῷ Sav. cet. Mox γίνεσθαι A.O. Veron. [m] μετίομεν A. [n] δὲ] γὰρ A. [o] [καὶ] Sav. καὶ om. A.K.Q. [p] συμβαίνει R. Mox ἐκεῖ om. idem. [q] ὢν om. A.R. Veron. [r] ἔργον] ἕτερον A. Veron. ἔργον om. R. [s] οὐδὲ R. Mox ἀλλὰ τῇ χ. A. Veron. ἀλλὰ χ. R. [t] ἐσώθη K.Q. [v] κἂν μὴ εἰς γ. hoc ord. K.O.Q. [w] ποιήσωμεν N. Statim φανερώτερον K.N.Q. Mut. Sav. cet. [x] ἀλλ' ἀνδρ. K.N. [y] ἀταξίας Q. [z] καὶ om. A. [a] δὲ] + ὁ κλέπτης K.N.Q. Sav. cet. Sic in marg. O. [b] μὲν om. R. Post αὐτὴν add. δήπου K.Q. Sav. cet. [c] αὐτὸν A.R. et a pr. m. O. οὐ τὸν Veron. [d] οὐδὲ αὐτὸ] οὐ δι' αὐτὸν R. μετὰ τιμῆς om. idem. [e] ἀπαλλάξῃ ἐγκλ. hoc ord. N.R.

Digitized by Google

θαυμάσονται. Ἐν γὰρ ταῖς [f]τοιαύταις συγχωρήσεσιν οὐ τοὺς
λαμβάνοντας [g]τὰ δῶρα, ἀλλὰ τοὺς διδόντας θαυμάζομεν· καὶ
ὅσῳ ἂν μείζονα [h]δῶσι δῶρα, τοσούτῳ μᾶλλον καταισχύνονται
οἱ λαμβάνοντες, ὅταν μεγάλα ᾖ αὐτοῖς τὰ ἡμαρτημένα. Ποίοις
οὖν ὀφθαλμοῖς ἀντιβλέψαι δυνήσεται ὁ τοιοῦτος [i]τοῖς ἐν τοῖς B
βασιλείοις οὖσιν, ἐκείνων μυρίους ἱδρῶτας καὶ τραύματα ἐπιδει-
κνυμένων, αὐτὸς οὐδὲν ἔχων ἐπιδεῖξαι, ἀλλὰ καὶ αὐτὸ τὸ σωθῆναι
[k]ἀπὸ μόνης [l]τῆς τοῦ θεοῦ φιλανθρωπίας ἔχων; Ὥσπερ γὰρ εἴ
τις [m]ἄνδρα φονέα, κλέπτην, μοιχὸν μέλλοντα [n]ἀπάγεσθαι ἐξαι-
τήσαιτο, καὶ κελεύσειεν εἶναι παρὰ τὰ πρόθυρα τῶν βασιλείων,
[o]οὐδενὶ δυνήσεται ἀντιβλέψαι ἐκεῖνος λοιπὸν, εἰ καὶ τῆς τιμω-
ρίας ἀπήλλακται· οὕτω δὴ καὶ οὗτος. Μὴ γὰρ [p]δὴ, ἐπειδὴ
[q]βασίλεια λέγεται, νομίσητε πάντας τῶν αὐτῶν τυγχάνειν. Εἰ C
γὰρ ἐνταῦθα [r]καὶ ὁ ὕπαρχος, καὶ πάντες οἱ περὶ τὸν βασιλέα,
καὶ οἱ σφόδρα καταδεέστεροι καὶ τὸν τῶν λεγομένων δεκανῶν
τόπον ἐπέχοντες, ἐν τοῖς βασιλείοις εἰσὶ, καίτοι τοσούτου ὄντος
[s]τοῦ μέσου [t]τοῦ ὑπάρχου καὶ τοῦ δεκανοῦ· πολλῷ μᾶλλον ἐν
τοῖς ἄνω βασιλείοις τοῦτο ἔσται. Καὶ τοῦτο οὐκ ἀπ' ἐμαυτοῦ
λέγω· καὶ γὰρ ἑτέραν [v]τούτων μείζονα τίθησι διαφορὰν ὁ
Παῦλος. Ὅσαι γὰρ διαφοραὶ, φησὶν, ἀπὸ ἡλίου [w]ἕως σελήνης
καὶ ἀστέρων καὶ τοῦ μικροτάτου ἀστέρος, τοσαῦται καὶ τῶν ἐν
τῇ βασιλείᾳ. Καὶ ὅτι πολλῷ πλέον τοῦ δεκανοῦ λεγομένου καὶ D
τοῦ [x]ὑπάρχου, τοῦ ἡλίου καὶ τοῦ [y]μικροτάτου ἀστέρος τὸ διά-
φορον, δῆλον ἅπασιν. Ὁ μὲν γὰρ ἥλιος πᾶσαν ὁμοῦ καταλάμ-
πει τὴν οἰκουμένην καὶ φαιδρὰν ποιεῖ, καὶ σελήνην καὶ ἀστέρας
ἀποκρύπτει· [z]ὁ δὲ πολλάκις οὐδὲ φαίνεται, καὶ ταῦτα ἐν σκότῳ·
πολλοὶ γάρ εἰσι τῶν ἀστέρων, οὓς οὐχ ὁρῶμεν. [a]Ὅταν οὖν
ἑτέρους [b]ὁρῶμεν ἡλίους γινομένους, ἡμεῖς δὲ τῶν ἀστέρων τῶν
[c]μικροτάτων τὴν τάξιν ἔχωμεν τῶν οὐδὲ φαινομένων, [d]τίς ἔσται
ἡμῖν παραμυθία; Μὴ, παρακαλῶ, μὴ οὕτω [e]νωθεῖς, μὴ οὕτως
ἀργοὶ, μὴ [f]πραγματευώμεθα τοῦ θεοῦ τὴν σωτηρίαν εἰς ῥαθυ-

[f] τοιαύταις] ἄλλαις R. [g] τὰ δῶρα om. N.R. Post διδόντας add. δῶρα R. [h] δώσει Veron. δώσειν R. [i] τοὺς ἐν τοῖς (τοῖς om. A.) β. ὄντας K.Q. [k] ἀπὸ] ὑπὸ A. Veron. [l] τῆς τοῦ θ.] τοῦ βασιλέως τῆς R. [m] ἄνδρα φονέα] Sic K.N.O.Q.R. Mut. ἀνδροφόνον Edd. [n] ἀπάγεσθαι] + πρὸς θάνατον K.N.Q. et marg. O. ἄγεσθαι τὴν ἐπὶ θάνατον R. *ducendum occidi* Mut. [o] οὐδενὶ] οὐδὲ A. Veron. [p] δὴ om. K.Q. ἐπεὶ pro ἐπειδὴ R. [q] βασίλεια] Sic A.Q.R. Mor. Ben. βασιλεία Veron. Sav. *regnum* Mut. [r] καὶ om. A. [s] τοῦ om. A. [t] τοῦ—δεκανοῦ] τοῦ περὶ τὸν ὕπαρχον καὶ τὸν δεκανὸν K.Q. [v] τούτων om. R. et in text. O. [w] ἕως] μέχρι K.O.Q. Mox ἄστρων A. [x] ὑπάτου O. Statim καὶ τοῦ ἡ. A. Veron. [y] μικροῦ K.O.Q. [z] οἱ δὲ . . . φαίνονται R. [a] ὅταν] + μὲν A. [b] ὁρῶντες O.R. Mox δὲ om. R. [c] σμικρ. Edd. invitis libris. Mox ἐπέχωμεν R. ἐπέχομεν O. [d] τί A. [e] νωθεῖς] + ὦμεν K.O.Q. Sav. cet. [f] πραγματευσώμεθα et mox ἐμπορευσώ-

138 μίαν, ἀλλ' ἐμπορευώμεθα αὐτὴν, καὶ πληθύνωμεν. Κἂν γὰρ
κατηχούμενός [g]τις ᾗ, ἀλλὰ τὸν Χριστὸν οἶδεν, ἀλλὰ τὴν πίστιν
ἔγνω, ἀλλὰ τῶν θείων ἐπακούει [h]λογίων, ἀλλ' οὐ πόρρω ἐστὶ
[i]τῆς γνώσεως, οἶδε τὸ θέλημα τοῦ δεσπότου αὐτοῦ. [k]Τίνος
ἕνεκεν ἀναβάλλεται; τίνος ἕνεκεν μέλλει καὶ ὑπερτίθεται; Οὐδὲν
[l]βίου κρεῖττον καλοῦ, καὶ ἐνταῦθα κἀκεῖ, καὶ ἐπὶ φωτιζομένων
καὶ ἐπὶ κατηχουμένων. Τί γὰρ, [m]εἰπέ μοι, φορτικὸν ἐπιτε-
B τάγμεθα; Ἔχε, φησὶ, γυναῖκα, καὶ σωφρόνει. Τοῦτο [n]δύσκο-
λον; [o]πῶς; ὅπου γε [p]πολλοὶ χωρὶς γυναικὸς σωφρονοῦσιν, οὐ
Χριστιανοὶ μόνον, ἀλλὰ καὶ Ἕλληνες; Ὁ [q]ὑπερβαίνει ὁ Ἕλ-
λην διὰ κενοδοξίαν, [r]σὺ οὐδὲ τοῦτο τηρεῖς διὰ τὸν φόβον τοῦ
θεοῦ; Δίδου, φησὶ, πένησιν ἐκ τῶν ὄντων. Τοῦτο φορτικόν;
Ἀλλὰ καὶ [s]ἐνταῦθα κατηγοροῦσιν ἡμῶν Ἕλληνες, ὁλοκλήρους
οὐσίας κενώσαντες διὰ κενοδοξίαν [t]μόνον. Μὴ αἰσχρολόγει.
Τοῦτο δύσκολον; εἰ γὰρ μὴ ἐπετέτακτο, οὐκ ἔδει αὐτὸ κατορ-
θοῦν, ἵνα μὴ ἄτιμοι φαινώμεθα; Ὅτι γὰρ τὸ ἐναντίον δύσκολον,
C τὸ αἰσχρολογεῖν λέγω, δῆλον ἐξ ὧν αἰδεῖται [v]καὶ ἐρυθριᾷ ἡ
ψυχὴ, ἐάν τι τοιοῦτον εἰπεῖν προαχθῇ, καὶ [w]οὐδὲ ἐρεῖ, ἐὰν μὴ (506)
τάχα μεθύῃ. Διὰ τί γὰρ ἐπ' ἀγορᾶς καθήμενος, [x]κἂν ἐπὶ οἰκίας
τοῦτο ποιῇς, ἐκεῖ [y]οὐ ποιεῖς; Διὰ τοὺς παρόντας. Διὰ τί ἐπὶ
τῆς γυναικός [z]σου ταχέως τὸ αὐτὸ μὴ ποιεῖς; [a]Ἵνα μὴ αὐτὴν
ὑβρίσῃς. [b]Ἵνα μὴ ὑβρίσῃς τοίνυν τὴν γυναῖκα, οὐ ποιεῖς· τὸν
[c]δὲ θεὸν ὑβρίζων οὐκ ἐρυθριᾷς; πανταχοῦ γὰρ πάρεστι, καὶ
πάντα ἀκούει. Μὴ μέθυε, [d]φησί. Τοῦτο γὰρ καὶ αὐτὸ καθ'
ἑαυτὸ [e]οὐ κόλασις; Οὐκ εἶπε, κατάτεινον τὸ σῶμα, ἀλλὰ [f]τί;
D μὴ οὕτως αὐτὸ ἐκτραχηλίσῃς, ὡς τῆς ψυχῆς ἀφελέσθαι τὴν

μεθα R. Statim τὴν παρὰ τοῦ θ. σωτηρίαν K.O.Q. Sav. cet. φιλανθρωπίαν pro σωτηρίαν correxit rec. man. in N. [g] τις ᾖ] ᾖ τις O. εἴη τις R. [h] λογίων pro λόγων K.Q.R. Mut. [i] τῆς θείας γν. Edd. θείας om. K.N.O. Q.R. Mut. Mox τὰ θελήματα R. [k] τίνος] + οὖν K.Q. Sav. cet. τίνος—ἀναβάλλεται om. A. [l] βίου κρ.] κρ. βίου K.N.Q. Mox καὶ ἐκεῖ K.O.Q. [m] εἰπέ μοι om. K.Q. [n] δύσκολον] φορτικὸν K. Sav. cet. οὐ δύσκολον R. Mut. [o] πῶς] πῶς γὰρ R. εἰπέ μοι, καὶ πῶς K.Q. Sav. cet. [p] πολλοὶ om. R. Statim καὶ χωρὶς K.N.Q. Sav. cet. Sic ex corr. O. [q] ὑπομένει R. Post ὑπερβαίνει add. τοίνυν K.Q. Sav. cet. Ἕλλην sine artic. R. [r] σὺ] + δὲ A. Mox τὸν τοῦ θ. φ. K.Q. [s] ἐνταῦθα] ταῦτα R. [t] μόνην A. Edd. [v] καὶ ἐρυθριᾷ ἡ ψ.] Sic omnes. ἡ ψ. καὶ ἐρυθριᾷ Edd. [w] οὐδὲν R. χαίρει pro ἐρεῖ A. Veron. Mox τάχα om. A.O. Veron. [x] κἂν (καὶ N.)—ποιῇς] ὃ ἐπὶ οἰκίας ποιεῖς K.Q. [y] οὐ π.] μὴ τοῦτο π. N. Statim ἆρα οὐχὶ διὰ K.Q. Sav. cet. [z] σου om. R. et a pr. m. O. Statim οὐ ταχ. αὐτὸ ποιεῖς O. ταχέως τὸ om. K.Q. [ταχέως] τὸ Sav. [a] ἵνα] ἆρα οὐχ ἵνα K.Q. Sav. cet. [b] ἵνα—γυναῖκα (+ σου K.N.Q. Sav. cet.)] ὃ (ὃ om. R.) τοίνυν διὰ τὴν γυναῖκα A.R. Veron. invito Mut. [c] δὲ om. A. Veron. [d] φησὶ] + καλῶς K.Q. Sav. cet. [e] οὐ om. R. Mut. et a pr. m. O. [f] τί] + μὴ μέθυε, τουτέστι K.Q. Sav. cet. Mox ἐκτραχηλιάσῃς A.

Digitized by Google

[g]ἀρχὴν, [h]ἀλλ᾽ εἰς ἐπιθυμίας αὐτοῦ μὴ προνόει. Μὴ ἅρπαζε,
[i]φησὶ, τὰ μὴ σὰ, μὴ πλεονέκτει, μὴ [k]ἐπιόρκει. Ποίων πόνων
ταῦτα [l]δεῖται; ποίων ἱδρώτων; Μὴ [m]κακηγόρει, φησὶ, μηδὲ
συκοφάντει. Τοὐναντίον μὲν οὖν πόνος. Ὅταν [n]μὲν γὰρ
εἴπῃς κακῶς, εὐθέως ἐν κινδύνῳ εἶ, [o]ἐν ὑποψίᾳ, μὴ ἤκουσε περὶ 139
οὗ εἶπον, [p]ἄν τε μέγας [q]ᾖ, ἄν τε μικρός· ἂν μὲν γὰρ μέγας ᾖ,
[r]ἐν ἔργοις [s]κινδυνεύσεις εὐθέως· ἂν δὲ μικρὸς, τοῖς ἴσοις σε ἀμυ-
νεῖται, μᾶλλον δὲ καὶ πολλῷ χαλεπωτέροις· [t]μειζόνως σε ἐρεῖ
κακῶς. Οὐδὲν δύσκολον, οὐδὲν φορτικὸν ἐπιτετάγμεθα, [v]ἂν
βουλώμεθα· ἂν δὲ μὴ βουλώμεθα, [w]καὶ τὰ ῥᾷστα φορτικὰ
ἡμῖν φανεῖται. Τί τοῦ φαγεῖν [x]ῥᾷον; ἀλλ᾽ ὑπὸ πολλῆς βλα-
κείας πολλοὶ καὶ πρὸς τοῦτο δυσχεραίνουσι· πολλῶν δὲ ἀκούω
λεγόντων, ὅτι καὶ τὸ φαγεῖν κάματος. Οὐδὲν τούτων ἔχει
κάματον, ἂν θέλῃς· ἐν γὰρ τῷ θέλειν πάντα κεῖται, μετὰ τὴν B
ἄνωθεν χάριν. Θελήσωμεν οὖν τὰ ἀγαθὰ, [y]ἵνα καὶ τῶν αἰωνίων
τύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ᾽ οὗ τῷ
πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, [z]τιμὴ, νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΔ. C

[1]Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ [a]τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ κύριος, καὶ οὐκ ἄνθρωπος.

ἈΝΑΜΙΓΝΥΣΙ τὰ ταπεινὰ τοῖς ὑψηλοῖς ὁ Παῦλος, [b]ἀεὶ τὸν διδάσκαλον μιμούμενος [c]τὸν αὐτοῦ, ὥστε τὰ ταπεινὰ

1 Cap. VIII. v. 1, 2.

[g] ἀρχὴν] + τί οὖν; οὐ χρὴ προνοεῖσθαι τοῦ σώματος; μὴ γένοιτο· οὐ τοῦτο λέγω K.Q. Sav. cet. [h] ἀλλ᾽ (ἀλλὰ N.) εἰς ἐπιθυμίας (–ίαν O.R. Veron.) αὐτοῦ μὴ πρ.] ἀλλὰ προνοῶν, μὴ εἰς ἐπιθυμίας αὐτοῦ πρ. K.Q. Post προνόει add. οὕτω γὰρ καὶ Παῦλος ἐκέλευσε λέγων, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας K.Q. Sav. cet. [i] φησὶ om. K.Q. [k] ἐφόρκει A.R. Veron. [l] δέεται O. [m] κατηγόρει K.O.Q. Mox μὴ pro μηδὲ O. Post συκοφάντει add. ποῖον ἔχει τοῦτο πόνον; K.Q. Sav. cet. Statim τὸ ἐναντίον K.Q. [n] μὲν om. a pr. m. O. [o] ἐν] καὶ ἐν R. [p] ἄν τε μέγας—μέγας ᾖ] ἄν τε μικρὸς, ἄν τε μέγας ᾖ R. [q] ᾖ superscript in O. [r] ἐν om. R. [s] κινδυνεύσῃς A.R. κινδυνεύεις a pr. m. O. Mox ἀμύνεται A. ἀμύνηται R. ἀμειβεῖται Veron. [t] μειζόνως] καὶ μ. R. μ. γὰρ K.Q. Sav. cet. [v] ἂν β. ἂν (ἐὰν Q.R.) δὲ μὴ β. om. A. ἂν β. om. Mut. ἂν δὲ μὴ β. om. N. [w] καὶ] ἐπεὶ καὶ N. [x] ῥαώτερον R. [y] ἵνα om. R. Mox τευξώμεθα idem. [z] τιμὴ] + καὶ προσκύνησις R. Hom. XIV. [a] τοῦ θρόνου om. R. [b] ἀεὶ] ὁ ἀεὶ Edd. Sic Cat. sed om. ὁ Παῦλος. ἀεὶ sine artic. K.N.O.Q.R. Supp. Mut. [c] τὸν om. R.

Digitized by Google

D τοῖς ὑψηλοῖς ὁδὸν γενέσθαι, καὶ διὰ τούτων ἐπ' ἐκεῖνα χειραγωγηθῆναι, καὶ [d]γενομένους ἐν τοῖς μεγάλοις, μανθάνειν ὅτι ταῦτα συγκαταβάσεως ἦν. Τοῦτο [e]γοῦν καὶ ἐνταῦθα ποιεῖ· [f]εἰπὼν ὅτι ἀνήνεγκεν ἑαυτὸν, καὶ ἀρχιερέα δείξας, [g]τί φησι; "Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς [h]μεγαλωσύνης." Καίτοι τοῦτο [i]οὐχὶ ἱερέως, ἀλλὰ τούτου ᾧ ἱερᾶσθαι ἐκεῖνον χρή. "Τῶν ἁγίων λειτουργός." [k]Οὐδὲ λειτουργὸς ἁπλῶς, ἀλλὰ, "τῶν ἁγίων λειτουργός." "Καὶ τῆς σκηνῆς [l]τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ κύριος, [m]καὶ οὐκ ἄνθρωπος." Ὁρᾷς τὴν συγκατάβασιν; Οὐχὶ πρὸ μικροῦ [n]διΐστη, λέγων· "Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα;"
140 καὶ διὰ τοῦτο, [o]φησὶν, οὐκ ἀκούουσι, "Κάθου ἐκ δεξιῶν μου·" [p]ὡς τοῦ καθημένου οὐκ ὄντος λειτουργοῦ. [q]Πῶς οὖν λειτουργὸς ἐνταῦθα εἴρηται, καὶ λειτουργὸς τῶν ἁγίων; τὴν γὰρ σκηνὴν ἐνταῦθά φησιν. [r]Ὅρα πῶς ἦρε τὰς ψυχὰς τῶν ἐξ Ἰουδαίων πεπιστευκότων. Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς φαντάζεσθαι, ὅτι σκηνὴν οὐκ ἔχομεν τοιαύτην· ἰδοὺ, φησὶν, ὁ ἱερεὺς, καὶ μέγας, καὶ πολὺ μείζων ἐκείνου, καὶ θυσίαν θαυμασιωτέραν προσήνεγκεν. Ἀλλ' [s]ἆρα [t]μὴ λόγος ταῦτα, μὴ κόμπος καὶ ψυχαγωγία; [v]Διὰ τοῦτο ἐπιστώσατο πρότερον [w]ἀπὸ τοῦ ὅρκου, λοιπὸν δὲ
B καὶ ἀπὸ τῆς σκηνῆς. Ἦν μὲν [x]γὰρ καὶ αὕτη δήλη ἡ διαφορά· [y]οὗτος δὲ καὶ ἑτέραν [z]ἐπινοεῖ· "[a]Ἣν ἔπηξε, [a]φησὶν, ὁ κύριος, καὶ οὐκ ἄνθρωπος." [b]Ποῦ εἰσὶν οἱ λέγοντες [c]δινεῖσθαι τὸν οὐρανόν; ποῦ εἰσὶν οἱ σφαιροειδῆ αὐτὸν [d]εἶναι ἀποφαινόμενοι; (507)
ἀμφότερα γὰρ ταῦτα ἀνῄρηται ἐνταῦθα. "Κεφάλαιον δὲ, φησὶν, ἐπὶ τοῖς λεγομένοις." Κεφάλαιον ἀεὶ τὸ μέγιστον λέγεται. Πάλιν κατάγει τὸν λόγον· [e]εἰπὼν τὸ ὑψηλὸν, ἀδεῶς

[d] γενόμενος A. γενομένοις R. [e] γοῦν] δὴ R. Statim καὶ om. Veron. Supp. [f] εἰπὼν] + γὰρ K.Q. Supp. Sav. cet. [g] τί φ.] ἐπάγει iidem. τί om. A. Veron. invita Cat. [h] μεγαλωσύνης] + ἐν τοῖς οὐρανοῖς Edd. invitis omnibus. [i] οὐχ K.O. Cat. [k] οὐδὲ λ.] οὐχ R. οὐδὲ—τῶν ἁ. λειτουργὸς om. N. inclusum a Sav. [l] τῆς ἀλ. om. Cat. et in text. O. [m] καὶ om. K.R. Cat. [n] διΐστησι R. διέστειλε Cat. [o] φησὶν, οὐκ] οὐδὲ K.Q. Sav. cet. οὐκ ἀκούουσι om. Veron. [p] ὡς τοῦ κ.] τοῦτο δέ φησιν, ὡς τοῦ κ. πάντως K.Q. Sav. cet. [q] πῶς οὖν λ. om. R. ἐνταῦθα—λειτουργὸς in marg. O. πῶς οὖν—ἐνταῦθά φ.] ὥστε τοῦτο ἀκούει διὰ τὴν σάρκα. σκηνὴν δὲ ἐνταῦθα τὸν οὐρανὸν λέγει. διὸ καὶ τὸ (τὸ om. K.Q.) διάφορον δεικνὺς πρὸς τὴν Ἰουδαϊκὴν, ἐπάγει λέγων, ἣν ἔπηξεν ὁ κύριος, καὶ οὐκ ἄνθρωπος K.Q. Sav. cet. [r] ὅρα] + δὲ O.R. Mut. Post πεπιστευκότων add. τοῦτο εἰπὼν K.Q. Sav. cet. [s] ἆρα] ἄρα Q. Supp. *intuere* Mut. [t] μὴ—κόμπος] μὴ κόμπος ταῦτα A.K.Q. Veron. invitis Supp. Mut. [v] διὰ] ἀλλὰ διὰ K.Q. Sav. cet. [w] ἀπὸ] διὰ R. [x] γὰρ] οὖν K.Q. Sav. cet. Statim καὶ αὐτὴ N. [y] αὐτὸς O.R. Cat. Mut. [z] ἐπινοεῖ] + λέγων K.Q. [a] φησὶν ὁ κ.] Sic N.O.R. Supp. ὁ κ. φησὶ Edd. φησὶν om. K.Q. Proximum καὶ om. R. [b] ποῦ] + τοίνυν K.N.Q. Sav. cet. [c] δινεῖσθαι] Sic Cat. δονεῖσθαι R. Ceteri cum Edd. κινεῖσθαι. [d] εἶναι om. Q. [e] εἰπὼν] + γὰρ O. Mox καὶ ἀδεῶς R.

Digitized by Google

φθέγγεται [f]λοιπόν. Εἶτα, ἵνα μάθης [g]ὅτι λειτουργὸς, περὶ C τῆς ἀνθρωπότητός φησιν, ὅρα πῶς πάλιν ἐπισημαίνεται. [2]"Πᾶς γὰρ ἀρχιερεὺς, [h]φησὶν, εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται· ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ." Μὴ, ἐπειδὴ [i]ἀκούεις ὅτι κάθηται, [k]ὕθλον εἶναι νομίσῃς τὸ ἀρχιερέα αὐτὸν εἰρῆσθαι· ἐκεῖνο μὲν γὰρ τῆς ἀξίας τοῦ θεοῦ, τὸ καθῆσθαι, τοῦτο δὲ τῆς φιλανθρωπίας τῆς πολλῆς καὶ τῆς εἰς ἡμᾶς κηδεμονίας. Διὰ τοῦτο αὐτὸ λιπαίνει, καὶ τούτῳ πλέον ἐνδιατρίβει· δέδοικε γὰρ μὴ ἐκεῖνο ἀνατρέψῃ. Διὰ τοῦτο πάλιν ἐπὶ τοῦτο κατάγει τὸν λόγον, ἐπειδὴ ἐζήτουν τινὲς, τίνος ἕνεκεν D ἀπέθανεν; Ἱερεὺς [l]ἦν· [m]ἱερεὺς δὲ χωρὶς θυσίας οὐκ ἔστι· δεῖ τοίνυν καὶ τοῦτον ἔχειν θυσίαν. Ἄλλως δὲ, εἰπὼν ὅτι [n]ἄνω ἐστὶ, λέγει καὶ δείκνυσιν, ὅτι ἱερεύς ἐστι πάντοθεν, ἀπὸ τοῦ Μελχισεδὲκ, ἀπὸ τοῦ ὅρκου, ἀπὸ τοῦ προσενεγκεῖν θυσίαν. Ἐκ τούτου λοιπὸν καὶ ἀναγκαῖον ἄλλον πλέκει συλλογισμόν. [3]"Εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, [o]φησὶν, οὐδ' ἂν ἦν ἱερεὺς, ὄντων [p]τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα." Εἰ τοίνυν [q]ἐστὶν ἱερεὺς, ὥσπερ οὖν καὶ ἔστι, δεῖ [r]αὐτῷ τόπον ζητῆσαι ἕτερον. Ἐπὶ γῆς μὲν γὰρ ὢν, οὐκ ἂν ἦν ἱερεύς· [s]πῶς γάρ; 141 οὐ προσήνεγκεν, οὐχ ἱεράσατο· καὶ εἰκότως· ἦσαν γὰρ [t]οἱ ἱερεῖς. [v]Καὶ δείκνυσιν, ὅτι οὐδὲ δυνατὸν ἐπὶ γῆς εἶναι ἱερέα· πῶς [w]γάρ; [x]οὐκ ἐπανάστασις ἦν, φησίν. Ἐνταῦθα ἀναγκαῖον [y]παραπέμψαι τὸν νοῦν, καὶ συνιδεῖν τὴν ἀποστολικὴν σύνεσιν· πάλιν γὰρ τὴν διαφορὰν δείκνυσι τῆς ἱερωσύνης. [4]"[z]Οἵτινες, φησὶν, ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων." Τίνα λέγει ἐνταῦθα ἐπουράνια; Τὰ πνευματικά· εἰ γὰρ καὶ ἐπὶ γῆς τελεῖται, ἀλλ' ὅμως τῶν [a]οὐρανῶν ἐστιν ἄξια. Ὅταν γὰρ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κεῖται ἐσφαγμένος, ὅταν πνεῦμα παραγίνηται, ὅταν ὁ B καθήμενος ἐν δεξιᾷ τοῦ πατρὸς ἐνταῦθα [b]ᾖ, ὅταν υἱοὶ γίνωνται

[2] v. 3. [3] v. 4. [4] v. 5.

[f] λοιπὸν] + τὰ ταπεινὰ K.Q. Sav. cet. [g] ὅτι] + τὸ K.N.Q. Supp. Sav. cet. Mox εἴρηται pro φησιν K.Q. Sav. cet. [h] φησὶν om. K.Q.R. [i] ἀκούεις—εἶναι] ἀκούσῃς ὅτι κάθηται ὁ υἱὸς, εἶναι ὅλον (*totum* Mut.) R. [k] ὕθλον] διὰ ὕθλον O. Mox νομίσῃς μὴ τὸ idem. [l] ἦν] ὢν A.K.Q. Veron. Mor. Ben. [m] ἱερεὺς δὲ χωρὶς θ. (θ. χωρὶς N.O.)—θυσίαν (θυσίας ex corr. O.)] καὶ ὅτι (+ εἰ K.) ἱερεὺς, δεῖ καὶ τοῦτον ἔχειν θυσίαν· ἱερεὺς γὰρ θυσίας χωρὶς οὐκ ἔστιν K.Q. [n] ἄνω] ἐνῶ (sic) R. [o] φησὶν om. K.Q.R. [p] τῶν om. K.Q. [q] ἐστὶν ἱ.] ἱ. ἐστιν K.O.Q. Statim add. φησὶν K.N.Q. Sav. cet. [r] αὐτὸν A.R. Veron. [s] πῶς γὰρ—εἶναι ἱερέα om. R. [t] οἱ om. K.Q. [v] καὶ om. Cat. et a pr. m. O. [w] γὰρ om. K.Q. [x] οὐκ ἐπ.] οὐκ ἐπ. γὰρ K.Q. ἐπεὶ οὐδὲ ἐπ. Sav. Mor. repugnantibus omnibus. [y] παραπέμψαι] συντεῖναι K.Q. Sav. cet. invitis Cat. Supp. Mox καὶ ἰδεῖν R. et a pr. m. O. [z] οἵτινες, φ.] καί φ. οἵτινες K.Q. [a] οὐρανῶν A.R. Veron. Statim ἐστιν O.R. Cat. εἰσιν Edd. [b] ᾖ om. R. Mox γένωνται idem.

Digitized by Google

*διὰ τοῦ λουτροῦ, ὅταν πολῖται ὦσι τῶν ἐν οὐρανοῖς, ὅταν πα-
τρίδα ἔχωμεν ἐκεῖ καὶ πόλιν καὶ πολίτευμα, ὅταν ξένοι ὦμεν
τῶν ἐνταῦθα, πῶς οὐκ ἐπουράνια [c]ταῦτα πάντα τυγχάνει;
Ἀλλὰ τί; οἱ ὕμνοι οὐκ [d]ἐπουράνιοι; οὐχ ἅπερ ἄνω ᾄδουσιν οἱ
θεῖοι χοροὶ τῶν ἀσωμάτων δυνάμεων, [e]ταῦτα καὶ ἡμεῖς οἱ κάτω
C συνῳδὰ ἐκείνοις φθεγγόμεθα; οὐχὶ καὶ τὸ θυσιαστήριον ἐπου-
ράνιον; Πῶς; οὐδὲν ἔχει σαρκικόν· πάντα πνευματικὰ γίνεται
τὰ προκείμενα· οὐκ εἰς τέφραν, οὐκ εἰς καπνὸν, οὐκ εἰς [f]κνῖσαν
διαχεῖται ἡ θυσία, ἀλλὰ [g]λαμπρὰ καὶ φαιδρὰ ἐργάζεται τὰ
προκείμενα. Πῶς δὲ οὐκ οὐράνια τὰ τελούμενα; [h]Ὅταν γὰρ
λέγῃ, [5] "Ἄν τινων κρατήσωσι τὰς ἁμαρτίας, κεκράτηνται· ἄν
τινων [i]ἀφήσωσιν, ἀφίενται·" [k]καὶ τὰς κλεῖς ἔχωσι τοῦ οὐρανοῦ·
πῶς οὐκ οὐράνια πάντα; "Οἵτινες, φησὶν, ὑποδείγματι καὶ σκιᾷ
λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωϋσῆς,
D μέλλων ἐπιτελεῖν τὴν σκηνήν· Ὅρα γὰρ, φησὶ, ποιήσεις [l]πάντα
κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει." Ἐπειδὴ [m]ἡ
ἀκοὴ ἡμῶν ἀμαθεστέρα τῆς ὄψεώς ἐστιν· οὐ γὰρ οὕτως [n]ἅπερ
ἂν ἀκούσωμεν, τῇ ψυχῇ παρακατατιθέμεθα, ὡς ἅπερ ἂν ἴδωμεν
αὐταῖς ὄψεσιν· ἔδειξεν αὐτῷ [o]πάντα. Ἢ τοίνυν τοῦτο λέγει,
"ὑποδείγματι καὶ σκιᾷ·" ἢ περὶ τοῦ [p]ναοῦ· ἐπήγαγε γὰρ,
"Ὅρα, ποιήσεις, [q]φησὶ, πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα
142 σοι ἐν τῷ ὄρει." [r]Ἆρα περὶ τῆς κατασκευῆς τοῦ ναοῦ μόνον,
ἢ [s]καὶ περὶ τῶν θυσιῶν εἶδε, καὶ τῶν ἄλλων ἁπάντων· μᾶλλον
[t]δὲ οὐκ ἄν τις ἁμάρτοι καὶ τοῦτο εἰπών. Οὐρανία γάρ ἐστιν ἡ
ἐκκλησία, καὶ οὐδὲν [v]ἄλλο ἐστὶν ἢ οὐρανός.*

*[6] "Νυνὶ δὲ διαφορωτέρας [w]τετύχηκε λειτουργίας, ὅσῳ καὶ
κρείττονός ἐστι διαθήκης μεσίτης." Ὁρᾷς, [x]φησὶν, ὅσῳ βελ-* (508)

[5] Joan. xx. 23. [6] v. 6.

[c] *ταῦτα* om. N.R. Cat. *πάντα* om. A. Supp. Veron. [d] *οὐράνιοι* Cat. et ante corr. O. [e] *τοῦτο* A. Veron. [f] *κνίσαν* (sic) K.N.O.Q.R. *κνίσσαν* A. Supp. Edd. [g] *λαμπρὰ καὶ φαιδρότερα* Veron. *λαμπρότερα καὶ σφοδρότερα* R. *λαμπρότερα καὶ φαιδρότερα* olim O. *φαιδρὰ καὶ λαμπρὰ* Supp. *clariora et festiviora* Mut. [h] *ὅταν γὰρ—πάντα* (*ἅπαντα* olim O.)] *ὅταν οἱ διακονούμενοι αὐτοῖς ἀκούωσιν ἔτι ἐξ οὗ εἴρηται, ἂν τινων κρατῆτε, κεκράτηνται· ἂν τινων ἀφῆτε, ἀφίενται; πῶς οὐκ οὐράνια πάντα, ὅταν οὗτοι καὶ τὰς κλεῖς ἔχωσι τοῦ οὐρανοῦ.* K.Q. Sav. cet. [i] *ἀφήσωσιν*] Sic A. Cat. et a pr. m. O. *ἀφήσουσιν* N.R. Veron. *ἀφῶσιν* ex corr. O. *γρ. ἀφῶσιν* marg. N. [k] *καὶ* om. N. Mox *ἔχουσι* Cat. Supp. [l] *πάντα* om. A. Veron. [m] *ἡ ἀκοὴ—τῆς ὄψεως*] *τῆς ἀκοῆς εὐμαθεστέρα ἡ ὄψις* K.Q. [n] *ἅπερ* ad marg. A. [o] *τὰ πάντα* R. Statim *ἤτοι οὖν* R. Cat. [p] *ναοῦ*] + *αἰνίττεται* K.Q. Sav. cet. [q] *φησὶ* assumtum ex A.K.O.Q.R. Cat. Mut. *φησὶ* post *πάντα* habet Veron. *πάντα* om. K. Cat. Mox *ἐν τῷ ὄρει* om. A. Veron. [r] *ἆρα*] *ἄρα* N. Mut. *ἄρα οὐ* K.Q. Mox *ἀλλὰ* pro *ἢ* K.Q. [s] *καὶ* accessit ex K.O.Q.R. Cat. Supp. Mut. Mox *εἶπε* pro *εἶδε* ex corr. A. [t] *δὲ*] *γὰρ* K.Q. *δὲ* om. R. [v] *ἄλλο ἐστὶν* pro *ἐστιν ἄλλο* K.O.Q.R. Cat. Statim *ἢ ὁ οὐρανὸς* A. [w] *τέτευχε* Cat. et marg. O. Post *τετύχηκε* add. *φησὶν* O. [x] *φησὶν* om. K.Q. Statim *ὅσον* A.K.Q. Supp.

Digitized by Google

τίων ἡ λειτουργία τῆς λειτουργίας, εἴγε ἐκείνη μὲν [y]ὑπόδειγμα
καὶ τύπος, αὕτη δὲ ἀλήθεια. Ἀλλ᾽ οὐδὲν τοῦτο [z]ὠφέλει τοὺς
ἀκούοντας, [a]οὐδὲ εὔφραινε. Διά [b]τοι τοῦτο ὃ μάλιστα αὐτοὺς
[c]εὔφραινε, λέγει· "Ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομο- B
θέτηται." [d]Ἐπάρας ἀπὸ τοῦ τόπου καὶ τοῦ ἱερέως καὶ τῆς
θυσίας, τότε καὶ τῆς διαθήκης τὸ μέσον τίθησιν· [e]εἰπὼν μὲν
καὶ [f]πρότερον, ὅτι ἀσθενὴς ἦν καὶ ἀνωφελής. Καὶ ὅρα οἷα τίθη-
σιν ἀσφαλίσματα, μέλλων [g]αὐτῆς κατηγορεῖν. Ἐκεῖ γὰρ [h]εἰ-
πών, "Κατὰ δύναμιν ζωῆς ἀκαταλύτου," τότε εἶπεν, ὅτι "Ἀθέ-
τησις γίνεται προαγούσης ἐντολῆς·" εἶτα καὶ ὕστερον μέγα τι
ἔθηκεν εἰπών, "Δι᾽ ἧς ἐγγίζομεν τῷ θεῷ." Ἐνταῦθα δὲ [i]ἡμᾶς
εἰς τὸν οὐρανὸν ἀναγαγών, καὶ δείξας ὅτι ἀντὶ τοῦ ἱεροῦ τὸν
οὐρανὸν ἔχομεν, καὶ ὅτι τύποι ἦσαν τῶν ἡμετέρων ἐκεῖνα, καὶ C
τὴν λειτουργίαν ἐπάρας τούτοις, καὶ τὴν ἱερωσύνην εἰκότως
ἐπαίρει λοιπόν. Ἀλλ᾽, ὅπερ ἔφην, ὃ μάλιστα αὐτοὺς εὐφραίνει
τίθησι, λέγων, "Ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέ-
τηται." Πόθεν τοῦτο δῆλον; Ἐξ ὧν αὕτη μὲν ἐξεβλήθη,
ἐκείνη δὲ ἀντεισήχθη· διὰ γὰρ τοῦτο κρατεῖ, ὅτι βελτίων.
Ὥσπερ γὰρ λέγει, ὅτι "[k]Εἰ τελείωσις δι᾽ αὐτῆς ἦν, τίς ἔτι
χρεία κατὰ τὴν τάξιν [l]Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα;"
οὕτω καὶ ἐνταῦθα τῷ αὐτῷ συλλογισμῷ κέχρηται, λέγων· [7]"Εἰ D
γὰρ ἡ πρώτη [m]ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο
τόπος·" [n]τουτέστιν, εἰ ἀμέμπτους [o]ἐποίει. Ὅτι γὰρ περὶ
τούτου [p]φησὶν, οὐκ εἶπε, μεμφόμενος δὲ αὐτῇ, [q]ἀλλὰ, [8]"Μεμ-
φόμενος [r]δὲ αὐτοῖς λέγει· Ἰδού, ἡμέραι ἔρχονται, λέγει κύριος,
καὶ συντελέσω ἐπὶ τὸν οἶκον [s]τοῦ Ἰσραήλ, καὶ ἐπὶ τὸν οἶκον
Ἰούδα διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην, ἣν [t]διεθέμην τοῖς
πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν,
ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν

[7] v. 7. [8] v. 8, 9.

[y] ὑποδείγματα N. [z] ὀφέλει A. ὠφελεῖ N.R. Cat. Supp. *proderat* Mut. [a] οὐδὲ ηὔφραινε Cat. οὐδὲ εὐφραίνει N. Supp. οὐδὲν ηὔφρανεν R. καὶ ἐποίει εὐφραίνεσθαι K.Q. [b] τοι om. K.N.O.Q. Supp. Mox ὃ om. R. post μάλιστα transp. N. [c] ηὔφραινε K.N. Cat. ηὔφρανεν Q.R. [d] ἐπάρας] + οὖν K.O.Q. + γὰρ Supp. [e] εἰπὼν μὲν] εἴπωμεν A. εἴπομεν Veron. [f] πρότερον] + ὅτε ἐδείκνυ K.Q. Sav. cet. [g] αὐτοῖς A. [h] εἰπὼν post ἀκαταλύτου transp. O.R. Mox ὅτι om. R. [i] ἡμᾶς post οὐρανὸν transp. K.O.Q.R. [k] εἰ ἡ τελ. Edd. εἰ om. K. εἰ super ras. O. ἡ om. N.O.Q. Cat. Supp. inclusum a Sav. [l] Μελχισεδὲκ] Ἀαρὼν A. Veron. Mox ἱερέα om. N. [m] ἐκείνη om. R. Cat. Mut. Habet in marg. O. [n] τουτέστιν] + εἰ οὐδὲν εἶχεν ἐλλιπὲς K.Q. Supp. Sav. cet. invitis Cat. Mut. [o] ποιεῖ R. [p] φησὶν] + ἄκουε τὸ ἑξῆς· μεμφόμενος δὲ αὐτοῖς λέγει K.Q. Sav. cet. [q] ἀλλὰ] + καὶ A. Veron. [r] δὲ om. K.Q.R. Mox λέγει om. K.Q. [s] τοῦ om. K. Cat. et a pr. m. O. [t] διεθέμην] ἐποίησα R. Cat. Rasura in O. et in marg. a 2da m. γρ. διεθέμην.

Digitized by Google

143 ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει κύριος." [v]Ναί·
καὶ πόθεν δῆλον, ὅτι τέλος ἔλαβεν; Ἔδειξε [w]μὲν καὶ ἀπὸ τοῦ
ἱερέως· δείκνυσι [x]δὲ τρανότερον νῦν [y]αὐτολεξεὶ, ὅτι ἐκβέβλη-
ται. Πῶς δὲ, "ἐπὶ κρείττοσιν [z]ἐπαγγελίαις;" Ποῦ γὰρ ἴσον,
εἰπέ μοι, γῆ καὶ οὐρανός; Σὺ δὲ θεώρει πῶς κἀκεῖ [a]ἐπαγγελίας
φησὶν, ἵνα μὴ ταύτης τοῦτο κατηγορῇς. Καὶ γὰρ ἐκεῖ, "Δι'
ἧς ἐγγίζομεν τῷ θεῷ ἐλπίδος, φησὶ, κρείττονος," δεικνὺς ὅτι
[b]κἀκεῖθεν ἐλπίς· καὶ ἐνταῦθα ἐπαγγελίας [c]κρείττονας, αἰνιττό-
μενος ὅτι [d]καὶ ἐκεῖ ἐπηγγείλατο. Ἐπειδὴ [e]δὲ ἐνεκάλουν ἀεὶ,
"Ἰδοὺ [f]γὰρ ἡμέραι ἔρχονται, [g]λέγει κύριος, φησὶ, καὶ συντε-
B λέσω ἐπὶ τὸν οἶκον [h]Ἰσραὴλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθή-
κην καινήν." Οὐ παλαιάν τινα διαθήκην [i]φησίν. Ἵνα [k]γὰρ μὴ
τοῦτο ἔχωσι λέγειν, καὶ τὸν χρόνον ὥρισεν· οὐ γὰρ [l]εἶπεν
ἁπλῶς, "Κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐ-
τῶν," ἵνα μὴ τὴν πρὸς [m]τὸν Ἀβραὰμ γεγενημένην εἴπῃς, ἢ
[n]τὴν πρὸς τὸν Νῶε· ἀλλὰ [o]ποίαν φησίν· "Οὐ κατὰ τὴν δια-
θήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν τοῖς ἐν τῇ [p]ἐξόδῳ."
Διὸ καὶ ἐπήγαγεν, "Ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς
C αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέ-
μειναν ἐν τῇ διαθήκῃ μου, [q]κἀγὼ ἠμέλησα αὐτῶν, λέγει κύ-
ριος." Ὁρᾷς [r]παρ' ἡμῶν πρῶτον ἀρχόμενα τὰ κακά; Αὐτοὶ,
φησὶ, [s]πρῶτον οὐκ ἐνέμειναν· [t]καὶ παρ' ἡμῶν ἡ ἀμέλεια, τὰ δὲ
ἀγαθὰ παρ' αὐτοῦ, τὰ τῆς εὐεργεσίας λέγω. Ἐνταῦθα ὥσπερ
ἀπολογίαν [v]τίθησι, τὴν αἰτίαν δεικνὺς, δι' ἣν ἐγκαταλιμπάνει
αὐτούς. [9]"Ὅτι αὕτη ἡ διαθήκη, φησὶν, ἣν διαθήσομαι τῷ οἴκῳ
Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει κύριος, διδοὺς νόμους
D μου [w]εἰς τὴν διάνοιαν αὐτῶν, [x]καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω
αὐτούς· καὶ ἔσομαι αὐτοῖς εἰς θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς

[9] v. 10.

[v] ναὶ] + φησὶ A.K.Q. Sav. cet. [w] μὲν] + οὖν K.Q. Sav. cet. μὲν καὶ om. R. Post ἱερέως add. τοῦτο K.Q. Sav. cet. [x] δὲ] + αὐτὸ O. [y] αὐτολεξεὶ] αὐτὸ, λέγων R. [z] ἐπαγγελίαις] + εἰπὼν K.Q. Sav. cet. [a] ἐπαγγελίας] Sic O.R. Cat. Supp. Mut. ἐπαγγελίαις Edd. λέγει pro φησὶν K.Q. Mox κατηγορήσῃς N. [b] κἀκεῖ K.N.Q. Cat. Supp. Sav. cet. δεικνὺς—κρείττονας om. K.R. [c] κρείττονας] Sic Supp. Mut. κρείττονος Codd. Cat. Edd. [d] καὶ om. N. [e] δὲ om. R. et in text. O. [f] γὰρ om. K.Q.R. Cat. Sav. [g] λ. κύριος, φ.] φ. λ. κύριος K.O.Q. Cat. φησὶ om. R. [h] Ἰσραὴλ et Ἰούδα transp. A.N. Veron. [i] φησὶν om. A. Veron. [k] γὰρ om. R. [l] εἶπεν ἁπ. pro ἁπ. εἶπε A.K.N.O.Q. Cat. [m] τὸν om. R. [n] τὴν πρὸς τὸν] πρὸς τὴν R. [o] ποίαν] + δηλῶν K.Q. Sav. cet. [p] ἐξόδῳ] + λέγων K.Q. [q] καὶ ἐγὼ O. [r] παρ' ἡμῶν πρ.] Sic K.O.Q.R. Mut. πρ. παρ' ἡμῶν Supp. Edd. [s] πρῶτοι Cat. Supp. Post ἐνέμειναν add. ἐν τῇ διαθήκῃ μου R. [t] καὶ] λοιπὸν καὶ K.Q. Sav. cet. [v] τιθεὶς R. Statim αὐτὴν τὴν αἰτίαν K.Q. Sav. cet. αὐτὴν pro αἰτίαν N. [w] εἰς] ἐπὶ R. [x] καὶ ἐπὶ κ. αὐτῶν om. R. Statim ἐπιγρά-γράψομαι idem.

Digitized by Google

λαόν." [y]Οὕτω περὶ τῆς [z]καινῆς ταῦτά φησιν, ὅτι [a]λέγει, "Οὐ
(509) κατὰ τὴν διαθήκην ἣν διεθέμην." Ποία δὲ ἄλλη ἐστὶ διαφορὰ,
ἢ αὕτη; Εἰ δὲ τὸ διάφορον λέγοι τις οὐ κατὰ τοῦτο, ἀλλὰ
κατὰ τὸ δοθῆναι εἰς τὰς καρδίας αὐτῶν· οὐ [b]προσταγμάτων
εἰσάγει διαφορὰν, ἀλλὰ τὸν τρόπον τῆς [c]δόσεως δείκνυσιν.
Οὐκέτι [d]γὰρ ἐν γράμμασι, φησὶν, ἔσται ἡ διαθήκη, ἀλλ' ἐν
καρδίαις. Δειξάτω τοίνυν [e]τοῦτο γενόμενόν ποτε [f]ὁ Ἰουδαῖος·
ἀλλ' οὐκ ἂν εὕροι· πάλιν γὰρ ἐν γράμμασιν ἐγένετο μετὰ τὴν
ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος. Ἐγὼ δὲ δείκνυμι τοὺς ἀποστό- 144
λους [g]μηδὲν παραλαβόντας γραπτὸν, ἀλλ' ἐν ταῖς καρδίαις
δεξαμένους διὰ πνεύματος ἁγίου. Διὸ καὶ ἔλεγεν ὁ Χριστός·
10 "Ἐκεῖνος ἐλθὼν ἀναμνήσει ὑμᾶς πάντα, καὶ διδάξει [h]ὑμᾶς."

11 "Καὶ οὐ μὴ [i]διδάξωσιν ἕκαστος, φησὶ, τὸν [k]πολίτην αὐ-
τοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, γνῶθι τὸν κύριον·
ὅτι πάντες εἰδήσουσί με, ἀπὸ [l]μικροῦ ἕως μεγάλου αὐτῶν· ὅτι
ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν [m]ἀνομιῶν αὐτῶν καὶ
τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ [n]μνησθῶ ἔτι." Ἰδοὺ καὶ ἄλλο ση-
μεῖον· "Ἀπὸ μικροῦ, φησὶν, ἕως μεγάλου [o]αὐτῶν εἰδήσουσί με, B
καὶ οὐ μὴ εἴπωσι, γνῶθι τὸν κύριον." Πότε τοῦτο γέγονεν ἢ
νῦν; [p]δῆλον γὰρ τὸ ἡμέτερον· τὸ δὲ ἐκείνων οὐ δῆλον, ἀλλ'
[q]ἀποκέκλειστο εἰς γωνίαν. [r]Καινὴ τότε λέγεται, ὅταν ἑτέρα
ᾖ, καὶ [s]δεικνύῃ εἴ τι τῆς παλαιᾶς πλέον ἔχει. [t]Ἰδοὺ, φησὶ, καὶ
αὕτη καινὴ τυγχάνει, ὅταν αὐτῆς τὰ μὲν περιαιρεθῇ, τὰ δὲ μή·
[v]οἷον, εἴ τις οἰκίαν παλαιὰν μέλλουσαν καταπίπτειν, ἀφεὶς τὸ
πᾶν, [w]τὸν θεμέλιον ὑπέρραψεν, εὐθέως λέγομεν, ἐποίησεν αὐτὴν C
καινὴν, ὅταν τὰ μὲν ἐξέλῃ, τὰ δὲ [x]ἀντεισαγάγῃ. Καὶ [y]γὰρ ὁ
οὐρανὸς καινὸς λέγεται οὕτως, ὅταν μηκέτι χαλκοῦς ᾖ, ἀλλ'

10 Joan. xiv. 26. 11 v. 11, 12.

[y] οὕτω] + καὶ O. [z] καινῆς] σκηνῆς A. Veron. διαθήκης N. [a] λέγει] + ὅτι R. [b] προσταγμάτων] πραγματείας Supp. Statim εἰσάγει om. A.N. Supp. Veron. invitis Cat. Mut. [c] δόσεως] διαθέσεως A. [d] γὰρ om. A. N. Supp. Mut. Mox ἔσται, φησὶν hoc ord. A.N. Supp. [e] τοῦτο om. A. τοῦτο τοίνυν γ. π. hoc ord. N. τοῦτο π. γ. τοίνυν R. τοίνυν τοῦτο π. γ. Cat. Supp. [f] ὁ om. A. [g] οὐδὲν R. [h] ὑμᾶς om. K.Q. [i] διδάξουσιν K. Statim φησὶν, ἕκαστος K.O.R. Cat. Mut. [k] πολίτην] πλησίον K.Q.R. Sav. cet. invitis Cat. Supp. [l] μικροῦ] + αὐτῶν O. [m] ἀνομιῶν et ἁμαρτιῶν transp. O.Q.R. Cat. καὶ τῶν ἁμ. αὐτῶν om. A.K. [n] μνησθήσομαι A.R. Veron. [o] αὐτῶν om. A. Supp. [p] δ. γὰρ] οὐκοῦν δ. K.Q. [q] ἀποκέκλειστο] Sic A.R. Veron. Supp. ἀπεκέκλεισται K. ἀπέκλειστο Q. ἀπεκέκλειστο N.O. Cat. Sav. cet. [r] καινὴ] ἄλλως δὲ καινὴ K.Q. Supp. Sav. cet. [s] δεικνύει A. Cat. Supp. Mox πλεῖον A. [t] ἰδοὺ φ. κ. αὕτη (αὐτὴ A.O.R. Veron.) καινὴ] καινὴ δὲ καὶ αὕτη K.Q. Supp. Sav. cet. [v] οἷον] + ἐπὶ ὑποδείγματος ἵνα εἴπω iidem. [w] τὸ θ. N. Mox εὐθέως γὰρ λ. K.Q. [x] εἰσαγάγῃ R. ἀντεισάγῃ Cat. Supp. [y] γὰρ] + καὶ K.Q. Cat. Supp. Sav. cet.

Digitized by Google

ὑετὸν [z]διδῷ· [a]καὶ ἡ γῆ ὁμοίως καινὴ, ὅταν μὴ ἄκαρπος ᾖ, οὐχ ὅταν μεταβληθῇ· [b]καὶ οἶκος οὕτω καινὸς, ὅταν τὰ μὲν αὐτοῦ ἐξαιρεθῇ, τὰ δὲ μένῃ. Ὥστε, [c]φησὶ, καὶ διαθήκην καινὴν καλῶς εἶπεν. [d]Ἐὰν οὖν δείξω ὅτι παλαιοτέρα γέγονεν ἡ διαθήκη ἐκείνη κατὰ [e]τοῦτο, τὸ μηδένα δοῦναι καρπόν; Καὶ ἵνα μάθῃς ἀκριβῶς, ἀνάγνωθι τί φησιν [f]Ἀγγαῖος, τί Ζαχαρίας, [g]τί Ἄγγελος, [h]οὔπω οὐδὲ τῆς ἐπανόδου πλήρους γεγενημένης· τί [i]δὲ
D Ἔσδρας ἐγκαλεῖ. Πῶς [k]οὖν ἔλαβεν αὐτόν; πῶς [l]δὲ οὐδεὶς ἐρωτᾷ κύριον, ὅπου γε καὶ αὐτοὶ παρέβησαν, καὶ οὐδὲ αὐτοὶ ᾔδεσαν; [m]Ὁρᾷς πῶς βεβίασται τὸ σόν; Ἐγὼ δὲ τὸ ἐμὸν τίθημι, ὅτι καινὴ κυρίως αὕτη ἂν λέγοιτο. Ἄλλως δὲ, οὐδὲ ἐκεῖνο συγχωρῶ περὶ τούτου εἰρῆσθαι, τὸ, [12]"Ἔσται καινὸς ὁ οὐρανός." Διὰ τί γὰρ μὴ, [n]λέγων ἐν τῷ Δευτερονομίῳ, ὅτι [13]"Ἔσται χαλκοῦς ὁ οὐρανὸς," τοῦτο [o]ἔθηκεν ἐν τῇ διαστολῇ· ἐὰν δὲ εἰσακούσητε, ἔσται καινός; Καὶ μὴν διὰ τοῦτό φησιν
145 ἑτέραν διαθήκην [p]δώσειν, ἐπειδὴ τῇ προτέρᾳ οὐκ ἐνέμειναν. [q]Τοῦτο ἐγὼ δείκνυμι, δι' ὧν φησι· [14]"Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός·" καὶ πάλιν, "[r]Τί πειράζετε τὸν θεὸν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν [s]οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι;" [t]Ἀλλ' ἐκεῖνοι μὲν οὐκ ἐνέμειναν, φησίν. [v]Ἐνταῦθα δείκνυσιν, ὅτι μειζόνων ἡμᾶς ἀξιοῖ, καὶ πνευματικῶν. [15]"Εἰς πᾶσαν γὰρ, [w]φησὶ, τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, [x]καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν." Τουτέστιν, "Οὐ μὴ εἴπωσιν

[12] Esai. lxv. 17. [13] Deut. xxviii. 23. [14] Rom. viii. 3. Act. xv. 10. [15] Psal. xviii. 5.

[z] δῷ K. διδοὺς R. [a] καὶ ἡ γῆ ὁμ. καινὴ om. A.N.O.R. Cat. Mut. Veron. invito Supp. Mox ᾖ om. A.N.O. Cat. Veron. post μὴ transp. R. [b] καὶ οἶκος οὕτω κ.] οὐχ A.N.O. Cat. Mut. Veron. καὶ οἶκος—ἐξαιρεθῇ om. R. [c] φησὶ om. K.Q. Supp. Sav. cet. Proximum καὶ om. A. [d] ἐὰν—παλαιοτέρα] ἵνα δείξῃ ὅτι παλαιὰ K.Q. Supp. Sav. cet. [e] τοῦτο assumtum ex O. R. Cat. Statim μὴ pro μηδένα R. Cat. [f] ὁ Ἀγγ. Edd. ὁ om. K.O.Q. Cat. Supp. Mox τί ὁ Ζαχ. N. Sav. cet. τί ^{ὁ} Ζαχ. (sic) O. [g] τί ^{ὁ} ἄγγελος (sic) O. [τί ὁ ἄγγελος] Sav. Mor. et sine uncis Ben. τί ἄγγελος om. K.Q. Supp. [h] Haec οὔπω οὐδὲ τῆς ἐπανόδου πλήρους (πλήρης A.R. Cat.) γεγενημένης, quae desunt in Edd. leguntur in Cat. Supp. Mut. et libris omnibus. [i] δὲ om. R. Cat. Statim Ἔζρας A. [k] οὖν ἔλαβεν] συνέλαβεν R. οὖν συνανέλαβεν O. συνέλαβον Cat. *corripuerunt* Mut. πῶς οὖν ἔλαβεν αὐτὸν om. K.Q. Supp. inclusum a Sav. [l] δὲ om. R. [m] ὅρα R. [n] λέγων] λέγω N. et ex corr. O. Statim τὸ ἐν τῷ K.O.Q. [o] ἔθηκεν] οὐ τέθεικεν R. [p] δίδωσιν R. et prob. Mut. [q] τοῦτο] + δὲ R. [r] τί om. R. Mox τὸν θεὸν om. R. Cat. Mut. et in text. O. [s] οὐδὲ bis O. [t] ἀλλ' ἐκεῖνοι μὲν (μὲν om. Supp.)] ὅτι αὐτοὶ K.Q. Sav. cet. [v] ἐνταῦθα] + δὲ R. [w] φ. τὴν γῆν] τὴν γῆν, φ. N. Cat. φησὶ om. R. post ἐξῆλθε transp. O. φησὶν, ὁ φθ. αὐτῶν τὴν γ. ἐξῆλθεν hoc ord. K.Q. [x] καὶ—αὐτῶν om. R. Supp. Statim τουτό ἐστιν Q. Supp.

Digitized by Google

ἕκαστος τῷ πλησίον αὐτοῦ, γνῶθι τὸν κύριον.” Καὶ [y]πάλιν,
[16]“Πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν κύριον, ὡς ὕδωρ πολὺ B
[z]κατακαλύψαι θαλάσσας.” [17]“Ἐν τῷ λέγειν καινὴν, [a]φησὶ,
πεπαλαίωκε τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ γηράσκον
ἐγγὺς ἀφανισμοῦ.” Ὅρα τὸ κρυπτόμενον, [b]ὅπως ἐξεκάλυψεν
αὐτὴν τοῦ προφήτου τὴν διάνοιαν. Ἐτίμησε τὸν νόμον, καὶ
οὐκ ἠθέλησεν αὐτὸν εἰπεῖν παλαιὸν [c]ὀνομαστί· πλὴν μέντοι
τοῦτο [d]εἶπεν· εἰ γὰρ ἐκεῖνο καινὸν ἦν, οὐκ ἂν [e]καὶ τοῦτο τὰ
μετὰ ταῦτα καινὸν ἐκάλεσεν. Ὥστε πλέον τι διδοὺς καὶ ἕτερον,
“ἐπαλαιώθη,” φησίν. Οὐκοῦν καταλύεται καὶ ἀπόλλυται καὶ
οὐκέτι [f]ἐστί. Λαβὼν παρὰ τοῦ προφήτου τὴν παρρησίαν,
μᾶλλον αὐτοῦ καθάπτεται συμφερόντως, δεικνὺς ὅτι τὰ ἡμέτερα C
νῦν ἀνθεῖ. Τουτέστιν, ἔδειξεν οὖσαν παλαιάν. Εἶτα λαβὼν τὸ
τῆς παλαιᾶς ὄνομα, καὶ ἕτερον παρ' ἑαυτοῦ προσθεὶς τὸ τοῦ
γήρως, τὸ λειπόμενον ἀπὸ τῶν ἄλλων [g]ἔλαβε, καί φησιν,
“ἐγγὺς ἀφανισμοῦ.” Οὐκ ἄρα ἁπλῶς κατέπαυσεν ἡ καινὴ τὴν
παλαιὰν, ἀλλ' ὡς γεγηρακυῖαν, ὡς οὐ χρήσιμον. Διὰ τοῦτο
(510) ἔλεγε, “Διὰ τὸ ἀσθενὲς καὶ ἀνωφελὲς,” [h]καὶ, “Οὐδὲν ἐτε-
λείωσεν ὁ νόμος,” καὶ ὅτι “[i]Εἰ ἡ πρώτη ἦν ἄμεμπτος, οὐκ ἂν
δευτέρας ἐζητεῖτο τόπος.” Ἄμεμπτος [k]δὲ, τουτέστι, χρήσιμος·
οὐχ [l]ὡς ἐγκλημάτων [m]ὑπεύθυνος, ἀλλ' ὡς οὐκ ἀρκοῦσα. Ἰδιω-
τικώτερον ἐφθέγξατο· ὡς ἄν τις εἴποι, οὐκ ἔστιν ἄμεμπτος ἡ D
οἰκία, τουτέστιν, ἔχει ἐλάττωμα, σαθρά ἐστιν· [n]οὐκ ἔστιν
ἄμεμπτον τὸ ἱμάτιον, [o]τουτέστι, λοιπὸν διαρρεῖ. Οὐχ ὡς πο-
νηρὸν τοίνυν ἐνταῦθά φησιν, ἀλλ' ὡς [p]ἔχοντα αἰτίωμα καὶ ἐλάτ-
τωμα.

[q]Οὕτω δὴ καὶ ἡμεῖς καινοί [r]ἐσμεν, μᾶλλον δὲ καινοὶ [s]ἐγε-
νόμεθα· νῦν δὲ πεπαλαιώμεθα· διὰ τοῦτο ἐγγύς ἐσμεν ἀφα-
νισμοῦ καὶ ἀπωλείας. [t]Ἀποξύσωμεν τοῦτο τὸ γῆρας. Λουτρῷ

16 Habac. ii. 14. 17 v. 13.

[y] πάλιν] ἀλλαχοῦ φησιν R. Mox ἡ γῆ om. Q. [z] καλύψαι R. [a] φησὶ om. K.Q. [b] πῶς R. Cat. [c] ὀνόματι A. Veron. ὄνομα R. [d] εἶπεν] ἔλεγεν K.Q. Supp. [e] καὶ om. R. Mox τὸ om. Cat. Supp. [f] ἔσται Q. Supp. [g] λαμβάνει K.Q. Supp. [h] καὶ] + ὅτι iidem. [i] εἰ om. Q. [k] δὲ τουτέστι] τί ἐστι K.Q. Supp. Sav. cet. Post χρήσιμος add. ἰσχυρά. τοῦτο δὲ λέγει iidem. [l] ὡς] ὥστε Supp. [m] ὑπεύθυνος] δεῖξαι ὑπεύθυνον K.Q. Supp. Sav. cet. Mox ἀρκοῦσαν iidem. [n] οὐκ] ἢ ὅτι οὐκ K.Q. Sav. Mor. [o] τουτέστι] δηλῶν ὅτι K.Q. [p] ἔχοντα αἰτίωμα (αἰτίαμα Veron. Supp.) καὶ ἐλ.] Sic A.N.O. Supp. Veron. ἔχον ἐλ. καὶ αἰτίωμα R. ἔχων τὸ αἰτίωμα καὶ ἐλ. K.Q. ἔχον τὸ αἰτίαμα καὶ ἐλ. Sav. cet. [q] ΗΘΙΚΟΝ. Περὶ μετανοίας καὶ προσευχῆς. Veron. [r] ἦμεν K.Q. [s] γεγόναμεν R. [t] ἀποξύσωμεν] Sic N.O.R. Mut. πῶς ἀποξύσωμεν (ἀποξύσομαι Veron) A. Veron. ἀλλ', ἂν ἐθέλωμεν, ἔστιν ἀποξῦσαι K.Q. Sav. cet.

Digitized by Google

146 μὲν [v]οὖν οὐκέτι δυνατὸν, μετανοίᾳ δὲ [w]ἐνταῦθα δυνατόν. Εἴ τι παλαιὸν ἐν ἡμῖν, ῥίψωμεν· εἴ τις ῥυτὶς, [x]εἴ τις κηλὶς, εἴ τις σπῖλος, ἀπονιψώμεθα, [y]καὶ καλοὶ γενώμεθα, ἵνα ἐπιθυμήσῃ ὁ βασιλεὺς τοῦ κάλλους ἡμῶν. Ἔξεστι καὶ πρὸς ἐσχάτην δυσείδειαν [z]καταπεσόντα ἀνακτήσασθαι τὸ κάλλος ἐκεῖνο, περὶ οὗ φησιν [a]ὁ Δαυῒδ, [b]ὅτι ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. [18] "Ἄκουσον, θύγατερ, καὶ [c]ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου." Καὶ μὴν [d]ἡ λήθη κάλλος οὐ [e]ποιεῖ. Ναὶ, κάλλος τὸ ψυχικόν. Λήθη ποία; Ἡ τῶν [f]ἁμαρτιῶν. Πρὸς
B γὰρ [g]τὴν ἐκκλησίαν τὴν ἐξ ἐθνῶν διαλέγεται, παραινῶν αὐτῇ τῶν πατρῴων μὴ μνησθῆναι, τουτέστι, τῶν [h]εἰδώλοις θυόντων· ἀπὸ γὰρ τῶν τοιούτων συνῆκται. Καὶ οὐκ εἶπε, μὴ μετέλθῃς αὐτὰ, ἀλλ' ὃ πλέον ἐστὶ, μηδὲ εἰς νοῦν λάβῃς· ὃ καὶ ἀλλαχοῦ φησιν, [19] "Οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου·" καὶ πάλιν, "Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων." Οὔπω τοῦτο μεγάλη ἀρετή· [i]μεγάλη μὲν γὰρ, ἀλλ' οὐ τοιαύτη. Ἐκεῖ γὰρ τί φησιν; Οὐκ εἶπε, [k]μὴ λαλήσῃς τὰ τῶν [l]ἀνθρώπων, οὐδὲ μὴ εἴπῃς τὰ τῶν πατέρων, ἀλλὰ μηδὲ [m]ἀναμνησθῇς αὐτῶν, [n]μηδὲ εἰς νοῦν λάβῃς. Ὁρᾷς
C πόσον ἡμᾶς διάστημα τῆς κακίας ἀπέχειν βούλεται; Ὁ γὰρ μὴ μεμνημένος, [o]οὐ λογιεῖται· ὁ δὲ μὴ λογιζόμενος, οὐδὲ φθέγγεται· ὁ δὲ μὴ φθεγγόμενος, [p]οὐ πράξει. Ὁρᾷς πρὸ πόσων ἀπετείχισεν [q]ἡμᾶς ὁδῶν; πρὸ πόσων διαστημάτων [r]ἀπεμάκρυνε καὶ ἐκ τοῦ πλείονος; Ἀκούσωμεν τοίνυν καὶ ἡμεῖς, καὶ ἐπιλαθώμεθα τῶν ἡμετέρων κακῶν, οὐ τῶν ἡμαρτημένων ἡμῖν, [s]λέγω· μνήσθητι γὰρ σὺ, φησὶ, πρῶτος, καὶ οὐ μὴ μνησθῶ ἐγώ. Οἷόν τι λέγω· μηκέτι [t]μεμνήμεθα ἁρπαγῆς, ἀλλὰ καὶ τὰ πρότερα

18 Psal. xliv. 11, 12. 19 Ibid. xv. 4. xvi. 3, 4.

v οὖν] γὰρ K. οὖν om. N.R. w ἐντεῦθεν K. x εἴ τις κηλὶς om. K. y καὶ καλοὶ γ.] γ. καλοὶ K.O.Q.R. Mut. z καταπεσόντας K.Q.R. Mut. Sav. cet. a ὁ προφήτης Δ. R. b ὅτι ἐπ. ὁ β. τοῦ κ. σου om. K.Q. Sav. cet. c ἴδε] + καὶ κλῖνον τὸ οὖς σου iidem, et in marg. O. d ἡ om. K.Q.R. e ποιεῖ, κάλλος τὸ ψ. Edd. ποιεῖ εἶναι, κάλλος τὸ ψ. O. ποιεῖ. ναὶ, κάλλος ποιεῖ τὸ ψ. R. Ex his duobus libris ναὶ assumsimus. f ἁμαρτημάτων K.O.Q.R. g τὴν ἐξ ἐθνῶν ἐκκ. R. h εἰδώλοις θ.] εἰδωλοθύτων (sic) R. Mox τῶν om. idem. i μ. μὲν γὰρ] μᾶλλον δὲ μ. μὲν K.Q. Sav. cet. Mox τί φησιν om. K.Q. k οὐ μὴ Edd. οὐ om. K.N.O.Q.R. Statim λαλήσεις A. et olim O. l Haec ἀνθρώπων (patrum Mut.) οὐδὲ μὴ εἴπῃς τὰ τῶν accesserunt ex K.O.Q. Mut. In vulgata ἀνθρώπων pro πατέρων habet R. m μνησθῇς K. n μηδὲ] τουτέστι, μηδὲ K.Q. o οὐ—λογιζόμενος om. A. p οὐ omnes. οὐδὲ Edd. q ἡμᾶς om. R. r ἀπεμάκρυνε] ἀπὸ μακρόθεν R. s λέγω] + ἀλλὰ τοῦ μὴ τὰ τῆς κακίας λογίζεσθαι. τὸ γὰρ μνήσκεσθαι (sic) τῶν ἁμαρτιῶν ἐν μετανοίᾳ καὶ συντριβῇ καρδίας καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ θεοῦ R. Mox post ἐγὼ idem add. τὸ δὲ μὴ ἐνθυμῆσθαι τὰ τῆς κακίας ἐναντίον. t μνημονεύωμεν K.Q. Sav. cet.

Digitized by Google

ἀποδῶμεν. Τοῦτό ἐστιν ἐπιλαθέσθαι κακίας, [v]καὶ ἐκβαλεῖν τὸν
λογισμὸν τὸν ἁρπακτικὸν, καὶ μηδέποτε αὐτὸν [w]μήτε δέξασθαι,
ἀλλὰ καὶ τὰ ἤδη πεπλημμελημένα ἀπαλείφειν. Πόθεν δὲ ἂν D
γένοιτο ἡμῖν λήθη πονηρίας; Ἀπὸ τῆς μνήμης τῶν ἀγαθῶν,
[x]ἀπὸ τῆς μνήμης τοῦ θεοῦ· ἐὰν τοῦ θεοῦ διαπαντὸς [y]μνημο-
νεύωμεν, οὐ δυνάμεθα κἀκείνων μεμνῆσθαι. [20] "Εἰ ἐμνημόνευον
γάρ σου, φησὶν, ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέ-
των εἰς σέ." Ἀεὶ μὲν οὖν, μάλιστα δὲ τότε χρὴ [z]μεμνῆσθαι
τοῦ θεοῦ, [a]ὅταν ἐν ἡσυχίᾳ ὁ λογισμὸς ᾖ, ὅταν διὰ τῆς μνήμης
ἐκείνης [b]καταδικάζειν ἑαυτὸν δύνηται, ὅταν κατέχεσθαι ἐν τῇ
μνήμῃ. Ἐν ἡμέρᾳ [c]μὲν γὰρ ἂν μνημονεύωμεν, ἐπεισελθοῦσαι 147
φροντίδες ἕτεραι καὶ θόρυβοι πάλιν αὐτὴν ἐκβάλλουσιν· ἐν
νυκτὶ δὲ διαπαντὸς [d]μεμνῆσθαι δυνατὸν, ὅταν ἐν γαλήνῃ [e]ᾖ
καὶ ἀναπαύσει ἡ ψυχὴ, ὅταν ἐν λιμένι, ὅταν ἐν εὐδίᾳ. [21] "Ἃ
λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, [f]ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύ-
γητε," φησίν. Ἔδει μὲν γὰρ καὶ δι' ἡμέρας ταύτην ἔχειν τὴν
μνήμην· [g]ἐπειδὴ δὲ φροντίζετε ἀεὶ, καὶ περισπᾶσθε ἐν τοῖς
βιωτικοῖς, κἂν τότε μνημονεύετε ἐπὶ τῆς κοίτης τοῦ θεοῦ· ἐν
τοῖς ὄρθροις [h]μελετᾶτε ἐν αὐτῷ. Ἂν ἐν τοῖς ὄρθροις [i]μελετή-
σωμεν ταῦτα, μετὰ πολλῆς ἀσφαλείας χωρήσομεν εἰς τὰ πρά- B
γματα· ἂν [k]ἵλεων πρῶτον τὸν θεὸν ποιήσωμεν τῇ ἐντεύξει καὶ
τῇ ἱκετηρίᾳ, οὕτω προβαίνοντες οὐδένα ἕξομεν ἐχθρόν· κἂν
ἔχῃς δὲ, [l]καταγελάσῃ, ἵλεων ἔχων τὸν θεόν. Πόλεμός ἐστιν
ἐν τῇ ἀγορᾷ, μάχη ἐστὶ τὰ πράγματα [m]τὰ καθημερινὰ, κλυ-
δώνιόν ἐστι καὶ χειμών. Δεῖ τοίνυν ὅπλων ἡμῖν· μέγα δὲ ὅπλον
[n]εὐχή· [o]δεῖ οὐρίων ἀνέμων· δεῖ μαθεῖν ἅπαντα, ὥστε τὸ μῆκος
τῆς ἡμέρας χωρὶς ναυαγίων διανύσαι καὶ τραυμάτων· πολλοὶ
γὰρ καθ' ἑκάστην ἡμέραν οἱ σκόπελοι, καὶ πολλάκις [p]προσέρ-
(511) ραξε τὸ σκάφος καὶ κατεποντίσθη. Διὰ τοῦτο εὐχῆς ἡμῖν δεῖ
μάλιστα ἑωθινῆς καὶ νυκτερινῆς. Ὀλύμπια πολλοὶ πολλάκις

20 Psal. lxii. 7. 21 Ibid. iv. 5.

[v] καὶ om. R. et olim O. [w] μήτε] Sic A.O. Veron. μηδὲ N. ἔτι K.Q. Sav. cet. μήτε om. R. [x] Haec ἀπὸ τῆς μνήμης accesserunt ex K.O.Q. ἀπὸ τῆς μν. τοῦ θ. ἐὰν τοῦ θ.] ἂν τῆς μν. τοῦ θ. R. [y] μνημονεύσωμεν A. [z] μνησθῆναι olim O. [a] ὅταν—ᾖ om. A. [b] καταδ. ἑαυτὸν (ἑαυτοῦ K.O.Q.)] Sic omnes. ἑαυτοῦ (ἑαυτὸν Veron.) καταδ. Edd. [c] μὲν om. N. Veron. Mox μνημονεύωμεν A.K.O.Q.R. μνημονεύσωμεν Edd. [d] δυνατὸν μεμνῆσθαι inverso ord. K.O.Q. [e] ἦν A. [f] καὶ (erasum) ἐπὶ O. Mox κατενύγητε Q. [g] ἐπειδὴ—βιωτικοῖς] ὦ βιωτικοὶ R. [h] μελετᾶ Q. μελετήσωμεν O.R. *meditemur* Mut. μελετᾶτε—ὄρθροις om. A. [i] μελετῶμεν K.O.Q.R. [k] ἵλεω O.R. [l] καταγελάσῃς O. καταλλαγήσῃ R. Statim θεὸν ἔχων ἵλεω O.R. [m] τὰ (τὰ om. A.) καθημερινὰ] καθημερινὴ K.N.Q. et ex corr. O. invito Mut. [n] ἡ εὐχὴ R. [o] δεῖ οὐρ. ἀνέμων· δεῖ] δι' οὐρ. ἀνέμων δεῖ Veron. δι' οὐρ. ἀνέμων πορευθῶμεν R. *in prosperitate ventorum oportet* Mut. [p] προσέρρηξεν R. et a pr. m. O. προσήραξε K.Q.

Digitized by Google

C ὑμῶν ἐθεάσαντο· καὶ οὐκ ἐθεάσαντο μόνον, ἀλλὰ [q]καὶ σπου-
δασταὶ καὶ θαυμασταὶ τῶν ἀγωνιζομένων ἐγένοντο, [r]καὶ ὁ μὲν
τούτου, ὁ δὲ ἐκείνου. Ἴστε οὖν [s]ὅτι καὶ τὰς ἡμέρας τῶν ἀγώ-
νων, καὶ τὰς νύκτας ἐκείνας, δι' ὅλης νυκτὸς ὁ κήρυξ οὐδὲν ἄλλο
φροντίζει, οὐδὲν ἄλλο μεριμνᾷ, ἢ ὅπως [t]ἐξελθὼν μὴ ἀσχη-
μονήσῃ ὁ ἀγωνιζόμενος. Ἐκεῖνοι γὰρ οἱ παρακαθήμενοι τῷ
[v]σαλπιστῇ παρεγγυῶσι [w]μηδὲ φθέγγεσθαί τινι, ὥστε μὴ τὸ
πνεῦμα δαπανώμενον γέλωτα ὄφλειν. Εἰ τοίνυν ὁ ἐπ' ἀνθρώ-
πων ἀγωνίζεσθαι μέλλων, τοσαύτῃ κέχρηται προνοίᾳ· πολλῷ
D μᾶλλον ἡμῖν [x]ἁρμόσει διηνεκῶς φροντίζειν καὶ μεριμνᾶν, οἷς [y]ὁ
πᾶς βίος ἀγών ἐστι. Πᾶσα τοίνυν ἔστω νὺξ [z]παννυχὶς, καὶ
μεριμνῶμεν πῶς ἐξελθόντες τὴν ἡμέραν, μὴ γέλωτα [a]ὄφλωμεν.
Καὶ εἴθε γέλωτα μόνον· νυνὶ δὲ κάθηται ἐν δεξιᾷ τοῦ πατρὸς ὁ
ἀγωνοθέτης, ἀκούων ἀκριβῶς μή τι ἀπηχὲς φθεγγώμεθα, μή τι
παρὰ μέλος· οὐ γὰρ πραγμάτων μόνον, ἀλλὰ καὶ [b]τῶν ῥημά-
148 των ἐστὶ κριτής. Παννυχίσωμεν, ἀγαπητοί· ἔχομεν καὶ ἡμεῖς
σπουδαστὰς, ἐὰν θέλωμεν· ἑκάστῳ ἡμῶν [c]ἄγγελοι παρακάθην-
ται· ἡμεῖς δὲ ῥέγχομεν δι' ὅλης νυκτός. [d]Καὶ εἴθε μόνον τοῦτο·
πολλοὶ δὲ καὶ ἀσελγῆ πράττουσι [e]πολλὰ, οἱ μὲν πρὸς αὐτὰ
τὰ [f]χαμαιτυπεῖα βαδίζοντες, [g]οἱ δὲ τὰς οἰκίας πορνεῖα ποι-
οῦντες τῷ ἑταίρας ἄγειν ἐκεῖ. Πάνυ γε, οὐ γάρ; καλῶς μερι-
μνῶσιν ἀγωνίσασθαι. [h]Ἕτεροι μεθύουσι καὶ παραφθέγγονται,
B ἄλλοι θορυβοῦσιν, [i]ἕτεροι παννυχίζουσι κακῶς, καὶ τῶν καθευ-
δόντων χεῖρον πλέκοντες δόλους· ἄλλοι τόκους [k]ἀριθμοῦντες,
ἕτεροι φροντίσι κοπτόμενοι, καὶ πάντα μᾶλλον ποιοῦντες, ἢ
τὰ τῷ [l]ἀγῶνι προσήκοντα. Διὸ, παρακαλῶ, πάντα ἀφέντες,
εἰς ἓν [m]ὁρῶμεν, ὅπως τὸ βραβεῖον λάβωμεν, [n]τὸν στέφανον
ἀναδησώμεθα· πάντα πράττωμεν, δι' ὧν [o]δυνησόμεθα τυχεῖν
τῶν ἐπηγγελμένων ἀγαθῶν· [p]ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυ-
χεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα

[q] καὶ σπουδασταὶ om. R. [r] καὶ om. K.Q. Sav. cet. [s] ὅτι] πῶς K.O.Q. ὅπως R. [t] ἐξ. μὴ] μὴ ἐξ. K.N.O.Q. [v] σαλπιστῇ] Sic K.N.O.Q. σαλπικτῇ A. σαλπιγγιστῇ Veron. σαλπιγκτῇ R. Sav. cet. [w] μηδὲ] μὴ K.Q. μηδὲν R. [x] ἁρμόζει διαπαντὸς φρ. R. [y] ὁ πᾶς] ἅπας ὁ O.R. [z] παννύχιον R. [a] ὀφλήσωμεν R. Statim καὶ om. R. et olim O. [b] τῶν om. K.O.Q. Sav. cet. [c] ἄγγελος παρακάθηται Edd. invitis libris et Mut. [d] καὶ om. R. et a pr. m. O. Statim εἴθε μόνον τοῦτο A.K.N.Q. εἴθε (sic) μὲν οὖν τοῦτο R. εἴθε τοῦτο μόνον Sav. cet. καὶ—τοῦτο om. Veron. [e] πολλὰ, οἱ μὲν] πολλοὶ μὲν N. πολλοὶ δὲ R. πολλὰ om. K.Q. [f] χαμαιτυπία A. χαμαιτύπια O. [g] οἱ δὲ—πάνυ γε] τὸ ἑταιρίδας εἰσάγειν ἐκεῖ παννυχεύουσιν R. [h] ἕτεροι] + δὲ R. [i] ἕτεροι] ἄλλοι O. [k] ἀριθμοῦσιν A.N. Veron. [l] ἀγῶνι] ἀγωνιζομένῳ K.O.Q. [m] ὁρῶμεν] + μόνον Edd. μόνον om. K.N.O.Q.R. Mut. [n] τὸν] καὶ τὸν K.Q. Sav. cet. Mox ἀναδυσώμεθα A. [o] δυνησόμεθα] Sic K.O.Q. δυνησώμεθα Edd. [p] ὧν—ἐπιτυχεῖν om. K.Q.

Digitized by Google

τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΕ.

[1] Εἶχε μὲν οὖν καὶ ἡ πρώτη δικαιώματα λατρείας, τό τε ἅγιον C
κοσμικόν. Σκηνὴ γὰρ κατεσκευάσθη [a] ἡ πρώτη, ἐν ᾗ ἥ τε
λυχνία καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγε-
ται ἅγια. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λε-
γομένη ἅγια ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν
κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ·
ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν
ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης· ὑπεράνω δὲ αὐ- D
τῆς Χερουβὶμ δόξης, [b] κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ
ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος.

ἜΔΕΙΞΕΝ ἀπὸ τοῦ ἱερέως, ἀπὸ τῆς ἱερωσύνης, ἀπὸ τῆς
διαθήκης, ὅτι τέλος ἔμελλεν ἔχειν ἐκείνη· δείκνυσι λοιπὸν καὶ
ἀπ' [c] αὐτῆς τῆς σκηνῆς τοῦ σχήματος. Πῶς; [d] Τοῦτο μὲν, φη-
σὶν, ἅγια, καὶ ἅγια ἁγίων. Τὰ μὲν οὖν ἅγια τοῦ προτέρου
καιροῦ σύμβολά ἐστιν· ἐκεῖ γὰρ διὰ θυσιῶν πάντα γίνεται· τὰ
δὲ ἅγια τῶν ἁγίων, τούτου τοῦ νῦν ἐνεστῶτος. Λέγει δὲ ἅγια
[e] ἁγίων τὸν οὐρανὸν, [f] καὶ τὸ καταπέτασμα [g] τὸν οὐρανὸν, καὶ 149
τὴν σάρκα εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος.
Τουτέστι, [2] "Διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ."
Καλὸν δὲ [h] ἀνωτέρω τοῦτο τὸ χωρίον ἀναλαβόντας εἰπεῖν. Τί
[i] οὖν φησιν; "Εἶχε μὲν οὖν [k] καὶ ἡ πρώτη." [l] Ἡ πρώτη τίς;
Ἡ διαθήκη. "Δικαιώματα λατρείας." Τί ἐστι, "[m] δικαιώματα;"
Σύμβολα, ἢ θεσμούς. "[n] Τότε·" ὡσανεὶ νῦν, φησὶν, οὐκ ἔχει·
[o] ἤδη δείκνυσιν αὐτὴν ἐκκεχωρηκυῖαν· [p] τότε γὰρ εἶχε, φησίν.
Ὥστε νῦν, εἰ καὶ ἕστηκεν, οὐκ ἔστι. "Τό τε ἅγιον κοσμικόν."
[q] Κοσμικὸν λέγει, ἐπειδὴ [r] πᾶσιν ἠφίετο ἐπιβαίνειν, καὶ δῆλος B

[1] Cap. IX. v. 1—5. [2] Hebr. x. 20.

Hom. XV. [a] ἡ] καὶ ἡ R. [b] κατασκιάζον hic et infra R. κατασκευάζοντα A. [c] αὐτοῦ A.O. Cat. Mut. Statim τῆς om. Veron. [d] τοῦτο μὲν, φ. ἅγια] ἅγια λέγων K.Q. Sav. cet. [e] τῶν (expunctum) ἁγίων O. [f] καὶ τὸ] τὸ αὐτὸ δὲ καὶ K.Q. Sav. cet. [g] τὸν οὐρανὸν] Sic N.R. et a pr. m. O. *coelum* Mut. τοῦ οὐρανοῦ Edd. οὐρανοῦ et mox σάρκα sine articulis K.Q. [h] ἄνωθεν K.Q. Sav. cet. [i] οὖν om. R. [k] καὶ om. A.R. [l] ἡ om. R. Post τίς add. ἐστιν K.Q. [m] δικαιώματα] + λατρείας A.K.N.R. invitis Cat. Mut. τί ἐστι δ.] τουτέστι Q. [n] τότε· ὡσανεὶ νῦν φ.] ὡσεὶ ἔλεγε, τότε εἶχε, νῦν K.Q. Sav. cet. [o] ἤδη (ἴδε R.) δείκνυσιν] Sic O.R. ἢ δείκνυσιν Cat. δείκνυσιν ἤδη τούτῳ A.K.N.Q. Edd. τούτῳ habet in marg. O. [p] τότε γὰρ εἶχε, φ.] τὸ γὰρ εἶχε τοῦτο δηλοῖ K.Q. [q] κοσμικὸν] ἅγιον κοσμικὸν K.Q. κοσμικὸν om. N. [r] ἅπασιν O. Statim ἐφεῖτο K.Q. et olim O. ἠφεῖτο Cat.

ἦν [s]ὁ τόπος ἐν τῷ αὐτῷ οἴκῳ, ἔνθα οἱ ἱερεῖς εἰστήκεσαν, ἔνθα οἱ (512)
Ἰουδαῖοι, οἱ προσήλυτοι, οἱ Ἕλληνες, οἱ [t]Ναζιραῖοι. Ἐπεὶ οὖν
καὶ Ἕλλησι [v]βατὸν ἦν, κοσμικὸν αὐτὸ καλεῖ· οὐ γὰρ δὴ [w]οἱ
Ἰουδαῖοι ὁ κόσμος ἦσαν. "Σκηνὴ γὰρ, φησὶ, [x]κατεσκευάσθη ἡ
πρώτη, ἥτις λέγεται ἅγια· ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα,
καὶ ἡ πρόθεσις τῶν ἄρτων." Ταῦτα σύμβολα [y]τοῦ κόσμου.
"Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα." Ἄρα οὐκ ἦν καταπέ-
τασμα ἓν, ἀλλὰ [z]καὶ ἔξω καταπέτασμα ἦν. "Σκηνὴ, ἥτις λέ-
γεται [a]ἅγια ἁγίων." Ὅρα πῶς πανταχοῦ σκηνὴν καλεῖ παρὰ
C τὸ σκηνοῦν ἐκεῖ. "Χρυσοῦν ἔχουσα θυμιατήριον, [b]φησὶ, καὶ
τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ·
ἐν ᾗ στάμνος [c]χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν
ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης." Πάντα ταῦτα
[d]σεμνὰ ἦν καὶ λαμπρὰ τῆς Ἰουδαϊκῆς ἀγνωμοσύνης ὑπομνήματα.
"Καὶ αἱ πλάκες τῆς διαθήκης·" [e]κατέαξαν γὰρ αὐτάς. "Καὶ
τὸ μάννα·" ἐγόγγυσαν γάρ· [f]καὶ διὰ τοῦτο [g]εἰς ἐγγόνους
παραπέμπων τὴν μνήμην, προσέταξεν εἰς τὴν στάμνον τὴν χρυ-
D σῆν ἀποτεθῆναι αὐτό. "[h]Καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστή-
σασα· ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ [i]δόξης." Τί ἐστι, "Χερου-
βὶμ δόξης;" Ἤτοι τὰ ἔνδοξα, ἢ τὰ ὑποκάτω τοῦ θεοῦ φησι.
"[k]Κατασκιάζοντα τὸ ἱλαστήριον." [l]Ἄλλως δὲ καὶ ἐπαίρει
ταῦτα τῷ λόγῳ, ἵνα δείξῃ μείζονα ὄντα [m]τὰ μετὰ ταῦτα.
"Περὶ ὧν οὐκ ἔστι, φησὶ, νῦν λέγειν κατὰ μέρος." Ἐνταῦθα
150 ᾐνίξατο, ὅτι οὐ ταῦτα ἦν [n]μόνα τὰ ὁρώμενα, ἀλλὰ αἰνίγματά
τινα ἦν. "Περὶ ὧν οὐκ ἔστι, [o]φησὶ, νῦν λέγειν κατὰ μέρος·"
ἴσως ὡς [p]μακροῦ δεομένων λόγου.

[s] ὁ om. A.O. Mox ἑστήκεσαν R. Veron. εἱστήκεισαν Cat. [t] Ναζηραῖοι A. Cat. Ναζωραῖοι Sav. cet. invitis nostris. οἱ Ἑλλ. οἱ Ναζ. om. R. [v] βατὸς R. [w] οἱ om. A.K.Q. Statim κόσμος sine artic. O. [x] κατεσκευασμένη K.Q. [y] τῷ κόσμῳ R. [z] καὶ om. A. [a] τὰ ἅγια τῶν ἁγίων O. [b] φησὶ om. K. [c] ἡ χρυσῆ A. [d] σεμνὰ] τὰ σεμνὰ Q. ἦν post ἀγνωμοσύνης transp. K.Q. [e] κατέαξε K.N.Q. κατέαξεν Cat. et per incuriam, ut videtur, Ben. *fregerat* Mut. [f] [καὶ—αὐτὸ] Sav. Haec om. K.Q. invitis Cat. Mut. [g] εἰς om. A. Statim ἐκγόνους O. Mox παρέπεμπον (hoc ex corr. O.) τὴν μν. καὶ προσέταξαν R. [h] καὶ—βλαστήσασα om. O. Post βλαστήσασα add. ἐπανέστησαν γάρ. ἐπεὶ οὖν καὶ ἀχάριστοι ἦσαν οἱ Ἰουδαῖοι, καὶ εὐεργετούμενοι συνεχῶς ἐπελανθάνοντο, διὰ τοῦτο προστάξει τοῦ νομοθέτου εἰς τὴν στάμνον τὴν χρυσῆν ἀπέθεσαν αὐτὰ, καὶ οὕτως εἰς ἐγγόνους παρέπεμπον τὴν μνήμην. K.Q. Ben. Sic, sed inter uncos Sav. Mor. [i] δόξης] + κατασκιάζοντα τὸ ἱλ. K.Q. Sav. cet. Statim τί ἐστι X. δόξης; om. A.R. Mox τουτέστι pro ἤτοι R. Veron. [k] κατασκιάζον R. κατασκ. τὸ ἱλ. om. K.Q. Sav. cet. [l] ἄλλως] καλῶς K.O.Q. et a pr. m. N. receptum a Sav. cet. ἄλλως tuentur Cat. Mut. [m] τὰ om. Veron. et a pr. m. A. Mox φησὶ om. K.Q. [n] μόνον K.N.O.Q.R. invitis Cat. Mut. Mox ἀλλὰ καὶ αἰν. K.N.Q. et ex corr. O. [o] φ. νῦν] νῦν, ἄρτι φ. R. Mox ὡς om. idem. [p] μακροτέρου K.O.Q. Statim δέομενα K.Q.R. Cat. Veron. Sic a pr. m. O.

Digitized by Google

[3] "Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην
σκηνὴν διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες."
Τουτέστιν, ἦν μὲν ταῦτα, οὐκ [q]ἀπέλαυον δὲ αὐτῶν οἱ Ἰουδαῖοι·
[r]οὐχ ἑώρων αὐτά. Ὥστε οὐκ ἐκείνοις μᾶλλον ἦν, [s]ἢ οἷς προε-
φητεύετο. [4] "Εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ
ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν
τοῦ λαοῦ ἀγνοημάτων." Ὁρᾷς ἤδη τοὺς τύπους προκαταβε- B
βλημένους; Ἵνα γὰρ μὴ λέγωσιν, [t]ὅτι πῶς μία [v]θυσία; δεί-
κνυσιν αὐτὸ [w]ἄνωθεν ὄν, [x]εἴγε ἡ ἁγιωτέρα μία ἦν καὶ ἡ φρικτή.
Καὶ πῶς ὁ ἀρχιερεὺς ἅπαξ προσέφερεν; Οὕτως [y]εἰθίζοντο
ἄνωθεν· καὶ γὰρ τότε ὁ ἀρχιερεύς, φησὶν, ἅπαξ προσέφερε.
Καὶ καλῶς εἶπεν, "οὐ χωρὶς αἵματος·" οὐ χωρὶς [z]μὲν αἵματος,
οὐ μὴν τούτου τοῦ αἵματος· οὐ γὰρ τοσαύτη ἦν ἡ πραγματεία.
Δείκνυσιν ὅτι [a]ἔσται θυσία, οὐ πυρὶ ἀναλουμένη, [b]ἀλλὰ ἀπὸ
αἵματος μᾶλλον δεικνυμένη. Ἐπειδὴ γὰρ θυσίαν ἐκάλεσε τὸν C
[c]σταυρὸν, οὔτε πῦρ ἔχοντα, οὔτε ξύλα, οὔτε πολλάκις προσφε-
ρόμενον, ἀλλὰ ἅπαξ ἐν αἵματι προσενεχθέντα· δείκνυσιν ὅτι
καὶ [d]ἡ παλαιὰ θυσία τοιαύτη ἦν, [e]ἅπαξ προσεφέρετο ἐν αἵ-
ματι. "Ὃ [f]προσφέρει ὑπὲρ ἑαυτοῦ·" πάλιν ὑπὲρ ἑαυτοῦ· "καὶ
τῶν τοῦ λαοῦ ἀγνοημάτων." [g]Οὐκ εἶπεν, ἁμαρτημάτων, ἀλλ',
"ἀγνοημάτων," ἵνα μὴ μέγα φρονῶσιν. Εἰ γὰρ καὶ μὴ ἑκὼν
[h]ἥμαρτες, ἀλλ' ἄκων ἠγνόησας, καὶ τούτου οὐδείς ἐστι καθαρός.
[i]Καὶ πανταχοῦ τὸ, "ἑαυτοῦ," δεικνὺς ὅτι ὁ Χριστὸς [k]πολλῷ D
μείζων ἐστί. Εἰ [l]γὰρ κεχώρισται τῶν ἁμαρτιῶν ἡμῶν, πῶς
ὑπὲρ ἑαυτοῦ προσήνεγκε; [m]Τί οὖν ταῦτα εἶπες, φησί; [n]Τοῦτο
γὰρ κρείττονός ἐστιν. Οὐδαμοῦ ἐνταῦθα θεωρία· λοιπὸν δὲ

[3] v. 6. [4] v. 7.

[q] ἀπήλαυον N.O.R. ἀπέλαβον Veron. Mox τούτων αὐτῶν Edd. τούτων om. K.N.O.Q.R. Cat. Ἰουδαῖοι sine artic. A.R. Veron. [r] οὐχ] οὐ γὰρ K.Q. Mut. Sav. cet. [s] ἢ] ἀλλ' N. et ex corr. O. Mox προετυποῦτο K.Q. Sav. cet. [t] ὅτι πῶς om. R. ὅτι om. Cat. [v] θυσία] + καὶ πῶς ὁ ἀρχ. ἅπαξ προσέφερεν (iisdem mox omissis) K.Q. Sav. cet. [w] ἄνωθεν] + οὕτως iidem. [x] εἴ γε ἡ] ἥ γε R. εἴ γε Cat. Mox φρικτὴ sine artic. A. Cat. Veron. [y] εἰθίζοντο] Sic A.O. Cat. ἠθίζοντο K.N.Q. Sav. cet. ἐθίζοντο R. In Veron. lacuna est. [z] μὲν] + γὰρ K.Q. Post μὴν add. δὲ R. [a] ἔστιν R. [b] ἀλλ' ἀπὸ K.N. Cat. Infra ἀλλ' ἅπαξ iidem. [c] σταυρὸν] + λοιπὸν ὀπίσω τὰ λοιπὰ τῶν καθεξῆς πληροῖ. ἡ προσθήκη R. [d] ἡ om. R. αὕτη pro τοιαύτη idem. [e] ἅπαξ] + γὰρ R. Mox ἐν αἵμασιν A. Veron. et olim O. [f] προσφέρει] + φησὶν K.Q. Mut. Sav. cet. Mox haec πάλιν ὑπὲρ ἑαυτοῦ accesserunt ex N.O. [g] οὐκ] ὅρα· οὐκ K.Q. Sav. cet. Mox φρονῶσιν K.O.Q.R. Cat. φρονήσωσιν Edd. [h] ἥμαρτες] + φησὶν K.Q. Sav. cet. Statim ἀλλὰ κἂν ἄκων R. [i] καὶ om. K.Q. Mox τὸ ὑπὲρ ἑαυτοῦ τίθησι, δ. K.Q. Sav. cet. Statim δείκνυσιν N.O.R. Mut. Veron. invita Cat. [k] πολλῷ om. R. Statim μεῖζον K. Post ἐστὶ add. τοῦ παρὰ Ἰουδαίοις K.Q. Sav. cet. [l] γὰρ om. K.Q. Mox ἁμαρτωλῶν pro ἁμαρτιῶν ἡμῶν R. [m] τί οὖν] τίνος οὖν ἕνεκεν K.Q. Mox εἶπεν K.Q. Cat. [n] τοῦτο—ἐστιν om. N. inclusum a Sav.

Digitized by Google

θεωρεῖ, καί [o]φησι· [5] "Τοῦτο δηλοῦντος τοῦ πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν." [p]Διὰ τοῦτο, φησὶ, ταῦτα οὕτω κατεσκεύασται, ἵνα μάθωμεν [q]ὅτι τὰ ἅγια τῶν ἁγίων, τουτ-
151 έστιν, ὁ οὐρανὸς, ἔτι ἐστὶν ἄβατος. Μὴ οὖν, ἐπειδὴ μὴ ἐπιβαίνομεν [r]αὐτῶν, φησὶ, νομίζωμεν αὐτὰ [s]μηδὲ εἶναι, ἐπεὶ οὐδὲ τῶν ἁγίων ἐπέβημεν. [6] "Ἥτις παραβολὴ, [t]φησὶν, εἰς τὸν καιρὸν (513)
τὸν ἐνεστηκότα καθέστηκε." [v]Τὸν καιρὸν τὸν ἐνεστῶτα ποῖόν [w]φησι; Τὸν πρὸ τῆς [x]τοῦ Χριστοῦ παρουσίας· μετὰ γὰρ τὴν παρουσίαν τοῦ Χριστοῦ οὐκέτι καιρός ἐστιν ἐνεστώς· πῶς γὰρ, [y]ἐπιγενόμενος καὶ τέλος ἔχων; Καὶ ἕτερον δὲ ἐμφαίνων, τοῦτό φησιν· "Ἥτις παραβολὴ [z]εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα" τουτέστιν, [a]ὁ τύπος γέγονε. "Καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν
B λατρεύοντα." [b]Εἶδες τί [c]ἐστιν, "Οὐδὲν ἐτελείωσεν ὁ νόμος·" [d]καὶ, "Εἰ ἡ πρώτη ἦν [e]ἄμεμπτος;" Πῶς; "Κατὰ συνείδησιν." Αἱ γὰρ θυσίαι οὐ τὸν ἀπὸ τῆς ψυχῆς ῥύπον ἠφίεσαν, ἀλλ' ἔτι [f]περὶ σῶμα ἦσαν, "κατὰ νόμον [g]ἐντολῆς σαρκικῆς." Οὐ γὰρ δὴ μοιχείαν, οὐδὲ φόνον, οὐδὲ ἱεροσυλίαν [h]ἀφιέναι ἠδύναντο. [i]Ὁρᾷς; τόδε [k]ἔφαγες, τόδε οὐκ ἔφαγες· ἅπερ ἐστὶν ἀδιάφορα. "Μόνον ἐπὶ βρώμασι καὶ πόμασι [l]καὶ διαφόροις βαπτισμοῖς." Τόδε [m]ἔπιες, φησί· καίτοι περὶ [n]τοῦ ποτοῦ οὐδὲν ἦν διατεταγμένον· ἀλλ' ἐξευτελίζων [o]ταῦτά φησι. [7] "Καὶ διαφόροις
C βαπτισμοῖς, καὶ δικαιώμασι σαρκὸς, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα." Αὕτη γὰρ ἡ δικαιοσύνη τῆς σαρκός. Ἐνταῦθα καταβάλλει τὰς θυσίας, δεικνὺς ὅτι οὐδεμίαν εἶχον ἰσχὺν, καὶ

[5] v. 8. [6] v. 9. [7] v. 10.

[o] φησι] ἐπάγει K.Q. Mox τοῦ παναγίου πν. R. [p] διὰ τ. φ.] ὁ δὲ λέγει, τοῦτό ἐστι K.Q. [q] ὅτι om. R. Mox ἔτι om. K. [r] αὐτῶν] Sic N.O. Cat. αὐτῷ A.R. Veron. αὐτοῦ K.Q. Sav. cet. Mox αὐτὸν pro αὐτὰ K.Q. Sav. cet. [s] μηδὲ εἶναι] μηδὲν εἶναι Cat. μὴ εἰδέναι R. μηδὲ εἰδέναι a pr. m. O. [t] φησὶν om. K.Q. Mox καθέστηκε accessit ex K.N.Q. et marg. O. [v] τὸν κ. τὸν ἐνεστῶτα] Sic N.O. καιρὸν ἐνεστήκοτα K.Q. Sav. cet. Haec desunt in A.R. Veron. [w] φησι] λέγει K.Q. Sav. cet. [x] τοῦ om. K.Q.R. Cat. [y] ἐπειγόμενος N.O.Q. invita Cat. ὁ ἐπηγόμενος (sic) R. *urgens* Mut. [z] εἰς τὸν κ. τὸν ἐ. om. K.Q. [a] ὁ τύπος] οὐ τύπος Cat. τύπος τῶν ἐν τῇ σκηνῇ K.Q. [b] εἶδες] ἴδε R. Cat. et olim O. *attende* Mut. Post εἶδες add. πῶς σαφῶς ἔδειξεν ἐντεῦθεν K.Q. Sav. cet. [c] ἐστι] + τὸ K.Q. Sav. cet. [d] καὶ] + τὸ K.N.O.Q. Sav. cet. invita Cat. Statim εἰ om. R. Veron. [e] ἄμεμπτος] + ἡ τοίνυν οὐκ ἄμεμπτος K.Q. [f] περὶ] κατὰ R. [g] ἐντ. σαρκ.] γὰρ ἐντ. σαρκ. φησὶν K.Q. Sav. cet. [h] ἀφεῖναι K.Q. Cat. et olim O. Statim ἠδύνατο R. [i] ὁρᾷς] οἷον N. Sav. Mor. [k] ἔφαγες, τόδε οὐκ ἔφαγες] φάγε, τόδε μὴ φάγῃς K.Q. Sav. cet. Mox διάφορα A. [l] καὶ διαφ. β. om. K.Q. [m] ἔπιες] πίε K.Q. Sav. cet. [n] τοῦ om. R. Cat. Mox τεταγμένον R. [o] ταῦτά φ.] αὐτὰ οὕτως εἶπε K.Q. Sav. cet.

Digitized by Google

ὅτι μέχρι καιροῦ διορθώσεως ἦσαν· τουτέστιν, [p]ἔμενον τὸν και-
ρὸν τὸν διορθοῦντα πάντα.
[8] "Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν [q]γενομένων
ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειρο-
ποιήτου." Τὴν σάρκα [r]λέγει ἐνταῦθα. Καλῶς δὲ καὶ μείζονα
καὶ τελειοτέραν εἶπεν, εἴγε [s]καὶ θεὸς λόγος, καὶ πᾶσα ἡ τοῦ
πνεύματος ἐνέργεια [t]ἐνοικεῖ ἐν αὐτῇ. [9] "Οὐ γὰρ ἐκ [v]μέτρου
δίδωσιν ὁ θεὸς τὸ πνεῦμα." [w]Τελειοτέρας δὲ, [x]ὡς ἅτε καὶ D
ἀλήπτου οὔσης, καὶ μείζονα κατορθούσης. "Τουτέστιν, οὐ
ταύτης τῆς κτίσεως." Ἰδοὺ πῶς μείζονος· οὐ γὰρ [y]ἂν ἐκ πνεύ-
ματος, εἰ ἄνθρωπος αὐτὴν κατεσκεύασεν. [z]Οὐδὲ ταύτης τῆς
κτίσεώς ἐστι· τουτέστιν, οὐ τούτων τῶν κτισμάτων· ἀλλὰ πνευ-
ματικῆς, ἐκ [a]πνεύματος ἁγίου. Ὁρᾷς πῶς καὶ σκηνὴν καὶ κατα-
πέτασμα καὶ οὐρανὸν τὸ σῶμα καλεῖ; "Διὰ τῆς μείζονος καὶ
τελειοτέρας [b]σκηνῆς·" [10] "Διὰ τοῦ καταπετάσματος, τουτέστι,
τῆς σαρκὸς αὐτοῦ·" καὶ πάλιν, "Εἰς τὸ ἐσώτερον τοῦ κατα- 152
πετάσματος·" καὶ πάλιν, "[c]Εἰσερχομένην εἰς τὰ ἅγια τῶν
ἁγίων, ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ." [d]Τίνος οὖν ἕνε-
κεν τοῦτο ποιεῖ; Καθ' ἕτερον καὶ ἕτερον σημαινόμενον. Οἷόν
τι λέγω· καταπέτασμα ὁ [e]οὐρανός· ὥσπερ γὰρ ἀποτειχίζει
[f]τὰ ἅγια καταπέτασμα, [g]ἡ σὰρξ κρύπτουσα τὴν θεότητα· καὶ
[h]σκηνὴ [i]ὁμοίως, ἔχουσα τὴν θεότητα· [k]σκηνὴ πάλιν ὁ οὐρανός·
ἐκεῖ γάρ ἐστιν ἔνδον ὁ ἱερεύς. "Χριστὸς δὲ, [l]φησὶ, παραγε-
νόμενος ἀρχιερεύς." Οὐκ εἶπε, γενόμενος, ἀλλὰ, "παραγενόμε- B
νος·" τουτέστιν, εἰς αὐτὸ τοῦτο ἐλθὼν, οὐχ ἕτερον διαδεξάμε-
νος· οὐ [m]πρότερον παρεγένετο, [n]καὶ τότε ἐγένετο, ἀλλ' ἅμα
ἦλθε. Καὶ οὐκ εἶπε, παραγενόμενος ἀρχιερεὺς τῶν θυομένων,

8 v. 11. 9 Joan. iii. 34. 10 Hebr. x. 20. ix. 24. vi. 19.

[p] ἔμεινεν R. ἔμεινον (sic) Cat. et a pr. m. O. [q] γενομένων] μελλόντων K.Q.R. Cat. Sav. cet. invito Mut. [r] λ. ἐνταῦθα pro ἐνταῦθα λ. K.N.O.Q.R. Cat. Mox δὲ om. R. Cat. Mut. et olim O. Proximum καὶ om. A. [s] καὶ] ὁ K.Q. Sav. cet. καὶ ὁ Cat. et ex corr. O. [t] οἰκεῖ K.N.Q. [v] μέτρου] μέρους N. [w] τελ. δὲ] ἢ τελ. K.Q. Sav. cet. [x] ὡς ἅτε] ὥστε Cat. ὡς om. K.Q. Sav. cet. ἅτε in marg. Q. Mox ἀδιαλήπτου O. Post οὔσης add. λέγει K.O.Q. Sav. cet. [y] ἂν ἐκ πν. εἰ ἄνθρωπος] ἄνευ πνεύματος R. Cat. Mut. ἂν ἐκ πν. εἰ in marg. habet O. [z] οὐδὲ] οὐ K.Q. Sav. cet. Mox φησὶ pro ἐστι iidem. [a] πνεύματος] + γὰρ κατεσκεύαστο iidem. ἀλλὰ πνευματικῆς (-κῇ Cat.)—ἁγίου om. R. Veron. [b] σκηνῆς] φησὶ, σκηνῆς· εἶτα K.Q. Sav. cet. [c] εἰσερχομένην om. in text. O. [d] τίνος—σημαινόμενον] τί οὖν τὸ σημαινόμενον R. τίνος—ποιεῖ; ἡμᾶς διδάξαι βουλόμενος, καθ' ἕ. καὶ ἕ. σ. τὸν αὐτὸν λόγον ὄντα K.Q. Sav. cet. [e] οὐρανὸς] + ἐστιν K.Q. Sav. cet. [f] τὸ ἅγιον R. [g] ἡ] καὶ ἡ K.Q. Sav. cet. [h] σκηνὴν R. Cat. [i] ὁμοίως] + ἡ σὰρξ K.Q. Sav. cet. [k] σκηνὴ] καὶ σκ. K.Q. Ben. [καὶ] σκ. Sav. Mor. οὕτω σκ. R. [l] φησὶ om. K.Q. Mox ἀρχιερεὺς om. O. Cat. Mut. [m] πρότερον] + γὰρ Q. [n] καὶ τότε ἐγένετο om. A. Veron. Statim ἀλλὰ μᾶλλον ἦλθε Sav. Mor. Sic a pr. m. O.

Digitized by Google

*ἀλλά, "τῶν [o]γενομένων ἀγαθῶν·" ὡς οὐκ ἰσχύοντος τοῦ λόγου
παραστῆσαι τὸ πᾶν." [11] "Οὐδὲ δι' αἵματος, [p]φησὶ, τράγων καὶ
μόσχων." Πάντα ἐξηλλαγμένα. "Διὰ δὲ τοῦ ἰδίου αἵματος,
C [q]φησὶν, εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια." Ἰδοὺ [r]οὐρανὸν τοῦτο
ἐκάλεσεν. "Ἐφάπαξ, φησὶν, εἰσῆλθεν εἰς τὰ ἅγια, αἰωνίαν λύ-
τρωσιν [s]εὑρόμενος." Καὶ τὸ, "εὑρόμενος," σφόδρα τῶν ἀπόρων
ἦν καὶ [t]τῶν παρὰ προσδοκίαν, πῶς διὰ μιᾶς εἰσόδου αἰωνίαν
λύτρωσιν εὕρετο. Εἶτα τὸ [v]πιθανόν· [12] "Εἰ γὰρ τὸ αἷμα
ταύρων καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς
κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα· πόσῳ
μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος [w]ἁγίου ἑαυτὸν
προσήνεγκεν ἄμωμον τῷ θεῷ, καθαριεῖ τὴν συνείδησιν [x]ὑμῶν (514)
ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν θεῷ ζῶντι;" Εἰ γὰρ σάρκα,
D φησὶ, δύναται [y]καθᾶραι τὸ αἷμα τῶν ταύρων, πολλῷ μᾶλλον
τῆς ψυχῆς τὸν ῥύπον ἀποσμήξει τὸ αἷμα τοῦ Χριστοῦ. Ἵνα
γὰρ μὴ ἀκούσας, "[z]ἁγιάζει," μέγα τι νομίσῃς, ἐπισημαίνεται
καὶ δείκνυσιν ἑκατέρου τοῦ [a]καθαρμοῦ τὸ μέσον, καὶ πῶς οὗτος
[b]μὲν ὑψηλὸς, ἐκεῖνος δὲ ταπεινός· καὶ λέγει, ὅτι εἰκότως, εἴγε
ἐκεῖνο μὲν τὸ αἷμα ἦν [c]ταύρων, τοῦτο δὲ τοῦ Χριστοῦ. Καὶ
οὐκ ἠρκέσθη τῷ ὀνόματι, ἀλλὰ καὶ [d]τὸν τρόπον τίθησι τῆς
προσφορᾶς· "Ὃς [e]διὰ πνεύματος ἁγίου, φησὶν, ἑαυτὸν προσή-
νεγκεν ἄμωμον τῷ θεῷ·" τουτέστι, τὸ ἱερεῖον ἄμωμον ἦν, ἁμαρ-
τιῶν καθαρόν. [f]Τοῦτο γάρ ἐστι, "[g]διὰ πνεύματος ἁγίου"
153 οὐ διὰ πυρὸς, οὐ δι' ἄλλων τινῶν. "Καθαριεῖ τὴν συνείδησιν
ὑμῶν, [h]φησὶν, ἀπὸ νεκρῶν ἔργων." [i]Καὶ καλῶς εἶπεν, "ἀπὸ
νεκρῶν ἔργων·" εἴ [k]τις ἥψατο [l]νεκροῦ, ἐμιαίνετο· καὶ ἐνταῦθα
εἴ τις ἅψαιτο νεκροῦ ἔργου, μολύνεται διὰ τῆς συνειδήσεως.
"Εἰς τὸ λατρεύειν θεῷ ζῶντι, φησὶ, [m]καὶ ἀληθινῷ." Ἐνταῦθα
ἐμφαίνει, [n]ὅτι νεκρὰ ἔργα ἔχοντα οὐκ ἔνι δουλεύειν τῷ ἀλη-*

[11] v. 12. [12] v. 13, 14.

[o] *γενομένων*] *μελλόντων* K.Q. Sav. cet. [p] *φησὶ* post *ἐξηλλαγμένα* transp. K.Q. [q] *φησὶν* om. K.Q. [r] *τὸν οὐρανὸν* ex corr. N. receptum a Sav. cet. [s] *εὑράμενος* bis K.N.O.R. Sav. cet. [t] *τῶν*] *τοῦ* K.Q.R. Mox *εὕρατο* O. *ηὕρατο* N.R. Sav. cet. [v] *ἀπίθανον* ex corr. O. [w] *ἁγίου*] *αἰωνίου* O. altero superscripto. Mox *ἄμωμον* om. R. [x] *ἡμῶν* A. Mut. Mox *τῷ θεῷ* A. [y] *καθᾶραι* K.O.Q. *καθάραι* R. Cat. *καθαρίσαι* Edd. Mox *τῶν* om. K. [z] *ἁγ.*] *τὸ ἁγ.* K.Q. [a] *καθαρισμοῦ* A.N. [b] *μὲν* om. R. Mox *οὗτος* pro *ἐκεῖνος* R. [c] *ταύρου* R. Mox *τοῦ* om. K.Q. [d] *τὸν* om. K. [e] *δι' ἁγίου πν.* R. *διὰ πν. αἰωνίου* a pr. m. bis O. Cat. Mut. [f] *τοῦτο—οὐ* (*οὐδὲ* R.) *δι' ἄ. τινῶν*] *τὸ δὲ, διὰ πν. ἁγίου, δηλοῖ ὅτι οὐ διὰ πυρὸς προσήνεκται, οὐδὲ δι' ἄ. τινῶν* K.Q. Sav. cet. [g] *διὰ πν. ἁγίου*] *διὰ ἁμαρτίαν* R. [h] *φησὶν* om. K.Q. [i] *καὶ* om. Cat. Mut. *καὶ—ἔργων* om. A.R. [k] *τις*] + *γὰρ* Edd. *γὰρ* om. A.N.R. Cat. Statim *ἅψατο* R. *ἅψαιτο* Cat. et ante corr. O. [l] *νεκροῦ*] *τότε νεκροῦ* K.O. Q. Sav. cet. Post *ἐμιαίνετο* add. *ἐκεῖ* R. [m] *καὶ ἀληθινῷ* om. R. Cat. Mut. [n] *ὅτι*] + *τὸν* K.Q. Sav. cet. Mox *ἀληθινῷ καὶ* om. iidem.

Digitized by Google

θινῷ καὶ ζῶντι θεῷ· [o]ἐκεῖνα γὰρ [p]καὶ νεκρά ἐστι καὶ ψευδῆ· καὶ εἰκότως. B

[q]Μηδεὶς τοίνυν νεκρὰ ἔργα ἔχων εἰσίτω ἐνταῦθα. Εἰ γὰρ τὸν νεκροῦ σώματος ἁπτόμενον οὐκ ἔδει εἰσιέναι, πολλῷ μᾶλλον τὸν [r]ἔργα νεκρὰ ἔχοντα· μολυσμὸς γάρ ἐστι χαλεπώτατος. Νεκρὰ δὲ ἔργα ἐστὶ πάντα [s]τὰ ζωὴν οὐκ ἔχοντα, τὰ δυσωδίας πνέοντα. Ὥσπερ γὰρ τὸ νεκρὸν [t]σῶμα πρὸς οὐδεμίαν αἴσθησίν ἐστι χρήσιμον, ἀλλὰ [v]καὶ λυπεῖ τοὺς πλησιάζοντας· οὕτω καὶ ἡ ἁμαρτία εὐθέως τὸ λογιστικὸν πλήττει, καὶ οὐκ ἀφίησιν οὐδὲ αὐτὴν τὴν διάνοιαν ἠρεμεῖν, [w]ἀλλὰ θορυβεῖ καὶ ταράττει. Λέγεται δὲ καὶ λοιμὸς τικτόμενος διαφθείρειν τὰ C
σώματα. Τοιαύτη ἐστὶ καὶ ἡ ἁμαρτία· λοιμοῦ οὐδὲν διενήνοχεν, οὐ τὸν ἀέρα [x]φθείρουσα πρῶτον, εἶτα τὰ σώματα, ἀλλ' εὐθέως εἰς τὴν ψυχὴν εἰσπηδῶσα. Οὐχ ὁρᾷς τοὺς λοιμώττοντας πῶς φλεγμαίνουσι, πῶς περιστρέφονται, πῶς δυσωδίας εἰσὶν ἐμπεπλησμένοι, πῶς αὐτῶν [y]αἰσχραὶ αἱ ὄψεις, πῶς ὅλοι ἀκάθαρτοι; Τοιοῦτοί εἰσι [z]καὶ οἱ ἁμαρτάνοντες, κἂν μὴ βλέπωσιν. Εἰπέ [a]μοι γάρ, παντὸς πυρέττοντος οὐκ ἔστι χείρων ὁ τῇ ἐπιθυμίᾳ τῶν χρημάτων, ἢ τῶν σωμάτων ἁλούς; οὐχὶ ἀκαθαρτότερος τούτων [b]πάντων ἐστὶ, πάντα τὰ ἀναίσχυντα καὶ ποιῶν καὶ D
πάσχων; Τί γὰρ αἰσχρότερον ἀνδρὸς χρημάτων ἐρῶντος; ὅσα αἱ ἑταιριζόμεναι γυναῖκες, ὅσα αἱ ἐπὶ τῆς σκηνῆς οὐ παραιτοῦνται ποιεῖν, τοσαῦτα οὐδὲ οὗτος· μᾶλλον δὲ ἐκείνας εἰκός ἐστι [c]τι παραιτήσασθαι, ἢ [d]τοῦτον. Καὶ δουλοπρεπῆ πράγματα ὑπομένει, κολακεύων [e]οὓς οὐ δεῖ, [f]θρασύνεται πάλιν ἔνθα μὴ δεῖ, πανταχοῦ ἀνώμαλος· πονηροὺς ἄνδρας καὶ [g]γέροντας πολλάκις διεφθαρμένους, [h]πολλῷ καὶ πενεστέρους καὶ εὐτελε- 154
στέρους αὐτοῦ παρακάθηται κολακεύων, καὶ [i]ἑτέρους ἀγαθοὺς καὶ πάντοθεν ἐναρέτους ὑβρίζων καὶ θρασυνόμενος. Εἶδες ἑκα-

[o] ἐκεῖνα—καὶ (καὶ om. R.) νεκρά ἐστι] ἀληθινῷ δὲ καὶ ζῶντι θεῷ εἰκότως εἶπε, δηλῶν ἐντεῦθεν ὅτι καὶ τὰ προσαγόμενα αὐτῷ τοιαῦτα. ὥστε ταῦτα τὰ παρ' ἡμῖν καὶ ζῶντα καὶ ἀληθινά· ἐκεῖνα δὲ τὰ παρὰ Ἰουδαίοις καὶ νεκρὰ K.Q. Sav. cet. invitis Cat. Mut. [p] καὶ om. O. [q] ΗΘΙΚΟΝ. Κατὰ φιλαργυρίας, καὶ τοῦ μὴ γελᾶν ἐν ἐκκλησίαις. Veron. [r] ἔργα ν. pro ν. ἔργα omnes. [s] τὰ ζωὴν] ζωῆς A. [t] σῶμα om. R. [v] [καὶ] Sav. καὶ om. K.N. [w] ἀλλὰ] + καὶ R. [x] διαφθείρουσα K.O.Q. Sav. cet. Sic etiam Eclog. XLIII. (Tom. xii. p. 748 E.) Statim μόνον pro πρῶτον R. [y] αἰσχρὰ ἡ ὄψις K.O.Q. Eclog. [z] καὶ om. R. [a] μοι γὰρ] γάρ μοι O. Eclog. Statim παντὸς πυρ. pro πυρ. παντὸς libri omnes et Eclog. [b] πάντων om. A.N. Veron. Mox τὰ om. R. [c] τι assumtum ex O.R. Mut. καὶ pro τι Q. οὐ pro τι Veron. [d] τοῦτον] + τί λέγω, οὐ παραιτεῖται; K.Q. Sav. cet. Proximum καὶ om. K.Q. [e] οὓς] ὡς R. Veron. [f] θρασυνόμενος K.Q. Sav. cet. [g] γέροντας] γόητας ex corr. N. γέροντας πολλάκις om. K.Q. [γόητας πολλάκις] Sav. [h] πολλῷ—αὐτοῦ] πολλάκις δὲ καὶ εὐτελεστέρους πολλῷ ἑαυτοῦ K.Q. Statim κάθηται R. [i] ἑτέρους] ἑταίρους καὶ R. Mox πάντοθεν om. A.N. Veron. invitis Eclog. Mut.

Digitized by Google

τέρωθεν τὴν ἀσχημοσύνην, τὴν ἀναισχυντίαν; καὶ ταπεινός
ἐστι πέρα τοῦ μέτρου, καὶ ἀλαζών. Ἀλλ' ἑστήκασιν ἐπὶ οἰκή-
ματος αἱ πόρναι, καὶ τοῦτό ἐστι τὸ ἔγκλημα, ὅτι τὸ σῶμα
πωλοῦσι χρημάτων ἕνεκεν. [k]Ἀλλὰ πενία, φησὶ, καὶ λιμὸς
καταναγκάζει· εἰ καὶ τὰ μάλιστα οὐδὲ τοῦτο ἱκανὸν εἰς ἀπο-
λογίαν· ἐξῆν γὰρ [l]ἐργαζομένας διατρέφεσθαι. Ἐνταῦθα δὲ
B ἕστηκεν ὁ πλεονέκτης, οὐκ ἐπὶ οἰκήματος, ἀλλ' ἐπὶ τῆς πόλεως
μέσης, οὐ σῶμα, ἀλλὰ τὴν ψυχὴν προδιδοὺς τῷ διαβόλῳ, ὥστε
καὶ συγγίνεσθαι καὶ εἰσέρχεσθαι πρὸς αὐτὸν ὥσπερ ὄντως πρὸς
πόρνην, [m]καὶ τὴν ἐπιθυμίαν αὐτοῦ πᾶσαν πληρώσας ἐξέρχεται·
καὶ ὁρῶσι πᾶσα ἡ πόλις, οὐ δύο ἄνδρες καὶ τρεῖς. Καὶ τοῦτο
δὲ τῶν πορνῶν ἴδιόν ἐστιν, ὅτι τοῦ τὸ χρυσίον διδόντος εἰσί·
[n]κἂν δοῦλος ᾖ, κἂν [o]μονομάχος, κἂν ὁστισοῦν, [p]προτείνῃ δὲ (515)
τὸν μισθὸν, [q]καταδέχονται· τοὺς δὲ [r]ἐλευθέρους, κἂν πάντων
ὦσιν εὐγενέστεροι, χωρὶς τοῦ ἀργυρίου οὐ προσίενται. Τοῦτο
C καὶ ἐνταῦθα οὗτοι ποιοῦσι· τοὺς μὲν ὀρθοὺς λογισμοὺς, ὅταν
ἀργύριον μὴ ἔχωσιν, ἀποστρέφονται· τοῖς δὲ μιαροῖς καὶ ὄντως
[s]θηριομάχοις συγγίνονται διὰ τὸ χρυσίον, καὶ ἀσχημόνως συγ-
γίνονται, καὶ τὸ κάλλος [t]ἀπολλύουσι τῆς ψυχῆς. Καθάπερ
γὰρ ἐκεῖναι [v]φύσει μὲν εἰδεχθεῖς, καὶ μέλαιναι, καὶ ἀγροικίδες,
καὶ παχεῖαι, καὶ ἄμορφοι, καὶ κακόπλαστοι, καὶ [w]πάντοθεν
αἰσχραί· [x]οὕτως αἱ τούτων γίνονται ψυχαὶ, οὐδὲ τοῖς ἔξωθεν
ἐπιτρίμμασι τὴν ἀμορφίαν συγκαλύψαι δυνάμεναι. Ὅταν γὰρ
ἐσχάτη [y]ᾖ δυσείδεια, ὅσα ἂν ἐπινοήσωσιν, οὐδὲ [z]ὑποκρίνασθαι
δύνανται. Ὅτι γὰρ ἀναισχυντία πόρνας ποιεῖ, ἄκουσον τοῦ
D προφήτου λέγοντος· [13]"Ἀπηναισχύντησας πρὸς πάντας, [a]ὄψις
πόρνης ἐγένετό σοι." Τοῦτο καὶ πρὸς τοὺς πλεονέκτας ἔστιν
εἰπεῖν, ἀπηναισχύντησας πρὸς πάντας, οὐ πρὸς τούσδε καὶ
τούσδε, ἀλλὰ πρὸς πάντας. [b]Πῶς; Οὐ πατέρα, οὐχ υἱὸν, οὐ
γυναῖκα, οὐ φίλον, [c]οὐκ ἀδελφὸν, οὐκ εὐεργέτην, οὐδένα ἁπλῶς
αἰδεῖται ὁ τοιοῦτος. Καὶ τί λέγω φίλον καὶ ἀδελφὸν καὶ πα-

13 Jer. iii. 3.

k ἀλλὰ—καταναγκάζει] ἀλλ' ἔχουσί τινα ἀπολογίαν, τὴν πενίαν καὶ τὸν καταναγκάζοντα λιμὸν K.Q. Sav. cet. l ἐργαζομέναις R. Statim ἀνατρέφεσθαι A.N. Veron. m καὶ] + ὁ μὲν K.Q. Mox ὁρῶσι δὲ pro καὶ ὁρῶσι iidem. n κἂν] κἂν γὰρ K.Q. Sav. cet. καὶ κἂν Veron. Post δοῦλος add. κἂν ἐλεύθερος K.Q. Sav. cet. invitis Eclog. Mut. o Vid. Annot. p προτείνει O. Statim δὲ om. in text. idem. q καταδέχεται A. r ἐλευθέρους] μηδὲν προτείνοντας K.Q. Sav. cet. s θηριομάχοις] Sic R. et a pr. m. O. θεομάχοις Edd. *bestialibus* Mut. t ἀπολύουσι A. v φύσει] αἱ φύσει O. w πανταχόθεν R. x οὕτως] οὕτω καὶ K.Q. Sav. cet. y ᾖ] ἡ Veron. Statim δυσειδία K.O.Q. et ex corr. N. δυσωδία R. *foetor* Mut. z ἐπικρίνασθαι R. a ὄψις—πρὸς πάντας om. A.R. Veron. Habentur in marg. A. b πῶς om. R. Veron. c οὐκ ἀδελφὸν om. R.

Digitized by Google

τέρα; αὐτὸν οὐκ αἰδεῖται τὸν θεὸν, ἀλλὰ πάντα μῦθος [d]αὐτῷ
εἶναι δοκεῖ, καὶ γελᾷ ὑπὸ τῆς πολλῆς ἐπιθυμίας μεθύων, [e]καὶ
οὐδὲ τῇ ἀκοῇ παραδεχόμενός τι τῶν ὠφελεῖν αὐτὸν δυναμένων.
Ἀλλ' ὢ τῆς ἀτοπίας, καὶ [f]οἷα φθέγγονται· οὐαί σοι, μαμωνᾶ,
καὶ τῷ μὴ ἔχοντί σε. Ἐνταῦθα διαπρίομαι ὑπὸ τοῦ [g]θυμοῦ· 155
οὐαὶ γὰρ τοῖς ταῦτα λέγουσι, [h]κἂν ἐν γέλωτι λέγωσιν. Εἰπέ
[i]μοι γὰρ, [k]οὐ τοιαύτην ἀπειλὴν ἠπείλησεν ὁ θεὸς λέγων, [14] "Οὐ
δύνασθε δυσὶ κυρίοις δουλεύειν;" σὺ δὲ ἐκλύεις τὴν [l]ἀπειλήν;
[m]Οὐκ εἰδωλολατρείαν αὐτὴν [n]εἶναί φησιν ὁ Παῦλος, καὶ τὸν
πλεονέκτην εἰδωλολάτρην καλεῖ; σὺ δὲ ἕστηκας [o]γελῶν, [p]κατὰ
τὰς βιωτικὰς γυναῖκας γελωτοποιῶν [q]τὰς ἐν [r]τῇ σκηνῇ;

Τοῦτο πάντα ἀνέτρεψε, [s]τοῦτο κατέβαλε. Γέλως γέγονε
τὰ ἡμέτερα [t]καὶ πολιτισμὸς καὶ ἀστειότης· οὐδὲν [v]εὐσταθὲς,
οὐδὲν [w]βαρύ. Οὐ πρὸς [x]τοὺς βιωτικοὺς ἄνδρας λέγω μόνον B
ταῦτα, ἀλλ' οἶδα οὓς αἰνίττομαι· γέλωτος γὰρ ἐμπέπλησται ἡ
ἐκκλησία. Ἂν ὁ δεῖνα ἀστεῖον εἴπῃ, γέλως εὐθέως ἐν τοῖς καθη-
μένοις γίνεται· καὶ τὸ θαυμαστὸν, ἐν αὐτῷ τῷ καιρῷ τῆς εὐχῆς
οὐ παύονται πολλοὶ τοῦ [y]γέλωτος. [z]Πανταχοῦ χορεύει ὁ διά-
βολος, πάντας ἐνεδύσατο, [a]πάντων κρατεῖ· ἠτίμασται ὁ Χρι-
στὸς, παρέωσται, ἐν οὐδενός ἐστι μέρει ἡ ἐκκλησία. Οὐκ ἀκούετε
[b]Παύλου λέγοντος, [15] "Αἰσχρότης καὶ μωρολογία καὶ εὐτρα-
πελία ἀρθήτω ἀφ' ὑμῶν;" Μετὰ τῆς αἰσχρότητος τὴν εὐτρα-
πελίαν τίθησι· σὺ δὲ γελᾷς; [c]Μωρολογία τί ἐστι; Τὰ μηδὲν C
ἔχοντα χρήσιμον. Γελᾷς δὲ ὅλως, καὶ διαχεῖς τὸ πρόσωπον [d]ὁ
μονάζων; ὁ ἐσταυρωμένος, ὁ πενθῶν, γελᾷς, εἰπέ μοι; Ποῦ τοῦ
Χριστοῦ τοῦτο [e]ποιοῦντος ἤκουσας; Οὐδαμοῦ, ἀλλὰ [f]κατηφοῦν-
τος μὲν πολλάκις. Καὶ γὰρ ὅτε τὴν Ἱερουσαλὴμ εἶδεν, ἐδάκρυσε,

14 Matth. vi. 24. 15 Ephes. v. 4.

[d] αὐτῷ εἶναι] εἶναι αὐτῷ K.O.Q. Eclog. [e] καὶ om. R. [f] ὅσα A.R. Eclog. Veron. invito Mut. Statim φθέγγεται N. et marg. O. [g] θυμοῦ] + μου R. Mox γὰρ om. a pr. m. O. [h] κἂν—λέγωσιν om. N. λέγωσιν om. R. [i] μοι γὰρ] γάρ μοι K. Eclog. [k] οὐ om. A.N. Veron. Mut. et a pr. m. O. invita Eclog. Statim ταύτην τὴν pro τοιαύτην R. [l] ἀπειλὴν] + τοιαῦτα τολμῶν φθέγγεσθαι ἐπὶ κακῷ τῷ σεαυτοῦ K.Q. Sav. cet. [m] οὐχὶ K. Eclog. et a pr. m. O. Statim εἰδωλολατρίαν K.R. Veron. et ex corr. N. [n] εἶναι (εἶναι om. in text. O.) φ. ὁ Π.] ὁ Π. ἐκάλεσεν R. [o] γελῶν] λέγων, ut videtur, a pr. m. O. *dicens* Mut. [p] κατὰ] καὶ A. Veron. et ante corr. O. [q] τὰς] κατὰ τὰς K.Q. Eclog. Sav. cet. γελωτοποιῶν τὰς ex corr. (olim, ut videtur, γελωτοποιούσας) O. [r] τῇ om. K.Q. [s] τοῦτο] καὶ K.Q. Eclog. [t] καὶ om. A. Veron. [v] ἐπαχθὲς K.N.Q. [w] βαρὺ] Sic nostri omnes cum Eclog. Mut. Veron. στιβαρὸν Sav. cet. [x] τοὺς om. R. Mox λέγω μόνον pro μόνον λέγω K.O.Q.R. Eclog. [y] γέλωτος] Sic omnes. γελᾶν Edd. [z] πανταχοῦ] εἰς πάντας R. πανταχοῦ χ. ὁ δ. om. A. [a] πάντας R. [b] τοῦ Π. R. [c] μ. τί (τίς A. Veron.) ἐστι] τί ἐστι μ. K.O.Q. Eclog. [d] ὁ μονάζων] ὀνομάζων R. ὁ νομάζων olim O. [e] π. ἤκουσας] Sic A.K.N.Q.R. Eclog. ἤκουσας π. Edd. [f] κατ. μὲν] κατηφοῦς ὄντος R. Statim καὶ πολλάκις K.Q.

Digitized by Google

καὶ ὅτε τὸν προδότην ἐνενόησεν, ἐταράχθη, καὶ ὅτε τὸν Λάζαρον
[g]ἐγείρειν ἔμελλεν, ἔκλαυσε· σὺ δὲ γελᾷς; Εἰ [h]ἐπὶ τοῖς ἑτέρων
ἁμαρτήμασιν ὁ μὴ ἀλγῶν, κατηγορίας ἄξιος· ὁ ἐπὶ τοῖς [i]ἑαυτοῦ
D ἀναλγήτως διακείμενος καὶ γελῶν, ποίας ἔσται συγγνώμης
[k]ἄξιος; Πένθους [l]ὁ καιρὸς καὶ θλίψεως, ὑπωπιασμοῦ καὶ δου-
λαγωγίας, ἀγώνων καὶ ἱδρώτων· σὺ δὲ γελᾷς; [m]Οὐχ ὁρᾷς πῶς
ἐπετιμήθη Σάρρα; οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος, [16]"Οὐαὶ
οἱ γελῶντες, ὅτι κλαύσονται;" [n]Ταῦτα ψάλλεις καθ' ἑκάστην
ἡμέραν. Τί [o]γὰρ λέγεις, εἰπέ μοι; ὅτι ἐγέλασα; Οὐδαμῶς·
ἀλλὰ τί; [17]"Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου." Ἀλλὰ τάχα
τινές εἰσιν οὕτω διακεχυμένοι καὶ χαῦνοι, ὡς καὶ ἐν τῇ ἐπιτιμή-
σει ταύτῃ γελᾶν, ὅτι δὴ περὶ γέλωτος [p]ταῦτα διαλεγόμεθα.
Καὶ γὰρ τοιοῦτόν ἐστιν ἡ παραφορὰ, τοιαύτη ἡ παραπληξία,
156 οὐδὲ αἰσθάνεται τῆς ἐπιτιμήσεως. Ἕστηκεν ὁ ἱερεὺς τοῦ θεοῦ
τὴν [q]πάντων εὐχὴν ἀναφέρων· σὺ δὲ γελᾷς, [r]οὐδὲν δεδοικώς;
καὶ ἐκεῖνος μὲν τρέμων ὑπὲρ σοῦ τὰς εὐχὰς ἀναφέρει, σὺ δὲ
καταφρονεῖς; Οὐκ ἀκούεις [s]τῆς γραφῆς λεγούσης, [18]"Οὐαὶ οἱ
καταφρονηταί;" οὐ φρίττεις; οὐ συστέλλεις σαυτόν; Καὶ εἰς
μὲν [t]βασίλεια εἰσιὼν, καὶ σχήματι [v]καὶ βλέμματι καὶ βαδί-
σματι καὶ πᾶσι τοῖς ἄλλοις κοσμεῖς σαυτόν· ἐνταῦθα δὲ, [w]ἔνθα (516)
τὰ ὄντως ἐστὶ βασίλεια, καὶ τοιαῦτα οἷα τὰ οὐράνια, [x]γελᾷς;
Σὺ μὲν οὖν οἶδα ὅτι οὐχ ὁρᾷς· ἄκουε δὲ ὅτι ἄγγελοι πάρεισι
B πανταχοῦ, καὶ μάλιστα ἐν τῷ οἴκῳ τοῦ θεοῦ παρεστήκασι τῷ
βασιλεῖ, καὶ πάντα ἐμπέπλησται τῶν ἀσωμάτων ἐκείνων δυνά-
μεων. Οὗτος [y]ἐμοὶ καὶ πρὸς γυναῖκας ὁ λόγος, αἳ ἐπὶ μὲν τῶν
ἀνδρῶν οὐ τολμῶσι τοῦτο ποιεῖν ταχέως, κἂν ποιῶσι δὲ, οὐκ
ἀεὶ, ἀλλὰ παρὰ τὸν καιρὸν τῆς [z]ἀνέσεως· ἐνταῦθα δὲ ἀεί.
Κατακαλύπτεις, εἰπέ μοι, τὴν κεφαλὴν, καὶ γελᾷς, ὦ γύναι, ἐν
ἐκκλησίᾳ καθημένη; εἰσῆλθες ἐξομολογήσασθαι τὰ ἁμαρτή-
ματα, προσπεσεῖν τῷ θεῷ, δεηθῆναι καὶ ἱκετεῦσαι ὑπὲρ τῶν
κακῶς σοι πεπλημμελημένων, καὶ μετὰ γέλωτος [a]τοῦτο ποιεῖς;
C πῶς οὖν αὐτὸν ἐξιλεώσασθαι δυνήσῃ; Καὶ τί κακὸν ὁ γέλως,

16 Luc. vi. 25. 17 Psal. vi. 7. 18 Habac. i. 5.

[g] ἐγείρειν ἔμ.] Sic K.N.O.Q.R. Eclog. ἔμ. ἐγείρειν Edd. [h] ἐπὶ] ὁ ἐπὶ R. Mox ὁ om. idem. [i] ἑαυτοῦ] Sic A.K.N.O.Q. αὐτοῦ Edd. [k] ἄξιος om. A. Veron. [l] ὁ] + παρὼν K.Q. Sav. cet. [m] οὐχ] καὶ οὐχ A. Veron. Mox ἐτιμήθη A. [n] ταῦτα] + ἐστιν ἃ R. [o] γὰρ om. R. et a pr. m. O. Mox ὅτι ἐγὼ ἐγέλασα R. [p] ταῦτα om. R. Mut. et in text. O. [q] ἁπάντων R. [r] οὐδὲν] οὐδὲ A. οὐ R. Veron. [s] τῶν γραφῶν λεγουσῶν R. [t] βασιλεῖαν R. [v] καὶ βλ. καὶ βαδ. om. A. καὶ βαδ. om. R. [w] ἔνθα om. A. Veron. τὰ om. N. Veron. τὰ in rasura O. [x] καὶ γελᾷς Edd. καὶ om. K.N.O.Q.R. Eclog. Mut. [y] μοι R. Mox τοῦ pro τοῦτο K. [z] ἀναστάσεως R. [a] ταῦτα R.

Digitized by Google

φησίν; Οὐ κακὸν ὁ γέλως, ἀλλὰ κακὸν τὸ παρὰ [b]μέτρον, τὸ
ἄκαιρον. Ὁ γέλως ἔγκειται [c]ἐν ἡμῖν, ἵνα, ὅταν φίλους ἴδωμεν
διὰ μακροῦ [d]χρόνου, τοῦτο ποιῶμεν, ὅταν τινὰς καταπεπλη-
γμένους καὶ δεδοικότας, ἀνῶμεν αὐτοὺς τῷ [e]μειδιάματι, οὐχ ἵνα
ἀνακαγχάζωμεν, καὶ ἀεὶ γελῶμεν· [f]ὁ γέλως ἔγκειται τῇ ψυχῇ
τῇ ἡμετέρᾳ, ἵνα [g]ἀνῆταί ποτε ἡ ψυχὴ, οὐχ ἵνα διαχέηται.
Ἐπεὶ καὶ ἐπιθυμία ἡμῖν ἔγκειται σωμάτων, καὶ οὐ πάντως
ἀνάγκη διὰ τὸ ἐγκεῖσθαι [h]κεχρῆσθαι αὐτῇ, ἢ [i]κεχρῆσθαι ἀμέ-
τρως· [k]ἀλλὰ κρατοῦμεν αὐτῆς, καὶ οὐ λέγομεν, ἐπειδὴ ἔγκειται,
χρησώμεθα. Μετὰ δακρύων δούλευε τῷ θεῷ, ἵνα δυνηθῇς ἀπο- D
νίψασθαι τὰ ἡμαρτημένα. Οἶδα ὅτι πολλοὶ διαμωκῶνται ἡμᾶς
λέγοντες, εὐθέως δάκρυα. Διὰ τοῦτο δακρύων καιρός. Οἶδα ὅτι
καὶ οἰωνίζονται [l]οἱ λέγοντες, [19]"Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ
[m]ἀποθνήσκομεν." [20]"Ματαιότης ματαιοτήτων, τὰ πάντα μα-
ταιότης." [n]Οὐκ ἐγὼ λέγω, ἀλλ' αὐτὸς ὁ τὴν πεῖραν τῶν
πραγμάτων [o]πάντων λαβὼν, ταῦτά φησιν· [21]"Ὠικοδόμησά
μοι οἰκίας, [p]ἐφύτευσα ἀμπελῶνας, κολυμβήθρας ὑδάτων ἐποίησά
μοι, [q]οἰνοχόους καὶ οἰνοχοούσας·" καὶ τί δὴ μετὰ ταῦτα [r]πάν-
τα; "Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης." Πεν- 157
θήσωμεν τοίνυν, ἀγαπητοὶ, πενθήσωμεν, ἵνα ὄντως γελάσωμεν,
ἵνα ὄντως ἡσθῶμεν ἐν τῷ καιρῷ τῆς χαρᾶς τῆς εἰλικρινοῦς.
[s]Ταύτῃ μὲν γὰρ τῇ χαρᾷ πάντως λύπη ἀναμέμικται, καὶ οὐδέ-
ποτε καθαρὰν [t]αὐτὴν ἔστιν εὑρεῖν· ἐκείνη δὲ εἰλικρινής [v]τις ἐστὶ
καὶ ἄδολος, καὶ [w]οὐδὲν ἔχουσα ὕπουλον, [x]οὐδὲ ἀναμεμιγμένον.
Ἐκείνην [y]ἡσθῶμεν τὴν χαρὰν, ἐκείνην μεταδιώξωμεν. Ἄλλως
δὲ οὐκ ἔστι [z]ταύτης ἐπιτυχεῖν, ἢ διὰ τοῦ ἐνταῦθα μὴ τὰ ἡδέα,
ἀλλὰ τὰ ὠφελοῦντα αἱρεῖσθαι, καὶ μικρὸν θλίβεσθαι ἑκόντας,

19 1 Cor. xv. 32. 20 Eccl. i. 2. 21 Ibid. ii. 4, 5.

[b] μέτρον, τὸ ἄκ.] καιρὸν, τὸ ἄμετρον O. [c] ἐν om. A. Veron. Mox ἵν' ὅταν A.O.Q. Sav. cet. [d] τοῦ χρ. O. [e] μειδιάσματι R. Mox καγχάζωμεν R. Veron. ἀνακαχλάζωμεν (sed λ̄ eraso) O. [f] ὁ om. K.Q. Eclog. Mox ἐν τῇ ψ. R. [g] ἀνίηται N. et olim O. [h] κεχρ. αὐτῇ] Sic A.O.R. Veron. (sed eraso vocab. ante κεχρῆσθαι in O.) χρῆσθαι αὐτῇ K.Q. καὶ αὐτῇ χρῆσθαι N. Eclog. Sav. cet. [i] κεχρῆσθαι] καὶ χρῆσθαι K.Q. μὴ χρῆσθαι Eclog. [k] ἀλλὰ] + καὶ K.O.Q. Eclog. Sav. cet. [l] οἱ om. R. [m] ἀποθνήσκομεν] + ἀλλ' ἐννόησον ὅτι K.Q. Sav. cet. [n] οὐκ ἐγὼ] οὐ κἀγὼ A. [o] πάντων λ.] λ. πάντων A. λ. πάντα Veron. πάντων om. K. [p] ἐφύτευσά μοι Edd. μοι om. K.O.Q.R. Eclog. Mox κολ. ὑδ. ἐποίησά μοι pro ἐποίησά μοι κολ. ὑδ. iidem. [q] οἰνοχόας R. [r] πάντα] + φησὶ Edd. φησὶ om. K.O. Q.R. Eclog. Mut. Post ματαίοτης add. φησὶ K.O.Q. Mut. [s] ταύτῃ—λύπη] Sic K.O.Q.R. Eclog. Mut. αὕτη μὲν γὰρ ἡ χαρὰ π. λύπη Edd. [t] αὐτὴν om. R. [v] τις assumtum ex K.O.Q. Eclog. Mut. [w] οὐδὲ A. [x] οὐδὲν A.R. Veron. [y] ἡσθῶμεν] ἡσθῆναι θελήσωμεν K.Q. Mox μεταδιώκωμεν R. [z] ταύτης pro αὐτῆς K.O.Q.R. Eclog.

Digitized by Google

καὶ μετὰ εὐχαριστίας ἅπαντα [a]φέροντας. Οὕτω γὰρ δυνησόμεθα καὶ τῆς βασιλείας τῶν οὐρανῶν [b]ἐπιτυχεῖν· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙϚ.

B [1]Καὶ διὰ τοῦτο διαθήκης καινῆς μεσίτης ἐστὶν, ὅπως θανάτου
γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας. Ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ [a]διαθεμένου· διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ μήποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος. Ὅθεν οὐδὲ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται.

ΕΙΚΟΣ ἦν πολλοὺς τῶν [b]ἀσθενέστερον διακειμένων, καὶ (517)
ἀπὸ τοῦ τετελευτηκέναι τὸν Χριστὸν μάλιστα ἀπιστεῖν ταῖς
C ἐπαγγελίαις αὐτοῦ. Ὁ τοίνυν Παῦλος [c]ἐκ περιουσίας τοῦτο
τίθησι τὸ ὑπόδειγμα, ἀπὸ τῆς κοινῆς συνηθείας λαβών. Ποῖον [d]δὴ τοῦτο; [e]Δι' αὐτὸ μὲν οὖν τοῦτο χρὴ θαρρεῖν, φησί. Διὰ τί; Ὅτι οὐ ζώντων τῶν [f]διαθεμένων, ἀλλ' ἀποθανόντων, τότε βέβαιοί [g]εἰσιν αἱ διαθῆκαι, καὶ τὴν ἰσχὺν [h]λαμβάνουσι. Καὶ διὰ τοῦτό [i]φησι· "Καινῆς διαθήκης μεσίτης ἐστίν." Ἡ διαθήκη πρὸς τῇ ἐσχάτῃ ἡμέρᾳ γίνεται τῆς τελευτῆς. Τοιαύτη δέ ἐστιν ἡ διαθήκη· τοὺς μὲν κληρονόμους ἔχει, τοὺς δὲ ἀποκληρονόμους.
158 Οὕτω καὶ [k]ἐνταῦθα, [2]"Θέλω [l]ἵνα, ὅπου ἐγώ εἰμι," φησὶν ὁ
Χριστὸς, "καὶ οὗτοι ὦσι." [m]Καὶ πάλιν περὶ τῶν ἀποκληρονόμων ἄκουε [n]αὐτοῦ λέγοντος· [3]"Οὐ περὶ πάντων ἐρωτῶ, ἀλλὰ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ." Ἡ διαθήκη πάλιν τὰ μὲν τοῦ διαθεμένου ἔχει, τὰ δὲ τῶν δεχομένων· ὥστε τὰ μὲν αὐτοὺς λαβεῖν, τὰ δὲ ποιῆσαι. Οὕτω καὶ ἐνταῦθα·

[1] Cap. IX. v. 15—18. [2] Joan. xvii. 24. [3] Ibid. 9, 20.

[a] φέροντας] φέρειν τὰ συμπίπτοντα K.Q. Sav. cet. [b] ἐπιτυχεῖν] ἀξιωθῆναι N. Mox ἐπιτυχεῖν pro ἀξιωθῆναι idem. Hom. XVI. [a] διατιθεμένου K.N.O. [b] ἀσθενεστέρων A. ἀσθενεστέρως K.N.O.Q. Sav. cet. invita Cat. [c] ἐκ π.] τὴν τοιαύτην ὑπόνοιαν ἐκ π. ἀνατρέπων K.Q. Sav. cet. [d] δὴ] + οὖν N. [e] δι' αὐτὸ μ. οὖν τ.] διὰ τοῦτο μ. οὖν R. [f] διατιθεμένων K.N.O.Q. non Cat. Statim ἀλλὰ ἀπ. R. Cat. Veron. [g] εἰσιν] φησὶν Q. [h] λαμβάνουσι] + διὸ καὶ οὕτως ἄρχεται λέγων K.Q. Sav. cet. [i] φησι om. K.Q. Mox ἐστὶ μεσίτης inverso ord. iidem. [k] ἐνταῦθα] + περὶ μὲν τῶν κληρονόμων φησὶν ὁ Χριστὸς K.Q. Sav. cet. Mox φησὶν ὁ Χρ. om. iidem. [l] ἵν' ὅπου Q. Sav. cet. Statim εἰμὶ ἐγὼ N.O.R. [m] καὶ πάλιν περὶ] περὶ δὲ K.Q. καὶ om. N.R. et olim. O. [n] αὐτοῦ] + πάλιν K.Q.

Digitized by Google

μετὰ [o]γὰρ τὸ ἐπαγγείλασθαι μυρία, ἀπαιτεῖ καὶ [p]τὰ παρ' αὐτῶν, λέγων· [4]"Ἐντολὴν καινὴν δίδωμι ὑμῖν." Πάλιν [q]μάρτυρας ἔχειν ὀφείλει ἡ διαθήκη. Ἄκουε αὐτοῦ [r]πάλιν λέγοντος· [5]"Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας [s]με·" καὶ πάλιν, "Ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ·" περὶ τοῦ παρακλήτου λέγων· καὶ τοὺς δώδεκα ἀποστόλους [t]ἀπέστειλε λέγων, "Διαμαρτύρασθε ἐνώπιον τοῦ θεοῦ." "Καὶ διὰ τοῦτο, φησὶ, διαθήκης καινῆς μεσίτης ἐστί." Τί ἐστι μεσίτης; Ὁ μεσίτης [u]οὐκ ἔστι κύριος τοῦ πράγματος οὗ ἐστι μεσίτης, ἀλλ' [v]ἑτέρου μὲν τὸ πρᾶγμα, ἕτερος δὲ ὁ μεσίτης· οἷον, μεσίτης γάμου γίνεται, [w]οὐχ ὁ γαμῶν, ἀλλ' ὁ τῷ μέλλοντι ἄγεσθαι συμπράττων. Οὕτω δὴ καὶ ἐνταῦθα μεσίτης [x]ὁ υἱὸς ἐγένετο τοῦ πατρὸς καὶ ἡμῶν. Οὐκ ἤθελεν ἡμῖν ἀφεῖναι [y]ὁ πατὴρ τὴν κληρονομίαν ταύτην, ἀλλ' ὠργίζετο πρὸς ἡμᾶς, καὶ ἐχαλέπαινεν, [z]ὡς ἀπηλλοτριωμένους· μεσίτης τοίνυν ἐγένετο ἡμῶν καὶ αὐτοῦ, καὶ ἔπεισεν αὐτόν. [a]Καὶ τί ἄρα; πῶς μεσίτης ἐγένετο; Λόγους ἀπήγαγε καὶ ἤγαγε, τὰ παρὰ τοῦ πατρὸς ἡμῖν διαπορθμεύων, καὶ τὸν θάνατον [b]προστιθείς. Προσκεκρουκότες ἦμεν, ἀποθανεῖν ὠφείλομεν· ἀπέθανεν ὑπὲρ ἡμῶν, καὶ ἐποίησεν ἡμᾶς ἀξίους τῆς διαθήκης. [c]Ταύτῃ βεβαία ἐστὶν ἡ διαθήκη, ᾗ οὐκ εἰς [d]ἀναξίους λοιπὸν γέγονε. Παρὰ μὲν [e]οὖν τὴν ἀρχὴν, ἅτε ὡς πατὴρ [f]εἰς υἱοὺς διέθετο· ἐπειδὴ δὲ ἀνάξιοι γεγόναμεν, οὐκέτι διαθήκης, ἀλλὰ τιμωρίας [g]ἔδει. Τί τοίνυν μέγα φρονεῖς, φησὶν, ἐπὶ τῷ νόμῳ; [h]εἰς τοσαύτην γὰρ ἡμᾶς κατέστησεν ἁμαρτίαν, ὡς μὴ ἂν σωθῆναί ποτε· εἰ [i]μὴ ὁ [k]δεσπότης ὑπὲρ ἡμῶν ἀπέθανεν, οὐκ ἂν ἴσχυσεν ὁ νόμος· [l]ἔστι γὰρ ἀσθενής. Οὐκέτι δὲ αὐτὸ ἀπὸ τῆς κοινῆς συνηθείας βεβαιοῖ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἐν τῇ παλαιᾷ συμβεβηκότων· ὃ μά-

B C D

4 Joan. xiii. 34. 5 Ibid. viii. 18. xv. 26.

o γὰρ om. K.Q.R. p τὰ om. A.O.R. Cat. Veron. q μάρτυρας ἔχειν ὀφ. (ὀφ. ἔχειν N.R.) ἡ δ.] Sic K.N.O.Q.R. Cat. ὀφ. ἡ δ. μάρτυρας ἔχειν Edd. Statim καὶ ἄκουε K.Q. Sav. cet. r πάλιν λ.] λ. πάλιν K.Q. πάλιν om. N. s με] + πατήρ K.O.Q.R. Sav. cet. invitis Cat. Mut. t ἀποστέλλων ἔλεγε K.Q. Mox διαμαρτύρεσθαι Cat. u οὐκ] + ἔτι Sav. cet. repugnantibus libris. v ἑτέρου] Sic R. ἕτερον Edd. w οὐχὶ K.Q.R. x ἐγένετο ὁ υἱὸς hoc ord. K.N.Q.R. y ὁ πατὴρ om. K.Q. Mox πρὸς ἡμᾶς om. R. z ὡς] + πρὸς K.N.Q.R. Sav. cet. invita Cat. Statim ἠλλοτριωμένους Q. ἀλλοτριουμένους R. a καὶ om. K. Statim τί ἄρα; πῶς R. *et quid igitur? quomodo* Mut. ὅρα πῶς A.N.O. Cat. Edd. μάθε πῶς K.Q. b προτιθεὶς A. c ταύτῃ β. ἐστιν] Sic R. Mut. ταύτῃ ἐστὶ β. Veron. αὕτη ἐστὶ β. A. αὕτη β. ἐστὶν N. ταύτης.(+ αὕτη in marg. eadem manu) βεβαία ἐστὶν O. ταύτης. ταύτῃ β. ἐστιν Cat. ταύτῃ τοι καὶ β. ἐστιν K.Q. Sav. cet. d ἀξίους A. e οὖν] γὰρ K.Q. Mox ἅτε πατὴρ ὡς iidem. f εἰς] πρὸς K.Q. Sav. cet. g δεῖ R. h εἰς τ. γὰρ] ὃς εἰς τ. K.Q. i μὴ] + γὰρ K.Q. k δεσπότης] + ἡμῶν Edd. ἡμῶν om. K.N.O.Q.R. Mut. ἡμῖν pro ἡμῶν Cat. l ἔστι γὰρ ἀ.] ἀ. γὰρ ἦν K.Q. Sav. cet.

Digitized by Google

λιστα αὐτοὺς [m] ἐπήγετο. [n] Οὐδεὶς ἦν ὁ τετελευτηκὼς ἐκεῖ· πῶς
159 οὖν ἐκείνη βεβαία; Διὰ τοῦ [o] αὐτοῦ τρόπου, φησί. Πῶς; Καὶ
γὰρ ἐκεῖ αἷμα, ὥσπερ ἐνταῦθα αἷμα. Εἰ δὲ μὴ [p] τὸ τοῦ Χριστοῦ αἷμα, μὴ θαυμάσῃς· τύπος γὰρ ἦν. "[q] Ὅθεν, φησὶν, οὐδὲ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται." Τί ἐστιν, "ἐγκεκαίνισται;" Βεβαία [r] γέγονεν, ἐκυρώθη. [s] Τὸ, ὅθεν, διὰ τοῦτο, φησίν· ἔδει τῆς διαθήκης τὸ σύμβολον εἶναι καὶ τῆς τελευτῆς. Τίνος [t] γὰρ ἕνεκεν, εἰπέ μοι, τὸ βιβλίον ῥαντίζεται τῆς διαθήκης; [v] Φησὶ γὰρ, [6] "Λαληθείσης πάσης τῆς ἐντολῆς κατὰ [w] τὸν νόμον ὑπὸ Μωϋσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μό-
B σχων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν [x] ἐρράντισε, λέγων· τοῦτο τὸ αἷμα τῆς διαθήκης, ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ θεός." Τίνος [y] οὖν ἕνεκεν, εἰπέ μοι, τὸ βιβλίον ῥαντίζεται τῆς διαθήκης καὶ ὁ λαὸς, [z] ἢ τοῦ τιμίου αἵματος ἄνωθεν σχηματιζομένου; [a] Διὰ τί τῷ (518)
ὑσσώπῳ; Πυκνόν ἐστι καὶ κρατητικόν. Τὶ [b] δὲ τὸ ὕδωρ; [c] Δείκνυσι καὶ τὴν δι' ὕδατος κάθαρσιν. Τί δὲ τὸ ἔριον; Καὶ [d] τοῦτο
C ὥστε [e] κατέχεσθαι τὸ αἷμα. Δείκνυσιν ἐνταῦθα τὸ [f] αὐτὸ καὶ αἷμα καὶ ὕδωρ· τὸ γὰρ βάπτισμα, [g] αὐτοῦ τὸ πάθος ἐστί.

[7] "Καὶ τὴν σκηνὴν δὲ, καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως [h] ἐρράντισε. Καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις." [i] Διὰ τί τὸ σχεδόν; [k] διὰ τί αὐτὸ ἐκόλασεν; [l] Ἐπειδὴ ἐκεῖνα οὐκ ἦν [m] καθαρισμὸς τέλειος, οὐδὲ ἄφεσις τε-

6 v. 19, 20. 7 v. 21, 22.

[m] ἐπηγάγετο Cat. Veron. Sic ex corr. O. [n] οὐδεὶς] ἀλλ' οὐδεὶς, φησὶν K.Q. Sav. cet. [o] αὐτοῦ om. R. Mox φησὶ om. K.Q. [p] τὸ τοῦ Χρ.] τοῦ Χρ. τὸ R. τὸ om. a pr. m. O. [q] ὅθεν, φ.] διὸ καὶ λέγει, ὅθεν K.Q. Sav. cet. Mox τί ἐστιν, ἐγκ. om. A.K. Veron. [r] γέγονε] + φησὶν K.Q. Statim ἐκυριώθη R. [s] τὸ ὅθεν] Sic R. Cat. τὸ in marg. ab eadem m. O. τὸ om. A.N. Veron. ὅθεν, τουτέστι K.Q. Sav. cet. [t] γὰρ om. A.R. εἰπέ μοι om. R. Mox ἐρραντίζετο K.Q. Sav. cet. [v] φ. γὰρ, λαλ.] λαλ. γὰρ, φ. N. Sav. cet. Mox τῆς om. N. [w] τὸν assumtum ex N.R. Cat. et marg. O. [x] ἐρράντισε] Sic R. Cat. ἐράντισε A.N. ἐρράντιζε Edd. Mox ὁ θεὸς πρὸς ὑμᾶς hoc ord. K.O.Q. [y] οὖν om. A.R. [z] ἢ] + δῆλον K.Q. ἢ om. Cat. Post σχηματιζομένου add. τύπος τις ἐκεῖνο τὸ αἷμα καὶ τὰ ἄλλα ἐγίνετο K.Q. Sav. cet. [a] διὰ τί—κρατητικὸν] τί δήποτε δὲ καὶ μετὰ ὑσσώπου; ὅτι πυκνὸν καὶ ἁπαλὸν ὑπάρχον, κρατητικὸν τοῦ αἵματος ἦν iidem. [b] δὲ] δαὶ K.Q. Sav. cet. δαὶ bis Cat. [c] δείκνυσι καὶ] καὶ τοῦτο ὡς χαρακτηρίζον K.Q. Sav. cet. [d] τοῦτο] + παρελαμβάνετο iidem. [e] κατέχεσθαι om. A. Mox καὶ δείκνυσιν R. δείκνυσιν—αἷμα om. A. [f] αὐτὸ] + ὂν K.N.Q. Sav. cet. invita Cat. [g] αὐτοῦ (+ καὶ expunct. O.) τὸ π. ἐστὶ] τὸ πάθος αὐτοῦ ἐστι R. αὐτοῦ τοῦ (τοῦ om. Sav. Mor.) πάθους ἐστὶ σύμβολον K.Q. Sav. cet. [h] ἐρράντιζε K.Q. Mox κατὰ τὸν νόμον om. R. [i] διὰ τί] τί ἐστιν R. Statim τὸ om. K.R. Post σχεδὸν add. εἶπε K.Q. Sav. cet. [k] διὰ] καὶ διὰ R. Post αὐτὸ add. οὕτως idem. Statim ἐκάλεσεν, ut videtur, olim O. [l] ἐπειδὴ] + φησὶν K.Q. [m] καθαρμὸς R. Cat. et ex corr. O.

Digitized by Google

λεία, ἀλλὰ ἡμιτελὴς, καὶ [n]ἐν ἐλαχίστῳ μέρει· ἐνταῦθα δὲ,
[8]"Τοῦτο τὸ αἷμα, φησὶ, τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ [o]ὑμῶν
ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν." Ποῦ τοίνυν τὸ βιβλίον; D
[p]Ἐκάθαρε τὰς διανοίας αὐτῶν· αὐτοὶ ἄρα ἦσαν βιβλία τῆς
καινῆς διαθήκης. Ποῦ δὲ τὰ σκεύη τῆς λειτουργίας; Αὐτοί
εἰσι. Ποῦ δὲ ἡ σκηνή; Αὐτοί εἰσι πάλιν· [9]"Ἐνοικήσω γὰρ
ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω," φησίν. Ἀλλ' οὐκ ἐρίῳ κοκκίνῳ
οὐδὲ ὑσσώπῳ [q]ἐρραντίζοντο· τί δήποτε; Οὐ γὰρ σωματικὸς ὁ
[r]καθαρισμὸς ἦν, ἀλλὰ πνευματικὸς, [s]καὶ τὸ αἷμα πνευματικόν.
Πῶς; Οὐκ ἀπὸ [t]σώματος ἔρρει ἀλόγων, ἀλλὰ σώματος ἀπὸ
πνεύματος κατασκευασθέντος. Τούτῳ ἡμᾶς οὐ [v]Μωϋσῆς, ἀλλ'
ὁ Χριστὸς ἐρράντισε τῷ αἵματι, διὰ τοῦ λόγου τοῦ λεχθέντος,
"Τοῦτο τὸ αἷμα τῆς καινῆς διαθήκης εἰς ἄφεσιν ἁμαρτιῶν." 160
Οὗτος ὁ λόγος ἀντὶ ὑσσώπου [w]τῷ αἵματι ἐμβαφεὶς, πάντας
περιρραίνει. Κἀκεῖ μὲν τὸ σῶμα ἔξωθεν ἐκαθαίρετο· σωματικὸς γὰρ ὁ [x]καθαρισμὸς ἦν· ἐνταῦθα δὲ, ἐπειδὴ πνευματικός
ἐστιν ὁ [y]καθαρισμὸς, [z]εἰς τὴν ψυχὴν εἰσέρχεται, καὶ καθαίρει,
οὐχ ἁπλῶς περιρραινόμενος, ἀλλὰ πηγάζων ἐν ταῖς ἡμετέραις
ψυχαῖς. Ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα. Καὶ ἐπ' ἐκείνων
μὲν αὐτὴν [a]τὴν ἐπιφάνειαν ἔρραινε, καὶ πάλιν ἀπενίπτετο ὁ
ῥαντιζόμενος· οὐ γὰρ δὴ ἡμαγμένος ἀεὶ περιῄει· ἐπὶ δὲ τῆς ψυ- B
χῆς οὐχ οὕτως, ἀλλ' αὐτῇ τῇ οὐσίᾳ ἀναμίγνυται τὸ αἷμα, ῥωμαλέαν αὐτὴν ποιοῦν καὶ [b]ἁγνὴν, [c]καὶ πρὸς αὐτὸ τὸ ἀμήχανον
κάλλος ἄγον. Δείκνυσι δὴ λοιπὸν τὸν θάνατον οὐ μόνον βεβαιώσεως, ἀλλὰ [d]καὶ καθαρμοῦ αἴτιον. Ἐπειδὴ γὰρ ἡ τελευτὴ
μιαρὸν πρᾶγμα ἐδόκει εἶναι, καὶ μάλιστα ἡ [e]διὰ σταυροῦ, λέγει
[f]ὅτι ἐκάθαρε, [g]καὶ τιμίαν κάθαρσιν, καὶ ἐπὶ μείζοσι. Διὰ τοῦτο
[h]αἱ θυσίαι προὔλαβον, διὰ τὸ αἷμα τοῦτο· διὰ τοῦτο ἀμνοὶ,
[i]ἅπαντα διὰ τοῦτο ἐγένετο. [10]"Ἀνάγκη [k]οὖν τὰ μὲν ὑποδείγματα, φησὶ, τῶν ἐν τοῖς οὐρανοῖς τούτοις καθαρίζεσθαι· C

[8] Matth. xxvi. 28. [9] 2 Cor. vi. 16. [10] v. 23.

[n] ἐν om. A.K.Q. Post μέρει add. ἐγίνετο K.Q. [o] ὑμῶν] + καὶ πολλῶν O. [p] ἐκάθαρε] ὃ ἐκάθαιρεν R. [q] ἐρραντίζοντο] ἐρράντισεν ἐνταῦθα K.Q. Sav. cet. [r] καθαρμὸς R. Cat. et ex corr. O. [s] καὶ] ὥστε καὶ K.Q. [t] σώματος] + γὰρ K.O.Q. Sav. cet. Mox ἀλόγου R. [v] Μωσῆς A.N.O.R. Veron. Mox ὕδατι pro αἵματι R. [w] τῷ om. R. [x] καθαρμὸς K.O.Q.R. Cat. [y] καθαρμὸς O.Q.R. Cat. ὁ καθ. om. K. [z] εἰς τὴν ψ.] εἰς ἣν A. εἴσω K.Q. εἰς ψ. Veron. Statim ἔρχεται N. [a] τὴν ἐπ. ἔρραινε καὶ om. A. [b] ἁγνὴν] καινὴν in text. O. [c] καὶ] ἀλλὰ μὴν καὶ K.Q. Mox ἄγων A.N.O. [d] καὶ om. A. Statim καθαρισμοῦ R. [e] διὰ τοῦ στ. N. Cat. et corr. O. [f] ὅτι] + τοῦτο N.R. Cat. Mut. Statim ἐκάθαιρεν R. Cat. ἐκάθηρε N. [g] καὶ] + ἐκάθαρε K.Q. Sav. cet. + ἐκάθαιρε R. [h] αἱ θυσίαι πρ. διὰ τὸ om. A. [i] ἅπ. διὰ τοῦτο ἐγ.] διὰ τοῦτο ἅπ. ἐγ. N. Sav. cet. διὰ τοῦτο αἷμα τοῦτο ἅπ. ἐγίνετο R. [k] οὖν om. A. ἀνάγκη οὖν om. Veron. Mox φησὶ om. K.Q. Sav. cet.

Digitized by Google

αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι θυσίαις παρὰ [l]ταύτας." Καὶ
πῶς ἐστιν [m]ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς; τίνα δὲ καλεῖ
τὰ ἐν τοῖς οὐρανοῖς νῦν; ἆρα τὸν οὐρανόν; [n]ἀλλὰ τοὺς ἀγγέ-
λους; Οὐδὲν τούτων, ἀλλὰ τὰ ἡμέτερα. Ἄρα ἐν τοῖς οὐρανοῖς
τὰ ἡμέτερα, καὶ ἐπουράνια [o]τὰ ἡμέτερα, κἂν ἐν τῇ γῇ ἐπιτε-
λῆται. Ἐπεὶ καὶ ἄγγελοι ἐν τῇ γῇ εἰσιν, ἀλλ' ἐπουράνιοι λέ-
γονται· καὶ τὰ Χερουβὶμ ἐπὶ τῆς γῆς ἐφάνη, ἀλλ' ἐπουράνιά
[p]ἐστι. Καὶ τί λέγω ἐφάνη; ἐπὶ τῆς γῆς μὲν οὖν διάγει, ὥσπερ
[q]οὖν ἐν τῷ παραδείσῳ· ἀλλ' [r]οὐδὲν τοῦτο· ἐπουράνια [s]γάρ
D ἐστι. Καὶ ἡμῶν τὸ πολίτευμά [t]ἐστιν ἐν οὐρανοῖς, καίτοι ἐν-
ταῦθα πολιτευόμεθα. "Αὐτὰ δὲ τὰ ἐπουράνια" [v]τουτέστι,
τὴν φιλοσοφίαν τὴν παρ' ἡμῖν, τοὺς ἐκεῖ κεκλημένους. "Κρείτ-
τοσι θυσίαις παρὰ [w]ταύτας." [x]Τὸ κρεῖττον καλοῦ τινός ἐστι
κρεῖττον· [y]ἄρα καλὰ γεγόνασι καὶ [z]τὰ ὑποδείγματα τῶν ἐν
τοῖς οὐρανοῖς. Οὐκ ἂν [a]γὰρ οὐδὲ τὰ ὑποδείγματα πονηρὰ [b]ἦν,
ἐπεὶ κἀκεῖνα ἂν εἴη πονηρὰ ὧν ἐστι [c]τὰ ὑποδείγματα.
161 [d]Εἰ τοίνυν ἐπουράνιοι ἡμεῖς, καὶ τοιαύτης [e]οὐσίας ἐτύχομεν,
φρίξωμεν· [f]μηκέτι μένωμεν ἐν τῇ γῇ· ἔξεστι γὰρ μὴ [g]εἶναι ἐν
τῇ γῇ καὶ νῦν τὸν βουλόμενον. Τὸ γὰρ εἶναι ἐν τῇ γῇ καὶ μὴ (519)
εἶναι, τρόπῳ καὶ προαιρέσει γίνεται· οἷόν τι λέγω, ὁ θεὸς λέ-
γεται [h]εἶναι ἐν τῷ οὐρανῷ· διὰ τί; οὐ τόπῳ ἀποκλειόμενος,
μὴ γένοιτο, οὐδὲ τὴν γῆν [i]ἔρημον τῆς αὐτοῦ [k]παρουσίας ἀφείς,
ἀλλὰ τῇ σχέσει καὶ τῇ οἰκειώσει τῇ πρὸς τοὺς ἀγγέλους. Ἂν
τοίνυν καὶ ἡμεῖς ἐγγὺς ὦμεν τοῦ θεοῦ, ἐν οὐρανῷ ἐσμεν. Τί γάρ
μοι μέλει τοῦ οὐρανοῦ, ὅταν [l]ὁρῶ τὸν δεσπότην τοῦ οὐρανοῦ,
B ὅταν αὐτὸς οὐρανὸς γένωμαι; [ll] "[m]Ἐλευσόμεθα γάρ, φησίν,

[ll] Joan. xiv. 23.

[l] ταῦτα K.Q.R. [m] ὑπόδειγμα R. [n] ἀλλὰ] ἆρα R. [o] [τὰ ἡμέτερα] Sav. Mor. τὰ ἡμ. om. N. Ben. καὶ ἐπουρ. τὰ ἡμ. om. R. [p] εἰσιν N. [q] οὖν ἐν τῷ π.] καὶ ἐν τῷ οὐρανῷ K.Q. [r] οὐδὲν] οὐδὲ A. Veron. οὐδὲν ἐκώλυσε K.Q. Sav. cet. [s] γὰρ] + καὶ N. + καὶ οὕτως K.Q. Sav. cet. Statim εἰσιν N. [t] ἐστιν om. K.N. Statim ἐν τοῖς οὐρ. K.N.R. [v] τουτέστι] φησίν. ἐπουράνια K.Q. Post ἡμῖν add. λέγει iidem. [w] ταῦτα R. [x] τὸ κρεῖττον—καλὰ] εἰ κρείττους, καλῶς ἄρα K.Q. καλοῦ—κρεῖττον om. A. Veron. [y] ἄρα] Sic N.R. Cat. Sav. cet. *ergo* Mut. ἄρα εἰ A. ἄρ' ἀεὶ Veron. ἆρα εἰ a pr. m. O. ἄρα (expuncto εἰ) ex corr. idem. [z] τὰ ὑπ.] Sic N.O. Sav. cet. ὑποδείγματα Cat. ὑπόδειγμα A.K.Q. Veron. ταῦτα ὑποδείγματα R. [a] γὰρ οὐδὲ] δὲ K.Q. γὰρ οὐδὲ om. A. Cat. Veron. et in text. O. *nequaquam enim* Mut. [b] ἦν om. Q. ἦν—πονηρὰ om. K. Mox πονηρὰ ἂν εἴη hoc ord. O.R. [c] τὰ om. K.O.Q. Sav. cet. [d] ΗΘΙΚΟΝ. Ὅτι οὐ δεῖ ἀρκεῖσθαι τῷ θέλειν ἀρετὴν, ἀλλὰ καὶ πόνων ἅπτεσθαι. Veron. [e] θυσίας N.O.R. Mut. [f] καὶ μηκέτι R. Statim μείνωμεν N. [g] εἶναι] μένειν R. [h] εἶναι ἐν οὐρανῷ R. ἐν οὐρανῷ εἶναι N. [i] ἐρημῶν (mox om. ἀφεὶς) N.O. invito Mut. [k] περιουσίας Q. ἐπιστασίας R. [l] ὁρῶ] ἔχω K.Q. [m] ἐλεύσομαι R. καὶ ἐλευσόμεθα N. ἐλευσόμεθα—πατὴρ] ἐγὼ γὰρ καὶ ὁ πατὴρ ἐλευσόμεθα K.Q.

Digitized by Google

ἐγὼ καὶ ὁ [n]πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν." [o]Ποιήσωμεν οὖν ἡμῶν τὴν ψυχὴν οὐρανόν. Φαιδρός [p]ἐστιν ὁ οὐρανὸς τῇ φύσει· οὐδὲ γὰρ ἐν χειμῶνι μέλας γίνεται· οὐ γὰρ αὐτὸς μεταβάλλει τὴν ὄψιν, ἀλλ' αἱ νεφέλαι συνδραμοῦσαι καλύπτουσιν [q]αὐτόν. Ὁ οὐρανὸς ἥλιον ἔχει· [r]ἔχομεν καὶ ἡμεῖς ἥλιον δικαιοσύνης. [s]Εἶπον, ἔξεστι γενέσθαι οὐρανόν· καὶ ὁρῶ ὅτι καὶ [t]βελτίονα γενέσθαι τοῦ οὐρανοῦ ἔξεστι. Πῶς; [v]Ὅταν τὸν δεσπότην τοῦ ἡλίου ἔχωμεν. Ὁ οὐρανὸς [w]πάντοθέν ἐστι καθαρὸς καὶ ἀκηλίδωτος, οὐκ ἐν χειμῶνι, οὐκ ἐν [x]νυκτὶ μετα-
βάλλεται· μὴ τοίνυν μηδὲ ἡμεῖς, [y]μὴ ἐν θλίψεσι, [z]μὴ ἐν ταῖς C
μεθοδείαις τοῦ διαβόλου τοῦτο πάσχωμεν, ἀλλὰ μένωμεν ἀκηλίδωτοι καὶ καθαροί. Ὁ οὐρανός ἐστιν ὑψηλὸς, καὶ πολὺ τῆς γῆς ἀπέχων· τοῦτο καὶ ἡμεῖς [a]ποιήσωμεν, ἀποστήσωμεν ἑαυτοὺς τῆς γῆς, καὶ πρὸς τὸ ὕψος ἀρθῶμεν ἐκεῖνο, καὶ [b]πολὺ τῆς γῆς ἑαυτοὺς ἀποστήσωμεν. Ὁ οὐρανὸς ἀνώτερός ἐστι καὶ ὑετῶν καὶ χειμώνων, καὶ ὑπ' οὐδενὸς ἁλίσκεται· τοῦτο καὶ ἡμεῖς δυνησόμεθα, [c]ἐὰν θέλωμεν. [d]Ἀλλ' οὗτος δοκεῖ μὲν, [e]οὐ μέντοι πάσχει αὐτός· μὴ τοίνυν μηδὲ ἡμεῖς, κἂν δοκῶμεν πάσχειν, πάσχωμεν. Ὥσπερ γὰρ ἐν τῷ χειμῶνι οἱ μὲν πολλοὶ τὸ κάλ-
λος αὐτοῦ οὐκ ἴσασιν, ἀλλὰ νομίζουσιν αὐτὸν τρέπεσθαι, οἱ δὲ D
φιλοσοφοῦντες ἴσασιν ὅτι οὐδὲν ἔπαθεν· οὕτω καὶ περὶ ἡμῶν ἐν ταῖς θλίψεσιν, οἱ μὲν πολλοὶ νομίζουσιν ἡμᾶς συμμεταβεβλῆσθαι, καὶ αὐτῆς ἡμῶν ἧφθαι τῆς καρδίας τὴν θλῖψιν· οἱ δὲ φιλόσοφοι ἴσασιν ὅτι οὐχ ἥψατο ἡμῶν. Γενώμεθα τοίνυν οὐρανὸς, ἀνέλθωμεν εἰς τὸ ὕψος ἐκεῖνο, καὶ οὕτως ὀψόμεθα τοὺς ἀνθρώπους μυρμήκων οὐδὲν διαφέροντας· οὐ τοὺς πένητας λέγω
μόνον, οὐδὲ τοὺς [f]πολλοὺς, ἀλλὰ κἂν στρατηγός τις ᾖ, καν 162
βασιλεὺς, οὐκ [g]ὀψόμεθα τὸν βασιλέα, οὐδὲ τὸν ἰδιώτην· οὐκ εἰσόμεθα τί μὲν χρυσὸς, τί δὲ ἄργυρος, τί δὲ ἱμάτιον σηρικὸν,

[n] πατὴρ] + μου Edd. μου om. O.R. Mut. Mox ποιήσωμεν A.R. Veron. ποιησόμεθα K.Q. [o] π. οὖν] οὐκοῦν π. K.Q. [p] ἔσται O. Mox ἐν χειμῶνι—οὐ γὰρ om. A. [q] αὐτὸν om. a pr. m. O. [r] ἔχομεν om. R. [s] εἶπον] + ὅτι R. Mox γενέσθαι ὡς οὐρανὸν (οὐρανὸς R.) Edd. ὡς om. K.Q. inclusum a Sav. [t] βέλτιον N. Sav. καὶ βελτίονα—ἔξεστι] βέλτιον ἔξεστι γ. τοῦ οὐρ. K.Q. [v] ὅταν] αὐτὸν γὰρ K.Q. Mox ἔχομεν iidem. [w] πάντοτε O. [x] νυκτὶ] + γὰρ K.Q. [y] μὴ] μήτε οὖν K.Q. μήτε Sav. cet. Statim ἐν ταῖς θλ. K.Q.R. Sav. cet. [z] μὴ] μήτε K.Q. Sav. cet. [a] ποιήσωμεν (ποιῶμεν N.)] + ποιήσομεν (ποιήσωμεν K.) δὲ ἂν K.Q. [b] πολὺ] Sic N.O.R. Mut. ποῦ Edd. καὶ πολὺ—ἀποστήσωμεν om. K.Q. Post ἀποστήσωμεν add. ὅταν τὰ οὐράνια φαντάζωμεθα Sav. cet. nescimus quo auctore. [c] ἐὰν] ἂν N.O. Statim ἐθέλωμεν N. et corr. O. θελήσωμεν K.Q. [d] ἀλλ' om. K.Q. Sav. cet. [e] οὐ μέντοι] οὐδὲν δέ τι K.Q. Mox αὐτὸς om. K.Q. Sav. cet. *ipsum* Mut. [f] πολλοὺς] Sic R. et a pr. m. O. *plurimos* Mut. πλουσίους Edd. Statim ἀλλὰ om. R. [g] ὀψόμεθα] + ἐκεῖ K.Q. Sav. cet. ἐκεῖ erasum in O.

Digitized by Google

[g]ἢ πορφυροῦν· [h]πάντα ὥσπερ μυίας ὀψόμεθα, [i]ἐὰν ἐν ἐκείνῳ
τῷ ὕψει καθίσωμεν· οὐδεὶς θόρυβος ἐκεῖ, [k]οὐδεμία ταραχὴ,
οὐδὲ κραυγή. Καὶ πῶς ἔνι, φησὶν, εἰς ἐκεῖνο [l]ἀρθῆναι τὸ ὕψος,
ἐπὶ τῆς γῆς περιπατοῦντα; Λόγῳ μὲν οὐ λέγω, [m]ἐγὼ δέ σοι
B δείκνυμι διὰ τῶν ἔργων τοὺς εἰς τὸ ὕψος ἐκεῖνο φθάσαντας.
Τίνας δὴ τούτους; Τοὺς περὶ Παῦλον [n]λέγω, οἵτινες ἐν τῇ γῇ
ὄντες, ἐν τῷ οὐρανῷ διέτριβον. Καὶ τί λέγω ἐν τῷ οὐρανῷ;
ὑψηλότεροι ἦσαν τοῦ οὐρανοῦ, [o]καὶ τοῦ ἄλλου οὐρανοῦ, [p]καὶ
πρὸς αὐτὸν ἀνῆλθον τὸν θεόν. [12] "Τίς γὰρ ἡμᾶς χωρίσει, φη-
σὶν, ἀπὸ τῆς ἀγάπης τοῦ [q]Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, [r]ἢ
διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;" καὶ πά-
λιν, "Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, [s]ἀλλὰ τὰ μὴ βλε-
πόμενα." Ὁρᾷς ὅτι [t]οὐδὲ ἑώρα τὰ ἐνταῦθα; Ἵνα δέ σοι δείξω
ὅτι τῶν οὐρανῶν ἀνώτερος ἦν, ἄκουε αὐτοῦ λέγοντος· [13] "Πέ-
C πεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ, οὔτε ἐνεστῶτα οὔτε
μέλλοντα, οὔτε ὕψωμα οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα
δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ." Ὁρᾷς
πῶς πάντα παραδραμὼν ὁ λογισμὸς, ἀνώτερον αὐτὸν ἐποίησεν,
οὐ ταύτης [v]μόνον τῆς κτίσεως, [w]οὐ τούτων τῶν [x]οὐρανῶν, ἀλλὰ
καὶ εἴ τινες ἕτεροι ἦσαν; Εἶδες ὕψος διανοίας; εἶδες ὁ σκηνο-
ποιὸς [y]οἷος ἐγένετο, ἐπειδὴ ἠθέλησεν, [z]ὁ ἐπ' ἀγορᾶς τὸν ἅπαντα
βίον διαγαγών; Οὐδὲν γάρ ἐστι [a]κώλυμα, [b]οὐκ ἔστι, [c]πάντας
ὑπερβαλέσθαι, εἴγε βουλοίμεθα. Εἰ γὰρ τέχνας οὕτω κατορ-
θοῦμεν ὑπερβαινούσας τοὺς πολλοὺς, πολλῷ μᾶλλον ὃ μὴ [d]το-
D σούτου δεῖται πόνου. Τί γὰρ, εἰπέ μοι, χαλεπώτερον τοῦ διὰ
σχοίνου τεταμένης βαδίζειν, καθάπερ ἐπὶ ἰσοπέδου, καὶ ἄνω
[e]περιπατοῦντα ὑποδύεσθαι καὶ ἀποδύεσθαι, καθάπερ ἐπὶ κλί-
νης καθήμενον; [f]οὐχὶ οὕτω φρικτὸν ἡμῖν εἶναι τὸ πρᾶγμα

[12] Rom. viii. 35. 2 Cor. iv. 18. [13] Rom. viii. 38, 39.

[g] ἢ] τί δὲ R. *quid* Mut. [h] πάντας R. Statim ὡς μ. N. [i] ἐὰν] + καὶ N. [k] οὐδεμία] οὐδὲ Veron. [l] ἀρθῆναι τὸ ὕ.] τὸ ὕ. ἀρθῆναι K.Q. Mox περιπατοῦντας R. [m] ἐγὼ δέ σοι δείκνυμι (δεικνύω R.) διὰ τῶν ἔργων] τοῦτο ἁπλῶς· ἀλλ' εἰ βούλει, ἐγώ σοι δείκνυμι ἔργῳ K.Q. Sav. cet. [n] λέγω om. K.Q. [o] καὶ τοῦ ἄλλου οὐρ. om. K.Q. inclusum a Sav. [p] καὶ] + γὰρ K.Q. [q] Χριστοῦ] θεοῦ N.R. [r] ἢ δ. ἢ λ.] Sic omnes. ἢ λ. ἢ δ. Edd. [s] ἀλλὰ τὰ μὴ βλ. om. A. [t] οὐδὲν Q. [v] μόνος N.O. [w] οὐ] οὐδὲ A.K.Q. Sav. cet. [x] οὐρανῶν] ἀνθρώπων K.Q. Statim ἀλλ' εἴ τινες καὶ ἕ. iidem. [y] ὁποῖος R. Statim γέγονεν O. ἐπειδὴ ἠθ. om. in text. idem. [z] ὁ om. R. ἅπαντα om. K.Q. Mox διάγων R. [a] κώλυμα] Sic Edd. τὸ κωλῦον ἡμᾶς Floril. p. 426. (Tom. xii. p. 621 D.) κώλυμα om. A.K.N.O.Q. Mut. γάρ ἐστι κώλυμα, οὐκ om. R. In O. haec γάρ ἐστιν, οὐκ in rasura majore a 2da m. rescripta sunt. [b] οὐκ] οὐδὲν N. οὐκ ἔστι om. Flor. [c] πάντας ὑπερβαλέσθαι (ὑπερβάλλεσθαι O.)] ὃ πάντως οὐχ ὑπερβαλούμεθα K.Q. Mox βουλόμεθα R. et olim O. [d] τοσούτων δ. πόνων N. [e] περιπατοῦντας ἐνδύεσθαι R. Mox καθημένους idem. [f] οὐχ R. Veron. Mox εἶναι om. K.Q.

Digitized by Google

δοκεῖ, ὡς μηδὲ [g]θέλειν θεάσασθαι, ἀλλὰ δεδοικέναι καὶ τρέμειν
καὶ πρὸς τὴν ὄψιν αὐτήν; Τί δὲ, εἰπέ μοι, [h]χαλεπώτερον τοῦ
(520) κοντὸν [i]ἐπὶ τοῦ προσώπου λαβεῖν, εἶτα [k]ἐπιθέντα ἄνω παιδίον
μυρία ποιεῖν, καὶ τέρπειν τοὺς θεατάς; τί [l]δὲ χαλεπώτερον τοῦ 163
σφαιρίζειν ἐν ξίφεσι; τί δὲ [m]βαρύτερον, εἰπέ μοι, τοῦ τὸ βά-
θος τοῦ πελάγους διερευνᾶσθαι; Καὶ μυρίας ἑτέρας ἂν τις ἔχοι
τέχνας εἰπεῖν· ἀλλὰ πάντων τούτων εὐκολωτέρα ἡ ἀρετὴ, ἐὰν
[n]βουλώμεθα, καὶ τὸ εἰς τὸν οὐρανὸν ἀναβῆναι· θελῆσαι γὰρ
δεῖ μόνον ἐνταῦθα, καὶ πάντα ἕπεται. Οὐκ ἔστι [o]γὰρ εἰπεῖν,
οὐ δύναμαι, [p]οὐδὲ κατηγορῆσαι τοῦ δημιουργοῦ· εἰ γὰρ ἀδυ-
νάτους ἡμᾶς ἐποίησεν, εἶτα ἐπιτάττει, κατηγορία αὐτοῦ ἐστι.
[q]Πῶς οὖν, φησὶ, πολλοὶ οὐ δύνανται; [r]Πῶς οὖν πολλοὶ οὐ
θέλουσιν; εἰπέ· εἰ γὰρ θέλουσι, πάντες δυνήσονται. Διὰ τοῦτο B
καὶ [s]Παῦλός φησι· [14]"Θέλω πάντας ἀνθρώπους εἶναι ὡς [t]καὶ
ἐμαυτόν·" ἐπειδὴ ᾔδει ὅτι πάντες ἠδύναντο εἶναι [v]ὡς αὐτός·
[w]οὐδὲ γὰρ ἂν, εἴγε ἀδύνατον ἦν, τοῦτο εἶπε. Θέλεις [x]γενέσθαι;
τῆς ἀρχῆς ἐπιλαβοῦ μόνον. Εἰπὲ δή μοι, ἐν ταῖς τέχναις
ἁπάσαις, ὅταν [y]θέλωμεν ἐν αὐταῖς γενέσθαι, ἀρκούμεθα τῷ θέ-
λειν, ἢ καὶ ἁπτόμεθα τῶν πραγμάτων; Οἷόν τι λέγω· βούλε-
ταί τις γενέσθαι κυβερνήτης· οὐ λέγει, θέλω, καὶ τούτῳ ἀρκεῖ-
ται, ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. [z]Θέλει γενέσθαι ἔμ-
πορος· οὐ λέγει, θέλω μόνον, ἀλλὰ καὶ τοῦ [a]πράγματος ἅπτε- C
ται. Ἀποδημῆσαι πάλιν [b]θέλει· οὐ λέγει, [c]θέλω, ἀλλὰ καὶ
τοῦ πράγματος ἅπτεται. Εἶτα ἐν πᾶσιν οὐκ ἀρκεῖ τὸ [d]θελῆ-
σαι μόνον, ἀλλὰ καὶ τὸ ἔργον προσθεῖναι δεῖ· εἰς δὲ τὸν οὐρα-
νὸν βουλόμενος ἀνελθεῖν, [e]λέγεις, θέλω μόνον; Πῶς οὖν, φη-
σὶν, ἔλεγες, ὅτι [f]τὸ θέλειν ἀρκεῖ; Τὸ θέλειν μετὰ τῶν ἔργων,
τὸ [g]ἀντιλαμβανόμενον τοῦ πράγματος, [h]τὸ πονέσαντα. [i]Ἔχο-

14 1 Cor. vii. 7.

[g] ἐθέλειν N. et corr. O. [h] χαλ.] τί χαλ. K.Q. Statim τὸν pro τοῦ Q. [i] ἐπὶ προσώπου R. ἐπὶ τοῦ μετώπου K.Q. Flor. [k] ἐπιθέντος Veron. ἐπιτιθέντα K. [l] δὲ om. Q. [m] βαρύτερον] χαλεπώτερον R. εἰπέ μοι om. K.Q. [n] βουλώμεθα omnes. θέλωμεν Edd. [o] [γὰρ] Sav. γὰρ om. K.Q. [p] οὐδὲ κ.] οὔτε κ. N. τοῦτο γὰρ κ. εστι K.Q. Sav. cet. [q] πῶς οὖν—δύνανται om. N.O.R. [r] πῶς οὖν πολλοὶ οὐ θ.] Sic N.O.R. Mut. Veron. ἐπειδὴ οὐ θ. A. Statim εἰπὲ assumtum ex N.O.R. πῶς οὖν—εἰ γὰρ θ.] ὅτι οὐ θέλουσι. πόθεν δὲ οὐ θέλουσιν; ἀπὸ ῥᾳθυμίας· ὥστε εἰ θελήσουσι K.Q. Sav. cet. Statim πάντως K.N.Q. Sav. cet. [s] ὁ Παῦλος N.O. Sav. cet. [t] καὶ om. a pr. m. O. Mox ἅπαντες R. [v] ὡς] + καὶ Edd. καὶ om. N.O.R. Mut. [w] οὐδὲ] οὐ N.O. Mox ἂν om. N. [x] γενέσθαι] + ἐνάρετος K.Q. Sav. cet. [y] ἐθέλωμεν et mox ἐθέλειν K. [z] Clausulam θέλει—ἅπτεται om. R. post proximum ἅπτεται transp. N. [a] πράγματος] ἔργου K.Q. [b] θέλει] + τις R. Statim καὶ οὐ λ. Edd. καὶ om. N.O.R. Mut. [c] θέλω] ὅτι θέλω O. [d] θέλειν Q. [e] λέγεις] ἀρκεῖν λέγεις τὸ K.Q. [f] τὸ om. A. Post θέλειν add. μόνον N. et in marg. ab eadem m. O. [g] ἀντιλαβόμενον in text. O. [h] τὸν πονέσαντα N. τῷ πονέσαντι A. Veron. et (corr. ex τὸ πονέσαντα) O.

μεν γὰρ συνεργοῦντα καὶ συμπράττοντα τὸν θεόν· μόνον [i]ἑλώ-
μεθα, μόνον ὡς ἔργῳ προσενεχθῶμεν τῷ πράγματι, μόνον μερι-
D μνήσωμεν, μόνον εἰς νοῦν [k]βαλώμεθα, καὶ πάντα ἕπεται. [l]Ἂν
δὲ καθεύδωμεν, καὶ ῥέγχοντες προσδοκῶμεν εἰσιέναι εἰς τὸν οὐ-
ρανὸν, πότε δυνησόμεθα τὴν κληρονομίαν τῶν οὐρανῶν κατα-
σχεῖν; Βουληθῶμεν οὖν, παρακαλῶ, βουληθῶμεν. Τί πάντα
πρὸς τὸν παρόντα βίον ἐμπορευόμεθα, ὃν αὔριον ἀπολείψομεν;
Ἑλώμεθα τοίνυν τὴν ἀρετὴν τὴν εἰς τὸν πάντα [m]αἰῶνα ἡμῖν
διαρκέσουσαν· ἐν ᾧ ἐσόμεθα διηνεκῶς, καὶ τῶν αἰωνίων ἀγαθῶν
[n]ἀπολαύσομεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ
Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύ-
ματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. Ἀμήν.

164 ## ΛΟΓΟΣ ΙΖ.

[1] Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς, ἀντίτυπα
τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν ἐμφανισθῆναι
τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν· [a]οὐδ' ἵνα πολλάκις προσ-
φέρῃ ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεὺς [b]εἰσέρχεται εἰς τὰ ἅγια
κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ· ἐπεὶ ἔδει [c]αὐτὸν πολλά-
κις παθεῖν ἀπὸ καταβολῆς κόσμου. [d]Νῦν δὲ ἅπαξ ἐπὶ συν-
τελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας
αὐτοῦ πεφανέρωται.

B ΜΕΓΑ ἐφρόνουν οἱ Ἰουδαῖοι ἐπὶ τῷ ναῷ καὶ τῇ σκηνῇ· διὸ
ἔλεγον, [2]"Ναὸς κυρίου, ναὸς κυρίου, [e]ναὸς κυρίου." Οὔτε γὰρ
ἀλλαχοῦ [f]γῆς κατεσκευάσθη τοιοῦτος ναὸς, [g]οὐ πολυτελείας ἕνε-
κεν, οὐ κάλλους, οὐχ ἑτέρου τινός. Ὁ γὰρ [h]διαταξάμενος θεὸς
ἐκέλευσεν αὐτὸν μετὰ φιλοτιμίας γενέσθαι πολλῆς, ἐπειδὴ κἀκεῖ-
νοι τοῖς σωματικοῖς [i]μᾶλλον ἐφείλκοντο καὶ ἐπεσπῶντο. Πλίν-
θους γὰρ εἶχε χρυσᾶς ἐν τοῖς τοίχοις· καὶ ἔξεστι τῷ βουλομένῳ
ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν καὶ ἐν τῷ Ἰεζεκιὴλ τοῦτο καταμα-
C θεῖν, καὶ ὅσα χρυσοῦ τάλαντα ἀνηλώθη τότε. Ἡ δὲ δευτέρα
λαμπροτέρα γέγονεν οἰκοδομία, καὶ κάλλους ἕνεκεν καὶ τῶν
ἄλλων ἁπάντων. Καὶ οὐ [k]τούτῳ μόνον σεμνὸς ἦν, ἀλλὰ καὶ

[1] Cap. IX. v. 24—26. [2] Jer. vii. 4.

[i] θελώμεθα R. [k] λαβώμεθα R. [l] ἐὰν N.R. Sav. cet. Statim καθεύδοντες O. [m] αἰῶνα ἡμῖν] ἡμῖν αἰῶνα N.R. Statim διαρκοῦσαν R. [n] ἀπολαύσομεν] ἀπολαύσωμεν O. κληρονόμοι R. Hom. XVII. [a] οὐδὲ K. οὐχ O. [b] εἰσέρχεται om. K.Q. Statim εἰς τὰ ἅ. τῶν ἁγίων Edd. τῶν ἁγίων om. K.N. O.Q.R. Mut. [c] ἑαυτὸν A.K.Q. [d] νῦν K.N.Q.R. Cat. νυνὶ Edd. [e] ναὸς κυρίου in 3tio loco accessit ex N.O. Cat. Mut. [f] γῆς om. A. [g] οὐ] οὔτε A. [h] διαταξάμενος] + αὐτοῖς O. [i] μᾶλλον om. A.K.Q. Veron. invitis Cat. Mut. Statim ἀφείλκοντο R. [k] τοῦτο μόνον R. τούτῳ μόνῳ Cat.

Digitized by Google

(521) τῷ εἶναι [l]εἷς· [m]ἀπὸ γὰρ τῶν περάτων τῆς γῆς ἐκεῖ ἤρχοντο,
[n]εἴτε ἀπὸ Βαβυλῶνος, εἴτε ἀπὸ Αἰθιοπίας. Καὶ τοῦτο δηλῶν
ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν ἔλεγεν· [3]"Ἦσαν [o]ἐκεῖ κατοικοῦντες
Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Με-
σοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον [p]τε καὶ D
τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ
μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην." Οἱ οὖν πανταχοῦ τῆς
οἰκουμένης ὄντες, ἐκεῖ [q]συνήεσαν, καὶ πολὺ τὸ ὄνομα τοῦ ναοῦ
ἦν. Τί οὖν ὁ Παῦλος [r]ποιεῖ; [s]Ὅπερ ἐπὶ τῶν θυσιῶν, τοῦτο
καὶ ἐνταῦθα ποιεῖ· [t]ὥσπερ γὰρ ἐκεῖ τὸν θάνατον ἀντέστησε
τοῦ Χριστοῦ, οὕτω [v]καὶ ἐνταῦθα τὸν οὐρανὸν ὅλον [w]ἀνθίστησι
τῷ ναῷ. [x]Καὶ οὐ τούτῳ μόνον τὸ διάφορον ἔδειξεν, ἀλλὰ καὶ
[y]τῷ προσθεῖναι τὸν ἱερέα ἐγγύτερον γενόμενον τοῦ θεοῦ· "Ἐμ-
φανισθῆναι γὰρ, φησὶ, τῷ προσώπῳ τοῦ θεοῦ." Ὥστε οὐ τῷ
οὐρανῷ μόνον, ἀλλὰ καὶ τῇ εἰσόδῳ τὸ πρᾶγμα σεμνὸν [z]ἐποί- 165
ησεν. Οὐ γὰρ ἁπλῶς, ὥσπερ ἐνταῦθα, διὰ συμβόλων, ἀλλ' αὐ-
τὸν ὁρᾷ τὸν θεὸν ἐκεῖ. Ὁρᾷς ὅτι συγκαταβάσεως ἕνεκεν παν-
ταχοῦ τὰ ταπεινὰ εἴρηται; Τί [a]δὴ θαυμάζεις λοιπὸν εἰ ἐντυγ-
χάνει, ὅπου γε αὐτὸν ἵστησιν ὡς ἀρχιερέα; "[b]Οὐδ' ἵνα πολ-
λάκις προσφέρῃ [c]ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεύς." "Οὐ γὰρ εἰς
χειροποίητα ἅγια εἰσῆλθε, [d]φησὶν, ὁ Χριστὸς, ἀντίτυπα τῶν
ἀληθινῶν." Ἄρα ἐκεῖνά ἐστιν ἀληθινὰ, ταῦτα δὲ τύποι· καὶ
γὰρ ὁ ναὸς οὕτω [e]κατεσκεύασται, ὥσπερ ὁ οὐρανὸς τοῦ οὐρα- B
νοῦ. Τί λέγεις; [f]ἐὰν μὴ εἰσέλθῃ εἰς τὸν οὐρανὸν, οὐκ ἐμφα-
νίζεται, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν; Ὁρᾷς ὅτι
τῆς σαρκός ἐστι [g]ταῦτα πάντα; "Ἐμφανισθῆναι, φησὶ, τῷ
προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν." Τί ἐστιν, "ὑπὲρ ἡμῶν;"
Μετὰ θυσίας [h]ἀνῆλθε, φησὶ, δυναμένης ἐξιλεώσασθαι τὸν πα-

[3] Act. ii. 5, 9, 10.

[l] εἷς] ἴσος A. Veron. ἴσος K.Q. Post εἷς add. καὶ τῷ πάντας τῷ κάλλει ἐφέλκεσθαι Sav. cet. invitis omnibus. [m] ἀπὸ γὰρ] οἱ γὰρ ἀπὸ R. Cat. καὶ γὰρ ἀπὸ N.O. [n] εἴτε] οἵ τε bis Q. [o] ἐκεῖ] δὲ ἐκεῖ K.Q. Sav. cet. [p] τε om. R. Veron. [q] συνῆσαν A. Veron. [r] ποιεῖ om. K.Q. invitis Cat. Mut. [s] ὅπερ...τοῦτο] Sic N.O.R. Cat. ὥσπερ...οὕτω Edd. [t] ὥσπερ] Sic N.O.R. Cat. ὡς Edd. Statim γὰρ om. A.K.Q. Veron. [v] κἀνταῦθα Q. Statim ὅλον τὸν οὐρ. hoc ord. K.Q. [w] ἀνθέστησε (sic) K. [x] καὶ οὐ τ.] οὐ τ. A. οὐ τ. δὲ K.Q. Sav. cet. τοῦτο pro τούτῳ A.R. Veron. Mut. Mox τὸ om. K.Q. [y] τῷ] τὸ A.O.R. Veron. [z] ἐποιήσαμεν A. [a] δὴ θαυμάζεις] δεῖ θαυμάζειν, ut videtur, olim O. δὴ om. K.Q. [b] οὐδὲ K.N. [c] ἑαυτὸν] + φησὶν K.Q. Sav. cet. Post ἀρχιερεὺς add. εἰσέρχεται εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ iidem. [d] φ. ὁ Χριστὸς om. K.Q. [e] κατεσκεύαστο N.R. Sav. cet. [f] ἐὰν] ἂν N.O.R. Cat. [g] ταῦτα π.] τὰ π. K.Q. π. ταῦτα N.R. Statim καὶ ἐμφ. N. Sav. cet. [h] ἀνῆλθε, φ.] φ. ἀνῆλθε N.O. φησὶ post δυναμένης transp. R.

Digitized by Google

τέρα. [i]Τί γὰρ, εἰπέ μοι; αὐτὸς ἦν ἐχθρός; [k]Οἱ ἄγγελοι
C ἐχθροὶ ἦσαν, αὐτὸς οὐκ ἦν ἐχθρός. Ὅτι γὰρ οἱ ἄγγελοι ἐχθροὶ
ἦσαν, ἄκουσον τί φησιν· [4]"[l]Εἰρηνοποίησε τὰ ἐπὶ τῆς γῆς, καὶ
τὰ ἐν τοῖς οὐρανοῖς." [m]Ὥστε καὶ αὐτὸς "Εἰσῆλθεν εἰς τὸν
οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ [n]ὑπὲρ ἡμῶν."
Νῦν ἐμφανίζεται, ἀλλ' ὑπὲρ ἡμῶν. "[o]Οὐδ' ἵνα πολλάκις προσ-
φέρῃ ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ [p]ἅγια κατ'
ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ." [q]Ὁρᾷς πόσαι αἱ διαφοραί;
[r]τὸ πολλάκις τοῦ ἅπαξ, [s]τὸ ἐν αἵματι ἀλλοτρίῳ [t]τοῦ ἐν ἰδίῳ.
Πολὺ τὸ μέσον. Αὐτὸς οὖν καὶ ἱερεῖον καὶ ἱερεὺς [v]καὶ θυσία.
Εἰ γὰρ μὴ τοῦτο ἦν, [w]καὶ πολλὰς ἔδει θυσίας προσενεγκεῖν,
πολλάκις ἔδει σταυρωθῆναι· "Ἐπεὶ ἔδει αὐτὸν, [x]φησὶ, πολλά-
κις παθεῖν ἀπὸ καταβολῆς κόσμου." Ἐνταῦθά τι [y]καὶ παρε-
D κάλυψε. "Νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων." Διὰ τί,
"ἐπὶ συντελείᾳ τῶν αἰώνων;" [z]Μετὰ τὰ πολλὰ ἁμαρτήματα.
Εἰ μὲν οὖν παρὰ τὴν ἀρχὴν [a]ἐγένετο, εἶτα οὐδεὶς ἐπίστευσεν,
[b]οὐκ ἔδει δὲ δεύτερον ἀποθανεῖν, ἀνόνητα ἦν ἅπαντα· ἐπειδὴ δὲ
[c]ὕστερον πολλὰ ἦν τὰ ἁμαρτήματα, εἰκότως τότε ἐφάνη. Ὃ
καὶ ἀλλαχοῦ λέγει· [5]"Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, [d]ὑπερε-
περίσσευσεν ἡ χάρις." "Νῦν [e]δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν
166 αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς [f]θυσίας αὐτοῦ πεφανέρω-
ται."

[6]"Καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθα-
νεῖν, μετὰ δὲ τοῦτο κρίσις." [g]Εἶτα λέγει καὶ διὰ τί ἅπαξ

[4] Col. i. 20. [5] Rom. v. 20. [6] v. 27.

[i] τί γὰρ—αὐτὸς] διὰ τί, εἰπέ μοι; μὴ γὰρ αὐτὸς K.Q. Sav. cet. Statim ἦν ὁ ἐχθ. N.R. Sav. cet. [k] οἱ] εἰ O.R. οἱ ἄγγελοι—οὐρανοῖς] αὐτός. τί λέγω, αὐτός; καὶ οἱ ἄγγελοι. ὅτι γὰρ καὶ οἱ ἀγγ. ἐχθροὶ ἦσαν, ἄκουσον τί φ. καὶ εἰρηνοποίησε τὰ ἐπὶ γῆς καὶ τὰ ἐν οὐρανοῖς K.Q. [l] εἰρηνοποιήσας N.R. Cat. et ex corr. O. [m] ὥστε] + καλῶς εἶπεν ὅτι K.Q. Sav. cet. Proximum καὶ om. K.Q. [n] ὑπὲρ] περὶ A. Mox νῦν—ἡμῶν om. A. et in text. O. [o] οὐδὲ N. [p] ἅγια τῶν ἁγ. Edd. τῶν ἁγ. om. N.R. Mut. [q] ὅρα O. Cat. ὁρᾷς—ἀλλοτρίῳ om. A.K.Q. [r] τὸ π. τοῦ] Sic N.O. Cat. τοῦ π. τὸ Edd. [s] τὸ] Sic N.O.R. Cat. τοῦ Edd. [t] τοῦ] Sic A.K.N.O.Q. Cat. τὸ Edd. [v] Haec καὶ θυσία. εἰ γὰρ—σταυρωθῆναι desunt in K.Q. Sav. Mor. Vid. Annot. καὶ θυσία. εἰ γὰρ—θυσίας] καὶ θυσίαν A. [w] καὶ om. Cat. Mut. [x] φησὶ om. K.Q. Cat. Veron. [y] καὶ παρεκάλυψε (παρέβλαψε A.)] δόγμα ἀνακαλύπτει, καί φησιν, ὅτι εἰ θυσίας προσενεγκεῖν ἔδει πολλάκις, ἔδει πολλάκις καὶ σταυρωθῆναι K.Q. Sav. cet. [z] μετὰ τὰ πολλὰ ἁμ.] ὅτι πολλὰ, φησὶ, τὰ ἁμ. K.Q. Mox γὰρ pro οὖν iidem. [a] ἐγένετο] Sic A.K.N.O.Q. Cat. Mut. ἐγένοντο Edd. [b] οὐκ ἔδει δὲ (δὲ om. Cat.)—ἅπαντα (τὰ πάντα O.R.)] ἔμενε (ἦν ἂν pro ἔμενε Sav. cet.) τὸ τῆς οἰκονομίας ἀνόνητον· οὐκ ἔδει γὰρ δεύτ. ἀποθ. τὸν Χριστὸν, ὥστε καὶ οὕτω κατορθωθῆναι τὸ σπουδαζόμενον K.Q. Sav. cet. [c] ὕστερον π.] π. ὕστερον K.Q. Mox τὰ om. A. [d] ὑπερπεριέσσευσεν A. [e] δὲ] + φησὶν K.Q. Sav. cet. [f] Haec καὶ καθόσον—κρίσις non hic, sed post ἀντίλυτρον ἐγένετο leguntur in N.R. invitis Cat. Mut. [g] εἶτα λέγει] δείξας ὅτι οὐκ ἔδει πολλάκις ἀποθανεῖν, νῦν δείκνυσι K.Q. Sav. cet.

Digitized by Google

ἀπέθανεν· ὅτι ἑνὸς [h]θανάτου ἀντίλυτρον ἐγένετο· "Ἀπέκειτο,
[i]φησὶ, τοῖς ἀνθρώποις [k]ἅπαξ ἀποθανεῖν." Τοῦτο οὖν [l]τὸ, ἅπαξ
ἀπέθανεν, ὑπὲρ [m]ἁπάντων. Τί οὖν; οὐκέτι ἀποθνήσκομεν τὸν
θάνατον ἐκεῖνον; Ἀποθνήσκομεν [n]μὲν, ἀλλ' οὐ μένομεν ἐν αὐτῷ· B
ὅπερ οὐδὲ ἀποθανεῖν ἐστι. Θανάτου γὰρ τυραννὶς καὶ θάνατος
[o]ὄντως ἐκεῖνός ἐστιν, ὅταν μηκέτι συγχωρηθῇ ὁ ἀποθανὼν εἰς
ζωὴν ἐπανελθεῖν· ὅταν δὲ μετὰ τὸ ἀποθανεῖν [p]ζῆσαι ᾖ, καὶ
ζωὴν βελτίονα, οὐ [q]θάνατος τοῦτό ἐστιν, ἀλλὰ κοίμησις. Ἐπεὶ
οὖν ἔμελλε πάντας κατέχειν ὁ θάνατος, διὰ τοῦτο ἀπέθανεν,
ἵνα ἡμᾶς ἀπαλλάξῃ. [7]"Οὕτω καὶ ὁ Χριστὸς ἅπαξ προσε-
(522) νεχθείς." Ὑπὸ τίνος [r]προσενεχθείς; Ὑφ' ἑαυτοῦ δηλονότι.
Ἐνταῦθα οὐδὲ ἱερέα [s]αὐτόν φησι μόνον, ἀλλὰ καὶ θῦμα καὶ
ἱερεῖον· [t]διὰ τοῦτο, "προσενεχθείς." "Ἅπαξ, φησὶ, προσε-
νεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν [v]ἁμαρτίας." Διὰ τί [w]πολ- C
λῶν, καὶ μὴ πάντων; Ἐπειδὴ μὴ πάντες ἐπίστευσαν. Ὑπὲρ
ἁπάντων μὲν [x]ἀπέθανε, τουτέστι, τὸ αὐτοῦ μέρος· ἀντίρροπος
ἦν ὁ θάνατος ἐκεῖνος τῆς πάντων ἀπωλείας· οὐ πάντων δὲ τὰς
ἁμαρτίας ἀνήνεγκε, διὰ τὸ μὴ θελῆσαι αὐτούς. Τί [y]δέ ἐστιν,
[z]ἀνήνεγκεν ἁμαρτίας; Ὥσπερ ἐπὶ τῆς προσφορᾶς [a]ἀναφέρο-
μεν τὰ ἁμαρτήματα, καὶ λέγομεν· εἴτε ἑκόντες εἴτε ἄκοντες
ἡμάρτομεν, συγχώρησον· [b]τουτέστι, μεμνήμεθα αὐτῶν πρῶτον,
καὶ τότε [c]τὴν συγχώρησιν αἰτοῦμεν· οὕτω δὴ καὶ ἐνταῦθα γέ-
γονε. [d]Ποῦ τοῦτο πεποίηκεν ὁ Χριστός; Ἄκουσον αὐτοῦ D
λέγοντος· [8]"Καὶ ὑπὲρ αὐτῶν [e]ἐγὼ [f]ἁγιάζω ἐμαυτόν." Ἰδοὺ
ἀνήνεγκε τὰ ἁμαρτήματα· [g]ἦρεν αὐτὰ ἀπὸ τῶν ἀνθρώπων, καὶ
ἀνήνεγκε τῷ πατρὶ, οὐχ ἵνα τι ὁρίσῃ κατ' αὐτῶν, ἀλλ' ἵνα

[7] v. 28. [8] Joan. xvii. 19.

[h] θανάτου] + φησὶν K.Q. [i] φησὶ] γὰρ K.Q. [k] ἅπαξ om. A.O.R. Cat. Veron. invito Mut. [l] τὸ om. A. [m] ἁπάντων] Sic K.N.O.Q. Cat. Mut. ἀνθρώπων ἁπάντων A.R. ἀνθρώπων πάντων Edd. [n] μὲν om. R. [o] ὄντως ἐστὶν ἐκεῖνος N. ἐκεῖνος ὄντως ἐστὶν K. ἐστιν ἐκεῖνος ὄντως R. [p] ζῆσαι ᾖ] Sic N.O.R. Cat. ζῆσαι A. ζῇ K.Q. ζήσῃ Edd. *vivendum erit* Mut. [q] θάνατος] + οὐ Q. [r] προσενεχθεὶς] + ὑπὸ τοῦ πατρός; in marg. a 2da m. O. Statim ἀφ' ἑαυτοῦ K. [s] αὐτόν φ.] δείκνυσιν αὐτὸν K.Q. Sav. cet. [t] διὰ τοῦτο, πρ.] εἶτα προστίθησι (+ καὶ Q.) τὴν αἰτίαν τοῦ, πρ. Statim ἅπαξ, φ. πρ. om. A.K.Q. Cat. Veron. invito Mut. [v] ἁμαρτίας] + ἐπαγαγὼν K.Q. [w] πολλῶν] δὲ πολλῶν εἶπε K.Q. Sav. cet. [x] ἀπέθανε, τουτέστι] γὰρ ἀπέθανεν, εἰς τὸ σῶσαι πάντας iidem. Mox ἀντιρ. γὰρ ἦν iidem. [y] δὲ om. K.Q. [z] ἀνήνεγκεν] Sic R. Cat. Mut. ἀνενεγκεῖν Edd. εἰς τὸ πολλῶν ἀνενεγκεῖν K.Q. [a] ἀναφέρομεν (+ προφέρομεν καὶ O.)—λέγομεν] ἧς ἀναφέρομεν, προφέρομεν (προφέροντες Q.) τὰ ἁμ. λέγοντες (λέγομεν Q.) K.Q. Sav. cet. [b] τουτέστι] καὶ K.Q. [c] τὴν om. A. Mox αὐτὸ pro οὕτω A. Veron. [d] ποῦ] καὶ ποῦ K.Q. Mut. Mox ἐποίησεν N.R. [e] ἐγὼ assumtum ex R. Cat. Mut. [f] ἁγιάζω] + φησὶν Q. Statim ἑαυτὸν Veron. et ex corr. A. [g] ἦρεν] καὶ ἦρεν Q.

Digitized by Google

[h]αὐτὰ ἀφῇ. "'Ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται, φησὶ, τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν." Τί ἐστι, "χωρὶς ἁμαρτίας;" [i]Οἷον, οὐχ ἁμαρτάνει· οὐδὲ γὰρ ὀφείλων ἀποθανεῖν ἀπέθανεν, οὐδὲ δι' ἁμαρτίας· ἀλλὰ πῶς ὀφθήσεται; Κολά-
167 ζων, φησίν. 'Αλλ' οὐκ εἶπε τοῦτο, ἀλλὰ τὸ φαιδρὸν, "Χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν" [k]ὡς μηκέτι λοιπὸν θυσίας δεηθῆναι, [l]ὥστε σῶσαι αὐτοὺς, ἀλλ' ἀπὸ ἔργων τοῦτο ποιεῖν.

[9] "Σκιὰν γὰρ ἔχων, [m]φησὶν, ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων" [n]τουτέστιν, οὐκ αὐτὴν τὴν ἀλήθειαν. Ἕως μὲν γὰρ ἂν ὡς ἐν γραφῇ περιάγῃ τις τὰ [o]χαράγματα, σκιά τις ἐστίν· ὅταν δὲ τὸ ἄνθος ἐπαλείψῃ τις, καὶ ἐπιχρίσῃ τὰ χρώματα, τότε εἰκὼν γίνεται. Τοιοῦτόν τι καὶ ὁ νόμος ἦν· "[p]Σκιὰν γὰρ, φησὶν, ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμά-
B των" τουτέστι, [q]τῆς θυσίας, τῆς ἀφέσεως· "[r]Ταῖς αὐταῖς θυσίαις [s]αἷς προσφέρουσιν εἰς τὸ διηνεκὲς, οὐδέποτε [t]δύναται τοὺς προσερχομένους τελειῶσαι· [10] ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ [v]μηδεμίαν συνείδησιν ἔχειν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ [w]κεκαθαρμένους; ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ' ἐνιαυτόν. 'Αδύνατον γὰρ αἷμα [x]ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας. [y]Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον, λέγει· Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας.

9 Cap. X. v. 1. 10 v. 2—9.

[h] αὐτὰ ἀφῇ] ὀφθῇ μετὰ ταῦτα τοῖς αὐτὸν ἀπεκδεχομένοις. διὸ καὶ ἐπήγαγεν K.Q. Mox φησὶ om. iidem. [i] οἷον (οἷον om. N.) οὐχ ἁμαρτάνει· οὐδὲ (οὐ a pr. m. O.)—ἀλλὰ πῶς] οἷον (οἷον om. Sav. Mor.) οὐχ ἁμαρτίας αἴρων, οὐδὲ δι' ἁμαρτίας ἐκ δευτέρου ἥξει, ἵνα πάλιν ἀποθάνῃ· οὐδὲ γὰρ ὁ ἅπαξ ἀπέθανεν, ὀφείλων ἀποθανεῖν ἀπέθανεν. πῶς K.Q. Sav. Mor. [k] ὡς] τί δήποτε, ὡς K.Q. Mox θυσίας δεηθ. pro δεηθ. θυσίας omnes. [l] ὥστε] εἰς τὸ K.Q. [m] φ. ὁ νόμος] ὁ νόμος, φ. N.R. φησὶν om. K.Q. [n] τουτέστιν—ἐπιχρίσῃ] τί ἐστιν ὃ λέγει; τὴν τοῦ νόμου ἀσθένειαν διὰ τῆς σκιᾶς καὶ τῆς εἰκόνος ἐνταῦθα παρίστησιν. ὥσπερ γὰρ ἐπὶ τῆς εἰκόνος ἕως μὲν ἂν τῇ γραφῇ οὐ περιτεθῇ τὰ χρώματα, σκιὰ μόνον ἐστίν· ὅταν δὲ τὸ ἄνθος ἀπολάβῃ, καὶ ἐπιτεθῇ K.Q. [o] χαράγματα] Sic N.R. χρώματα Cat. Mut. Edd. [p] σκιὰν—νόμος] διὸ καὶ οὕτως εἶπεν· σκιὰν K.Q. [q] τῆς θ. τῆς ἀφέσεως] οὐκ αὐτὴν τὴν ἀλήθειαν· πῶς γάρ; μὴ τελειοῦν δυνάμενος, μηδὲ διηνεκῆ διὰ τῆς θυσίας τὴν ἄφεσιν δωρούμενος. διὸ τοῦτο αὐτὸ δηλῶν καὶ ἐπήγαγε K.Q. [r] ταῖς] κατ' ἐνιαυτὸν ταῖς K.Q. Mut. Sav. cet. [s] αἷς] Sic N.R. ἃς K.Q. Cat. Sav. cet. αἷς om. A. Veron. et in text. O. κατ' ἐνιαυτὸν αἷς in marg. a 2da m. O. [t] δύναται τοὺς πρ.] δύνανται τοὺς πρ. A.K.O.Q. Cat. Veron. invito Mut. τοὺς πρ. δύνανται N. τοὺς πρ. δύναται R. [v] μηδεμίαν] + ἔτι K.Q. ἔτι post ἔχειν in marg. habet O. [w] κεκαθαρισμένους R. κεκαθ. ἀλλ' ἐν αὐταῖς om. A. Mox ἀνάμνησιν Q. [x] τράγων καὶ ταύρων A.K.Q. Statim ἀφελεῖν N.R. et ex corr. O. [y] διὸ] + καὶ (erasum) O.

Digitized by Google

Τότε εἶπον· ἰδοὺ ἥκω· [z]ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ
ἐμοῦ· τοῦ ποιῆσαι, ὁ [a]θεὸς, τὸ θέλημά σου. [b]Ἀνωτέρω λέ- C
γων, ὅτι θυσίαν καὶ προσφορὰν [c]καὶ ὁλοκαυτώματα καὶ περὶ
ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας, αἵτινες κατὰ νόμον
προσφέρονται· τότε [d]εἶπεν, ἰδοὺ ἥκω τοῦ ποιῆσαι, [e]ὁ θεὸς, τὸ
θέλημά σου. Ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ."
[f]Ὁρᾷς πάλιν τὴν περιουσίαν; Μία, φησὶν, αὕτη ἡ θυσία,
ἐκεῖναι δὲ πολλαί· διὰ [g]γὰρ τοῦτο οὐκ ἰσχυραὶ, ἐπειδὴ πολλαί.
Τί γὰρ ἔδει πολλῶν, εἰπέ μοι, τῆς μιᾶς ἀρκούσης; Ὥστε αἱ
πολλαὶ, καὶ τὸ ἀεὶ προσφέρεσθαι, τὸ μηδέποτε αὐτοὺς καθαί-
ρεσθαι [h]δεικνύουσιν. Ὥσπερ γὰρ φάρμακον, ὅταν ᾖ [i]ἰσχυρὸν,
καὶ ὑγείας ποιητικὸν, καὶ δυνατὸν πᾶσαν ἀπαλλάξαι τὴν νόσον, D
ἅπαξ ἐπιτεθὲν τὸ πᾶν ποιεῖ· [k]ὥσπερ οὖν ἐὰν ἅπαξ ἐπιτεθὲν τὸ
πᾶν ἐργάσηται, δείκνυσιν [l]αὐτοῦ τὴν ἰσχὺν τῷ μηκέτι ἐπιτί-
θεσθαι, καὶ τοῦτο αὐτοῦ [m]ἐστιν ἔργον τὸ μηκέτι ἐπιτίθεσθαι·
[n]ἐὰν δὲ ἀεὶ ἐπιτιθῆται, δῆλον ὅτι [o]τοῦ μηδὲν ἰσχυκέναι ἐστὶ
σημεῖον· φαρμάκου [p]γὰρ ἀρετὴ τὸ ἅπαξ ἐπιτεθῆναι, καὶ μὴ
(523) πολλάκις· οὕτω δὴ καὶ ἐνταῦθα· τί [q]δήποτε ταῖς αὐταῖς θυσίαις
ἀεὶ θεραπεύονται; Εἰ γὰρ πάντων ἦσαν ἀπηλλαγμένοι τῶν 168
[r]ἁμαρτημάτων, οὐκ ἂν καθ' ἑκάστην ἡμέραν προσεφέροντο αἱ
θυσίαι· καὶ γὰρ [s]ἦσαν ὡρισμέναι, ὥστε ἀεὶ προσφέρεσθαι ὑπὲρ
τοῦ λαοῦ παντὸς, καὶ ἐν ἑσπέρᾳ καὶ ἐν ἡμέρᾳ. Ὥστε κατη-
γορία [t]ἁμαρτημάτων, οὐ λύσις ἁμαρτημάτων ἦν τὸ γινόμε-
νον· κατηγορία ἀσθενείας, οὐκ ἰσχύος ἐπίδειξις. Ἐπειδὴ γὰρ ἡ
πρώτη οὐδὲν [v]ἴσχυε, καὶ ἑτέρα προσεφέρετο· καὶ ἐπειδὴ [w]οὐδὲν
αὕτη ἤνυεν, ἑτέρα πάλιν· ὥστε ἔλεγχος ἁμαρτημάτων [x]ἐστί.
Τὸ μὲν οὖν προσφέρεσθαι ἔλεγχος ἁμαρτημάτων· [y]τὸ δὲ ἀεὶ, B
ἔλεγχος ἀσθενείας. Ἐπὶ δὲ τοῦ Χριστοῦ τοὐναντίον· ἅπαξ

[z] ἐν κεφ.—ἐμοῦ in marg. O. [a] θεὸς] + μου Q. [b] ἀνώτερον N.R. et marg. O. ἀνωτέρω—θελημά σου in text. om. O. [c] καὶ ὁλοκ. om. N.R. [d] εἶπον K.N.Q. Mut. Sav. cet. εἴρηκεν marg. O. [e] ὁ θεὸς, τὸ θ. σου] τὸ θ. σου, ὁ θεός μου K.Q. [f] ὅρα N. [g] [γὰρ] Sav. γὰρ om. K.Q. [h] δείκνυσιν K.O.Q.R. Cat. [i] ἰσχυρὸν καὶ om. K.Q. Statim ὑγιείας K. Cat. [k] ὥσπερ οὖν] ὅπερ K.Q. Sav. cet. [l] αὐτοῦ τὴν ἰ.] τὴν ἑαυτοῦ ἰ. K.Q. Statim τῷ (τὸ A. Veron.) μ. ἐπιτίθεσθαι om. Q. [m] ἐστιν ἔργον] σημεῖον K.Q. [n] ἂν A.K.Q. Cat. Mox ἐπιτεθῇ K.Q. [o] τοῦ—σημεῖον] τῷ μηδὲν ἰσχ. ἐπιτίθεται K.Q. [p] γὰρ] δὲ K.Q. Mox τὸ ἅπαξ ἐπιτιθέναι Veron. τὸ αὐτὸ ἅπαξ ἐπιτιθέναι A. [q] δήποτε] γὰρ δ. Cat. δ. γὰρ K.Q. Sav. cet. Mox αὐταῖς om. K. [r] ἁμαρτιῶν O. τραυμάτων Q. [s] ἦσαν ὡρ.] ὡρ. ἦσαν K.Q. Mox ἀεὶ om. iidem. [t] ἁμαρτημάτων om. R. Statim καὶ οὐ λ. A.N.O.R. Sav. cet. invitis Cat. Mut. [v] ἴσχυσε R. Veron. et a pr. m. O. Statim ἡ δευτέρα pro καὶ ἑτέρα K.Q. Sav. cet. [w] οὐδὲν αὕτη] αὕτη οὐδὲν N.R. οὐδὲ αὕτη K.Q. Statim ἤνυσεν R. et olim O. Mox ἡ ἑτέρα Q. [x] ἐστὶ] ἦν N.O. Sav. cet. [y] τὸ] τοῦτο A.

Digitized by Google

προσηνέχθη. [z]Τὰ ἀντίτυπα ἄρα τύπον ἔχει μόνον, οὐχὶ [a]τὴν
ἰσχύν· ὥσπερ ἐπὶ τῶν εἰκόνων τύπον ἔχει τοῦ ἀνθρώπου ἡ εἰ-
κὼν, οὐχὶ τὴν ἰσχύν. Ὥστε τὸ ἀληθὲς καὶ ὁ τύπος κοινωνοῦσιν
ἀλλήλοις· ὁ [b]γὰρ τύπος ἴσος, ἡ δὲ ἰσχὺς οὐκέτι. Οὕτω δὴ καὶ
ἐπὶ [c]τοῦ οὐρανοῦ, καὶ ἐπὶ τῆς σκηνῆς· ὁ μὲν [d]γὰρ τύπος ἴσος
[e]ἦν, ἅγια γὰρ ἦν· ἡ δὲ δύναμις καὶ τὰ ἄλλα, οὐ [f]τὰ αὐτά. Τί
ἐστιν, "Εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέ-
C ρωται;" τί ἐστιν ἀθέτησις; [g]Τουτέστι, καταφρόνησις. Οὐκέτι
παρρησίαν ἔχει· [h]ἠθέτηται γὰρ ἡ ἁμαρτία, ὀφείλουσα μὲν ἀπο-
λαβεῖν κόλασιν, οὐκ ἀπολαβοῦσα δέ· τουτέστι, βίαν ἔπαθεν·
ὅτε προσεδόκησε πάντας [i]ἀνελεῖν, τότε ἀνῃρέθη. "Διὰ τῆς
θυσίας [k]αὐτοῦ πεφανέρωται·" τουτέστιν, ἐφανερώθη τῷ θεῷ
καὶ προσῆλθε. Μὴ [l]γὰρ, ἐπειδὴ ὁ ἱερεὺς πολλάκις τοῦτο ἐποίει
τοῦ ἐνιαυτοῦ, * * * [m]Ὥστε [n]εἰκῇ λοιπὸν γίνεται τοῦτο, εἰ καὶ
γίνεται· τί γὰρ ἔδει φαρμάκων, οὐκ ὄντων τραυμάτων; Διὰ τοῦτο
[o]προσέταξεν ἀεὶ προσφέρεσθαι, διὰ τὸ ἀσθενὲς, καὶ ὥστε ἀνά-
D μνησιν ἁμαρτιῶν γίνεσθαι. Τί οὖν; ἡμεῖς καθ' ἑκάστην [p]ἡμέραν
οὐ προσφέρομεν; Προσφέρομεν [q]μὲν, ἀλλ' ἀνάμνησιν ποιού-
μενοι τοῦ θανάτου αὐτοῦ· καὶ μία ἐστὶν αὕτη, [q]οὐ πολλαί.
Πῶς [r]μία ἐστὶν, οὐ πολλαί; Ἐπειδὴ ἅπαξ προσηνέχθη [s]ἐκεί-
νη, εἰσηνέχθη εἰς τὰ ἅγια τῶν ἁγίων. Τοῦτο ἐκείνης τύπος
ἐστὶ, καὶ αὕτη ἐκείνης· τὸν γὰρ αὐτὸν ἀεὶ προσφέρομεν, οὐ νῦν
μὲν ἕτερον [t]πρόβατον, αὔριον δὲ ἕτερον, ἀλλ' ἀεὶ [v]τὸ αὐτό·
ὥστε μία ἐστὶν ἡ θυσία. [w]Ἐπεὶ τῷ λόγῳ τούτῳ, ἐπειδὴ πολ-
169 λαχοῦ προσφέρεται, [x]πολλοὶ Χριστοί; [y]μηδαμῶς, ἀλλ' εἷς

[z] τὰ ἀντίτυπα ἄρα] καὶ εἰς τὸ ἀεὶ ἤρκεσε. καὶ καλῶς εἶπεν ἐκεῖνα ἀντίτυπα· (+ εἰ γὰρ ἀντίτυπα K.Q.) ἄρα K.Q. Sav. cet. [a] τὴν] δὲ καὶ K.Q. δὲ καὶ τὴν Sav. cet. Mox ὥσπερ—τὴν ἰσχὺν om. K.Q. [b] γὰρ] μὲν οὖν K.Q. [c] τοῦ] τῇ τοῦ R. Mox γῆς pro σκηνῆς K.Q. [d] γὰρ om. K.Q. [e] ἦν om. K.O.Q.R. invita Cat. [f] τὰ αὐτὰ] ταυτὰ N. τοιαῦτα K. [g] τουτέστι om. K.Q. Mox οὐκέτι γὰρ π. K.Q. Sav. cet. [h] ἠθέτηται (ἠθετήθη A. Cat. Veron.) γὰρ ἡ ἁμ.] ἡ ἁμ. ἠθέτηται γάρ. πῶς; iidem. [i] ἑλεῖν A.O. [k] αὐτοῦ] + φησὶ K.Q. Sav. cet. Mox προσῆλθε τῷ θ. καὶ ἐφανερώθη hoc ord. K.Q. [l] γὰρ] οὖν K.Q. Sav. cet. Mox ποιεῖ A. Veron. [m] ὥστε—τραυμάτων] νομίσῃς ὅτι ἁπλῶς, καὶ οὐχὶ δι' ἀσθένειαν, τοῦτο ἐγίνετο· εἰ γὰρ μὴ δι' ἀσθένειαν, τί καὶ ἐγίνετο; μὴ ὄντων γὰρ τραυμάτων, οὐδὲ φαρμάκων λοιπὸν δεῖ τῷ ἐπιμελουμένῳ K.Q. Sav. cet. [n] εἰκῇ] ἐκεῖ R. εἰκῇ—τοῦτο om. A. [o] προσέταξε] + φησὶν K.Q. Sav. cet. [p] ἡμέραν om. A. Veron. [q] μὲν om. A. K.Q. πρ. μὲν in marg. habet O. Mox ποιούμεθα A.O.R. Cat. Veron. non Mut. [q] οὐ] καὶ οὐ N. Sav. cet. [r] μ. ἐστὶν, οὐ] Sic Veron. et marg. O. μ. ἐστὶν αὕτη, οὐ R. μ. ἐστὶ, καὶ οὐ N. μ. καὶ οὐ A.K.Q. Sav. cet. πῶς—πολλαὶ om. Cat. et in text. O. [s] ἐκείνη, εἰσηνέχθη] ὥσπερ ἐκείνη ἡ K.Q. Sav. cet. ἐκείνη, εἰσηνέχθη om. N. eras. in O. [t] πρόβατον om. K.Q. inclusum a Sav. πρόβατον—ἕτερον om. A. Veron. [v] τὸν αὐτὸν A. Veron. [w] ἐπεὶ] ἐπὶ A.R. Cat. Veron. *alioquin* Mut. [x] πολλοὶ] καὶ πολλοὶ K.Q. Sav. cet. [y] μηδαμῶς] ἀλλ' οὐδαμῶς iidem. μηδαμῶς ex corr. A.

Digitized by Google

[z]πανταχοῦ ὁ Χριστὸς, καὶ ἐνταῦθα πλήρης [a]ὢν, καὶ ἐκεῖ πλήρης, ἓν σῶμα. Ὥσπερ οὖν πολλαχοῦ προσφερόμενος ἓν σῶμά ἐστι, καὶ οὐ πολλὰ σώματα, οὕτω [b]καὶ μία θυσία. Ὁ ἀρχιερεὺς ἡμῶν ἐκεῖνός ἐστιν ὁ τὴν θυσίαν τὴν καθαίρουσαν ἡμᾶς προσενεγκών. Ἐκείνην προσφέρομεν καὶ νῦν, τὴν τότε προσενεχθεῖσαν, τὴν ἀνάλωτον. Τοῦτο εἰς ἀνάμνησιν γίνεται τοῦ τότε γενομένου· [11] "Τοῦτο γὰρ ποιεῖτε, φησὶν, εἰς [c]τὴν ἐμὴν ἀνάμνησιν." Οὐκ ἄλλην θυσίαν, καθάπερ ὁ ἀρχιερεὺς, ἀλλὰ τὴν αὐτὴν ἀεὶ ποιοῦμεν· μᾶλλον δὲ ἀνάμνησιν ἐργαζόμεθα θυσίας.

[d]Ἀλλ' ἐπειδὴ τῆς θυσίας ταύτης [e]ἐμνήσθην, βούλομαι μικρὰ B πρὸς ὑμᾶς εἰπεῖν τοὺς μεμυημένους, μικρὰ μὲν τῷ μέτρῳ, μεγάλην δὲ ἔχοντα τὴν ἰσχὺν καὶ τὴν ὠφέλειαν· οὐ γὰρ ἡμέτερά ἐστιν, ἀλλὰ τοῦ θείου πνεύματος [f]τὰ λεγόμενα. Τί οὖν [g]ἐστι; Πολλοὶ τῆς θυσίας ταύτης ἅπαξ μεταλαμβάνουσι τοῦ παντὸς ἐνιαυτοῦ, [h]ἕτεροι δὶς, [i]ἄλλοι πολλάκις. Πρὸς οὖν ἅπαντας ἡμῖν ὁ λόγος ἐστὶν, οὐ πρὸς τοὺς ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἐν τῇ ἐρήμῳ καθεζομένους· ἐκεῖνοι γὰρ ἅπαξ τοῦ ἐνιαυτοῦ μετέχουσι, πολλάκις δὲ καὶ διὰ δύο ἐτῶν. Τί οὖν; τίνας ἀποδεξόμεθα; τοὺς ἅπαξ; τοὺς πολλάκις; τοὺς ὀλιγάκις; [k]Οὔτε τοὺς ἅπαξ, οὔτε τοὺς πολλάκις, οὔτε τοὺς ὀλιγάκις, C ἀλλὰ τοὺς μετὰ καθαροῦ συνειδότος, τοὺς [l]ἀπὸ καθαρᾶς καρδίας, τοὺς μετὰ βίου ἀλήπτου. Οἱ τοιοῦτοι ἀεὶ προσίτωσαν· οἱ δὲ μὴ τοιοῦτοι, μηδὲ ἅπαξ. Τί δήποτε; Ὅτι κρίμα ἑαυτοῖς [m]λαμβάνουσι, καὶ κατάκριμα καὶ κόλασιν καὶ τιμωρίαν. Καὶ μὴ θαυμάσῃς· ὥσπερ γὰρ ἡ τροφὴ [n]φύσει οὖσα θρεπτικὴ, ἐὰν εἰς κακόσιτον ἐμπέσῃ, πάντα ἀπόλλυσι καὶ διαφθείρει, καὶ γίνεται νόσου ἀφορμή· οὕτω δὴ καὶ ταῦτα τὰ τῶν φρικτῶν (524) μυστηρίων. Τραπέζης ἀπολαύεις πνευματικῆς, τραπέζης βασιλικῆς, καὶ πάλιν φύρεις [o]βορβόρῳ τὸ στόμα; μύρῳ χρίεις, καὶ D πάλιν δυσωδίας πληροῖς; Εἰπέ μοι, παρακαλῶ, [p]μετ' ἐνιαυτὸν

[11] Luc. xx. 19.

[z] πανταχοῦ om. K.Q. inclusum a Sav. [a] ὢν] μένων K.Q. Mox post σῶμα add. ὢν iidem. [b] καὶ om. O. [c] τὴν om. A.R. Cat. Veron. Mox post ἀρχιερεὺς add. τότε K.Q. Sav. cet. [d] ΗΘΙΚΟΝ. Περὶ τῆς θείας μεταλήψεως, καὶ ὅτι ταύτης ἄξιοι οἱ κατὰ τὸν βίον ἄληπτοι· οἱ δὲ μὴ τοιοῦτοι, κἂν ἅπαξ, ἀλλ' εἰς κρίμα ἑαυτῶν προσέρχονται. Veron. [e] μνησθῆναι βούλομαι, μικρὰ πρὸς ὑ. εἴπω K.Q. [f] τὰ λεγόμενα ante ἀλλὰ τοῦ θ. πν. transp. K.Q. [g] ἐστι om. R. [h] ἕτεροι] Sic A. Veron. ἕτεροι δὲ N.R. ἄλλοι (superscripto δὲ) O. ἄλλοι δὲ K.Q. Sav. cet. [i] ἄλλοι] + δὲ K.N.Q.R. Sav. cet. δὲ superscript. in O. [k] οὔτε τοὺς ἅπαξ om. K.Q.R. [l] ἀπὸ] Sic K.N.Q.R. μετὰ Edd. Mox ἀλήπτου βίου inverso ord. K.Q.R. [m] λήψονται K.Q. καὶ κατάκριμα om. iidem. [n] φύσει om. K.Q. Mox πέσῃ a pr. m. O. [o] β. τὸ στόμα] τὸ σῶμα β. K.Q. [p] μετὰ ἐν. K.N.

Digitized by Google

τῆς μεταλήψεως μετέχων τὰς τεσσαράκοντα ἡμέρας οἴει ἀρκεῖν σοι πρὸς [q]καθαρισμὸν τῶν ἁμαρτημάτων παντὸς τοῦ χρόνου; καὶ πάλιν, ἑβδομάδος παρελθούσης, ἐκδίδως σαυτὸν [r]τοῖς προτέροις; Εἰπὲ δή μοι, ἐὰν ὑγιάνας τεσσαράκοντα ἡμέρας ἀπὸ νόσου μακρᾶς, πάλιν [s]σαυτὸν τοῖς σιτίοις [t]ἐκδῷς ἐκείνοις τοῖς νοσοποιοῖς, οὐχὶ [v]καὶ τὸν πρότερον κόπον [w]ἀπώλεσας; Εἰ γὰρ τὰ φυσικὰ μεθίσταται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως. Οἷόν τι λέγω· φύσει βλέπομεν, καὶ ὑγιεῖς [x]ἔχομεν ὀφθαλμοὺς κατὰ φύσιν· ἀλλὰ πολλάκις ἀπὸ καχεξίας βλάπτεται ἡμῶν τὸ [y]βλεπτικόν. [z]Εἰ τὰ φυσικὰ τοίνυν μεθίσταται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως. Τεσσαράκοντα ἡμέρας ἀπονέμεις [a]τῇ ὑγείᾳ τῆς ψυχῆς, τάχα δὲ οὐδὲ τεσσαράκοντα, καὶ προσδοκᾷς ἐξιλεώσασθαι [b]τὸν θεόν; Παίζεις, [c]εἰπέ μοι; Ταῦτα [d]λέγω, οὐχὶ τῆς μιᾶς καὶ ἐνιαυσιαίου προσόδου κωλύων ὑμᾶς, ἀλλὰ [e]βουλόμενος διαπαντὸς ὑμᾶς προσιέναι. Τοῖς ἁγίοις [f]ταῦτα
B δέδοται. [g]Τοῦτο καὶ ὁ διάκονος ἐπιφωνεῖ τότε τοὺς ἁγίους καλῶν, καὶ διὰ τῆς φωνῆς ταύτης [h]μωμοσκοπῶν ἅπαντας. Καθάπερ [i]γὰρ ἐπὶ ποίμνης, ἔνθα πολλὰ μὲν ὑγιαίνει πρόβατα, [k]πολλὰ δὲ ψώρας ἀναπέπλησται, [l]ἀνάγκη ταῦτα διείργεσθαι ἀπὸ τῶν ὑγιαινόντων· οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ, ἐπειδὴ τὰ μὲν ἔστιν ὑγιεινὰ πρόβατα, τὰ δὲ κεκακωμένα, διὰ τῆς φωνῆς ταύτης διείργει ταῦτα ἐκείνων, περιϊὼν πανταχοῦ διὰ τῆς [m]κραυγῆς ταύτης τῆς φρικωδεστάτης ὁ ἱερεύς, [n]καὶ τοὺς ἁγίους καλῶν
C καὶ ἕλκων. Ἐπειδὴ γὰρ οὐκ ἔνι ἄνθρωπον ὄντα εἰδέναι τὰ τοῦ πλησίον· [12]"Τίς γὰρ οἶδε, [o]φησὶν, ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ;" ταύτην ἀφίησι τὴν φωνὴν μετὰ [p]τὸ τὴν θυσίαν ἀπαρτισθῆναι πᾶσαν, ὥστε μηδένα ἁπλῶς καὶ ὡς ἔτυχεν ἐπὶ τὴν πηγὴν ἐλθεῖν τὴν

12 1 Cor. ii. 11.

[q] καθαρισμὸν] Sic K.N.O.R. καθαρμὸν Edd. Mox τοῦ παντὸς pro παντὸς τοῦ K. [r] τοῖς] ἐν τοῖς A. Veron. τοῖς om. Q. [s] ἑαυτὸν A. Veron. [t] ἐκδιδῶς olim O. ἐκείνοις ἐκδῷς hoc ord. N.R. ἐκείνοις om. K.Q. [v] [καὶ] Sav. καὶ om. K.Q. [w] ἀπώλεσας] + εὔδηλον ὅτι K.Q. Sav. cet. [x] ἔχομεν ὀφθ.] ὀφθ. ἔχομεν K.Q.R. Statim κατὰ φύσιν om. A. Veron. invito Mut. [y] βλεπτικὸν] Sic omnes. ὀπτικὸν Edd. [z] εἰ—προαιρέσεως] εἰ τοίνυν τὰ ἐκ φύσεως μεθίσταται, (+πῶς K.Q.) οὐχὶ μάλιστα τὰ ἐκ πρ. K.Q. Sav. cet. [a] τὴν ὑγείαν τῇ ψυχῇ K.Q. [b] τὸν om. R. [c] εἰπέ μοι] ἄνθρωπε K.Q. Sav. cet. [d] λέγων A. Veron. Mox ἐνιαυσίου R. [e] βουλόμενος] + μᾶλλον K.Q. Sav. cet. [f] Haec ταῦτα δέδοται accesserunt ex R. Mut. Eadem olim expuncta in O. [g] τοῦτο] διὰ τοῦτο K.Q. Sav. cet. Sic ex corr. O. Mox ἱερεὺς pro διάκονος K.Q. Sav. cet. [h] μωμ. ἅπαντας] πάντας μωμ. A. Veron. ἅπαντας om. a pr. m. O. Post ἅπαντας add. ὥστε μὴ προσελθεῖν τινα ἀπαράσκευον K.Q. Sav. cet. [i] γὰρ om. R. [k] πολλὰ] ἄλλα A. Veron. [l] ἀνάγκη] + καὶ A. + δὲ καὶ Veron. [m] κραυγῆς] φωνῆς R. Statim ἐκείνης pro ταύτης K.Q.R. [n] καὶ om. A. Veron. [o] φ. ἀνθρώπων pro ἀνθρώπων φ. K.N.Q.R. [p] τὸ om. A.

Digitized by Google

πνευματικήν. Καὶ γὰρ ἐπὶ τῆς ποίμνης· οὐδὲν [q]γὰρ κωλύει τῷ
αὐτῷ πάλιν ὑποδείγματι χρήσασθαι· τὰ μὲν νοσερὰ ἔνδον ἀπο-
κλείομεν, καὶ ἐν σκότῳ κατέχομεν, καὶ ἑτέρας μεταδίδομεν τρο-
φῆς, οὔτε ἀέρος καθαροῦ, οὔτε πόας εἰλικρινοῦς, οὔτε πηγῆς τῆς
ἔξω συγχωροῦντες μεταλαβεῖν. Καὶ ἐνταῦθα τοίνυν αὕτη ἡ
φωνὴ ἀντὶ δεσμοῦ τινός ἐστιν. Οὐκ ἔχεις εἰπεῖν, οὐκ ᾔδειν, D
ἠγνόουν ὅτι κίνδυνος ἕπεται τῷ πράγματι. Μάλιστα μὲν οὖν
[r]καὶ ὁ Παῦλος τοῦτο διεμαρτύρατο. Ἀλλ' ἐρεῖς ὅτι οὐκ
[s]ἀνέγνων; Οὐκ ἔστι τοῦτο ἀπολογία, ἀλλὰ [t]καὶ ἔγκλημα.
[v]Καθ' ἑκάστην ἡμέραν εἰσέρχῃ εἰς [w]τὴν ἐκκλησίαν, καὶ ἔτι τοῦτο
ἀγνοεῖς; Πλὴν [x]ἀλλ' ἵνα μηδὲ τοῦτο ἔχῃς προφασίζεσθαι,
τούτου [y]χάριν μεγάλῃ τῇ φωνῇ, φρικτῇ τῇ βοῇ, καθάπερ τις
κήρυξ τὴν χεῖρα αἴρων [z]εἰς ὕψος, ὑψηλὸς ἑστὼς, πᾶσι κατά-
δηλος γεγονὼς, καὶ μέγα ἐπ' ἐκείνῃ τῇ φρικτῇ ἡσυχίᾳ [a]ἀνα- 171
κραυγάζων, τοὺς μὲν καλεῖ, τοὺς δὲ [b]ἀπείργει, οὐ τῇ χειρὶ
τοῦτο ποιῶν, ἀλλὰ τῇ γλώττῃ τῆς χειρὸς τρανότερον. Ἡ γὰρ
φωνὴ ἐκείνη εἰς τὴν ἀκοὴν ἐμπίπτουσα τὴν ἡμετέραν, καθάπερ
χεὶρ τοὺς μὲν ὠθεῖ καὶ ἐκβάλλει, τοὺς δὲ εἰσάγει καὶ παρίστη-
σιν. Εἰπὲ δή μοι, παρακαλῶ, ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσιν
[c]οὐχὶ ἕστηκεν ὁ κήρυξ βοῶν μέγα καὶ ὑψηλὸν, [d]εἴ τις τούτου
κατηγορεῖ, λέγων, μὴ δοῦλός ἐστι, μὴ κλέπτης, μὴ τρόπων
πονηρῶν; καίτοι τὰ ἀγωνίσματα ἐκεῖνα [e]οὐ ψυχῆς ἐστιν, [f]οὔτε
τρόπου, ἀλλὰ [g]ῥώμης καὶ σώματος. Εἰ τοίνυν ἔνθα σωμάτων B
ἐστὶν ἄσκησις, [h]πολλὴ προαιρέσεως ἐξέτασις γίνεται, [i]πόσῳ
μᾶλλον ἐνταῦθα, ἔνθα τὸ πᾶν ψυχὴ ἀθλεῖ. Ἕστηκε τοίνυν
[k]καὶ νῦν ὁ παρ' ἡμῖν κήρυξ, οὐ τῆς κεφαλῆς ἕκαστον κατέχων
καὶ παράγων, ἀλλὰ πάντας ὁμοῦ τῆς κεφαλῆς τῆς ἔνδον κατέ-
χων· οὐκ ἐφίστησιν ἄλλους αὐτοῖς κατηγόρους, ἀλλ' αὐτοὺς
ἑαυτοῖς· οὐ γὰρ λέγει, μή τις τούτου κατηγορεῖ; ἀλλὰ τί; εἴ
τις ἑαυτοῦ κατηγορεῖ. Ὅταν γὰρ εἴπῃ, τὰ ἅγια τοῖς ἁγίοις,
τοῦτο λέγει· εἴ τις οὐκ ἔστιν ἅγιος, μὴ προσίτω. Οὐχ ἁπλῶς
φησιν, ἁμαρτημάτων καθαρὸς, ἀλλ', ἅγιος· [l]τὸν γὰρ ἅγιον οὐχ

[q] γὰρ om. a pr. m. O. Mox πάλιν ὑποδ. χρ. A.R. Mut. πάλιν χρ. ὑποδ. K.Q. ὑποδ. πάλιν χρ. Edd. [r] καὶ om. K.Q. [s] ἔγνων K.N.Q.R. et ex corr. O. *legi* Mut. Statim ἀλλ' οὐκ ἔστι K.Q. [t] καὶ om. R. [v] καθ' ἑκάστην—ἐκκλησίαν, καὶ om. A. [w] τὴν om. O. Veron. [x] ἀλλ' om. K.N. Q.R. [y] χάριν] + ὑψηλὸς ἑστὼς A.N.O.R. Mut. Veron. [z] εἰς τὸ ὕψος Edd. τὸ om. K.N.O.Q.R. Statim ὑψηλῶς K.Q. ὑψηλὸς om. a pr. m. O. [a] ἀνακράζων A.O.Q.R. [b] ἀπείργει] + ὁ ἱερεὺς Edd. ὁ ἱερεὺς om. K.N.Q.R. Mut. [c] οὐχ K.N.Q. [d] εἰ] μὴ K.N.Q.R. ἢ A. εἰ in rasura O. *si* Mut. [e] οὐ] οὔτε K.Q. Sav. cet. [f] οὐδὲ A. Veron. Post τρόπου add. ἀγαθοῦ K.Q. Sav. cet. [g] γνώμης A. Veron. [h] πολλῆς K.Q. [i] πόσῳ] πολλῷ K. Q.R. Veron. Mox ἐνταῦθα om. K.N.Q.R. invito Mut. [k] καὶ νῦν om. R. [l] τὸν] τὸ R. τὸν γὰρ—μόνον] οὐ γὰρ ἡ τῶν ἁμ. ἀπ. ποιεῖ μόνον ἅγιον K.Q.

C ἡ τῶν ἁμαρτημάτων ἀπαλλαγὴ ποιεῖ μόνον, ἀλλὰ καὶ ἡ τοῦ
πνεύματος παρουσία, καὶ ὁ τῶν ἀγαθῶν ἔργων πλοῦτος. Οὐ
βούλομαι μόνον, φησὶ, βορβόρου ἀπηλλάχθαι ὑμᾶς, ἀλλὰ καὶ (525)
λευκοὺς εἶναι καὶ ὡραίους. Εἰ γὰρ ὁ Βαβυλώνιος βασιλεὺς, ἀπὸ
τῆς αἰχμαλωσίας ἐκλεγόμενος τοὺς νεανίσκους, [m]καλοὺς τῷ εἴδει
καὶ ὡραίους τῇ ὄψει ἐξελέξατο· πολλῷ μᾶλλον [n]καὶ ἡμᾶς
παρισταμένους τῇ τραπέζῃ τῇ βασιλικῇ, καλοὺς [o]τῷ εἴδει εἶναι
δεῖ τῷ τῆς ψυχῆς, τὸν κόσμον ἔχοντας χρυσοῦν, τὴν στολὴν
καθαρὰν, τὰ ὑποδήματα βασιλικὰ, τὸ πρόσωπον τῆς ψυχῆς
εὔμορφον, τὸν κόσμον αὐτῇ περικεῖσθαι τὸν χρυσοῦν, τὴν ζώ-
D νην τῆς ἀληθείας. Ὁ τοιοῦτος προσίτω, καὶ ποτηρίων ἀπτέσθω
βασιλικῶν. Εἰ δέ τις [p]ῥάκια ἠμφιεσμένος, ῥυπῶν, αὐχμῶν
ἐπεισιέναι τῇ βασιλικῇ βούλοιτο τραπέζῃ, [q]ὅρα ὅσα πείσεται,
οὐκ ἀρκουσῶν τῶν τεσσαράκοντα ἡμερῶν [r]τὰ ἐν παντὶ τῷ
χρόνῳ πεπλημμελημένα ἀπολούσασθαι. Εἰ γὰρ ἡ γέεννα οὐκ
ἀρκεῖ, καίτοιγε αἰώνιος οὖσα· [s]διὰ τοῦτο γὰρ καὶ αἰώνιός ἐστι·
πολλῷ μᾶλλον ὁ βραχὺς οὗτος χρόνος. [t]Οὐδὲ γὰρ μετάνοιαν
ἰσχυρὰν ἐπεδειξάμεθα, ἀλλ' ἀσθενῆ. Τοὺς εὐνούχους μάλιστα
δεῖ παρεστάναι τῷ βασιλεῖ· εὐνούχους λέγω [v]τοὺς τὴν διάνοιαν
λευκοὺς, μηδένα ἔχοντας [w]ῥύπον μηδὲ σπῖλον, ὑψηλοὺς τῇ δια-
172 νοίᾳ, τὸ ὄμμα [x]ἥμερον τῆς ψυχῆς ἔχοντας καὶ ὀξυδερκὲς, εὐ-
περίστροφον καὶ γοργὸν, ἀλλὰ μὴ ὑπνηλὸν [y]μηδὲ ὕπτιον, ἐλευ-
θερίας [z]γέμον πολλῆς, πόρρω ἀναισχυντίας [a]γε μὴν καὶ ἰτα-
μότητος, [b]ἐγρηγορὸς, ὑγιὲς, μήτε στυγνὸν σφόδρα καὶ κατη-
φὲς, μήτε διακεχυμένον καὶ ὑγρόν. Τοῦτον ἡμεῖς κύριοι δημι-
ουργῆσαι τὸν ὀφθαλμὸν, καὶ ὀξυδερκῆ ποιῆσαι καὶ καλόν. Ὅταν
γὰρ αὐτὸν μὴ [c]πρὸς τὸν καπνὸν ἄγωμεν, μηδὲ πρὸς τὴν κόνιν·
τοιαῦτα γὰρ πάντα τὰ ἀνθρώπινα πράγματα· ἀλλὰ πρὸς τὴν
B αὔραν τὴν λεπτὴν, πρὸς τὸν κοῦφον ἀέρα, πρὸς τὰ μετέωρα
καὶ ὑψηλὰ καὶ ἡσυχίας γέμοντα πολλῆς [d]καὶ καθαρότητος καὶ
πολλῆς τῆς τέρψεως, ἀνακτησόμεθα ταχέως αὐτὸν, καὶ ῥώσομεν
ἐντρυφῶντα τῇ [e]τοιαύτῃ θέᾳ. Εἶδες πλεονεξίαν καὶ πλοῦτον
[f]πολύν; Μὴ [g]ἐπαγάγῃς ἐκεῖ τὸν [h]ὀφθαλμόν· βόρβορός ἐστι

[m] καλοὺς καὶ ὡρ. τῷ εἴδει καὶ τῇ ὄ. R. [n] καὶ accessit ex N.O.Q.R. Mut. καὶ eras. in K. ἡμᾶς om. Veron. Mox τῇ ἁγίᾳ τρ. τῇ β. K.Q. [o] τῷ om. K. [p] ῥάκη K.Q. [q] ὁράτω K.Q. [r] πεπλ. τὰ ἐν π. τ. χρ. hoc ord. R. τὰ ἐν π. τ. χρ. τὰ πεπλ. Q. Statim ἀπολύσασθαι R. [s] διὰ — ἐστι om. K.Q. [t] οὐδὲ pro οὐ A.K.O.Q.R. Mut. [v] τοὺς om. K.N.Q.R. et a pr. m. O. [w] ῥύπον μηδὲ om. K.Q. [x] ἥμερον] ἱλαρὸν K.N.Q.R. et marg. O. *mansuetum* Mut. [y] μηδὲ] μὴ K.N.Q.R. [z] γέμοντα O. [a] γε μὴν om. K. N.O.R. [b] ἐγρήγορον N.O. [c] πρὸς τ. κ. ἄγωμεν μηδὲ om. A. Mox πρὸς τὴν αὔραν τὴν λεπτὴν om. idem. [d] καὶ καθ. καὶ πολλῆς om. A. Statim τῆς om. K.Q.R. [e] τοσαύτῃ A. Veron. [f] πολὺν] + ἔχοντά τινα K.Q. Sav. cet. [g] ἀπαγάγῃς R. ἀναγάγῃς A. Veron. [h] ὀφθαλμὸν] + σου Edd. σου om. K.N.O.Q.R.

Digitized by Google

τὸ πρᾶγμα, καπνός [i]ἐστιν, ἀτμὸς πονηρὸς, σκότος καὶ στενο-
χωρία πολλὴ, καὶ [k]φροντίδων πνιγμός. Εἶδες δικαιοσύνην
ἀσκοῦντα ἄνθρωπον, ἀρκούμενον τοῖς αὐτοῦ, καὶ πολλὴν ἔχοντα
τὴν εὐρυχωρίαν τῆς ἀνέσεως, οὐδὲν μεριμνῶντα, [l]οὐδὲν φροντί- C
ζοντα τῶν ἐνταῦθα; Στῆσον [m]αὐτὸν ἐκεῖ, καὶ μετεώρισον· καὶ
πολλῷ [n]κάλλιστον αὐτὸν ἐργάσῃ καὶ λαμπρότερον, οὐ τοῖς
τῆς γῆς ἄνθεσιν εὐωχῶν, ἀλλὰ [o]τοῖς τῆς ἀρετῆς, σωφροσύνῃ,
ἐπιεικείᾳ, καὶ τοῖς ἄλλοις ἅπασιν. Οὐδὲν γὰρ οὕτω ταράττει
ὀφθαλμὸν, ὡς συνειδὸς πονηρόν· [13]"Ἐταράχθη, φησὶν, [p]ἀπὸ
θυμοῦ ὁ ὀφθαλμός μου·" [q]οὐδὲν οὕτω σκοτοῖ. Ταύτης [r]αὐτὸν
ἀπάλλαξον τῆς ἐπηρείας, καὶ [s]ποιήσεις σφοδρὸν καὶ ἰσχυρὸν,
ἀεὶ τρεφόμενον ἐλπίσιν ἀγαθαῖς. Γένοιτο δὲ πάντας ἡμᾶς, καὶ
[t]τοῦτον καὶ τὰς ἄλλας τῆς ψυχῆς ἐνεργείας κατασκευάσαι [v]τοι- D
αύτας, οἵας ὁ Χριστὸς βούλεται· ἵνα τῆς ἐπικειμένης ἡμῖν κεφα-
λῆς ἄξιοι γενόμενοι, ἀπέλθωμεν ἔνθα θέλει. Φησὶ γὰρ, [14]"Θέλω
[w]ἵνα, [x]ὅπου ἐγώ εἰμι, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα τὴν δόξαν τὴν
ἐμὴν ὁρῶσιν·" ἧς γένοιτο ἀπολαῦσαι πάντας ἡμᾶς, ἐν Χριστῷ
Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι
δόξα, κράτος, [y]τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

(526) ## ΛΟΓΟΣ ΙΗ. 173

1 [a]Ἀνώτερον λέγων, ὅτι θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώ-
ματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας, αἵτι-
νες [b]κατὰ νόμον προσφέρονται· τότε εἴρηκεν, ἰδοὺ ἥκω τοῦ
ποιῆσαι, [c]ὁ θεὸς, τὸ θέλημά σου. Ἀναιρεῖ τὸ πρῶτον, ἵνα
τὸ δεύτερον στήσῃ. Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν διὰ
τῆς προσφορᾶς [d]τοῦ σώματος Ἰησοῦ Χριστοῦ ἐφάπαξ.
Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς B
αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες οὐδέποτε δύναν-

13 Psal. vi. 8. 14 Joan. xvii. 24. 1 Cap. X. v. 8—13.

[i] ἐστιν om. K.Q. [k] φροντίδος R. Statim πνίγος Veron. πλῆθος A. [l] οὐδὲ Veron. et ex corr. O. [m] σαυτὸν Q. Mox ἕδρασον pro μετεώρισον K.Q. [n] κάλλιστον] Sic N.R. et ex corr. O. κάλλιον A. et olim O. καλλίονα Edd. κάλλιστον—λαμπρότερον] κάλλιστος γενήσῃ καὶ λαμπρότερος K.Q. [o] τοῖς] τὰ A. Mox σωφροσύνην, ἐπιείκειαν R. σωφροσύνῃ, τῇ ἐπ. A. Veron. [p] ἀπὸ θ.] ἐν θυμῷ N.R. Mut. [q] οὐδὲν] + αὐτὸν R. Post σκοτοῖ add. ψυχὴν ὡς θυμὸς (ὀφθαλμὸς K.) K.Q. [r] σαυτὸν K.N.Q. et ex corr. O. Mox τιμωρίας pro ἐπηρείας K.Q. [s] ποιήσεις (+ αὐτὸν R.) σφοδρὸν (φαιδρὸν N.O.)] φαιδρὸν ἐργάσῃ K.Q. [t] ταύτην K.Q. [v] τοιαύτας om. K.N.Q.R. [w] ἵνα] Sic A. Veron. ἵν' O. Sav. cet. ἵνα ante κἀκεῖνοι transp. K.N.Q.R. [x] ὅπου] + ἂν K.Q. + δ' ἂν R. Statim εἰμὶ ἐγὼ pro ἐγώ εἰμι K.N.O.Q.R. μετ' ἐμοῦ om. K.Q. [y] τιμὴ] + μεγαλωσύνη καὶ μεγαλοπρέπεια O. Hom. XVIII. [a] ἀνωτέρω Veron. [b] κατὰ τὸν ν. K. [c] ὁ θεὸς om. R. post τὸ θέλημά σου transp. O. [d] τοῦ σώματος om. in text. O.

Digitized by Google

ται περιελεῖν ἁμαρτίας· [e]*οὗτος δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσ-
ενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ, τὸ
λοιπὸν ἐκδεχόμενος,* [f]*ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον
τῶν ποδῶν αὐτοῦ.*

[g]'ΕΝ μὲν τοῖς ἔμπροσθεν ἔδειξεν ἀνωφελεῖς τὰς θυσίας
οὔσας πρὸς τὴν τελείαν καθαρότητα, καὶ τύπον οὔσας, καὶ πολὺ
λειπομένας. Ἐπεὶ οὖν ἀντέπιπτεν αὐτῷ [h]τοῦτο, εἰ τύποι εἰσὶ,
πῶς τῆς ἀληθείας ἐλθούσης, οὐκ ἐπαύσαντο οὐδὲ ὑπεχώρησαν,
C ἀλλ' ἐπιτελοῦνται; [i]αὐτὸ δὴ τοῦτο [k]ἐνταῦθα ἐργάζεται, δεικνὺς
ὅτι οὐκέτι [l]τελοῦνται, οὐδὲ ὡς τύπος· οὐ γὰρ αὐτὰς προσίεται
ὁ θεός. Καὶ τοῦτο οὐκ ἀπὸ τῆς καινῆς πάλιν, ἀλλ' [m]ἀπὸ προ-
φητῶν δείκνυσιν, ἄνωθεν τὴν ἰσχυροτάτην παράγων μαρτυρίαν,
ὅτι λήγει καὶ παύεται, καὶ εἰκῇ πάντα πράττουσιν, ἀεὶ τῷ
πνεύματι τῷ ἁγίῳ ἀντιπίπτοντες. Καὶ δείκνυσιν ἐκ περιουσίας
οὐ νῦν αὐτὰς πεπαυμένας, ἀλλὰ καὶ παρ' αὐτὴν τοῦ Χριστοῦ
τὴν παρουσίαν, [n]μᾶλλον δὲ, καὶ πρὸ τῆς αὐτοῦ παρουσίας· [o]καὶ
πῶς οὐ τελευταῖον ἔλυσεν αὐτὰς ὁ Χριστὸς, ἀλλὰ πρότερον
ἐλύθησαν, [p]καὶ τότε ἦλθε· πρότερον ἐπαύθησαν, καὶ τότε αὐ-
τὸς παρεγένετο. Ἵνα γὰρ μὴ λέγωσιν, [q]ὅτι καὶ χωρὶς ταύτης
τῆς θυσίας ἠδυνάμεθα εὐαρεστῆσαι [r]θεῷ, καὶ δι' ἐκείνων, ἀνέ-
D μεινεν αὐτὰς ἐλεγχθῆναι, καὶ τότε [s]αὐτὸς παρεγένετο· "Θυσίαν
γὰρ, φησὶ, καὶ προσφορὰν οὐκ ἠθέλησας." Πάντα ἀνεῖλε διὰ
τούτου· καὶ γενικῶς εἰπὼν, λέγει καὶ [t]ἰδικῶς, "Ὁλοκαυτώματα
καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας." Προσφορὰ δὲ πᾶν [v]τὸ
174 ἐκτὸς τῆς θυσίας ἦν. "Τότε εἶπον, ἰδοὺ ἥκω." Περὶ τίνος τοῦτο
εἴρηται; Περὶ οὐδενὸς ἑτέρου, ἀλλ' ἢ περὶ τοῦ Χριστοῦ. Ἐν-
ταῦθα [w]οὐδὲν αἰτιᾶται τοὺς προσφέροντας, δεικνὺς ὅτι οὐ διὰ
τὰς [x]πονηρίας αὐτῶν οὐ δέχεται, καθάπερ ἑτέρωθί φησιν· ἀλλὰ
διὰ τὸ λοιπὸν ἐληλέγχθαι τὸ πρᾶγμα, καὶ [y]πεφωρᾶσθαι οὐδε-
μίαν ἔχον ἰσχὺν, οὐδὲ καιρόν τινα προσήκοντα. [z]Τί οὖν τοῦτο

[e] *οὗτος*] *γρ. αὐτὸς* in marg. O. *μίαν* om. N. [f] *ἕως*] + *ἂν* K.Q. [g] *ἐν μὲν τοῖς ἔμ. ἔδ.*] *ἔδ. μὲν τοῖς ἔμ.* R. Mox *οὔσας* om. a pr. m. O. [h] *τοῦτο*] *τὸ* K.Q. Statim *τύπος* R. [i] *αὐτὸ*] *τοῦτο* A. Veron. et olim O. [k] *ἐνταῦθα*] *ἐνθάδε* A. Veron. *ἔνθα* a pr. m. O. *πάλιν* K.Q. *ἐνταῦθα* om. R. [l] *τελοῦνται*] + *λοιπὸν* K.Q. [m] *ἀπὸ τῶν πρ.* K.N.O.Q. Sav. cet. [n] Haec *μᾶλλον—παρουσίας* desunt in O.R. Veron. Mut. [o] *καὶ πῶς*] *ὥστε* K.Q. Mox *ἔλυσεν αὐτὰς ὁ Χρ.* om. iidem. [p] *καὶ τότε—ἐπαύθησαν* om. A. Veron. [q] *ὅτι* assumtum ex K.O.Q.R. Mut. [r] *τῷ θεῷ* K.N.Q. Sav. cet. [s] *αὐτὸς παρ.*] *ἦλθεν* R. Mox *γὰρ, φησὶ* om. in text. O. [t] *εἰδικῶς* K.N.Q. [v] *τὸ* om. O. Statim *ἐκτὸς τῆς θυσίας* K.N.Q.R. Mut. receptum a Ben. *ἐκτὸς τῆς θυσίας* (corr. ex *ἐκ τῆς θυσίας*) O. *ἐκτὸς οὐσίας* A. *ἐκ τῆς οὐσίας* Veron. *ἐκτὸς τῆς οὐσίας* Sav. Mor. [w] *οὐδὲν*] *δὲ* A. [x] *πον. αὐτῶν*] *πονηρὰς αὐτῶν πράξεις* O. [y] *πεφανερῶσθαι* K.Q. Sav. cet. invita Cat. *reprehensa erat* Mut. [z] *τί οὖν—ἤνυσαν*] *καὶ τοῦτο δῆλον ἀπὸ τοῦ πολλάκις προσφέρεσθαι. ὥστε οὐ μόνον, φησὶν, ἀσθενεῖς ἐλέγχονται ἀπὸ τοῦ μηδὲν ἀνύσαι* K.Q.

Digitized by Google

πρὸς τὸ πολλάκις προσφέρεσθαι τὰς θυσίας; Οὐκ ἀπὸ τοῦ πολλάκις μόνον δῆλον, φησὶν, ὅτι ἀσθενεῖς εἰσι καὶ ὅτι οὐδὲν ἤνυσαν, ἀλλὰ καὶ ἀπὸ τοῦ μὴ προσίεσθαι αὐτὰς τὸν θεὸν, ὡς ἀνονήτους καὶ ἀνωφελεῖς. [a]Καὶ ἀλλαχοῦ φησιν, [2]"Ὅτι εἰ ἠθέ- B
λησας θυσίαν, ἔδωκα ἄν." Ἆρα καὶ διὰ [b]τούτου δηλοῖ ὅτι οὐ θέλει. Ἆρα [c]οὖν οὐχ αἱ θυσίαι τὸ θέλημα τοῦ θεοῦ, ἀλλ' ἡ τῶν θυσιῶν ἀναίρεσις· οὐκοῦν παρὰ τὸ θέλημα θύουσι. Τί ἐστι, "[d]τοῦ ποιῆσαι τὸ θέλημά σου;" [e]Τοῦ ἐμαυτὸν, φησὶν, ἐκδοῦναι· τοῦτο τοῦ θεοῦ θέλημα. "Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν." [f]Ἢ καὶ ἄλλο φησὶν, ὅτι [g]οὐχ αἱ θυσίαι τοὺς ἀνθρώπους καθαίρουσιν, ἀλλὰ τὸ θέλημα τοῦ θεοῦ. [h]Ἆρα οὖν τὸ θύειν οὐ θέλημα τοῦ θεοῦ. Καὶ [i]τί θαυμάζεις, εἰ νῦν οὐ [k]θέλημα C
τοῦ θεοῦ, ὅπου μηδὲ ἐξ ἀρχῆς θέλημα ἦν; [3]"Τίς γὰρ ἐξεζήτησε ταῦτα, φησὶν, ἐκ τῶν χειρῶν ὑμῶν;" Πῶς οὖν αὐτὸς ἐπέταξε; Συγκαταβαίνων. Ὥσπερ [l]γὰρ ὁ Παῦλός [m]φησι, [4]"Θέλω πάντας [n]ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτὸν, ἐν ἐγκρατείᾳ·" καὶ [o]πάλιν φησὶ, "Βούλομαι νεωτέρας γαμεῖν, τεκνογονεῖν·" [p]καὶ
(527) δύο θελήματα τίθησιν, ἀλλ' οὐ τὰ δύο αὐτοῦ ἐστιν, εἰ καὶ ἐπιτάττει· ἀλλὰ [q]τοῦτο μὲν αὐτοῦ, διὸ καὶ χωρὶς [r]αἰτίας τίθησιν· ἐκεῖνο δὲ οὐκ αὐτοῦ, εἰ καὶ βούλεται, διὸ καὶ μετὰ αἰτίας πρόσκειται· πρότερον γὰρ κατηγορήσας αὐτῶν, ὅτι κατεστρηνίασαν τοῦ Χριστοῦ, τότε φησὶ, "Βούλομαι νεωτέρας γαμεῖν, τεκνογονεῖν·" οὕτω δὴ καὶ [s]ἐνταῦθα, οὐκ αὐτοῦ θέλημα ἦν προ- D
ηγούμενον τὸ τὰς θυσίας γίνεσθαι. [t]Ὥσπερ γάρ φησιν, [5]"Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι [v]αὐτὸν καὶ ζῆν·" καὶ ἀλλαχοῦ λέγει, ὅτι οὐ [w]μόνον ἠβουλήθη, ἀλλὰ καὶ ἐπεθύμησε τοῦτο· [x]καίτοι ἐναντία ταῦτα ἀλλήλοις·

2 Psal. l. 18. 3 Esai. i. 12. 4 1 Cor. vii. 7. 1 Tim. v. 14. 5 Ezech. xxxiii. 11.

[a] καὶ] τοῦτο αὐτὸ δηλῶν καὶ K.Q. Sav. cet. [b] τοῦτο K.R. Statim ὅτι οὐ θέλει δηλοῖ hoc ord. K.Q. [c] οὖν] + ὅτι Q. Statim οὐχὶ αἱ θ. olim O. οὐχὶ θυσία Cat. [d] τοῦ] τὸ O. [e] τοῦ] Sic Cat. Edd. τὸ K.N.O.Q.R. [f] ἢ καὶ ἄλλο (ἄλλως Cat.) φ.] ἔτι διὰ τούτου καὶ ἄλλως δείκνυσιν K.Q. Sav. cet. [g] οὐχὶ O. [h] Haec ἆρα—θεοῦ om. A.K. inclusa a Sav. Habet ea infra post θέλημα ἦν K. [i] τί] τοῦτο R. [k] θέλημα] + ἐστι K.N.Q.R. Sav. cet. Sic ex corr. O. invita Cat. Mox ὅπου γε μηδὲ K.Q. Sav. cet. [l] γὰρ] καὶ K.Q. Sav. cet. οὖν Cat. γὰρ om. A. [m] φησι] φαίνεται λέγων K.Q. Sav. cet. [n] ἀνθρώπους om. N. Mox ἐν ἐγκρατείᾳ om. K. [o] πάλιν] + παραινῶν ἀλλαχοῦ K.Q. Sav. cet. Statim φησὶ post βούλομαι transp N. [p] καὶ assumtum ex omnibus. [q] τοῦτο] τὸ K.Q. [r] αἰτίας] αὐτὸ A. Veron. αὐτὸ αἰτίας Cat. [s] ἐνταῦθα] + συγκαταβαίνων οἰκονομεῖ K.Q. Sav. cet. [t] ὥσπερ γάρ φ.] οὕτω καὶ περὶ τοῦ θανάτου λέγων iidem. Mox βούλεται A. Cat. Veron. et a pr. m. O. [v] αὐτὸν καὶ ζ.] Sic A.N.O. Cat. καὶ ζ. αὐτὸν K.Q.R. Veron. αὐτὸν καὶ ζ. αὐτὸν Sav. cet. Proximum καὶ om. K.Q. [w] μόνον] + οὐκ N. Q. et ex corr. O. Statim ἐβουλήθη O. Cat. [x] καίτοι] + γε Edd. γε om. A.K.N.Q.R. Cat. Mox ταῦτα ἀλλήλοις om. A.N.O.R. Cat. Veron. Mut.

Digitized by Google

[y]ἐπιθυμία γὰρ ἐπιτεταμένη βούλησίς ἐστι· πῶς οὖν οὐ [z]θέλεις; πῶς ἀλλαχοῦ ἐπιθυμεῖς, ὃ [a]τοῦ σφόδρα θέλειν ἐστὶ σημεῖον; [b]οὕτω δὴ καὶ ἐνταῦθα.

"Ἐν ᾧ θελήματι ἡγιασμένοι [c]ἐσμέν," φησί. [d]Πῶς ἡγιασμένοι;
175 "Διὰ τῆς προσφορᾶς τοῦ σώματος Ἰησοῦ Χριστοῦ ἐφάπαξ. Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας." Ἄρα τὸ ἑστάναι τοῦ λειτουργεῖν ἐστι σημεῖον· οὐκοῦν τὸ καθῆσθαι τοῦ λειτουργεῖσθαι. "Οὗτος δὲ μίαν [e]ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος, [f]ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. [6] [g]Μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ πνεῦμα τὸ ἅγιον." Εἶπεν, ὅτι ἐκεῖναι οὐ προσφέρονται· συνελογίσατο [h]ἀπὸ τῶν
B ἐγγράφων, ἀπὸ τῶν ἀγράφων· ἄλλως δὲ καὶ ῥητὸν παρέστησε προφητικὸν [i]λέγον, ὅτι "Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας." Εἶπεν, ὅτι ἀφῆκε τὰς ἁμαρτίας. Πάλιν καὶ τοῦτο ἀπὸ ἐγγράφου μαρτυρίας πιστοῦται· "Μαρτυρεῖ γὰρ [k]ἡμῖν, φησὶ, τὸ πνεῦμα τὸ ἅγιον. Μετὰ γὰρ τὸ εἰρηκέναι· [7] Αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει [l]κύριος, διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν [m]ἐπιγράψω αὐτοὺς, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν [n]αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. Ὅπου δὲ ἄφεσις
C τούτων, οὐκέτι προσφορὰ περὶ [o]ἁμαρτίας." Οὐκοῦν ἀφῆκε τὰς ἁμαρτίας, ὅτε τὴν διαθήκην ἔδωκε· τὴν δὲ διαθήκην διὰ τῆς θυσίας ἔδωκεν. Εἰ τοίνυν ἀφῆκε τὰς ἁμαρτίας διὰ τῆς μιᾶς θυσίας, οὐκέτι χρεία δευτέρας. "Ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ, [p]τὸ λοιπὸν ἐκδεχόμενος." [q]Τίνος ἕνεκεν ἡ ἀναβολή; "Ἵνα τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. [r]Μιᾷ γὰρ προσφορᾷ

[6] v. 14, 15. [7] v. 16—18.

[y] ἐπιθυμία] καὶ (expunctum) ἐπιθυμία R. ἐπιθ. γὰρ ἐπιτεταμένη (+ ἡ K.Q. Sav. cet. erasum in N.) β. ἐστι] ἡ ἐπιτεταγμένη (ἐπιταττομένη O.) β. ἐστι A.O. Cat. Veron. Mut. [z] θέλεις; πῶς (+ οὖν N. et corr. O.)] θέλων K.Q. Sav. cet. [a] τοῦ σφ. θ.] τοῦ θ. σφ. K.Q. σφ. τοῦ θ. Cat. [b] οὕτω—ἐνταῦθα] τοῦτο δὴ καὶ ἐνταῦθά ἐστιν εἰπεῖν K.Q. Sav. cet. [c] ἐσμὲν, φ. om. A. [d] πῶς] + δὲ N.Q. Sav. cet. Statim ἡγιασμένοι om. A. Post ἡγιασμένοι add. πῶς; R. Veron. add. αὐτὸς ἑρμηνεύει ἐπάγων K.Q. Sav. cet. [e] ὑπὲρ τῶν ἁμ. Q. [f] ἕως] + ἂν O. [g] μία γὰρ προσφορὰ Q.R. Mut. [h] ἀπὸ τῶν ἐγγρ. om. Veron. Sav. Mor. ἀπὸ τῶν ἀγρ. om. A. et in text. O. γραφῶν pro ἀγράφων ediderunt Sav. Mor. συνελογίσατο—παρέστησε] συνελογίσατο τοῦτο ἀπὸ ἐγγράφων μαρτυριῶν· παρέστησε καὶ ῥητὸν K.Q. [i] λέγον] λέγων A.O.R. Cat. Veron. λόγον K. [k] ἡμῖν om. K.N.Q.R. [l] κύριος] + ἐπήγαγε K.Q. [m] γράψω A. Veron. Mox καὶ τῶν ἁμ. αὐτῶν om. K. [n] αὐτῶν om. A. Veron. [o] ἁμαρτιῶν K.N.Q. et marg. O. [p] τὸ om. A. Veron. [q] τίνος] καὶ τίνος K.Q. Sav. cet. [r] μία . . . προσφορὰ K.Q. Post γὰρ add. φησὶ K.Q. Sav. cet.

Digitized by Google

τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους." Ἀλλ' ἴσως εἴποι
τις ἄν, [s]τίνος ἕνεκεν οὐκ εὐθέως τέθεικε; Διὰ τοὺς πιστοὺς τοὺς
μέλλοντας τίκτεσθαι καὶ γεννᾶσθαι. Πόθεν [t]οὖν ὅτι τεθήσον- D
ται; Διὰ τοῦ εἰπεῖν, ὅτι ἐκάθισεν. Ἀνέμνησε πάλιν τῆς μαρ-
τυρίας ἐκείνης τῆς λεγούσης, "Ἕως ἂν [v]θῶ τοὺς ἐχθροὺς ὑπὸ
τοὺς πόδας αὐτοῦ." Οἱ δὲ ἐχθροὶ αὐτοῦ [w]οἱ Ἰουδαῖοί εἰσιν.
Εἶτα ἐπειδὴ εἶπεν, "Ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ [x]ὑπὸ τοὺς
πόδας αὐτοῦ," σφόδρα δὲ ἠπείγοντο· τούτου χάριν πάντα [y]τὰ
μετὰ [z]ταῦτα τίθησιν, ὅσα περὶ πίστεως διαλέγεται. Τίνες δὲ
οἱ [a]ἐχθροί; Οἱ ἄπιστοι πάντες, οἱ [b]δαίμονες. Καὶ τὸ πολὺ
δὲ τῆς ὑποταγῆς αἰνιττόμενος, οὐκ εἶπεν, ὑποταγῶσιν, ἀλλά,
"τεθῶσιν ὑπὸ τοὺς πόδας αὐτοῦ."

[c]Μὴ τοίνυν γενώμεθα τῶν ἐχθρῶν· οὐ γὰρ ἐκεῖνοι [d]μόνον 176
ἐχθροὶ οἱ ἄπιστοι [e]καὶ Ἰουδαῖοι, ἀλλὰ καὶ οὗτοι οἱ βίου ἀκα-
θάρτου πλήρεις ὄντες. [8]"Τὸ γὰρ φρόνημα τῆς σαρκὸς ἔχθρα
εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ
δύναται." Τί οὖν, φησίν; [f]οὐκ ἔστιν ἔγκλημα τοῦτο. Σφόδρα
μὲν οὖν ἔγκλημα· ὁ γὰρ κακὸς, ἕως ἂν ᾖ κακὸς, οὐ δύναται ὑπο-
τάττεσθαι· μεταβαλέσθαι μέντοι καὶ γενέσθαι ἀγαθὸς δύναται.
[g]Ἐκβάλωμεν τοίνυν τὰ φρονήματα τὰ σαρκικά. Ποῖα δέ
ἐστι [h]τὰ σαρκικά; Ὅσα τὸ μὲν σῶμα ἀνθεῖν ποιεῖ καὶ εὐπα- B
θεῖν, κακοῖ δὲ τὴν ψυχήν· οἷόν τι λέγω, ὁ πλοῦτος, ἡ τρυφὴ, ἡ
(528) δόξα· πάντα ταῦτα τῆς σαρκός ἐστιν· ὁ ἔρως [i]ὁ τῶν σωμάτων.
Μὴ τοίνυν τοῦ πλείονος ἐρῶμεν, ἀλλὰ τὴν πενίαν ἀεὶ διώκωμεν·
αὕτη γὰρ μέγα ἀγαθόν. Ἀλλὰ [k]ταπεινὸν ποιεῖ, φησὶ, καὶ
εὐτελῆ. Τούτου γὰρ ἡμῖν χρεία· πολὺ γὰρ ἡμῖν τοῦτο συμ-
βάλλεται. [9]"Πενία, [l]φησὶν, ἄνδρα ταπεινοῖ·" καὶ πάλιν ὁ
Χριστὸς, "Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι." Διὰ τοῦτο οὖν
ἀλγεῖς, ὅτι [m]ἔχεις ὁδὸν εἰς ἀρετὴν χειραγωγοῦσαν; οὐκ οἶδας

8 Rom. viii. 7. 9 Prov. x. 4. Matth. v. 3.

[s] τίνος] καὶ τίνος iidem. [t] οὖν] + δῆλον N.O. Sav. cet. invita Cat. πόθεν—τεθήσονται om. K.Q. [v] θῶ] Sic K.N.O.Q.R. Cat. Mut. θῇ Edd. Mox ὑπὸ πόδας O. [w] οἱ om. A.N.O.R. [x] ὑπὸ τ. π. αὐτοῦ om. K.N.Q.R. [y] τὰ om. K.Q. [z] ταῦτα] + πάντα N. [a] ἐχθροὶ] + ἀλλ' ἢ K.Q. Sav. cet. [b] δαίμονες] + οὐ γὰρ δὴ μόνον (μόνοι Q.) Ἰουδαῖοι iidem. [c] ΗΘΙΚΟΝ. Ὅτι οὐ μόνον ἐχθροὶ οἱ ἄπιστοι καὶ Ἰουδαῖοι, ἀλλὰ καὶ οἱ βίον ἀκάθαρτον ἔχοντες· καὶ σύγκρισις πλουσίων καὶ πενήτων. Veron. [d] μόνοι K. [e] καὶ Ἰουδαῖοι om. A. Mut. Veron. et a pr. m. O. [f] οὐκ ἔστιν om. in text. O. favente Mut. τί—τοῦτο] τί λέγεις; καὶ ἔγκ. τοῦτο K.Q. Statim καὶ σφόδρα iidem. [g] ἐκβάλλωμεν R. [h] τὰ σ.] ταῦτα K.Q. τὰ om. A. Veron. Sav. Mor. [i] ὁ om. A.R. Mor. Ben. Mox χρημάτων pro σωμάτων K.Q. [k] ταπεινοῖ Veron. Statim ποιεῖ, φ. καὶ εὐτ. N.O.R. Mut. φ. ποιεῖ καὶ εὐτ. K.Q. φ. καὶ εὐτ. ποιεῖ Edd. [l] φησὶν] γάρ, φησὶν R. [m] ἔχεις ὁδὸν] ὁδὸν ἔχεις K.N.Q.R. Mox χειραγοῦσαν O.

Digitized by Google

ὅτι [n]αὕτη πολλὴν παρρησίαν ἡμῖν δίδωσιν; [o]Ἀλλ', [10]Ἡ σο-
C φία, φησὶ, τοῦ [p]πένητος ἐξουθενημένη·" καὶ πάλιν ἕτερός [q]τις φησὶ, "Πλοῦτον καὶ πενίαν μή μοι δῷς·" καὶ, "Ἐκ καμίνου πενίας ῥῦσαί με." Πῶς δὲ πάλιν, εἰ πλοῦτος καὶ πενία παρὰ κυρίου, κακὸν ἡ πενία, ἢ [r]ὁ πλοῦτος; Τίνος [s]οὖν ἕνεκεν ταῦτα εἴρηται; Ταῦτα ἐλέγετο ἐν τῇ παλαιᾷ, ἔνθα πολὺς ὁ λόγος τοῦ πλούτου, ἔνθα τῆς πενίας [t]πολλὴ ἦν ὑπεροψία, ἔνθα τὸ μὲν κατάρα ἦν, τὸ δὲ εὐλογία. Ἀλλὰ νῦν οὐκέτι· ἀλλὰ θέλεις ἀκοῦσαι τῆς πενίας ἐγκώμια; αὐτὴν μετῆλθεν ὁ Χριστὸς, [v]καί φησιν· [11]"Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν
D [w]κλίνῃ." Καὶ πάλιν τοῖς μαθηταῖς ἔλεγε· "Μὴ κτήσησθε χρυσὸν, [x]μήτε ἄργυρον, [y]μήτε δύο χιτῶνας." Καὶ [z]ὁ Παῦλος γράφων ἔλεγεν· [12]"Ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες." Καὶ Πέτρος ἔλεγε τῷ ἐκ [a]γενετῆς χωλῷ· [13]"Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι." Καὶ ἐν [b]αὐτῇ δὲ τῇ παλαιᾷ, ἔνθα ἐθαυμάζετο ὁ πλοῦτος, τίνες ἦσαν οἱ θαυμαστοί; οὐχὶ Ἠλίας, ὁ πλὴν τῆς μηλωτῆς μηδὲν ἔχων; οὐχὶ Ἐλισσαῖος, οὐχὶ Ἰωάν-
177 νης; Μηδεὶς τοίνυν ἔστω ταπεινὸς διὰ πενίαν· οὐκ ἔστι πενία ἡ ποιοῦσα ταπεινὸν, [c]ἀλλὰ πλοῦτος, ὁ πολλῶν δεῖσθαι καταναγκάζων, καὶ πολλοῖς εἰδέναι χάριτας βιαζόμενος. [d]Τί δὲ τοῦ Ἰακὼβ πενέστερον ἦν, εἰπέ μοι, ὃς ἔλεγεν, [14]"Ἐὰν [e]δῷ μοι κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι;" Ἆρα ἀπαρρησίαστοι ἦσαν οἱ περὶ Ἠλίαν καὶ Ἰωάννην; οὐχ ὁ μὲν τὸν Ἀχαὰβ [f]ἤλεγχεν, ὁ δὲ τὸν Ἡρώδην; Ἐκεῖνος ἔλεγεν, [15]"Οὐκ ἔξεστί σοι ἔχειν [g]τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου·" ὁ δὲ Ἠλίας πρὸς τὸν Ἀχαὰβ μετὰ παρρησίας ἔλεγεν, "Οὐκ
B ἐγὼ διαστρέφω τὸν Ἰσραὴλ, ἀλλὰ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου." Ὁρᾷς ὅτι [h]τοῦτο μάλιστα ποιεῖ τὴν παρρησίαν, ἡ πενία; Ὁ μὲν γὰρ πλούσιος δοῦλός ἐστιν, ὑπεύθυνος ὢν ζημίᾳ, καὶ παρέχων παντὶ τῷ βουλομένῳ κακῶς [i]αὐτὸν ποιεῖν· ὁ δὲ

10 Eccles. ix. 16. Prov. xxx. 8. Esai. xlviii. 10. 11 Matth. viii. 20. x. 9, 10. 12 2 Cor. vi. 10. 13 Act. iii. 6. 14 Gen. xxviii. 20. 15 Marc. vi. 18. 3 Reg. xviii. 18.

[n] αὕτη πολ. ἡμῖν παρ. hoc ord. K.Q. πολ. ἡμῖν παρ. αὕτη R. [o] ἀλλ'—τις φησὶ] καὶ πῶς, φησὶν, εἴρηται K.Q. [p] πένητος] + ἐστιν Edd. ἐστιν om. N.R. et a pr. m. O. [q] τις om. A. Veron. [r] ὁ om. A. Veron. [s] [οὖν] Sav. οὖν om. K.Q.R. [t] πολλὴ] οὐ πολλὴ K.Q. Mox ἡ ὑπεροψία Edd. ἡ om. A.K.N.Q. [v] καί φ.] φ. γὰρ R. καὶ ἄκουε αὐτοῦ λέγοντος K.Q. [w] κλίναι A. [x] μὴ R. μηδὲ N. et a pr. m. O. [y] μηδὲ N.O.Q.R. [z] ὁ om. A. Veron. [a] γεννητῆς A.N. καὶ Π.—χωλῷ] καὶ ἕτερος K.Q. [b] ταύτῃ A. Veron. Post τίνες add. εἰπέ μοι K.Q. Sav. cet. [c] ἀλλ' ὁ πλ. K.R. et fort. a pr. m. O. [d] τίς . . πενέστερος O. Mox ἦν, εἰπέ μοι om. K.Q. [e] δῴη olim O. [f] ἤλεγξεν N. et corr. O. [g] τὴν om. R. Veron. [h] τ. μάλιστα] Sic N.O.R. Mut. μάλιστα τ. K.Q. τ. μᾶλλον Edd. Post μάλιστα superscript. μὲν a 2da m. O. [i] αὐτῷ K.Q.

Digitized by Google

μηδὲν ἔχων, δήμευσιν οὐ δέδοικεν οὐδὲ καταδίκην. [k]Οὐκ ἂν οὖν,
εἰ ἡ πενία [l]ἐποίει ἀπαρρησιάστους, ὁ Χριστὸς μετὰ πενίας
ἔπεμπε τοὺς μαθητὰς [m]εἰς πρᾶγμα παρρησίας πολλῆς δεόμε-
νον. Σφόδρα γὰρ ἰσχυρὸς ὁ πένης ἐστὶ, καὶ οὐκ ἔχει ὅθεν
ἀδικηθῇ, ἢ πάθῃ κακῶς. Ὁ [n]μέντοι πλούσιος πανταχόθεν εὐ-
χείρωτος καθίσταται· καὶ ταὐτὸν γίνεται, οἷον [o]ἄν τις τὸν C
πολλὰ σχοινία ἐπισυρόμενον καὶ μακρὰ, ῥᾳδίως [p]ἕλοι, τὸν μέν-
τοι γυμνὸν οὐκ εὐκόλως κατασχεῖν δυνήσεται. Οὕτω καὶ ἐνταῦθα
ἐπὶ τοῦ πλουσίου συμβαίνει· ἀνδράποδα, χρυσίον, ἀγροὶ, μυρία
πράγματα, μυρίαι φροντίδες, περιστάσεις, [q]ἀνάγκαι πᾶσιν αὐ-
τὸν εὐχείρωτον ἐργάζονται.

Μηδεὶς τοίνυν λοιπὸν τὴν πενίαν τῆς ἀτιμίας αἰτίαν εἶναι
νομιζέτω. Ἐὰν [r]γὰρ ἀρετὴ παρῇ, ἅπας ὁ τῆς οἰκουμένης πλοῦ-
τος οὐδὲ πηλὸς, οὐδὲ κάρφος ἐστὶ πρὸς αὐτήν. Ταύτην τοίνυν D
διώκωμεν, εἰ βουλοίμεθα εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρα-
νῶν. [16]"Πώλησον [s]γάρ σου, φησὶ, τὰ [t]ὑπάρχοντα, καὶ δὸς
πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ·" καὶ πάλιν, "Δύσκο-
λον πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν." Ὁρᾷς
ὅτι καὶ μὴ παροῦσαν αὐτὴν [v]ἐπισπᾶσθαι δεῖ; Τοσοῦτόν [w]ἐστιν
ἀγαθὸν ἡ πενία· [x]χειραγωγία γάρ τις ἐστὶ τῆς πρὸς τὸν οὐρα-
νὸν φερούσης ὁδοῦ, ἄλειμμα ἀθλητικὸν, γυμνασία τις μεγάλη
καὶ θαυμαστὴ, λιμὴν [y]εὐδιεινός. Ἀλλὰ χρείαν ἔχω πολλῶν, 178
φησὶ, καὶ οὐ βούλομαί τινος [z]χάριν λαβεῖν. Ἀλλὰ καὶ ἐν
τούτῳ [a]σου ὁ πλούσιος ἠλάττωται. Σὺ μὲν γὰρ [b]ἴσως ὑπὲρ
τροφῆς τὴν χάριν αἰτεῖς· ἐκεῖνος δὲ ὑπὲρ μυρίων ἀναισχυντῶν
πραγμάτων, ὑπὲρ πλεονεξίας. [c]Ὥστε οἱ πλούσιοί εἰσιν οἱ
πολλῶν [d]δεόμενοι, καὶ ἀναξίων [e]ἑαυτῶν πολλάκις· οἷόν τι λέγω,
τῶν ἐν ταῖς [f]τάξεσι στρατιωτῶν καὶ δούλων ὄντων πολλάκις
ἐν χρείᾳ καθίστανται. Ὁ δὲ πένης οὐδὲ αὐτοῦ δεῖται τοῦ βασι-
λέως· κἂν δεηθῇ, θαυμάζεται ὅτι εἰς τοῦτο κατέστησεν [g]ἑαυτὸν,
παρὸν αὐτῷ πλουτεῖν. Μηδεὶς τοίνυν αἰτιάσθω τὴν πενίαν, ὡς B

16 Matth. xix. 21, 23.

[k] οὐκ ἂν οὖν] πῶς οὖν A. οὐκ ἂν οὖν om. K.Q. Iidem mox οὐκ ἂν ὁ Χρ. [l] ποιεῖ A. [m] εἰς] εἰ μὴ ἦν A. Veron. [n] μέντοι] μὲν οὖν O. [o] ἂν] ἐὰν A.R. Veron. ἂν εἰ, ut videtur, olim O. [p] ἕλλοι (sic) A. ἕλκοι, ut videtur, olim O. Statim τὸν δὲ γυμνὸν R. [q] ἀνάγκαι] ἀνάγκαι αἳ R. Mut. ἀναγκαῖαι αἳ N. et ex corr. O. πᾶσιν αὐτὸν om. K. [r] [γὰρ] Sav. γὰρ om. K.Q. Mox πᾶς pro ἅπας K.N.Q.R. [s] γὰρ om. N. σου om. R. [t] ὑπάρχοντα] + σοι R. Mox οὐρανοῖς idem. [v] ἐπισπάσασθαι K.Q.R. Sav. cet. Sic a pr. m. O. [w] ἀγαθόν ἐστιν hoc ord. K.N.Q.R. [x] χ. γὰρ] χειραγωγὸς K.Q. [y] εὔδιος K.Q.R. εὐδινὸς (corr. ex εὔδιος) O. [z] χάριν] χρείαν K.Q. [a] σοι K.Q. [b] ἴσως om. K.Q.R. Statim περὶ τροφῆς K.N.Q.R. [c] ὥστε] ὡς A. [d] δεόμενοι] + τί λέγω πολλῶν K.O.Q. Sav. cet. invito Mut. [e] αὐτῶν N. [f] πράξεσι A. [g] αὐτὸν Q.R.

[h]μυρίων κακῶν αἰτίαν· μηδὲ ἀντιφθεγγέσθω τῷ Χριστῷ, ὃς (529)
τελειότητα ταύτην ἔφησεν [i]εἶναι τῆς ἀρετῆς, εἰπών· "Εἰ θέλεις
τέλειος εἶναι·" τοῦτο γὰρ καὶ διὰ τῶν λόγων αὐτὸς εἶπε, καὶ διὰ
τῶν ἔργων [k]ἔδειξε, καὶ διὰ τῶν μαθητῶν ἐδίδαξε. Διώξωμεν
οὖν τὴν πενίαν· μέγιστον γάρ ἐστιν ἀγαθὸν [l]αὕτη τοῖς νήφουσι.
Τάχα τινὲς καὶ οἰωνίζονται τῶν ἀκουόντων. Οὐκ [m]ἀπιστῶ·
πολλὴ γὰρ ἡ νόσος αὕτη παρὰ τοῖς πλείοσι τῶν ἀνθρώπων, καὶ
τοσαύτη τῶν χρημάτων ἡ τυραννὶς, ὡς μηδὲ μέχρι ῥημάτων
C [n]φέρειν αὐτῆς τὴν παραίτησιν, ἀλλὰ καὶ οἰωνίζεσθαι [o]ταύτην.
Πόρρω ταῦτα τῆς τοῦ Χριστιανοῦ ψυχῆς· οὐδὲν γὰρ πλου-
σιώτερον τοῦ πενίαν αἱρουμένου ἑκοντὶ καὶ μετὰ προθυμίας.
[p]Πῶς, ἐγὼ λέγω· καὶ, εἰ βούλεσθε, [q]καὶ αὐτοῦ τοῦ βασιλέως
αὐτὸν πλουσιώτερον ὄντα ἀποφαίνω, τὸν ἑκοντὶ τὴν πενίαν
αἱρούμενον. Ἐκεῖνος μὲν γὰρ δεῖται πολλῶν, καὶ ἐν φροντίδι
ἐστὶ, καὶ δέδοικε μὴ [r]ἐπιλίπῃ αὐτῷ τὰ τῆς τροφῆς τῆς στρα-
τιωτικῆς· οὗτος δὲ πάντα ἀφθόνως ἔχει, [s]καὶ περὶ οὐδενὸς δέ-
δοικε, [t]καὶ εἰ δέδοικεν, οὐχ ὑπὲρ τοσούτων. Τίς οὖν, εἰπέ μοι,
πλούσιος, ὁ καθ' ἑκάστην ἡμέραν [v]ἀπαιτῶν, καὶ σπουδάζων πολλὰ
D [w]συλλέγειν, καὶ δεδοικὼς μήποτε ἐπιλίπῃ· ἢ ὁ μηδὲν συλλέγων,
καὶ ἐν ἀφθονίᾳ ὢν πολλῇ, καὶ μηδενὸς δεόμενος; Τὴν παρρη-
σίαν γὰρ ἀρετὴ δίδωσι καὶ [x]θεοῦ φόβος, οὐ τὰ χρήματα· ἐκεῖνα
γὰρ καὶ καταδουλοῦνται. [17] "Ξένια γὰρ, [y]φησὶ, καὶ δῶρα ἐκτυ-
φλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ ὡς φιμὸς ἐν στόματι ἀποτρέπει
[z]ἐλέγχους." Σκόπει πῶς ὁ πένης [a]ἐκεῖνος Πέτρος Ἀνανίαν τὸν
πλούσιον ἐκόλασεν· οὐχ ὁ μὲν πλούσιος ἦν, ὁ δὲ πένης; ἀλλ'
179 ὅρα τοῦτον μὲν μετὰ [b]αὐθεντίας διαλεγόμενον, καὶ λέγοντα,
[18] "Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε;" ἐκεῖνον δὲ
μετὰ ὑποστολῆς λέγοντα, "Ναὶ, τοσούτου." Καὶ τίς [c]δώσει
μοι, φησὶ, κατὰ Πέτρον εἶναι; Ἔξεστί σοι [d]εἶναι κατὰ Πέ-
τρον, ἐὰν θέλῃς· [e]ῥῖψον ἃ ἔχεις· σκόρπισον, δὸς πένησιν, ἀκο-

17 Sirac. xx. 29. 18 Act. v. 8.

[h] μυρίων] + οὖσαν K.Q. Sav. cet. [i] εἶναι om. K.Q. [k] ἔδειξε—μαθητῶν om. A. [l] αὕτη om. K.N.Q.R. [m] ἀπιστῶν A. Mox γὰρ om. K.N.O.Q. Sav. cet. [n] Sic omnes. φέρειν post παραίτησιν transp. Edd. [o] ταύτην] τάχα K.N.Q. [p] πῶς] καὶ πῶς K.Q. [q] καὶ om. K.N.Q.R. Mox αὐτὸν om. K.O. Sav. cet. [r] ἐπιλείπῃ A.R. Veron. [s] καὶ om. K. [t] καὶ εἰ δ. οὐχ] οὐδ' A. Veron. [v] ἀπαιτῶν] μεριμνῶν A. Veron. [w] συναγαγεῖν K.Q. Mox ἐπιλίπῃ K.N.Q. et ex corr. O. ἐπιλείπῃ Edd. [x] τοῦ θεοῦ Sav. cet. invitis omnibus. Mox καταδουλοῦται K.Q.R. [y] φ. καὶ δῶρα] Sic K.N.O.Q.R. καὶ δῶρα, φ. Edd. [z] ἐλέγχους] Sic iidem. ἐλεγμοὺς Edd. [a] ἐκεῖνος om. A. Veron. Mox τὸν πλούσιον eras. in O. [b] αὐθεντείας A. K.Q. [c] δώσει] δῴη N. et ex corr. O. ἔδωκε A. Veron. [d] εἶναι κατὰ Π. pro κατὰ Π. εἶναι K.N.O.Q.R. [e] ῥῖψον] Sic O.Q.R. Mut. ῥῖψαι Edd. Mox δὸς om. O. δὸς—τοιοῦτος om. K.Q.

Digitized by Google

λούθησον τῷ Χριστῷ, καὶ ἔσῃ τοιοῦτος. [f]Πῶς; ἐκεῖνος, φησὶ,
σημεῖα ἐποίησε. Τοῦτο [g]γάρ ἐστιν, εἰπέ μοι, τὸ [h]τὸν Πέτρον
ποιῆσαν θαυμαστὸν, ἢ ἡ παρρησία ἡ ἀπὸ τῆς πολιτείας; Οὐκ
ἀκούεις τοῦ Χριστοῦ λέγοντος, [19] "[i]Μὴ χαίρετε ὅτι τὰ δαι-
μόνια ὑμῖν ὑπακούει;" Ἐὰν θέλῃς τέλειος [k]εἶναι, ἄκουσον τί B
[l]φησιν ὁ Πέτρος· "Ἀργύριον [m]καὶ χρυσίον οὐχ ὑπάρχει μοι·
[n]ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι." Εἴ τις ἔχει ἀργύριον καὶ χρυ-
σίον, ἐκεῖνα οὐκ ἔχει. Τί οὖν, φησὶν, ὅτι πολλοὶ οὔτε ἐκεῖνα,
οὔτε ταῦτα ἔχουσιν; [o]Ὅτι οὐχ ἑκόντες πένονται· ἐπεὶ οἱ ἑκόν-
τες πενόμενοι πάντα ἔχουσι τὰ ἀγαθά. Εἰ γὰρ [p]καὶ μὴ νεκροὺς
ἀνιστῶσι, μηδὲ χωλοὺς, ἀλλ', ὃ πάντων μεῖζόν ἐστι, παρρησίαν
ἔχουσι πρὸς τὸν θεόν· [q]ἀκούσονται κατ' ἐκείνην τὴν ἡμέραν τῆς
μακαρίας ἐκείνης [r]φωνῆς, [20] "Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός C
μου." [s]Τί τούτου κρεῖττον; "Κληρονομήσατε τὴν ἡτοιμασμέ-
νην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γὰρ,
καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος
ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς [t]ἤμην, καὶ περιεβάλετέ με·
ἀσθενὴς ἤμην, καὶ ἐν φυλακῇ, καὶ ἐπεσκέψασθέ με. [v]Κληρο-
νομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς
κόσμου." [w]Φεύγωμεν τοίνυν τὴν πλεονεξίαν, ἵνα τύχωμεν τῆς
[x]βασιλείας· τρέφωμεν τοὺς πένητας, ἵνα [y]τρέφωμεν τὸν Χρι-
στόν· ἵνα συγκληρονόμοι αὐτοῦ γενώμεθα, ἐν Χριστῷ Ἰησοῦ D
τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα,
κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

ΛΟΓΟΣ ΙΘ.

[1]Ἔχοντες οὖν, ἀδελφοὶ, παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων 180
ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισεν [a]ἡμῖν ὁδὸν πρόσφατον
καὶ ζῶσαν, διὰ τοῦ καταπετάσματος, τουτέστι, τῆς σαρκὸς
αὐτοῦ, καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ θεοῦ, προσερχώ-

19 Luc. x. 20. 20 Matth. xxv. 34—36. 1 Cap. X. v. 19—23.

[f] πῶς;—ἐποίησε] ἀλλ' ἐκεῖνος σ. ἐποίει K.Q. [g] γὰρ] οὖν K.Q. Sav. cet. ἐστιν om. K. [h] τὸν om. K.N.Q.R. [i] μὴ—ὑπακούει om. K.Q. inclusum a Sav. [k] εἶναι] + πώλησον τὰ ὑπάρχοντά σου, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς K.Q. Sav. cet. [l] φησιν ὁ (ὁ om. N.R. et a pr. m. O.) Π.] καὶ ὁ (ὁ om. Q.) Π. φησὶν K.Q. Sav. cet. [m] καὶ χρ. om. a pr. m. O. [n] ὃ δὲ—χρυσίον om. R. [o] ὅτι—πενόμενοι] Sic K.Q. Sav. cet. ὅσοι ἑκόντες πένονται A.O. Veron. ὅτι ἑκόντες πένονται N. ὅτι οἱ ἑκόντες πενόμενοι R. [p] καὶ om. Q. [q] ἀκούσονται] ἄκουσον τὰ K.Q.R. [r] φωνῆς] + τῆς λεγούσης Sav. cet. τῆς λ. om. R. Mut. Veron. et a pr. m. O. [s] Haec τί τ. κρεῖττον, inclusa a Sav. post κόσμου transp. K.Q. [t] ἤμην bis om. K.Q. [v] κληρονομήσατε—κόσμου om. K.Q. inclusum a Sav. [w] φύγωμεν K. [x] βασιλείας] + τῶν οὐρανῶν Edd. τῶν οὐρ. om. K.N.Q.R. Mut. [y] θρέψωμεν O. Hom. XIX. [a] ἡμῖν] ἐν ἡμῖν A.

Digitized by Google

μεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐρραντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ λελουμένοι [b]τὸ σῶμα ὕδατι καθαρῷ, κατέχωμεν τὴν [c]ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ.

B [d]"ΕΧΟΝΤΕΣ οὖν, ἀδελφοὶ, παρρησίαν εἰς τὴν εἴσοδον (530)
τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν." Δείξας τὸ [e]μέσον τοῦ ἀρχιερέως, καὶ τῶν θυσιῶν, [f]καὶ τῆς σκηνῆς, καὶ τῆς διαθήκης, καὶ τῆς ἐπαγγελίας, καὶ πολὺ τὸ μέσον, εἴγε τὰ μὲν πρόσκαιρα, [g]ταῦτα δὲ αἰώνια, τὰ μὲν [h]ἐγγὺς ἀφανισμοῦ, ταῦτα δὲ μένοντα, τὰ μὲν [i]ἀσθενῆ, ταῦτα δὲ τέλεια, τὰ μὲν [k]τύποι, ταῦτα δὲ ἀλήθεια· "Οὐ γὰρ κατὰ νόμον [l]ἐντολῆς, φησὶ, σαρκικῆς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου·" [m]καὶ, "Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα·" [n]ἰδοὺ τὸ διηνεκὲς τοῦ ἱερέως· καὶ περὶ τῆς διαθήκης, [o]ἐκείνη, φησὶ, παλαιά· "Τὸ γὰρ [p]παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ·"
C αὕτη [q]δὲ καινὴ, καὶ ἄφεσιν ἁμαρτιῶν ἔχουσα· ἐκείνη δὲ [r]οὐδὲν τοιοῦτον· "Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος," φησί· καὶ πάλιν, "Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας·" [s]ἡ μὲν χειροποίητος, αὕτη δὲ ἀχειροποίητος· [t]ἡ μὲν τράγων αἷμα ἔχουσα, αὕτη δὲ δεσπότου· ἡ μὲν ἑστῶτα τὸν ἱερέα, αὕτη δὲ καθήμενον· ἐπειδὴ τοίνυν [v]πάντα ἐκεῖνα [w]ἐλάσσω, ταῦτα δὲ μείζω, διὰ τοῦτό φησιν, "Ἔχοντες οὖν, ἀδελφοὶ, παρρησίαν." [x]Παρρησίαν πόθεν; [y]Ὥσπερ αἰσχύνην, φησὶ, ποιεῖ τὰ ἁμαρτήματα, οὕτω παρρη-
D σίαν τὸ πάντα ἀφεθῆναι [z]ἡμῖν, [a]καὶ συγκληρονόμους γενέσθαι, καὶ τοσαύτης ἀπολαῦσαι ἀγάπης. "Εἰς τὴν εἴσοδον τῶν [b]ἁγίων." Τί φησιν εἴσοδον ἐνταῦθα; Τὸν οὐρανὸν καὶ τὴν

[b] *τῷ σώματι* Q. [c] *ὁμολογίαν*] *ἐπαγγελίαν* K. Post *ἀκλινῆ* add. *πιστὸς γὰρ* (*γὰρ* om. Q.) *ὁ ἐπαγγειλάμενος* K.N.Q.R. [d] Haec *ἔχοντες—ζῶσαν* leguntur in nostris A.N.O.R. et Mut. non in Editis. [e] *μέσον*] *διάφορον ὅσον* K.Q. Sav. cet. [f] *καὶ* om. K.Q. Mox *καὶ τῆς ἐπαγγ. καὶ τῆς διαθ.* hoc ord. K.N.O.R. [g] *ταῦτα*] *τὰ* K.Q. Sav. cet. Statim *οὐ πρόσκαιρα* pro *αἰώνια* A.N.O.R. Veron. *aeterna* Mut. [h] *ἐγγὺς ἀφ.*] Sic K.Q. Sav. cet. *de proximo pereuntia* Mut. *ἐγγὺς φαινόμενα* A.N.O.R. Veron. Mox *τὰ δὲ μένοντα* K.Q. Sav. cet. [i] *ἀσθενῆ*] *ἀτελῆ* Q. *εὐτελῆ* K. Sav. cet. Statim *τὰ δὲ τ.* A.K.N.Q. Sav. cet. [k] *τύπος* K.Q. Statim *τὰ δὲ ἀλ.* K.Q. Sav. cet. [l] *ἐντολῆς, φ.*] *φ. ἐντολῆς* K.N.Q.R. [m] *καὶ*] + *πάλιν* K.Q. Sav. cet. [n] *ἰδοὺ*] + *γὰρ* A. Veron. et ex corr. O. [o] *ἐκείνης* R. *ἐκείνη, φ. παλαιὰ*] *ὅτι παλαιὰ, δῆλον δι' ὧν λέγει* K.Q. [p] *παλαιούμενον*] + *φησὶ* O. [q] *δὲ*] + *καὶ* Q. [r] *οὐδὲν τ.*] *παλαιὰ* R. [s] *ἡ*] *καὶ ἐκείνη* K.Q. Sav. cet. [t] *ἡ*] *καὶ ἡ* bis iidem. [v] *ἅπαντα* O. [w] *ἐλάττω* K.N.O. Cat. Mox *μείζονα* K.N.Q. [x] *παρρησίαν* om. K. Mut. Post *πόθεν* add. *ἀπὸ τῆς ἀφέσεως* K.Q. Sav. cet. [y] *ὥσπερ*] + *γὰρ* iidem. Mox *φησὶ* om. K.Q. [z] *ἡμῖν*] *ταῦτα ἡμῖν· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ* K.Q. Sav. cet. [a] *καὶ*] + *τὸ* K.N.Q. Sav. cet. Mox *τιμῆς* pro *ἀγάπης* K.Q. [b] *ἁγίων—οὐρανὸν*] *ἁγίων, φησίν. εἴσοδον ἐνταῦθα τὸν οὐρανὸν* O. favente Mut. *ἁγίων. τί ἐστι τοῦτο; εἴσοδον ἐνταῦθα τὸν οὐρανόν φησι* K.Q.

Digitized by Google

[c]πρόσοδον τὴν εἰς τὰ πνευματικά. "Ἣν [d]ἐνεκαίνισε" τουτ-
έστιν, ἣν κατεσκεύασε, καὶ ἧς ἤρξατο· ἐγκαινισμὸς γὰρ λέγεται
ἀρχὴ [e]χρήσεως λοιπόν· ἣν κατεσκεύασε, [f]φησὶ, καὶ δι' ἧς αὐτὸς
ἐβάδισεν. "Ὁδὸν πρόσφατον καὶ ζῶσαν." Ἐνταῦθα τὴν πλη- 181
ροφορίαν τῆς ἐλπίδος [g]ἐμφαίνει. "Πρόσφατον," φησί. Βιά-
ζεται δεῖξαι πάντα [h]μείζονα ἐσχηκότας, εἴγε νῦν ἀνεῴχθησαν
αἱ πύλαι τῶν οὐρανῶν, ὃ [i]μήτε ἐπὶ Ἀβραὰμ ἐγένετο. "[k]Ὁδὸν
πρόσφατον, φησὶ, καὶ ζῶσαν" ἡ γὰρ πρώτη ὁδὸς [l]θανάτου ἦν,
ἐπὶ τὸν ᾅδην ἄγουσα, αὕτη δὲ ζωῆς. Καὶ οὐκ εἶπε, ζωῆς, ἀλλὰ
ζῶσαν [m]αὐτὴν ἐκάλεσε· [n]τουτέστι, τὰ προστάγματα, τὴν μέ-
νουσαν. "Διὰ τοῦ καταπετάσματος, [o]φησὶ, τῆς σαρκὸς αὐτοῦ."
Ἡ γὰρ σὰρξ αὕτη ἔτεμε [p]πρώτη τὴν [q]ὁδὸν ἐκείνην· [r]τούτῳ
αὐτὴν ἐνεκαίνισεν, ᾗ ἐβάδισε. [s]Καταπέτασμα δὲ εἰκότως [t]ἐκά-
λεσε· ὅτε γὰρ ἤρθη εἰς ὕψος, τότε ἐφάνη τὰ ἐν [u]τοῖς οὐρανοῖς. B
"[v]Προσερχώμεθα, φησὶ, μετὰ ἀληθινῆς καρδίας." [w]Τίνι προσ-
ερχώμεθα; [x]Τοῖς ἁγίοις, τῇ πίστει, τῇ πνευματικῇ λατρείᾳ.
"Μετὰ ἀληθινῆς καρδίας, ἐν πληροφορίᾳ [y]πίστεως·" ἐπειδὴ
οὐδέν ἐστιν ὁρατὸν, [z]οὔτε ὁ ἱερεὺς [a]λοιπὸν, οὔτε ἡ θυσία, οὔτε
τὸ [b]θυσιαστήριον. Καίτοιγε οὐδὲ ἐκεῖνος ὁ ἱερεὺς ὁρατὸς ἦν,
[c]ἀλλ' ἔνδον αὐτὸς εἱστήκει, ἐκεῖνοι δὲ ἔξω πάντες, ὁ λαὸς ἅπας.
Ἐνταῦθα δὲ οὐ μόνον τοῦτο [d]γέγονεν, ὅτι ὁ ἱερεὺς εἰσῆλθεν
εἰς τὰ [e]ἅγια, ἀλλ' ὅτι καὶ ἡμεῖς εἰσερχόμεθα. [f]Διὰ τοῦτό C
φησιν, "Ἐν πληροφορίᾳ πίστεως." Ἔστι γὰρ καὶ πιστεύειν
[g]ἁπλῶς διστάζοντα· [h]οἷοι πολλοί εἰσι καὶ νῦν λέγοντες, ὅτι

[c] πρόοδον A.R. Veron. [d] ἐνεκαίνισεν] + ἡμῖν K.N.O.Q.R. Sav. cet. invitis Cat. Mut. [e] χρίσεως ex corr. O. [f] φησὶ] λέγει K.Q. [g] ἐμφαίνει. πρόσφατον, φ.] ὁδὸν πρόσφατον λέγει. ὅρα πῶς K.Q. [h] τὰ μείζονα Edd. τὰ om. K.N.R. Cat. et a pr. m. O. [i] μήτε omnes. οὐδὲ Edd. Mox γέγονεν pro ἐγένετο K.N.Q.R. [k] ὁδὸν] καὶ καλῶς ὁδὸν K.Q. Sav. cet. Mox εἶπεν pro φησὶ K.Q. [l] θάνατος A.R. Mox εἰς pro ἐπὶ A. [m] αὐτὴν ἐκάλεσε om. K.Q. [n] τουτέστι—μένουσαν] τὴν μένουσαν οὕτω δηλῶν K.Q. Sav. cet. [o] φησὶ om. K.Q. [p] πρῶτον N.R. et ex corr. O. [q] ὁδὸν] + αὐτῷ Edd. αὐτῷ om. K.N.Q.R. Cat. Mut. et a pr. m. O. [r] τούτῳ (τοῦτο R. Cat.) αὐτὴν ἐνεκ. ᾗ (sic O.R. Veron. *quoniam* Mut. ἡ A.N. Cat.) ἐβάδισε] ἣν καὶ ἐγκαινίσαι λέγει, τῷ καὶ αὐτὸς ἀξιῶσαι διὰ ταύτης βαδίσαι K.Q. Sav. cet. [s] καταπέτασμα—οὐρανοῖς om. R. [t] ἐκάλεσε] + τὴν σάρκα K.O.Q. Sav. cet. Mox ἡρέθῃ (sic) A. [u] τοῖς om. K.Q. [v] προσερχόμεθα A. Cat. φησὶ om. iidem. [w] τίνι] Sic N.R. Cat. *in quo* Mut. τίνι λέγει ὅτι K.Q. τίνες Edd. Statim προσερχόμεθα A.N.O.R. Cat. [x] τοῖς ἁγίοις] Sic K.N.O.Q.R. Cat. *sanctitate* Mut. εἴ τις ἅγιος A. Edd. Statim τῇ πίστει om. K.Q.R. [y] πίστεως] + τουτέστιν K.Q. Sav. cet. [z] οὔτε] + γὰρ K.Q. Statim ὁ om. A. [a] λοιπὸν assumtum ex N.O.Q.R. Cat. *jam* Mut. [b] θυσιαστήριον] + ὁρᾶται K.Q. Sav. cet. [c] ἀλλ' ἔνδον] ἔνδον γὰρ K.Q. Mox δὲ om. A. [d] γέγονεν] δείκνυσιν K.Q. Sav. cet. [e] ἅγια] + τοῦτο γὰρ δηλοῖ τῷ λέγειν, καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ θεοῦ K.O.Q. Sav. cet. [f] διὰ τοῦτο—καὶ νῦν] ἐν πλ. (+ δὲ Q.) πίστεως εἶπεν, ἐπειδὴ ἔστι καὶ πιστεύειν ἁπλῶς πιστεύοντας. τοιοῦτοι πολλοὶ καὶ νῦν εἰσι K.Q. [g] ἁπλῶς accessit ex N.O.R. Cat. Mut. Statim διστάζοντας N. διστάζοντος R. [h] οἷοι] οἷον οἱ A.

Digitized by Google

ἐνίων [i]ἐστὶ, φησὶν, ἀνάστασις, ἐνίων δὲ οὔ. [k]Τοῦτο οὐκ ἔστι
πίστις· "Ἐν πληροφορίᾳ, φησὶ, πίστεως·" [l]οὕτω δεῖ πιστεύειν,
ὡς περὶ ὁρωμένων, καὶ [m]πολλῷ πλέον. Ἐνταῦθα μὲν [n]γὰρ
σφαλῆναι ἔστιν ἐν τοῖς ὁρωμένοις, ἐκεῖ δὲ οὔ· [o]ἐνταῦθα μὲν τῇ
αἰσθήσει ἐπιτρέπομεν, ἐκεῖ δὲ τῷ πνεύματι. "Ἐρραντισμένοι
[p]τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς." [q]Δείκνυσιν ὅτι οὐ
πίστις μόνη, ἀλλὰ καὶ βίος ἐνάρετος ζητεῖται, καὶ τὸ μηδὲν
D ἑαυτοῖς συνειδέναι πονηρόν. Οὐ γὰρ δέχεται [r]μετὰ πληρο-
φορίας τὰ ἅγια τοὺς μὴ οὕτω διακειμένους· ἅγια γάρ ἐστι, καὶ
ἅγια ἁγίων· [s]ἐνταῦθα δὲ ἄνθρωπος οὐδεὶς βέβηλος εἴσεισιν.
Ἐκεῖνοι τὸ σῶμα ἐρραντίζοντο, ἡμεῖς τὴν συνείδησιν· ὥστε
ἔστι καὶ νῦν περιρραντίζεσθαι [t]αὐτῇ τῇ ἀρετῇ. "Καὶ λελου-
μένοι τὸ σῶμα ὕδατι καθαρῷ." Τὸ λουτρὸν ἐνταῦθά φησιν,
[v]οὐκέτι [w]σωμάτων καθάρσιον, ἀλλὰ ψυχῆς. "Πιστὸς [x]γὰρ ὁ
ἐπαγγειλάμενος." [y]Τί ὁ ἐπαγγειλάμενος; Ὅτι δεῖ ἀπελθεῖν
182 ἐκεῖ, καὶ εἰσελθεῖν εἰς τὴν βασιλείαν. Μηδὲν τοίνυν περιεργά-
ζου, μηδὲ [z]λογισμοὺς ἀπαίτει· πίστεως δεῖται τὰ ἡμέτερα.

[2]"Καὶ κατανοῶμεν, [a]φησὶν, ἀλλήλους εἰς παροξυσμὸν ἀγά- (531)
πης καὶ καλῶν ἔργων, μὴ [b]ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν
ἑαυτῶν, καθὼς ἔθος τισὶν, ἀλλὰ παρακαλοῦντες· καὶ τοσούτῳ
μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν." [c]Καὶ πάλιν
ἑτέρωθι, [3]"Ὁ κύριος ἐγγὺς, μηδὲν μεριμνᾶτε·" [d]"Νῦν γὰρ
ἐγγύτερον ἡμῶν ἡ σωτηρία·" "[e]Ὁ καιρὸς συνεσταλμένος [f]ἐστὶ
λοιπόν." Τί ἐστι, "Μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν
B ἑαυτῶν;" [g]Οἶδεν ἀπὸ τῆς συνουσίας καὶ τῆς [h]ἐπισυναγωγῆς
πολλὴν οὖσαν τὴν ἰσχύν. [4]"Ὅπου γάρ εἰσι δύο ἢ τρεῖς, [i]φησὶ,

2 v. 24, 25. 3 Philipp. iv. 5, 6. Rom. xiii. 11. 1 Cor. vii. 29.
4 Matt. xviii. 20. Joan. xvii. 11. Act. iv. 32.

[i] ἐστὶ, φ.] μέν ἐστιν K.Q. Sav. cet. Mox δὲ om. O.R. Cat. [k] τοῦτο (+ δὲ N.)—φησὶ (φησὶ om. A.) π.] τοῦτο δὲ οὐκ ἔστι πληροφορία π. K.Q. Sav. cet. [l] οὕτω] + γὰρ iidem. Mox ὁρωμένου K.Q.R. [m] πολλῷ πλεῖον N. πολὺ πλεῖον K. [n] γὰρ] + καὶ A.K.Q. Sav. cet. [o] ἐντ.] καὶ ἐντ. K.Q. Sav. cet. [p] ταῖς καρδίαις olim O. [q] δείκνυσιν] ἐνταῦθα δείκνυσιν K.Q. Sav. cet. Mox μόνη pro μόνον K.N.O.Q.R. Mut. [r] μετὰ πλ. post διακειμένους transp. K.Q. Sav. cet. Mox μὴ om. A. [s] ἐνταῦθα δὲ ἄνθρ.] Sic A. Cat. Veron. Mut. et a pr. m. O. ἐνταῦθα. ἄνθρ. δὲ N.R. et corr. O. οὐκοῦν ἐνταῦθα ἄνθρ. K.Q. Sav. cet. [t] αὐτῇ] ἀλλ' αὐτῇ K.Q. Sav. cet. [v] οὐκέτι] Sic Cat. οὐκ ἔστι A.N.O.R. Veron. ὅπερ οὐκ ἔστι K.Q. Sav. cet. [w] σώματος olim O. Post καθάρσιον add. τὸ λουτρὸν a pr. m. O. [x] γὰρ om. O. [y] τί ὁ (ὁ om. N.) ἐπ.] καὶ τί ἐπ. ἔστι πιστὸς K.Q. Sav. cet. τί ὁ ἐπ. om. R. Cat. Mut. et in text. O. [z] λογισμοῖς olim O. [a] φησὶν om. K.Q. [b] ἐγκαταλιπόντες ter A.K.Q. Veron. Mox αὐτῶν a pr. m. O. [c] καὶ π. ἑτέρωθι] οὕτω καὶ ἀλλαχοῦ φησιν K.Q. Statim ὁ κ. γὰρ ἐγγὺς R. [d] νῦν] καὶ πάλιν, νῦν K.Q. Statim γὰρ om. K. inclusum a Sav. [e] ὁ] καὶ πάλιν, ὁ K.Q. Sav. cet. [f] ἐστὶ] τὸ A. Veron. et a pr. m. O. ἐστι τὸ Cat. [g] οἶδεν] + ὅτι A. [h] συναγωγῆς R. [i] φ. συνηγ.] συνηγ. φ. K.Q.R. Mox εἰς τὸ ἔμον ὄνομα O.

Digitized by Google

συνηγμένοι εἰς τὸ ὄνομά μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν·" [k]καὶ
πάλιν, "Ἵνα ὦσιν ἕν, καθὼς [l]καὶ ἡμεῖς·" [m]καὶ, "Πάντων ἦν ἡ
καρδία καὶ ἡ ψυχὴ μία." [n]Οὐ τοῦτο δὲ μόνον, ἀλλ' ἐπειδὴ καὶ
τὰ τῆς ἀγάπης αὔξεται διὰ τῆς ἐπισυναγωγῆς· τῆς δὲ [o]ἀγάπης
αὐξανομένης, ἀνάγκη καὶ τὰ τοῦ θεοῦ ἕπεσθαι. [5]"Προσευχὴ δὲ
ἦν, [p]φησὶν, ἐκτενὴς ὑπὸ τοῦ λαοῦ γινομένη." "Καθὼς ἔθος
[q]τισίν." Ἐνταῦθα οὐ μόνον [r]παρῄνεσεν, ἀλλὰ καὶ ἐμέμψατο.
"Καὶ κατανοῶμεν, [s]φησὶν, ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης
καὶ καλῶν ἔργων." Οἶδε καὶ τοῦτο γινόμενον ἀπὸ τῆς ἐπισυνα- C
γωγῆς αὐτῶν. Καθάπερ [t]γὰρ σίδηρος σίδηρον ὀξύνει, οὕτω καὶ
ἡ συνουσία τὴν ἀγάπην αὔξει. Εἰ γὰρ λίθος πρὸς λίθον τρι-
βόμενος πῦρ ἀφίησι, πόσῳ μᾶλλον ψυχὴ πρὸς ψυχὴν ἀνα-
μιγνυμένη; [v]Ἀλλὰ μὴ εἰς ζῆλον, φησὶν, ἀλλ', "εἰς παροξυσμὸν
ἀγάπης." [w]Τί ἐστιν, "εἰς παροξυσμὸν ἀγάπης;" Εἰς τὸ μᾶλ-
λον ἀγαπᾶν καὶ [x]ἀγαπᾶσθαι. "Καὶ καλῶν ἔργων·" ὥστε ζῆ-
λον λαβεῖν. [y]Εἰ γὰρ τὸ ποιεῖν τοῦ λέγειν μείζονα τὴν ἰσχὺν
ἔχει πρὸς διδασκαλίαν, πολλοὺς ἔχετε καὶ ὑμεῖς διδασκάλους ἐν
τῷ πλήθει διὰ τῶν ἔργων τοῦτο [z]ποιοῦντας. Τί ἐστι, "Προσ-
ερχώμεθα μετὰ ἀληθινῆς καρδίας;" Τουτέστι, χωρὶς ὑποκρί- D
σεως· [6]"Οὐαὶ γὰρ καρδίᾳ [a]δειλῇ, καὶ χερσὶ παρειμέναις."
Μηδὲν ἔστω, φησὶ, ψεῦδος ἐν [b]ἡμῖν· μὴ ἕτερα μὲν λέγωμεν,
ἕτερα δὲ φρονῶμεν· τοῦτο γὰρ [c]ψεῦδος· μηδὲ ὀλιγοψυχῶμεν·
τοῦτο γὰρ οὐκ ἀληθινῆς καρδίας· ἀπὸ γὰρ τοῦ μὴ πιστεύειν τὸ
ὀλιγοψυχεῖν γίνεται. Πῶς δὲ ἔσται τοῦτο; Ἐὰν [d]πληροφο-
ρήσωμεν ἑαυτοὺς διὰ τῆς πίστεως. "Ἐρραντισμένοι τὰς καρ-
δίας." Διὰ τί μὴ εἶπε, [e]κεκαθαρμένοι; Τὴν διαφορὰν τῶν
περιρραντηρίων δεῖξαι βουλόμενος· [f]τὸ μὲν [g]τοῦ θεοῦ, φησὶ, τὸ
δὲ ἡμέτερον. Τὸ μὲν γὰρ λοῦσαι καὶ περιρρᾶναι τὴν συνείδη- 183
σιν, τοῦ θεοῦ· τὸ δὲ [h]μετὰ ἀληθείας προσελθεῖν καὶ ἐν πληρο-

5 Act. xii. 5. 6 Sirac. ii. 12.

[k] καὶ—πάντων] καθὼς καὶ πάντων A. Veron. [l] καὶ om. K.Q. Cat. Post ἡμεῖς add. ἕν ἐσμεν K.Q. Sav. cet. [m] καὶ] + πάλιν iidem. Mox ἡ om. bis N. [n] οὐ] + διὰ K.Q. Sav. cet. Mox αὐξάνεται K.Q.R. Sav. cet. [o] ἀγάπης] + ἐπισυναγομένης καὶ R. [p] φ. ἐκτενὴς] ἐκτενὴς, φ. K.O. [q] τισὶν] τι ἦν R. καθὼς ἔ. τισὶν] καὶ πάλιν, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς, φησὶν A. Veron. [r] παρῄνεσεν] οὐκ ἀπεδέξατο K.Q. Post ἐμέμψατο add. τὸ πρᾶγμα iidem. [s] φησὶν post ἀγάπης transp. K.Q. [t] γὰρ om. R. [v] ἀλλὰ μὴ] ὅρα· οὐκ K.Q. Sav. cet. [w] τί—ἀγάπης om. Cat. Veron. et in text. O. [x] ἀγαπᾶσθαι] + προστίθησι δὲ K.Q. Sav. cet. [y] εἰ] καὶ A. Veron. εἰκότως· εἰ K.Q. Sav. cet. Post ποιεῖν add. φησὶ iidem. [z] ποιοῦντες A. [a] δηλῇ A. δισσῇ R. [b] ἡμῖν] Sic A. Veron. Mut. ὑμῖν Sav. cet. Statim μηδὲ olim O. [c] ψευδὲς R. Statim μηδὲν idem. [d] πληροφορῶμεν Cat. Veron. Post ἑαυτοὺς add. φησὶ Q. [e] κεκαθ.] + ἀλλὰ ἐρραντισμένοι K.Q. Sav. cet. [f] τὸ] καὶ τὸ Cat. καὶ ὅτι τὸ (mox om. φησὶ) K.Q. Sav. cet. [g] τοῦ om. Q. [h] μετὰ ἀλ.] ἐν ἀληθείᾳ A. Veron. Mox καὶ om. K.Q.

Digitized by Google

*φορίᾳ πίστεως, ἡμέτερον. Εἶτα καὶ τῇ πίστει δίδωσιν ἰσχὺν
ἀπὸ τῆς ἀληθείας τοῦ ἐπαγγειλαμένου. [n]Τί ἐστι, "Καὶ λε-
λουμένοι τὸ σῶμα ὕδατι καθαρῷ;" [o]Τῷ καθαροὺς ποιοῦντι, ἢ
τῷ μὴ ἔχοντι αἷμα. Εἶτα προστίθησι τὸ τέλειον, τὴν ἀγά-
πην. "Μὴ ἐγκαταλείποντες τὴν [p]ἐπισυναγωγὴν ἑαυτῶν·" ὅπερ
τινὲς, [q]φησὶ, ποιοῦσι, καὶ τὰς συνόδους [r]διατέμνουσιν. 7"'Αδελ-
φὸς [s]γὰρ ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά." "'Αλλὰ
κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης." Τί ἐστι, "κα-
B τανοῶμεν ἀλλήλους;" Οἷον, εἴ τις ἐνάρετος, τοῦτον μιμώμεθα,
βλέπωμεν εἰς αὐτὸν, ὥστε ἀγαπᾶν καὶ ἀγαπᾶσθαι· ἀπὸ γὰρ
τῆς ἀγάπης τὰ καλὰ ἔργα γίνονται. Μέγα [t]γὰρ ἀγαθὸν ἡ
σύνοδος· [v]αὕτη γὰρ αὐτὴν θερμοτέραν ἐργάζεται, καὶ ἐξ αὐτῆς
πάντα τίκτεται τὰ ἀγαθά· οὐδὲν γάρ ἐστιν ἀγαθὸν, ὃ μὴ δι'
ἀγάπης γίνεται.*

*[w]Ταύτην οὖν κυρώσωμεν εἰς ἀλλήλους· 8"Πλήρωμα γὰρ νό-
μου [x]ἐστὶν ἡ ἀγάπη." Οὐ δεῖ πόνων ἡμῖν, [y]οὐδὲ ἱδρώτων, ἐὰν
ἀγαπῶμεν ἀλλήλους· [z]αὐτόματός ἐστιν ὁδὸς φέρουσα [a]πρὸς
C τὴν ἀρετήν. Καθάπερ γὰρ ἐπὶ τῆς λεωφόρου, ἐάν τις [b]εὕρῃ
τὴν ἀρχὴν, ὁδηγεῖται ὑπ' αὐτῆς, καὶ οὐ δεῖται χειραγωγοῦ·
οὕτω καὶ ἐπὶ τῆς ἀγάπης, μόνον ἐπιλαβοῦ τῆς ἀρχῆς, καὶ εὐ-
θέως χειραγωγῇ ὑπ' αὐτῆς καὶ εὐθύνῃ. 9"'Η ἀγάπη [c]τῷ πλη-
σίον κακὸν οὐκ ἐργάζεται, οὐ λογίζεται τὸ κακόν." [d]'Εννοήσῃ
τις αὐτὸς ἑαυτὸν, πῶς διάκειται [e]πρὸς ἑαυτόν. [f]Οὐ φθονεῖ
ἑαυτῷ, πάντα ἑαυτῷ [g]συνεύχεται τὰ ἀγαθὰ, πάντων ἑαυτὸν
προτιμᾷ, πάντα ὑπὲρ [h]ἑαυτοῦ βούλεται ποιεῖν. 'Εὰν τοίνυν
D καὶ πρὸς [i]τοὺς ἄλλους οὕτω διακεώμεθα, πάντα λέλυται τὰ
[k]δεινὰ, οὐκ ἔστιν ἔχθρα, οὐκ ἔστι πλεονεξία· [l]τίς ἂν ἕλοιτο πλεο-
νεκτῆσαι ἑαυτόν; Οὐδείς· ἀλλὰ [m]καὶ τοὐναντίον, κοινὰ πάντα*

7 Prov. xviii. 19. 8 Rom. xiii. 10. 9 Rom. xiii. 10. 1 Cor. xiii. 4.

[n] *τί*] + *δὲ* A. Mox *τῷ σώματι* R. [o] *τῷ κ. π.*] *ἤτοι τῷ κ. π. λέγει* K.Q. Sav. cet. [p] *συναγωγὴν* K.Q. Post h. v. add. *φησὶν* K.Q. Sav. cet. Statim *τὴν ἑαυτῶν* K.Q. [q] *φησὶ* om. A.K.Q. Veron. [r] *διατέμνουσι*] + *τοῦτο αὐτοῖς ἀπαγορεύει* K.Q. Sav. cet. [s] *γὰρ*] + *φησὶν* O. [t] *γὰρ* assumtum ex K.N.Q.R. Cat. Mut. [v] *αὕτη* (*αὐτὴ* Cat.) *γὰρ αὐτὴν*] *αὐτὴ ἑαυτὴν* K.Q. [w] ΗΘΙΚΟΝ. *"Οτι δεῖ καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν.* Veron. [x] *ἐστὶν* om. R. *ἡ ἀγάπη* om. Q *ἀγ. ἐστὶν* pro *ἐστὶν ἡ ἀγ.* K. [y] *οὐδὲ*] *οὐ δεῖ* olim O. Mox *ἀγαπήσωμεν* O. Veron. [z] *αὐτόματος*] + *τις* A.O. Sav. cet. [a] *πρὸς*] *εἰς* K.N.Q.R. [b] *εὕροι* K.Q. [c] *τῷ πλ. κ. οὐκ ἐργάζεται*] *φησὶ, μακροθυμεῖ, χρηστεύεται* K.Q. Sav. cet. [d] *ἐννοήσῃ*] *ἐννοήσει* A.K.Q.R. Veron. *ἐὰν ἐννοήσῃ* N. Sav. cet. *ἐὰν* (insertum a 2da m.) *ἐννοήσει* O. *consideret* Mut. Statim *αὐτὸς ἑαυτὸν* (*ἑαυτῷ* A. Veron. et ex corr. O.) om. K.Q. inclusum a Sav. Post *διάκειται* add. *αὐτὸς* K.Q. [e] *πρὸς ἑαυτὸν*] *περὶ αὐτὸν* A. [f] *οὐ*] *καὶ οὕτω πρὸς τὸν πλησίον διακείσθω. οὐδεὶς* K.Q. Sav. cet. [g] *εὔχεται* iidem. [h] *ἑαυτὸν* A. [i] *τοὺς* om. Q. Mox *διακείμεθα* A. et a pr. m. O. [k] *δεινὰ*] *δεσμὰ* A. Veron. *mala* Mut. [l] *τίς*] + *γὰρ* K.Q. Sav. cet. [m] *καὶ τοὐν.*] *μᾶλλον πᾶν τοὐν. οὐκοῦν* K.Q. Sav. cet.

Digitized by Google

(532) [n]κτησόμεθα, καὶ οὐ πανσόμεθα συνάγοντες ἑαυτούς. [o]Κἂν
τοῦτο ποιῶμεν, μνησικακία χώραν οὐκ [p]ἂν ἔχοι· τίς γὰρ
[q]ἕλοιτο ἂν ἑαυτῷ μνησικακεῖν; τίς ἂν ἕλοιτο ἑαυτῷ ὀργίζε-
σθαι; οὐχὶ [r]μάλιστα πάντων ἑαυτοῖς συγγινώσκομεν; Ἐὰν
οὕτω καὶ πρὸς [s]τοὺς πλησίον διακεώμεθα, οὐδέποτε ἔσται μνη-
σικακία. Καὶ πῶς δυνατὸν, φησὶ, τὸν πλησίον οὕτως [t]ἀγαπῆ- 184
σαι, ὡς αὐτὸς ἑαυτόν; Εἰ μὴ ἐποίησαν τοῦτο ἕτεροι, καλῶς
ἀδύνατον [v]εἶναι νομίζεις· εἰ δὲ ἐποίησαν, δῆλον ὅτι διὰ ῥαθυ-
μίαν παρ' ἡμῶν οὐ γίνεται. Ἄλλως δὲ, οὐδὲν ἀδύνατον ἐπιτάτ-
τει [w]ὁ Χριστὸς, ὅπου γε πολλοὶ καὶ ὑπερέβησαν αὐτοῦ τὰ
[x]ἐπιτάγματα. Τίς οὖν ἐποίησε τοῦτο; Ὁ Παῦλος, ὁ Πέτρος,
[y]πᾶς ὁ τῶν ἁγίων χορός. Ἀλλ' ἐὰν μὲν εἴπω ὅτι τοὺς πλη-
σίον ἠγάπησαν, οὐδὲν μέγα [z]ἐρῶ· τοὺς ἐχθροὺς οὕτως ἠγάπη-
σαν, ὡς οὐκ ἄν τις ἀγαπήσειε τοὺς ὁμοψύχους. Τίς γὰρ ἂν B
[a]ἕλοιτο ὑπὲρ τῶν ὁμοψύχων εἰς γέενναν ἀπελθεῖν, [b]μέλλων εἰς
βασιλείαν ἀπιέναι; Οὐδείς· [c]ἀλλὰ Παῦλος ὑπὲρ τῶν ἐχθρῶν
τοῦτο εἵλετο, τῶν λιθασάντων [d]αὐτὸν, τῶν μαστιξάντων. Ποία
οὖν [e]ἡμῖν ἔσται συγγνώμη, τίς παραίτησις, εἰ μηδὲ [f]πρὸς τὸ
πολλοστὸν μέρος τῆς ἀγάπης, ἧς ἐπεδείξατο περὶ τοὺς ἐχθροὺς
ὁ Παῦλος, ἡμεῖς περὶ τοὺς φίλους [g]ἐπιδειξόμεθα; Καὶ ὁ μακά-
ριος δὲ Μωϋσῆς πρὸ τούτου ὑπὲρ τῶν ἐχθρῶν ἠθέλησε τῶν
λιθασάντων αὐτὸν ἐξαλειφθῆναι τῆς βίβλου [h]τοῦ θεοῦ· καὶ ὁ
Δαυῒδ τοὺς [i]ἀντιστάντας αὐτῷ ὁρῶν ἀναιρουμένους, φησὶν, C
[10]"Ἐγὼ ὁ ποιμὴν ἥμαρτον, καὶ οὗτοι τί ἐποίησαν;" καὶ τὸν
Σαοὺλ εἰς χεῖρας λαβὼν, ἀνελεῖν οὐκ [k]ἠβουλήθη, ἀλλὰ διέσωζε,
καὶ ταῦτα μέλλων αὐτὸς κινδυνεύειν. Εἰ δὲ ἐν τῇ παλαιᾷ ταῦτα,
τίνα συγγνώμην ἕξομεν ἡμεῖς [l]οἱ ἐν τῃ καινῇ πολιτευόμενοι, καὶ
[m]μηδὲ πρὸς τὸ αὐτὸ ἐκείνοις φθάνοντες μέτρον; Εἰ γὰρ, ἐὰν

[10] 2 Reg. xxiv. 17.

[n] κτησώμεθα A.K.N.Q. Sav. cet. Sic olim O. *habebimus* Mut. Statim καὶ μὴ πανσώμεθα K.Q. Sav. cet. (πανσώμεθα a pr. m. O.) [o] κἂν] ἂν K.Q. [p] ἂν ἔχοι] Sic A.N.O.R. ἔχει K.Q. ἂν ἔχῃ Edd. [q] ἕλ. ἂν] ἂν ἕλ. A.K. N.R. Mox μνησικακεῖν—ἑαυτῷ om. A. [r] μ. πάντων] μᾶλλον K.Q.R. [s] τοὺς] τὸν A. Mox διακείμεθα idem. [t] ἀγαπᾶν O. [v] εἶναι] + τοῦτο K. Sav. cet. [w] ὁ om. R. [x] προστάγματα K.N.Q.R. Sav. cet. [y] ἅπας O. [z] ἐρῶ om. R. [a] ἕλοιτο] εἵλετο ἡμῶν K.Q. ἕλοιτο ἡμῶν Sav. cet. [b] μέλλων] μᾶλλον ἢ K.Q. [c] ἀλλὰ ὁ Π. N. Sav. cet. ἀλλ' ὁ Π. in rasura O. [d] αὐτὸν om. R. Veron. et a pr. m. O. Statim καὶ pro τῶν K.N.Q. et ex corr. O. [e] ἡμῖν ἔσται (ἐστιν R.) σ.] σ. ἔσται ἡμῖν K.N.Q. [f] πρὸς om. K.N.Q. Sav. cet. [g] ἐπιδειξώμεθα A.O. ἐπιδειξαίμεθα ex Colb. edidit Montef. [h] τοῦ θεοῦ] τῆς ζωῆς Veron. [i] ἐπαναστάντας K.N.Q. et ex corr. O. Mox ἔλεγεν pro φησὶν K.Q. [k] ἐβουλήθη N. Mox διέσωσε K.Q. [l] οἱ om. R. Veron. et a pr. m. O. [m] μηδὲ] μὴ K.N.

Digitized by Google

μὴ περισσεύσῃ ἡ δικαιοσύνη [n]ἡμῶν [o]πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐκ εἰσελευσόμεθα εἰς τὴν βασιλείαν [p]τῶν οὐρανῶν· ὅταν [q]καὶ ἔλαττον ἐκείνων ἔχωμεν, πῶς εἰσελευσόμεθα;
D [11]“Ἀγαπᾶτε, φησὶ, τοὺς ἐχθροὺς [r]ὑμῶν.” Ἀγάπησον τοίνυν τὸν ἐχθρόν· οὐ γὰρ ἐκεῖνον εὐεργετεῖς, ἀλλὰ σαυτόν. Πῶς; Ἴσος [s]γίνῃ τῷ θεῷ. Ἐκεῖνος ἐὰν ἀγαπηθῇ παρὰ σοῦ, οὐδὲν μέγα ἐκέρδανε· παρὰ γὰρ ὁμοδούλου ἠγαπήθη· σὺ δὲ ἐὰν ἀγαπήσῃς τὸν ὁμόδουλον, μέγα ἐκέρδανας· γίνῃ [t]γὰρ ὅμοιος τῷ θεῷ. Ὁρᾷς ὅτι οὐκ ἐκείνῳ χαρίζῃ, ἀλλὰ σαυτῷ; τὸ γὰρ ἔπαθλον οὐκ ἐκείνῳ τίθησιν, ἀλλὰ σοί. Τί οὖν, [v]ἐὰν ᾖ πονηρὸς,
185 [w]φησί; Τοσούτῳ [x]μείζων ὁ μισθός· [y]καὶ τῆς πονηρίας ὀφείλεις αὐτῷ χάριν εἰδέναι, κἂν μυρία εὐεργετούμενος κακὸς ᾖ. Εἰ [z]γὰρ μὴ σφόδρα κακὸς ἦν, οὐκ ἂν σοι σφόδρα ὁ μισθὸς ηὐξήθη. Ὥστε ἡ αἰτία τοῦ μὴ ἀγαπᾶν, τὸ λέγειν ὅτι πονηρός ἐστιν, [a]ἡ αὐτὴ αἰτία ἐστὶ τοῦ ἀγαπᾶν. Ἆρον τὸν ἀνταγωνιστὴν, καὶ ἀναιρεῖς τῶν στεφάνων τὴν ἀφορμήν. Οὐχ ὁρᾷς τοὺς [b]ἀθλητὰς, πῶς θυλάκους ἄμμου [c]πλήσαντες, οὕτω γυμνάζονται;
B [d]Σοὶ δὲ οὐ χρεία ἐπιτηδεῦσαι τοῦτο· γέμει ὁ βίος τῶν γυμναζόντων σε, καὶ ποιούντων [e]ἰσχυρόν. Οὐχ ὁρᾷς [f]ὅτι καὶ τὰ δένδρα ὅσῳ ἂν ὑπὸ ἀνέμων [g]ῥιπίζηται, τοσούτῳ μᾶλλον ἰσχυρότερα γίνεται καὶ πυκνότερα; Καὶ ἡμεῖς τοίνυν ἂν ὦμεν μακρόθυμοι, [h]ἰσχυροὶ ἐσόμεθα. [12]“Ἀνὴρ γὰρ, φησὶ, μακρόθυμος, πολὺς ἐν φρονήσει· ὁ δὲ ὀλιγόψυχος, [i]ἰσχυρῶς ἄφρων.” Ὁρᾷς ὅσον [k]τούτου τὸ ἐγκώμιον; ὅσον ἐκείνου τὸ κατηγόρημα; “Ἰσχυρῶς ἄφρων,” τουτέστι, πάνυ. Μὴ τοίνυν μικροψυχῶμεν
C πρὸς ἀλλήλους· οὐ γὰρ ἀπὸ τῆς ἔχθρας γίνεται τοῦτο, ἀλλ' ἀπὸ τοῦ ψυχὴν μικρὰν ἔχειν· [l]ὡς ἐὰν ᾖ ἰσχυρὰ, πάντα οἴσει

11 Matth. v. 44. 12 Prov. xiv. 29.

[n] ἡμῶν] ὑμῶν A.Q. [o] πλεῖον K.Q. et olim O. Statim γρ. καὶ Φαρ. pro Φαρ. καὶ γρ. A.K.N.Q.R. Mut. [p] τῶν οὐρ.] τοῦ θεοῦ K.N.Q. [q] καὶ τὸ ἔλ. K.Q. Statim ἔχωμεν ἐκείνων hoc ord. K.N.Q. [r] ὑμῶν] + καὶ ἔσεσθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς K.Q. Sav. cet. [s] γίνῃ] + τοῦτο ποιῶν Sav. cet. nescimus quo auctore. πῶς—θεῷ] πῶς οὖν ἴσος γένῃ τῷ θ. μὴ ἀγαπῶν K.Q. [t] γὰρ om. R. Veron. et a pr. m. O. [v] ἂν A.K.N.O.Q. [w] φησὶ] + ὅσῳ ἂν ᾖ πονηρὸς K.Q. [x] μείζων] πλείων O. πλείω R. [y] καὶ] ἀλλὰ καὶ K.Q. Sav. Mor. Mox αὐτῷ ὀφείλεις hoc ord. K.Q. [z] γὰρ μὴ] Sic omnes. μὴ γὰρ Edd. Mox σοι om. R. et olim O. [a] ἡ αὐτὴ αἰτία] ἡ αὐτὴ ἡ αἰτία (sed ἡ bis eraso) O. αὕτη ἡ αἰτία R. αὕτη αἰτία N. Sav. cet. [b] ἀθλητὰς] πύκτας K.N.Q. et marg. O. *praecones* Mut. Statim ὅπως A.O.R. [c] πληρώσαντες K.N.Q. Sav. cet. Sic ex corr. O. [d] σοὶ δὲ] ὧδε R. Statim οὐδὲ χρ. K.Q. et olim O. [e] ἰσχυρότερον K.N.Q. Mut. [f] ὅτι] πῶς K.Q. [g] ῥιπίζηται] Sic K.O.Q.R. Ben. ῥιπίζονται A. ῥιπίζωνται Veron. ῥιπτίζηται N. Sav. Mor. Mox γίνονται K.N. [h] καὶ ἰσχυροὶ Edd. καὶ om. K.N.Q.R. Mut. et a pr. m. O. [i] ἰσχυρὸς bis K. [k] τούτου τὸ ἐ.] τὸ ἐ. τούτου K.Q. Statim ὁρᾷς ὅσον N. Sav. cet. [l] ὡς ἐὰν] ἕως ἂν N.

Digitized by Google

ῥᾳδίως, καὶ οὐδὲν αὐτὴν καταποντίσαι δυνήσεται, ἀλλ' εἰς τοὺς [m]εὐδιεινοὺς ἀπάξει λιμένας· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Κ.

[1]Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπί- D
γνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος, ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους.

(533) ΤΩΝ δένδρων ὅσαπερ ἂν [a]φυτευθέντα, καὶ τῆς ἄλλης ἐπιμελείας ἀπολαύσαντα, καὶ χειρῶν γεωργικῶν καὶ πόνων, [b]μηδεμίαν παρέχηται τῶν πόνων ἀμοιβὴν, πρόρριζα ἀνασπασθέντα
τῷ πυρὶ παραδίδοται. Τοιοῦτον [c]δή τι καὶ ἐπὶ τοῦ φωτίσμα- 186
τος γίνεται. Ἐπειδὰν [d]γὰρ ἡμᾶς ὁ Χριστὸς φυτεύσῃ, καὶ τῆς ἀρδείας ἀπολαύσωμεν τῆς πνευματικῆς, εἶτα [e]μηδένα καρπὸν ἐπιδειξώμεθα, πῦρ ἡμᾶς ἀναμένει τὸ τῆς γεέννης, καὶ φλὸξ ἄσβεστος. Ὁ τοίνυν Παῦλος παρακαλέσας εἰς ἀγάπην [f]καὶ καρποφορίαν ἔργων ἀγαθῶν, [g]προτρέψας ἀπὸ τῶν χρηστοτέρων· ποίων δὴ τούτων; [h]ὅτι εἴσοδον ἔχομεν εἰς τὰ [i]ἅγια, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον· καὶ ἀπὸ τῶν σκυθρωποτέρων πάλιν τὸ [k]αὐτὸ [l]ποιεῖ, οὕτω λέγων. Εἰπὼν γὰρ, "Μὴ [m]ἐγ-
καταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισὶν, B
ἀλλὰ παρακαλοῦντες, καὶ [n]τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν," καὶ ταύτην εἰς παραμυθίαν οὖσαν [o]ἱκανὴν, ἐπήγαγεν· "Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας." Δεῖ, φησὶν, ἔργων [p]ἀγα-

1 Cap. X. v. 26, 27.

[m] εὐδινοὺς N.O.R. εὐδίους K.Q. Hom. XX. [a] φυτευθέντα] + καὶ χειρῶν γεωργικῶν K.Q. Sav. cet. Mox καὶ χ. γ. καὶ πόνων om. iidem. Post πόνων in marg. a 2da m. ἀξιωθέντα O. [b] μηδεμίαν—παραδίδοται (–δονται N.R.)] μηδεμίαν παράσχηται (–σχεται A.) καρπογονίας (–ίαν A.) εἴσοδον (πρόσοδον A.) εἰς τὸ πῦρ βάλλεται A. Veron. [c] δὴ om. a pr. m. O. τι om. R. [d] γὰρ om. N. ἡμᾶς om. A. Veron. [e] μηδένα καρπὸν] Sic K.N.O.Q.R. Veron. Mut. μηδὲν ἄκαρπον A. βίον ἄκαρπον Sav. cet. [f] καὶ] + πρὸς O.R. [g] προτρέψας] + τε K.Q. Sav. cet. [h] ὅτι] οἷον ὅτι K.Q. Sav. Mor. [i] ἀγαθὰ R. [k] αὐτὸ] + τοῦτο K.O.Q. Sav. cet. [l] π. οὕτω (οὕτω om. A. Veron.) λέγων] ποιήσας K.Q. Mox γὰρ om. iidem. [m] ἐγκαταλιπόντες A.K.Q.R. Veron. [n] τοσοῦτο A. τοσοῦτον et mox ὅσον a pr. m. O. [o] ἱκ. ἐπήγαγεν] τίθησιν ἱκ. A. Veron. Post ἐπήγαγεν in marg. add. εἰπὼν O. καὶ ταύτην—ἐπήγαγεν] καὶ αὕτη γὰρ εἰς παράκλησιν ἱκανή· ἐπήγαγεν K.Q. Sav. cet. [p] ἀγαθῶν] + δεῖ Veron. Mut. Mox ἡμῶν ἁμαρτ. hoc ord. Edd. invitis N.O.R. Haec δεῖ, φησὶν—ἀληθείας om. A. Pro iis haec habent K.Q. ὥστε ἀγαθῶν ἔργων σφόδρα ἡμῖν δεῖ· καὶ δηλοποιῶν (δῆλον ποιῶν Q.) τίνος ἕνεκεν δεῖ, εὐθὺς ἐπάγει.

Digitized by Google

θῶν, καὶ σφόδρα δεῖ· "Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται [q]θυσία." [r]Ἐκαθάρθης, ἀπηλλάγης ἐγκλη-
C μάτων, γέγονας υἱός. Ἂν τοίνυν ἐπὶ τὸν πρότερον ἔμετον [s]ὑποστρέψῃς, πάλιν ἀποκήρυξις [t]μένει καὶ πῦρ, καὶ ὅσα τοιαῦτα· οὐ γάρ ἐστι θυσία δευτέρα. Πάλιν ἐνταῦθα ἡμῖν ἐπιφύονται οἱ τὴν μετάνοιαν ἀναιροῦντες, καὶ ὅσοι πρὸς τὸ βάπτισμα ὀκνοῦσιν ἐλθεῖν· ἐκεῖνοι μὲν λέγοντες, ὅτι οὐκ ἀσφαλὲς [v]αὐτοῖς τῷ βαπτίσματι προσελθεῖν, εἴγε οὐκ ἔστιν ἄφεσις δευτέρα· [w]οὗτοι δὲ φάσκοντες, οὐκ ἀσφαλὲς εἶναι μεταδοῦναι μυστηρίων τοῖς ἡμαρτηκόσιν, εἴγε μὴ ἔστιν ἄφεσις δευτέρα. Τί οὖν πρὸς ἀμφοτέρους ἐροῦμεν; Ὅτι [x]οὐ τὴν μετάνοιαν [y]ἐν-
D ταῦθα ἀναιρεῖ, οὐδὲ τὸν διὰ μετανοίας ἐξιλασμὸν, οὐδὲ ὠθεῖ καὶ καταβάλλει διὰ τῆς ἀπογνώσεως τὸν [z]ἐπταικότα· οὐχ οὕτως ἐχθρός ἐστι [a]τῆς σωτηρίας τῆς ἡμετέρας· ἀλλὰ [b]τί; τὸ δεύτερον ἀναιρεῖ λουτρόν. Οὐ γὰρ εἶπεν, οὐκέτι [c]ἐστὶ μετάνοια, οὐδὲ, οὐκέτι ἐστὶν ἄφεσις, ἀλλὰ, θυσία [d]οὐκέτι ἐστὶ, τουτέστι, σταυρὸς [e]δεύτερος οὐκέτι ἐστί· θυσίαν γὰρ τοῦτο καλεῖ. "[f]Μιᾷ γὰρ θυσίᾳ, φησὶ, τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους·" οὐχ ὥσπερ τὰ [g]Ἰουδαϊκά. Διὰ γὰρ τοῦτο τοσαῦτα ἄνω καὶ κάτω [h]διελέχθη περὶ τῆς θυσίας, ὅτι [i]μία, καὶ μία, [k]οὐ τοῦτο μόνον βουλόμενος δηλῶσαι, ὅτι διενήνοχε τῶν Ἰουδαϊκῶν
187 [l]τούτῳ, ἀλλὰ καὶ ἀσφαλεστέρους ποιῆσαι, ὥστε μηκέτι προσδοκᾶν κατὰ τὸν Ἰουδαϊκὸν νόμον ἄλλην [m]θυσίαν. "Ἑκουσίως γὰρ, φησὶν, ἁμαρτανόντων ἡμῶν." [n]Ὅρα πῶς συγγνωμονικός ἐστιν· "Ἑκουσίως, φησὶν, ἁμαρτανόντων ἡμῶν." Ὥστε [o]τῶν ἀκουσίως ἐστὶ συγγνώμη. "Μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας." [p]Ἤτοι τοῦ [q]Χριστοῦ φησιν, ἢ τῶν δογμάτων ἁπάντων. "Οὐκέτι

[q] θυσία] + ὃ δὲ λέγει, τοιοῦτόν (τοῦτο K.Q.) ἐστιν K.Q. Sav. cet. [r] ἐκαθαρίσθης Cat. ἐκαινώθης Veron. [s] ὑποστρέψῃς] Sic K.N.Q.R. Cat. et a pr. m. O. ἐπιστρέψῃς Edd. [t] μένει] + σε ex corr. O. [v] αὐτοὺς A. Cat. Veron. ἑαυτοῖς O.R. [w] οὗτοι—δευτέρα om. A. [x] οὐ] + σκοπῷ τοιούτῳ ἐνταῦθα τοῦτό φησιν, οὐδὲ K.Q. Sav. Mor. οὐδὲ pro οὐ Ben. [y] ἐνταῦθα om. K.Q. Sav. cet. Mox ἢ τὸν pro οὐδὲ τὸν iidem. [z] πεπτωκότα Q. [a] τῆς σ. τῆς ἡ.] τῆς ἡ. ζωῆς R. [b] τί om. A.K.Q. Cat. Veron. invito Mut. [c] ἔσται K.Q. ἐστὶ μ. οὐδὲ οὐκέτι om. A. [d] οὐκέτι—θυσίαν] τουτέστιν, οὐκέτι (+ ἐστὶ Q.) σταυρός· θυσίαν K.Q. [e] δεύτερος om. N. [f] μία γὰρ θυσία N.Q.R. Veron. et olim O. [g] Ἰουδαϊκὰ] + οὐδὲ πολλάκις K.Q. Sav. cet. [h] διελέγχθη A. Mox τῆς om. R. et olim O. [i] μιᾷ bis R. καὶ μία om. Cat. Mut. [k] οὐ] ἢ Cat. Veron. Mox μόνον om. A. Veron. [l] τοῦτο N.O. Cat. τούτῳ om. K.Q. [m] θυσίαν] + διὸ καὶ οὕτως εἶπεν (mox om. φησὶ) K.Q. [n] ὅρα] Sic K.O.Q.R. Cat. Mut. ὁρᾷς Edd. Post ἑκουσίως add. γὰρ O.R. [o] τῶν ἀ. ἐστὶ σ.] τοῖς ἀ. σ. ἐστὶ K.Q. Sav. cet. [p] ἤτοι—ἁπάντων] ἤτοι περὶ πίστεως τοῦτο λέγει, ἢ τῶν ὀρθῶν δογμάτων K.Q. [q] Χριστοῦ] θεοῦ R. Mox ἤτοι pro ἢ A.N.R. Cat.

Digitized by Google

περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία·" ἀλλὰ τί; "Φοβερὰ δέ τις ἐκδοχὴ [r]κρίσεως, καὶ πυρὸς ζῆλος, ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους." [s]Ὑπεναντίους οὐ τοὺς [t]ἀπίστους φησὶν, ἀλλὰ καὶ B τοὺς [v]ἐναντία πράττοντας τῇ ἀρετῇ· [w]ἢ ὅτι καὶ τοὺς οἰκείους τὸ αὐτὸ [x]δέξεται πῦρ, ὅπερ καὶ τοὺς ὑπεναντίους. Εἶτα τὸ διαβρωτικὸν αὐτοῦ δηλῶν, ὥσπερ ἐψύχωσεν αὐτὸ, "Πυρὸς [y]ζῆλος," εἰπὼν, "ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους." Καθάπερ γὰρ θηρίον παροξυνόμενον καὶ σφόδρα [z]χαλεπὸν καὶ ἐξηγριωμένον οὐκ ἂν παύσαιτο, ἕως [a]ἂν λάβοι τινὰ καὶ καταφάγοι· οὕτω καὶ τὸ πῦρ ἐκεῖνο, καθάπερ τις ὑπὸ [b]ζήλου κεντούμενος, [c]ὧν ἂν ἐπιλάβηται, οὐκ ἀφίησιν, [d]ἀλλὰ τρώγει καὶ διασπᾷ.

Εἶτα καὶ τὸν λόγον ἐπάγει τῆς ἀπειλῆς, ὅτι εἰκότως, ὅτι δικαίως· [e]ὅπερ εἰς πίστιν ἐστὶ συμβαλλόμενον, ὅταν δείξωμεν ὅτι [f]δικαίως γίνεται. [2]"Ἀθετήσας γὰρ, [g]φησὶ, τὶς νόμον C Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει." "Χωρὶς οἰκτιρμῶν," [h]φησίν. Ὥστε οὐδεμία συγ-
(534) γνώμη, οὐδεὶς [i]ἔλεος ἐκεῖ· [k]καίτοιγε Μωϋσέως ὁ νόμος ἐστί· τὰ γὰρ πολλὰ αὐτὸς διετάξατο. Τί ἐστιν, "ἐπὶ δυσὶν ἢ τρισίν;" Ἂν δύο καὶ τρεῖς μαρτυρήσωσι, φησὶν, εὐθέως τὴν δίκην ἔδοσαν. Εἰ τοίνυν ἐπὶ τῆς παλαιᾶς, ἔνθα ὁ Μωϋσέως ἀθετεῖται νόμος, τοσαύτη [l]τιμωρία· [3]"Πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας." Καὶ πῶς καταπατεῖ τις τὸν υἱὸν τοῦ θεοῦ; Ὅταν [m]γὰρ [n]αὐτοῦ D μετέχων ἐν τοῖς μυστηρίοις, ἁμαρτίαν [o]ἐργάσηται, φησὶν, οὐχὶ κατεπάτησεν αὐτόν; οὐχὶ κατεφρόνησεν αὐτοῦ; Καθάπερ γὰρ τῶν καταπατουμένων οὐδένα λόγον ἔχομεν· οὕτω καὶ οἱ ἁμαρτάνοντες τοῦ Χριστοῦ οὐδένα λόγον ἔσχον, [p]καὶ οὕτως ἥμαρ-

2 v. 28. 3 v. 29.

[r] κολάσεως K. [s] ὑπεναντίους om. A.R. Veron. et in text. O. invitis Cat. Mut. [t] ἀπίστους] + μόνον K.O.Q. Sav. cet. [v] τἀναντία N. et in rasura O. [w] ἢ ὅτι] οὐδὲν οὖν ἄλλο ἐντεῦθεν ἢ τοῦτο δηλοῖ ὅτι K.Q. Sav. Mor. Statim καὶ om. R. et olim O. [x] δέξεται] Sic K.N.Q. et ex corr. O. δήξεται Cat. λείξεται R. et olim O. λήψεται A. Edd. [y] ζῆλον R. εἶτα—ὑπεναντίους om. K. [z] χαλεπὸν] Sic A.O.R. Cat. χαλεπαῖνον N. Sav. cet. καὶ σφ. χαλεπὸν om. Veron. χαλεπὸν καὶ om. K.Q. [a] ἂν om. A. Veron. [b] ζήλου] + τινὸς A. [c] ὧν] ὂν A.R. Cat. Veron. [d] ἀλλὰ] + καὶ K. [e] ὅπερ] ὥσπερ γὰρ K.Q. [f] δικαίως] + τι N. Mut. Statim γίνεται om. K.Q. Iidem pergunt, καί φησιν, ἀθετήσας γάρ τις νόμον. [g] φ. τὶς] τις, φ. N.R. [h] φησὶν om. K.Q. [i] ἔλεος] + φησὶν R. [k] καίτοιγε—ἐστὶ] Μωϋσέως τὸν νόμον λέγει, καίτοι αὐτοῦ ὄντα K.Q. [l] τιμωρία] + πόσῳ μᾶλλον ἐνταῦθα; διὸ καὶ οὕτω φησὶ K.Q. Sav. cet. [m] γὰρ accessit ex K.N.O.Q.R. Cat. Mut. [n] αὐτοῦ μ.] ὁ αὐτοῦ μ. K.Q. ὁ μ. αὐτοῦ A. Edd. Post μυστηρίοις add. τις O.R. Nobiscum faciunt N. Cat. [o] ἐργάσηται, φ.] ἐργάζηται, εἰπέ μοι K.Q. Sav. cet. [p] καὶ] ὅθεν καὶ K.O.Q. Sav. cet.

Digitized by Google

τον. Γέγονας σῶμα Χριστοῦ, καὶ δίδως σαυτὸν τῷ διαβόλῳ,
ὥστε [q]καταπατεῖν σε; "Καὶ τὸ αἷμα, [r]φησὶ, κοινὸν ἡγησά-
μενος." Κοινὸν τί ἐστι; [s]Τουτέστιν, ἀκάθαρτον, [t]ἢ τὸ μηδὲν
188 πλέον ἔχειν τῶν λοιπῶν. "Καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρί-
σας." Ὁ γὰρ τὴν εὐεργεσίαν μὴ παραδεχόμενος, ὕβρισε τὸν
εὐεργετήσαντα. Ἐποίησέ σε υἱόν· σὺ δὲ θέλεις γενέσθαι δοῦ-
λος· ἦλθε [v]κατασκηνῶσαι πρὸς σέ· σὺ δὲ [w]ἐπεισάγεις αὐτῷ
[x]πονηροὺς λογισμούς· [y]ὁ Χριστὸς ἠθέλησεν ἱδρυνθῆναι πρὸς
σέ· σὺ δὲ αὐτὸν καταπατεῖς διὰ τῆς κραιπάλης, [z]διὰ τῆς μέθης.
Ἀκούσωμεν οἱ ἀναξίως τῶν μυστηρίων μετέχοντες, ἀκούσωμεν
οἱ ἀναξίως [a]τῇ τραπέζῃ προσιόντες ἐκείνῃ. [4]"Μὴ δῶτε τὰ ἅγια,
φησὶ, τοῖς [b]κυσὶ, μήποτε καταπατήσωσιν ἐν τοῖς ποσὶν αὐτῶν·"
B τουτέστι, [c]μὴ καταφρονήσωσι, μὴ διαπτύσωσιν. Ἀλλ' οὐκ
εἶπε τοῦτο, ἀλλ' ὃ τούτου φοβερώτερον ἦν· ἀπὸ γὰρ τοῦ φο-
βεροῦ ἐπισφίγγει τὰς ψυχάς· ἱκανὸν [d]γὰρ καὶ τοῦτο ἐπιστρέ-
ψαι παραμυθίας οὐχ ἧττον. [e]Καὶ ὁμοῦ τε τὴν διαφορὰν
δείκνυσι [f]καὶ τὴν κόλασιν, καὶ τὴν κρίσιν αὐτοῖς ἀφίησιν, ἅτε
τοῦ πράγματος ὄντος [g]φανεροῦ. "Πόσῳ δοκεῖτε, [h]φησὶ, χεί-
ρονος ἀξιωθήσεται τιμωρίας;" Ἐνταῦθά μοι δοκεῖ [i]καὶ περὶ
τῶν μυστηρίων αἰνίττεσθαι. Εἶτα καὶ μαρτυρίαν ἐπάγει λέ-
γων, [5]"[k]Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος. Γέ-
γραπται γὰρ, Ἐμοὶ ἐκδίκησις, ἐγὼ [l]ἀνταποδώσω· καὶ πάλιν,
C Κύριος κρινεῖ [m]τὸν λαὸν αὐτοῦ." [6]"Ἐμπεσούμεθα, φησὶν,
εἰς χεῖρας κυρίου, καὶ μὴ εἰς χεῖρας ἀνθρώπων." Ἀλλ' ἐὰν μὴ
[n]μετανοήσητε, εἰς χεῖρας θεοῦ ἐμπεσεῖσθε· ἐκεῖνο φοβερὸν,
[o]τοῦτο οὐδέν ἐστι τὸ εἰς χεῖρας ἀνθρώπων ἐμπεσεῖν. Ὅταν
ἴδωμεν, [p]φησὶ, τινὰ κολαζόμενον ἐνταῦθα, μὴ [q]φοβηθῶμεν ἐπὶ

[4] Matth. vii. 6. [5] v. 31, 30. [6] 2 Reg. xxiv. 14.

[q] καταπατεῖν σε] καταπατῆσαι A.O.R. Veron. [r] φ. κοινὸν] κοινὸν, φ. N.O.R. Cat. [s] τουτέστιν] τὸ K.Q. Sav. cet. [t] ἢ τὸ] ὃ K.Q. ἢ τῷ Cat. Mox πλ. ἔχειν O.R. Cat. Veron. ἔχειν πλ. A. ἔχον πλ. N. πλ. ἔχει K.Q. πλ. ἔχον Sav. cet. [v] κατασκηνῶσαι] κατεσκήνωσε Veron. καὶ κατασκήνωσεν (sic) A. Statim εἰς σὲ A. ἔν σοι R. [w] ἐπεισήγαγες Veron. ἐπεισήγαγης (sic) A. Statim αὐτῷ A. Mut. σαυτῷ Edd. [x] λογ. πονηροὺς inverso ord. O.R. [y] ὁ Χρ. ἠθέλησεν] ἦλθεν K.Q. Statim ἱδρυθῆναι K. [z] διὰ τῆς μ. ἀκούσωμεν οἱ om. A. [a] τῇ τρ. προσιόντες pro προσιόντες τῇ τρ. A.K.O.Q.R. [b] κυσὶ] + μηδὲ βάλετε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων O.R. Mut. Post καταπατήσωσιν add. αὐτοὺς iidem. [c] μὴ] Sic N.O.Q.R. μή πως Edd. [d] γὰρ om. N. Post ἐπιστρέψαι add. ψυχὴν in marg. O. [e] [καὶ] Sav. καὶ om. K.Q. [f] καὶ τὴν κόλασιν om. R. Mox ἐφίστησιν pro ἀφίησιν K.Q. Sav. cet. [g] φοβεροῦ K.Q. [h] φησὶ om. N. [i] καὶ om. K.Q. [k] φοβερὸν] + γὰρ ex corr. O. [l] ἀνταποδώσω] + λέγει κύριος K.Q. Sav. cet. [m] τὸν λ. αὐτοῦ] λαοὺς R. Statim ἐμπέσωμεν οὖν, φ. K.Q. Mox θεοῦ ζῶντος pro κυρίου iidem. [n] μετανοῆτε R. Veron. invita Cat. μετανοεῖτε A. et a pr. m. O. [o] τοῦτο] + δὲ ex corr. O. Mox ἐμπεσεῖν om. A. Veron. [p] φησὶ] τοίνυν O.R. Mut. φησὶ om. K. [q] φοβηθῶμεν] φρίξωμεν K.Q.R. Mut. ἐπὶ τοῖς π. om. A. Veron.

Digitized by Google

τοῖς παροῦσιν, ἀλλὰ φρίξωμεν ἐπὶ τοῖς μέλλουσι. [7] "Κατὰ
γὰρ τὸ ἔλεος αὐτοῦ καὶ ἡ ὀργὴ αὐτοῦ, καὶ ἐπὶ ἁμαρτωλοὺς
καταπαύσει ὁ θυμὸς αὐτοῦ." Ἅμα καὶ [r] ἕτερον αἰνίττεται [s] ἐν-
ταῦθα· "Ἐμοὶ [t] γὰρ ἐκδίκησις, φησὶν, ἐγὼ ἀνταποδώσω." [v] Ἐπὶ
τῶν ἐχθρῶν τοῦτο εἴρηται τῶν κακῶς ποιούντων, οὐ τῶν κακῶς D
πασχόντων. Ἐνταῦθα καὶ παραμυθεῖται αὐτοὺς, μονονουχὶ λέ-
γων· μένει διαπαντὸς ὁ θεὸς καὶ [w] ζῇ· ὥστε κἂν μὴ νῦν ἀπο-
λάβωσιν, ὕστερον ἀπολήψονται. Ἐκείνους δεῖ στενάζειν, οὐχ
ἡμᾶς· ἡμεῖς μὲν γὰρ εἰς τὰς ἐκείνων ἐμπεσούμεθα χεῖρας, ἐκεῖνοι
δὲ εἰς τὰς τοῦ θεοῦ. [x] Οὔτε γὰρ ὁ παθὼν πάσχει κακῶς, ἀλλ'
ὁ ποιῶν· [y] οὔτε ὁ εὐεργετούμενος εὐεργετήθη, ἀλλ' ὁ εὐερ-
γετῶν.

[z] Ταῦτα οὖν εἰδότες, ἀνεξίκακοι ὦμεν περὶ τὸ πάσχειν κακῶς,
πρόχειροι [a] πρὸς τὰς εὐεργεσίας. Τοῦτο δὲ [b] ἔσται, ἐὰν χρη- 189
μάτων καταφρονῶμεν καὶ δόξης. Ὁ ταῦτα τὰ πάθη [c] ἀποδυσά-
μενος, ἁπάντων ἀνθρώπων ἐστὶν ἐλευθεριώτερος, καὶ αὐτοῦ τοῦ
τὴν ἁλουργίδα περικειμένου εὐπορώτερος. Οὐχ ὁρᾷς ὅσα γίνε-
ται κακὰ [d] διὰ χρήματα; οὐ λέγω ὅσα διὰ τὴν πλεονεξίαν, ἀλλ'
ἐν τῇ προσπαθείᾳ τούτων. Οἷόν τι λέγω, ἂν ἀπολέσῃ τις
χρήματα, παντὸς θανάτου χαλεπώτερον βίον ζῇ. Τί [e] ἀλγεῖς,
ἄνθρωπε, τί δακρύεις; ὅτι σε τῆς περιττῆς φυλακῆς ἀπήλλαξεν
ὁ θεός; [f] ὅτι οὐ κάθῃ τρέμων καὶ δεδοικώς; Εἶτα ἂν μέν σε τις
προσδήσῃ θησαυρῷ, κελεύων διαπαντὸς ἐκεῖ καθῆσθαι, καὶ ἀγρυ- B
(535) πνεῖν [g] ὑπὲρ ἀλλοτρίων, ἀλγεῖς, δυσχεραίνεις· σὺ δὲ σαυτὸν
[h] προσδήσας δεσμοῖς χαλεπωτάτοις, ἐπειδὴ ἀπηλλάγης τῆς δου-
λείας, ἀλγεῖς; Ὄντως προλήψεώς εἰσιν αἱ λῦπαι καὶ αἱ εὐφρο-
σύναι· καθάπερ γὰρ ἀλλότρια ἔχοντες, οὕτως αὐτὰ τηροῦμεν.
Νῦν πρὸς τὰς γυναῖκάς μοι ὁ λόγος. [i] Εἶχέ τις γυνὴ πολλάκις
ἀπὸ χρυσίου ὑφασμένον ἱμάτιον, καὶ τοῦτο τινάσσει, περιβάλ-
λει λίνοις, τηρεῖ μετὰ ἀσφαλείας, τρέμει ὑπὲρ αὐτοῦ, καὶ οὐκ
ἀπολαύει αὐτοῦ· ἢ γὰρ ἐτελεύτησεν, ἢ ἐχήρευσεν· ἢ, κἂν μηδὲν

7 Sirac. v. 6.

[r] ἕτερον] + τι K.Q. Sav. cet. [s] ἐνταῦθα] διὰ τοῦ εἰπεῖν K.Q. ἐνταῦθα διὰ τοῦ εἰπεῖν Sav. cet. [t] γὰρ om. K.Q. Sav. cet. Mox φησὶν om. A.K.Q. Sav. cet. [v] ἐπὶ—εἴρηται] περὶ ἐκείνων γὰρ εἴρηται τοῦτο, περὶ K.Q. [w] ζῇ om. R. [x] οὔτε] οὐ K.N.Q. Sav. cet. [y] οὔτε—εὐεργετῶν] οὔτε ὁ εὐεργετῶν A. ἐκεῖνος γὰρ καὶ εὐηργέτηται ἀδίκως πεπονθὼς K.Q. [z] ΗΘΙΚΟΝ. Κατὰ φιλοκόσμων γυναικῶν καὶ πλεονεκτῶν· καὶ παραμυθία πρὸς τοὺς πλεονεκτουμένους. Veron. Ταῦτ' οὖν K. [a] πρὸς τὰς εὐ.] περὶ τὸ εὐεργετεῖν K.Q. Sav. cet. [b] ἔστιν R. Statim ἐὰν pro ἂν A.K.N.Q. [c] ἀποδὺς R. et a pr. m. O. Mox ἐλευθερώτερος K.N.Q. Sav. cet. [d] διὰ τὰ χρ. A.K.Q.R. et ex corr. O. receptum a Sav. cet. [e] ἀλγεῖς] λέγεις K.N.Q. [f] ὅτι οὐ] τί οὖν R. et olim O. [g] ὑπὲρ τῶν ἀλλ. K.Q. [h] δεσμήσας K.Q. [i] ἔσχε O.Q.R. Mox χρυσοῦ O.

Digitized by Google

C τούτων συμβῇ, [k] δεδοικυῖα μὴ τῇ συνεχεῖ χρήσει δαπανῶσα
αὐτὸ, [l] ἀποστερήσῃ ἑαυτὴν, [m] ἄλλως ἑαυτὴν ἀποστερεῖ τῇ φειδω-
λίᾳ. Ἀλλὰ [n] παραχωρεῖ ἑτέρᾳ; Ἀλλ' οὐδὲ τοῦτο δῆλον· εἰ δὲ
καὶ παραχωρήσειε, [o] καὶ ἐκείνη πάλιν ὁμοίως αὐτῷ χρήσεται.
Καὶ εἴ τις [p] ἐρευνήσει ἐν ταῖς οἰκίαις, εὑρήσει τὰ μάλιστα τίμια
τῶν ἱματίων καὶ τὰ ἄλλα [q] ὑπερέχοντα, ταῦτα ἐν πλείονι τιμῇ,
ὥσπερ ἐμψύχους δεσπότας, θεραπευόμενα· οὐ γὰρ χρῆται αὐ-
τοῖς συνεχῶς, ἀλλὰ δέδοικε καὶ τρέμει, σῆτας καὶ τὰ ἄλλα τὰ
βιβρώσκειν εἰωθότα ἀποσοβοῦσα, καὶ τὰ πλείονα ἐν μύροις καὶ
D ἀρώμασι τιθεῖσα, [r] οὐδὲ πᾶσιν ἐπιτρέπουσα τῆς ὄψεως καταξι-
ωθῆναι ἐκείνης, ἀλλ' αὐτὴ πολλάκις μετὰ τοῦ ἀνδρὸς ταῦτα
[s] ἐπιμελῶς διατιθεῖσα. Οὐκ εἰκότως, εἰπέ μοι, [t] εἰδωλολατρείαν
τὴν πλεονεξίαν ἐκάλεσεν ὁ Παῦλος; [u] Ὅσην γὰρ ἐκεῖνοι [v] τιμὴν
περὶ τὰ εἴδωλα ἐπιδείκνυνται, τοσαύτην καὶ οὗτοι περὶ τὰ ἱμά-
τια, περὶ τὰ χρυσία. Μέχρι τίνος [w] βόρβορον ἀνακινοῦμεν;
μέχρι τίνος τῷ πηλῷ καὶ τῇ πλινθείᾳ προσηλώμεθα; Ὥσπερ
190 γὰρ ἐκεῖνοι τῷ τῶν Αἰγυπτίων βασιλεῖ ἔκαμνον, οὕτω καὶ ἡμεῖς
τῷ διαβόλῳ κάμνομεν, καὶ μαστιζόμεθα πολὺ χαλεπωτέρας
[x] μάστιγας· ὅσῳ γὰρ [y] κρείττων σώματος ψυχὴ, τοσούτῳ φρον-
τὶς μωλώπων· μαστιζόμεθα καθ' ἑκάστην ἡμέραν, δεδοίκαμεν
φροντίζοντες, τρέμοντες. Ἀλλ' ἐὰν θελήσωμεν [z] στενάξαι, ἐὰν
θελήσωμεν ἀναβλέψαι πρὸς τὸν θεὸν, πέμπει ἡμῖν οὐ Μωϋσέα,
οὐδὲ Ἀαρὼν, ἀλλὰ τὸν αὐτοῦ λόγον καὶ τὴν κατάνυξιν. Οὗτος
τοίνυν ἐλθὼν, καὶ κατασχὼν [a] ἡμῶν τῶν ψυχῶν, ἐλευθερώσει τῆς
δουλείας [b] ἡμᾶς τῆς πικρᾶς, ἐξάξει ἡμᾶς ἐξ Αἰγύπτου, τῆς [c] ἀνο-
B νήτου καὶ ματαιοπόνου σπουδῆς, τῆς δουλείας τῆς οὐδὲν κέρδος
ἐχούσης. Ἐκεῖνοι μὲν οὖν κἂν χρυσία λαβόντες [d] ἐξῆλθον,
τὸν μισθὸν τῆς οἰκοδομῆς· ἡμεῖς δὲ οὐδέν· καὶ εἴθε μηδέν·

[k] δέδοικε K.N.Q. Sav. cet. Mox δαπανήσασα iidem. [l] ἀποστερήσῃ] Sic A.R. et olim O. ἀποστερήσει Veron. ἀποστερήσειεν K.N.Q. Sav. cet. Sic ex corr. O. [m] ἄλλως] πλὴν ἄλλως N. κἂν ἄλλος (+ οὖν Q.) οὐκ ἀποστερήσῃ K.Q. Sav. cet. Statim ἀποστ. ἑαυτὴν hoc ord. K.Q. Sav. cet. ἑαυτὴν om. N. [n] παραχωρεῖ] + αὐτὸ K.Q. Statim ἑτέρῳ A. Veron. Mox οὔπω pro οὐδὲ K.Q. [o] κἀκείνη N. ἔμπαλιν (ἐν πάλιν A.) ἐκείνη pro ἐκείνη πάλιν A. Veron. [p] ἐρευνήσειεν N. Statim τὰ ἐν ταῖς οἰ. Edd. τὰ om. N.R. Mut. et a pr. m. O. [q] ὑπερ.] τὰ ὑπερ. K.Q. Sav. cet. Statim ταῦτα om. N. Sav. cet. [r] οὐδὲ] καὶ οὐδὲ K.Q. Statim παισὶν O.R. [s] ἐπιμελῶς διατ. pro διατ. ἐπιμελῶς K.N.O.Q.R. [t] εἰδωλολατρίαν K.N.R. Veron. εἰδωλ. post πλεονεξίαν transp. K.Q. [u] ὅσην] ἣν A. Veron. Mox ἐκείνη A. [v] τιμὴν περὶ τὰ εἰδ.] περὶ τὰ εἰδ. τιμὴν K.O.Q.R. τιμὴν om. N. Statim ἐπεδείκνυντο K.Q. [w] βόρβορον—τίνος om. A. [x] μάστιγας] + καὶ μή τινα ὑπερβολὴν καταγνῷς τοῦ λόγου K.Q. Sav. cet. [y] κρείττω σώματι A. σώματος κρείττων K.N.O.R. Mox τοσαύτῃ φροντίδι μωλ. A. Veron. [z] στενάξαι, ἐὰν θ. om. K.Q. Mox Μωσέα A.N. [a] ἡμῶν τῶν ψ.] Sic N.O.R. τῶν ψ. ἡμῶν A. Veron. ἡμῶν τὰς ψυχὰς K.Q. Sav. cet. [b] ἡμᾶς τῆς π.] Sic K.N.O.Q. ἡμᾶς om. A. τῆς π. ἡμᾶς Edd. [c] ἀνοήτου K.Q. [d] ἐξῆλθον] + ἔχοντες N. et marg. O.

Digitized by Google

[e]καὶ γὰρ καὶ ἡμεῖς λαμβάνομεν οὐ χρυσία, ἀλλὰ τὰ Αἰγύπτου
κακὰ, ἁμαρτήματα καὶ κολάσεις καὶ τιμωρίας.

Μάθωμεν τοίνυν ὠφελεῖσθαι, μάθωμεν ἐπηρεάζεσθαι· τοῦτό
ἐστι Χριστιανοῦ· [f]καταφρονήσωμεν τῶν χρυσῶν ἱματίων, κατα-
φρονήσωμεν τῶν χρημάτων, ἵνα μὴ καταφρονήσωμεν τῆς σωτη-
ρίας τῆς ἡμετέρας· καταφρονήσωμεν χρημάτων, καὶ μὴ κατα-
φρονήσωμεν [g]τῆς ψυχῆς· αὕτη γάρ ἐστιν ἡ κολαζομένη, αὕτη
ἐστὶν ἡ [h]τιμωρουμένη· ἐκεῖνα ἐνταῦθα μένει, αὕτη δὲ ἄπεισιν
ἐκεῖ. Τίνος [i]ἕνεκεν, εἰπέ μοι, κατακόπτεις σαυτὸν, καὶ οὐκ αἰ- C
σθάνῃ; Ταῦτα πρὸς τοὺς πλεονέκτας λέγω. Καλὸν δὲ καὶ
πρὸς τοὺς πλεονεκτουμένους εἰπεῖν, [k]φέρετε γενναίως τὰς πλε-
ονεξίας· ἑαυτοὺς ἀναιροῦσιν ἐκεῖνοι, οὐχ ὑμᾶς. Ὑμᾶς μὲν ἀπο-
στεροῦσι χρημάτων, ἑαυτοὺς δὲ γυμνοῦσι τῆς εὐνοίας τοῦ θεοῦ
καὶ τῆς βοηθείας· ὁ δὲ ἐκείνης γυμνωθεὶς, κἂν ἅπαντα [l]περιβά-
ληται τῆς οἰκουμένης τὸν πλοῦτον, πάντων ἐστὶ πενέστερος·
[m]ὥσπερ καὶ ὁ πάντων πενέστερος, ἂν ταύτην ἔχῃ, πάντων ἐστὶν
εὐπορώτερος. [8]"Κύριος [n]γάρ, φησὶ, ποιμαίνει με, καὶ οὐδέν
με ὑστερήσει." Εἰπὲ δή μοι, εἴ τινα [o]εἶχες ἄνδρα μέγαν καὶ
θαυμαστὸν, πάνυ σε φιλοῦντα καὶ κηδόμενον, εἶτα ἔγνως ὅτι D
διαπαντὸς ζήσεται, καὶ [p]οὐ προτελευτήσει σαυτοῦ, καὶ πάντα
σοι παρέξει μετὰ ἀδείας [q]ὡς τῶν σῶν ἀπολαύειν· ἆρα [r]ἂν ἠθέ-
λησας κτήσασθαί τι; ἆρα ἂν, εἰ πάντων ἐγυμνώθης, οὐχὶ [s]πλου-
σιωτέρα ἐνόμιζες εἶναι διὰ τοῦτο; Τί δήποτε οὖν πενθεῖς; ὅτι
χρήματα οὐκ ἔχεις; Ἀλλ' ἐννόει ὅτι ἀφῃρέθης τῶν ἁμαρτημά-
των τὴν ὑπόθεσιν. Ἀλλ' ὅτι [t]ἔχουσα ἀπεστερήθης; Ἀλλ'
ἐκτήσω τοῦ θεοῦ τὴν [v]εὔνοιαν. Καὶ πῶς ἐκτησάμην, φησίν;
Εἶπε, [9]"Διὰ τί [w]μὴ ἀδικεῖσθε;" εἶπεν ὅτι μακάριοι οἱ [x]πάντα 191
εὐχαρίστως φέροντες. Ἐννόει τοίνυν ὅσης εὐνοίας [y]ἀπολαύσῃ,

8 Psal. xxii. 1. 9 1 Cor. vi. 7.

[e] καὶ γὰρ] νῦν δὲ K.Q. Sav. cet. Proximum καὶ om. R. [f] καταφρ. τῶν χρ. ἱματίων om. N.R. Mut. Sic, ut videtur, a pr. m. O. καταφρ. τῶν χρημάτων om. K.Q. Ex χρημάτων fecit χρυσῶν ἱματίων corrector O. [g] τῆς om. K.Q.R. et olim O. [h] τιμωμένη R. Statim ἐκεῖνα ἐνταῦθα μένει om. A. [i] ἕνεκεν] + τίνος Q. Sav. cet. Mox σεαυτὸν O. [k] φέρε A. [l] περιβάλλεται A. Mox ἁπάντων N. [m] ὥσπερ] + οὖν K.Q. Sav. cet. ὥσπερ—πενέστερος om. A. Veron. [n] γὰρ om. K.Q.R. et olim O. [o] ἔσχες K. ἔχεις Veron. Mox μέγα A.O. [p] οὐ προτελευτήσει σαυτοῦ] Sic de nostro correximus. Edebatur οὐ προτελευτήσεις αὐτοῦ. σὺ pro οὐ N. et corr. O. [q] ὡς τῶν σῶν] τὰ αὐτοῦ ὥστε σε K.Q. τὰ αὐτοῦ, ὥστε σε [ὡς τῶν σῶν] Sav. Mor. et sine uncis Ben. [r] ἂν om. K. [s] πλουσιωτέρα] σε πλουσιωτέραν N.O. Sav. cet. σε πλουσιώτερος K.Q. [t] ἔχουσα] Sic K.N.Q. Mut. ἄκουσα R. οὐσίας A. Edd. Sic in rasura O. [v] ἔννοιαν A. [w] μὴ] + μᾶλλον K.Q. Sav. cet. Post ἀδικεῖσθε add. εἶπεν ὅτι ἐν παντὶ εὐχαριστεῖτε iidem. [x] πάντα εὐχαρίστως φέροντες] Sic A.N.O.R. Mut. πάντα εὐχαριστοῦντες Veron. πτωχοὶ τῷ πνεύματι K.Q. Sav. cet. [y] ἀπολαύσῃ] Sic A.K.O.Q.R. ἀπολαύσεις Edd. Statim ταῦτα (ταύτη A.) διὰ τῶν ἔργων ἐπιδ. om. K.Q.

Digitized by Google

ταῦτα διὰ τῶν ἔργων ἐπιδειξαμένη. Ἓν γὰρ μόνον ζητεῖται (536)
παρ' ἡμῶν, τὸ ἐπὶ πᾶσιν εὐχαριστεῖν τῷ θεῷ, καὶ πάντα ἔχομεν
μετὰ δαψιλείας. Οἷόν τι λέγω· ἀπώλεσας χρυσοῦ λίτρας μυ-
ρίας; εὐχαρίστησον εὐθέως τῷ θεῷ, καὶ δέκα μυριάδας ἐκτήσω
διὰ τῆς φωνῆς ἐκείνης καὶ τῆς εὐχαριστίας. Εἰπὲ γάρ μοι,
πότε μακαρίζεις τὸν Ἰώβ; ὅτε εἶχε [z]τὰς τοσαύτας καμήλους
καὶ τὰ ποίμνια καὶ τὰ βουκόλια, ἢ ὅτε ἐκείνην τὴν φωνὴν ἀφῆ-
B κεν, [10]"Ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο;" Καὶ γὰρ ὁ διά-
βολος διὰ τοῦτο ἡμᾶς ζημιοῖ, οὐχ ἵνα τὰ χρήματα [a]μόνον
ἀφέληται· οἶδε γὰρ ὅτι οὐδέν ἐστιν· ἀλλ' ἵνα διὰ τούτων
ἀναγκάσῃ εἰπεῖν τι βλάσφημον. Οὕτω καὶ ἐπὶ τοῦ μακαρίου
Ἰώβ, [b]οὐ τοῦτο ἐσπούδαζε, πένητα αὐτὸν ποιῆσαι μόνον, ἀλλὰ
βλάσφημον ἀποφῆναι. Ὅτε [c]γοῦν πάντων αὐτὸν ἐγύμνωσεν,
ὅρα τί φησι πρὸς αὐτὸν διὰ τῆς γυναικός· [11]" Εἰπόν τι ῥῆμα
πρὸς [d]κύριον, καὶ τελεύτα." Καίτοι, ὦ μιαρὲ, πάντων αὐτὸν
ἐγύμνωσας. Ἀλλ' οὐ τοῦτο ἐσπούδαζον, φησί· δι' ὃ γὰρ πάντα
C ἐποίησα, [e]οὐδέπω ἤνυσα· ἐσπούδασα αὐτὸν γυμνῶσαι τῆς τοῦ
θεοῦ βοηθείας· διὰ τοῦτο καὶ τῶν χρημάτων ἐγύμνωσα. Τοῦτό
ἐστιν ὃ βούλομαι· ἐκεῖνο οὐδέν ἐστιν· ἂν [f]τοῦτο μὴ προσῇ, οὐ
μόνον οὐδὲν ἠδικήθη, ἀλλὰ καὶ ὠφελήθη. Ὁρᾷς ὅτι οἶδε [g]καὶ
ὁ πονηρὸς δαίμων ἐκεῖνος, ὅση τοῦ πράγματός ἐστιν ἡ ζημία;
[h]Καὶ ὅρα αὐτὸν διὰ τῆς γυναικὸς τὴν ἐπιβουλὴν ῥάπτοντα.
Ἀκούετε ὅσοι γυναῖκας ἄνδρες ἔχετε [i]χρημάτων ἐρώσας, καὶ
ἀναγκαζούσας [k]ὑμᾶς βλασφημεῖν τὸν θεόν· ἀναμνήσθητε τοῦ
Ἰώβ. Ἀλλ' ἴδωμεν αὐτοῦ [l]τὴν πολλὴν, εἰ δοκεῖ, ἐπιείκειαν,
D [m]ὅπως αὐτὴν ἐπεστόμισεν. [12]"Ἵνα τί, φησὶν, ὥσπερ μία
τῶν ἀφρόνων γυναικῶν [n]οὕτως ἐλάλησας;" Ἀληθῶς [13]" Φθεί-
ρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί·" ἀεὶ μὲν [o]οὖν, μάλιστα δὲ
ἐπὶ τῶν συμφορῶν· τότε οἱ τὰ φαῦλα παραινοῦντες ἔχουσιν
ἰσχύν. Εἰ γὰρ καὶ ἀφ' ἑαυτῆς ἡ ψυχὴ πρὸς ἀποδυσπέτησίν
ἐστιν ἕτοιμος, πόσῳ μᾶλλον, ὅταν καὶ ὁ συμβουλεύων ᾖ; [p]οὐχὶ
πρὸς βάραθρον ὠθεῖται; Μέγα ἀγαθὸν [q]γυνὴ, ὥσπεροῦν καὶ
κακὸν μέγα. [r]Ἐπειδὴ γὰρ μέγα ἡ γυνὴ, ὅρα πόθεν θέλει δι-

10 Job. i. 21. 11 Ibid. ii. 9. 12 Ibid. ii. 10. 13 1 Cor. xv. 33.

[z] τὰς om. N. Sav. cet. [a] μόνα ἀφ. K.Q. ἀφ. μόνον O.R. [b] οὐ τοῦτο ἐσπ.] τοῦτο ἐσπ. οὐ N. Sav. cet. [c] γοῦν] οὖν Q. αὐτῶν pro αὐτὸν A. [d] κύριον] θεὸν A. [e] οὐδέπω] οὐδὲν O.R. Mox ἐσπούδασα γὰρ αὐτὸν K.Q. Sav. cet. [f] τοῦτο] + μοι N. Sav. cet. [g] καὶ om. R. Veron. [h] καὶ ὅρα] διὰ τοῦτο καὶ βλέπεις K.Q. Sav. cet. [i] χρήματα A. [k] ἡμᾶς A. ὑμῖν R. Mox καὶ ἀναμν. R. [l] τὴν π. εἰ δ.] εἰ δ. τὴν π. K.O.Q.R. [m] ὅπως] καὶ ὅπως K.Q. Sav. cet. [n] οὕτως om. R. et in text. O. [o] οὖν] + φθείρουσι K.Q. Sav. cet. [p] οὐχὶ] + καὶ iidem. Post ὠθεῖται add. τότε K.Q. [q] ἡ γυνὴ R. [r] ἐπειδὴ—ἡ γυνὴ om. A. ἐπειδὴ—αὐτὸν, φ. (φ. αὐτὸν O.R.)] καὶ ὅρα πόθεν ὀρύξαι τὸ τ. ἐπεχείρησε τὸ ἰσχυρόν. ἐπειδὴ γὰρ οὐχ εἷλεν αὐτὸν K.Q. Sav. cet.

Digitized by Google

ορύξαι τὸ τεῖχος τὸ ἰσχυρόν. Οὐχ εἷλεν αὐτὸν, φησὶν, ἡ τῶν 192
χρημάτων ἀφαίρεσις· [s]οὐδὲν μέγα ἡ ζημία εἰργάσατο· διὰ
τοῦτό φησιν, [14]“ [t]Εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει.” Ὁρᾷς
ποῦ ἔπνει; [u]Ἂν τοίνυν εὐχαρίστως φέρωμεν, καὶ ταῦτα ἀποληψόμεθα·
κἂν μὴ ἀπολάβωμεν, [v]μείζων ὁ [w]μισθός. Ὅτε γὰρ
ἤθλησε γενναίως, τότε αὐτῷ καὶ [x]ταῦτα ἀπέδωκεν· ὅτε ἔδειξε
τῷ διαβόλῳ, ὅτι οὐ διὰ ταῦτα [y]αὐτὸν θεραπεύει, τότε καὶ αὐτὰ
αὐτῷ ἔδωκε. Τοιοῦτος γάρ [z]ἐστιν· ὅταν ἴδῃ ἡμᾶς μὴ [a]προσηλωμένους
τοῖς βιωτικοῖς ὁ θεὸς, τότε ἡμῖν [b]αὐτὰ δίδωσιν· ὅταν B
ἴδῃ τὰ πνευματικὰ προτιμῶντας, τότε καὶ τὰ σαρκικὰ παρέχεται·
[c]πρότερον δὲ οὔ, ἵνα μὴ ἀπορραγῶμεν τῶν πνευματικῶν.
[d]Φειδόμενος δὲ ἡμῶν οὐ δίδωσι τὰ σαρκικὰ, ἵνα καὶ ἄκοντας
ἀποστήσῃ τούτων. Οὔ, φησίν· ἀλλ' ἐὰν λάβω, ἐμπίπλαμαι,
καὶ μᾶλλον εὐχαριστῶ. [e]Ψεῦδος, ἄνθρωπε· τότε γὰρ μάλιστα
ἔσῃ ῥάθυμος. [f]Τί οὖν ὅτι, φησὶ, πολλοῖς δίδωσι; [g]Πόθεν
δῆλον, ὅτι αὐτὸς δίδωσιν; Ἀλλὰ [h]τίς, φησὶν, ἕτερος δίδωσιν;
Ἡ πλεονεξία αὐτῶν, ἡ ἁρπαγή. Πῶς οὖν συγχωρεῖ [i]γίνεσθαι
ταῦτα; Ὥσπερ καὶ φόνους καὶ κλοπὰς καὶ βίας. Τί [k]οὖν, C
φησὶ, πρὸς τοὺς ἐκ πατέρων διαδεχομένους κλῆρον, αὐτοὺς μυρίων
γέμοντας κακῶν; [l]Καὶ τί τοῦτο; Πῶς αὐτοὺς ἐᾷ, [m]φησὶν,
ὁ θεὸς ἀπολαύειν τούτων; Ὥσπερ οὖν καὶ κλέπτας ἀφίησι καὶ
φονέας καὶ τοὺς λοιποὺς κακούργους· οὐ γάρ ἐστιν ὁ καιρὸς
τῆς κρίσεως νῦν, ἀλλὰ τῆς πολιτείας τῆς ἀρίστης. Ὅπερ δὲ
καὶ ἤδη εἶπον, τοῦτο καὶ νῦν λέγω· [n]ὅτι μείζονα δώσουσι δίκην,
ὅταν καὶ πάντων ἀπολαύσαντες τῶν ἀγαθῶν, μηδὲ οὕτω βελτίους
[o]γένωνται. Οὐ γὰρ [p]πάντες ὁμοίως κολασθήσονται, ἀλλ'

14 Job. i. 11.

[s] *οὐδὲν——εὐχαρίστως*] *οὐδὲ μέγα τι εἰργάσατο ἡ τούτων ζημία, ἀλλὰ καὶ μάτην ἠλέγχθη εἰπὼν, ἢ* (*ἦ* K.) *μὴν εἰς πρ. σε εὐλογήσει, διὰ τοῦτο ἐφοπλίζει αὐτῷ τὴν γυναῖκα. ὁρᾷς ποῦ ἔπνευσεν; ἀλλ' οὐδὲν αὐτῷ πλέον ὑπῆρξε καὶ ἀπὸ ταύτης τῆς μηχανῆς. ἂν τοίνυν καὶ ἡμεῖς εὐχαρίστως* K.Q. Sav. cet. [t] *εἰ*] Sic R. Veron. *ἦ* A. *ἦ* in ras. O. *ἦ* N. [v] *μείζων*] + *ἔσται ἡμῖν* K.Q. Sav. cet. [w] *μισθὸς*] + *οὕτω καὶ ἐπὶ τοῦ ἀδάμαντος ἐκείνου γέγονεν* K.O.Q. Sav. cet. [x] *ταῦτα*] *πάντα* N. et ex corr. O. [y] *αὐτῷ* A. Mox *ταῦτα* pro *αὐτὰ* N.O. [z] *ἐστιν*] + *ὁ θεὸς* K.Q. Sav. cet. [a] *προσηλουμένους* ex corr. O. Mox *ὁ θεὸς* om. K.Q. Sav. cet. [b] *αὐτὰ*] + *ὁ θεὸς* (ergo bis habet) A. [c] *πρ. δὲ οὔ*] *οὐ πρ. δὲ δίδωσιν* K.Q. Sav. cet. [d] *κηδόμενος* R. Statim *οὖν* pro *δὲ* K.Q. Sav. cet. [e] *ψεύδη* N.O. Sav. cet. *falsum est* Mut. Statim *ὦ ἄνθ.* K.Q. Sav. cet. [f] *τί—φησὶ*] *πῶς οὖν* K.Q. *πολλοῖς, φ.* pro *φ. πολλοῖς* N.O.R. [g] *καὶ πόθεν* K.Q. Sav. cet. [h] *τίς*] *τί* K.Q. Post *δίδωσιν*; add. *ἕτερος*. (sic) iidem. [i] *γενέσθαι* A. Mox *φόνον* A.O.R. Veron. invito Mut. [k] *οὖν*] + *ἐρεῖς* K.Q. Sav. cet. Mox *τοὺς* pro *αὐτοὺς* iidem. [l] Haec *καὶ τί τοῦτο*; post *τούτων* transp. K.Q. Sav. Mor. Delevit ea Montef. invitis libris. [m] [*φησὶν*] Sav. Mox [*οὖν*] idem. Haec om. K.Q. [n] *ὅτι*] *τοῦ* A. [o] *γένωνται*] Sic K.N.Q.R. et ex corr. O. *γίνωνται* Edd. [p] *πάντες ὁμ.*] *πάντως ὁμ. πάντες* K.Q. Sav. cet. Statim *κολάζονται* R.

Digitized by Google

[q]οἱ καὶ μετὰ [r]τὰς εὐεργεσίας μείναντες κακοὶ, μειζόνως τιμωρη-
θήσονται· οἱ δὲ μετὰ πενίας, οὐχ οὕτω. Καὶ ὅτι τοῦτό [s]ἐστιν,
D ἄκουσον τί φησι [t]τῷ Δαυΐδ· [15]"Οὐχὶ ἔδωκά σοι πάντα τὰ τοῦ
κυρίου σου;" Ὅταν οὖν ἴδῃς νέον χωρὶς πόνων κλῆρον παρα- (537)
λαβόντα πατρῷον, καὶ μείναντα κακὸν, εὖ ἴσθι ὅτι ἡ κόλασις
αὐτῷ αὔξεται, καὶ τὰ τῆς τιμωρίας ἐπιτείνεται. Μὴ δὴ τούτους
[v]ζηλῶμεν, ἀλλ' εἴ τις ἀρετὴν διεδέξατο, εἴ τις πλοῦτον πνευ-
ματικὸν ἐκτήσατο. [16]"Οὐαὶ γὰρ, φησὶν, οἱ πεποιθότες ἐπὶ τῷ
πλούτῳ [w]αὐτῶν·" "Μακάριοι οἱ φοβούμενοι τὸν κύριον." Τί-
193 νων [x]εἶναι βούλει, εἰπέ μοι; Πάντως τῶν μακαριζομένων. Τού-
τους οὖν ζήλου, μὴ ἐκείνους, ἵνα καὶ τῶν ἀποκειμένων αὐτοῖς
[y]τύχῃς ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς [z]ἐπιτυχεῖν, ἐν Χριστῷ
Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ
πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

B

ΛΟΓΟΣ ΚΑ.

[1]Ἀναμιμνήσκεσθε [a]δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέν-
τες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων· τοῦτο μὲν,
ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι· τοῦτο δὲ, κοινωνοὶ
τῶν οὕτως [b]πασχόντων γενηθέντες. Καὶ γὰρ τοῖς [c]δεσμίοις
συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ
χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν [d]ἑαυτοῖς κρείσσονα
ὕπαρξιν ἐν οὐρανοῖς, καὶ μένουσαν.

C ΟΙ τῶν ἰατρῶν [e]ἄριστοι, ἐπειδὰν βαθεῖαν [f]δῶσι τομὴν, καὶ
τὰς ἀλγηδόνας ἐπιτείνωσι διὰ τῆς πληγῆς, παραμυθούμενοι τὸ
πονοῦν, καὶ τεθορυβημένην ἀναπαύοντες καὶ ἀνακτώμενοι τὴν
ψυχὴν, ἑτέραν οὐκέτι προσάγουσι τομὴν, ἀλλὰ καὶ τὴν δοθεῖ-
σαν φαρμάκοις προσηνέσι καὶ τὸ πολὺ τῆς ὀδύνης ἱκανοῖς ἀφα-
νίσαι παραμυθοῦνται. Τοῦτο καὶ ὁ Παῦλος ἐποίησε, κατασείσας
αὐτῶν τὰς ψυχὰς, καὶ κατανύξας τῇ μνήμῃ τῆς γεέννης, καὶ
πιστωσάμενος αὐτοὺς, ὅτι πάντως δεῖ ἀπολέσθαι τὸν ἐνυβρί-

15 2 Reg. xii. 8. 16 Psal. xlviii. 7. cxxvii. 1. 1 Cap. X. v. 32—34.

[q] οἱ] + μὲν K.Q. Sav. cet. [r] τὰς] τῆς K.N.Q. Sav. cet. invito Mut. [s] ἐστιν] + ἀληθὲς K.Q. Sav. cet. [t] τῷ] ὁ K.Q.R. [v] ζηλοῦμεν A. ζηλώσωμεν R. [w] αὐτῶν] + καὶ πάλιν K.Q. Sav. cet. [x] εἶναι β. pro β. εἶναι omnes. [y] τύχοις Q. [z] μετασχεῖν A. ἀξιωθῆναι K.Q. Hom. XXI. [a] δὲ om. K.N.Q. eras. in O. [b] πασχόντων] Sic R. et a pr. m. O. *patientium* Mut. Cf. p. 194 D. [c] δεσμίοις] Sic K.N.Q.R. Mut. Ben. δεσμοῖς a pr. m. O. superscripto μου. δεσμοῖς μου A. Veron. Sav. Mor. [d] ἑαυτοὺς A.N. ἑαυτ. κρ. ὕπαρξιν pro κρ. ὕπαρξιν ἑαυτ. K.N.O.Q.R. Cat. κρείττονα pro κρείσσονα K.N.O.Q. [e] ἄριστοι] + παῖδες O.R. [f] δῶσι τ.] ἴδωσι τὴν τ. K.Q. Mox ἐπιτεινομένας iidem.

Digitized by Google

σαντα [g]εἰς τὴν τοῦ θεοῦ χάριν, καὶ τοῦτο ἀπὸ τῶν [h]Μωϋσέως
δείξας νόμων, ὅτι καὶ ἀπολοῦνται, καὶ [i]μειζόνως, καὶ μαρτυρίαις D
ἑτέραις ἐπισφραγίσας, καὶ εἰπὼν, "Φοβερὸν τὸ ἐμπεσεῖν εἰς
χεῖρας θεοῦ ζῶντος·" [k]ὥστε μὴ τῷ πολλῷ φόβῳ ἀπαγορεύσα-
σαν τὴν ψυχὴν καταποθῆναι τῇ λύπῃ, παραμυθεῖται αὐτοὺς διὰ
τῶν ἐγκωμίων καὶ τῆς παρακλήσεως· καὶ [l]τὸν ζῆλον οἴκοθεν
αὐτοῖς προσφέρει. "Ἀναμιμνήσκεσθε γὰρ, φησὶ, τὰς πρό-
τερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε 194
παθημάτων." Πολλὴ ἡ διὰ τῶν ἔργων παράκλησις· τὸν γὰρ
ἀρχόμενον πράγματος, προϊόντα ἐπιδιδόναι χρή. Ὡς ἂν εἰ
ἔλεγεν, ὅτε [m]ἐνήγεσθε, ὅτε ἐν τάξει μαθητῶν ἦτε, τοσαύτην
προθυμίαν ἐπεδείξασθε, τοσαύτην γενναιότητα· νῦν δὲ οὐκέτι.
[n]Καὶ ὁ παρακαλῶν, οὕτω μάλιστα παρακαλεῖ ἀπὸ τῶν οἰκείων.
[o]Καὶ [p]οὐχ ἁπλῶς εἶπεν, "[q]ἄθλησιν ὑπεμείνατε," ἀλλὰ, "πολ-
λήν." Καὶ οὐκ εἶπε πειρασμοὺς, ἀλλὰ, "ἄθλησιν," ὅπερ ἐστὶν ἐγ-
κωμίου ὄνομα καὶ ἐπαίνων μεγίστων. Εἶτα καὶ καταλέγει κατὰ
μέρος, πλατύνων τὸν λόγον, καὶ τοὺς ἐπαίνους [r]πολλοὺς ποιῶν. B
Πῶς; "Τοῦτο μὲν ὀνειδισμοῖς, [s]φησὶ, καὶ θλίψεσι θεατριζό-
μενοι." Μέγα [t]γὰρ ὀνειδισμὸς, καὶ [v]ἱκανὸν διαστρέψαι ψυχὴν,
καὶ σκοτῶσαι λογισμόν. [w]Ἄκουε γὰρ τί φησιν ὁ [x]προφήτης·
[2]"Ἐν τῷ λέγεσθαί μοι, [y]φησὶ, καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστιν
ὁ θεός σου;" καὶ πάλιν, "[z]Ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπ-
ήνεγκα ἄν." Ἐπειδὴ γὰρ σφόδρα κενόδοξόν ἐστι τὸ ἀνθρώ-
πινον γένος, διὰ τοῦτο καὶ [a]ὑπὸ τούτου ῥᾳδίως ἁλίσκεται.
[b]Καὶ οὐχ ἁπλῶς εἶπεν, "ὀνειδισμοῖς," ἀλλὰ καὶ αὐτὸ [c]μετ'
ἐπιτάσεως πολλῆς, "θεατριζόμενοι." [d]Ὅταν μὲν γάρ τις ὀνει- C
δίζηται καθ' ἑαυτὸν, λυπηρὸν μὲν, πολλῷ δὲ πλέον, ὅταν ἐπὶ
πάντων. [e]Εἰπὲ γάρ μοι, ὅσον ἦν κακὸν, ἀποστάντας τῆς Ἰου-

2 Psal. xli. 4. liv. 13.

[g] εἰς om. R. et a pr. m. O. [h] Μωυσέος A.R. Veron. Statim διδάξας O.R. *docens* Mut. [i] μειζόνως] + τιμωρηθήσονται K.Q. Sav. cet. Post ἐπισφραγίσας add. τὰ εἰρημένα iidem. [k] ὥστε] + κἂν O. [l] [τὸν] Sav. τὸν om. K. [m] ἀνήγεσθε O.R. [n] καὶ ὁ π. οὕτω] οὕτω καὶ ὁ π. K.Q. [o] καὶ] + ὅρα K.Q. Sav. cet. [p] οὐχ ἁπλῶς—ἀλλὰ ἄθλησιν] οὐκ εἶπε, πειρασμοὺς ὑπεμείνατε, ἀλλὰ ἄθλησιν· καὶ οὐδὲ ἄθλησιν ἁπλῶς, ἀλλὰ μετὰ προσθήκης τοῦ, πολλὴν K.Q. [q] ἄθλ. ὑπεμ. ἀλλὰ om. A. Veron. Post ἀλλὰ add. μετὰ προσθήκης τοῦ Sav. cet. [r] πολλοὺς] καὶ πολλοὺς K.Q. [s] φησὶ] ἐπαγαγὼν K.Q. Mox θεατριαζόμενοι bis Q. [t] γὰρ om. A. Post ὀνειδισμὸς add. καθικέσθαι καρδίας K.Q. Sav. cet. [v] ἱκανὸς K.Q. [w] ἄκ. γὰρ] καὶ ὅτι οὕτως ἔχει, ἄκ. K.Q. [x] προφήτης] + ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτὸς K.Q. Sav. cet. [y] φησὶ assumtum ex N.O.R. Mut. [z] ὅτι om. K.Q. Sav. cet. Statim ὁ om. K. Cat. eras. in O. [a] ὑπὸ τούτου om. K.Q. [b] καὶ οὐχ ἁ.] οὐχ ἁ. δὲ K.Q. Mox ὀνειδισμὸν K.Q.R. Cat. [c] μετὰ πίστεως πολλῆς A. Veron. Post θεατριζόμενοι add. φησὶν K.Q. Sav. cet. [d] ὅτε . . ὀνειδίζεται R. Statim καὶ καθ' ἑ. Q. καθ' ἑ. μὲν λ. hoc ord. R. [e] εἰπὲ] ἐννόησον K.Q. Sav. cet. Statim μοι γὰρ N.

Digitized by Google

δαϊκῆς [f] ταπεινότητος, καὶ ὡς ἐπὶ ἄριστον βίον μετελθόντας,
καὶ τῶν πατρῴων καταφρονήσαντας, [g] ὑπ' αὐτῶν τῶν οἰκείων
πάσχειν κακῶς, καὶ μηδεμίαν ἔχειν ἀντίληψιν. Οὐκ ἔχω, φησὶν,
εἰπεῖν, ὅτι ταῦτα ἐπάθετε μὲν, [h] ἠλγεῖτε δὲ, ἀλλὰ καὶ σφόδρα (538)
ἐχαίρετε. Καὶ τοῦτο ἐδήλωσεν [i] εἰπὼν, "Κοινωνοὶ τῶν [k] οὕτω
D πασχόντων γενηθέντες·" [l] καὶ αὐτοὺς φέρει εἰς μέσον τοὺς ἀπο-
στόλους. [m] Οὐ μόνον, φησὶν, ἐπὶ τοῖς οἰκείοις οὐκ ᾐσχύνεσθε,
ἀλλὰ καὶ τοῖς ἄλλοις ἐκοινωνεῖτε τοῖς ταῦτα [n] παθοῦσι. Τοῦτο
[o] καὶ παρακαλοῦντος αὐτούς ἐστιν. Οὐκ εἶπε, φέρετε τὰς θλί-
ψεις τὰς ἐμὰς, κοινωνεῖτέ μοι, [p] ἀλλὰ, τὰς ὑμετέρας αἰδέσθητε.
"Καὶ [q] τοῖς δεσμίοις συνεπαθήσατε." Ὁρᾷς ὅτι περὶ [r] ἑαυτοῦ
φησι καὶ τῶν ἄλλων τῶν δεδεμένων; Οὕτως οὐχ ἡγήσασθε
195 δεσμὰ [s] εἶναι τὰ δεσμὰ, ἀλλ' ὥσπερ ἀθληταὶ γενναῖοι, οὕτως
ἔστητε, ὅτι οὐ μόνον ἐν τοῖς [t] ὑμετέροις οὐκ ἐδέεσθε παρακλή-
σεως, ἀλλὰ καὶ τοῖς ἄλλοις [v] ἐγίνεσθε παράκλησις. "Καὶ τὴν
ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε."
Βαβαὶ, πόση πληροφορία πίστεως. Εἶτα καὶ τὴν αἰτίαν τί-
θησιν, οὐ μόνον πρὸς τοὺς ἄθλους αὐτοὺς παρακαλῶν, ἀλλὰ καὶ
πρὸς τὸ μὴ διασαλευθῆναι τῆς πίστεως. Τὸν ὑμέτερον πλοῦ-
τον, φησὶν, ἁρπαζόμενον ὁρῶντες, ἠνέγκατε· ἤδη γὰρ τὸν οὐ
φαινόμενον ὡς φαινόμενον ἑωρᾶτε· [w] ὅπερ εἰλικρινοῦς πίστεως
B ἦν· καὶ δι' αὐτῶν τῶν ἔργων αὐτὴν ἐπεδείξασθε. Τὸ μὲν οὖν
[x] ἁρπάσαι, ἴσως τῆς βίας ἦν τῶν ἁρπαζόντων, καὶ οὐδεὶς ἂν
ἠδύνατο κωλῦσαι· ὥστε οὐδέπω τοῦτο [y] δῆλον, ὅτι διὰ τὴν πί-
στιν [z] τὴν ἁρπαγὴν [a] ἠνέγκατε. Καίτοιγε καὶ τοῦτο δῆλον·
ἐνῆν γὰρ, [b] εἴπερ ἐβούλεσθε, μὴ ἁρπαγῆναι μὴ πιστεύσαντας·
ἀλλ' ὃ πολλῷ [c] τούτου μεῖζόν ἐστιν ἐποιήσατε, τὸ καὶ μετὰ
χαρᾶς [d] τὰ τοιαῦτα φέρειν· ὅπερ ἦν ὅλον ἀποστολικὸν, καὶ
τῶν γενναίων ἐκείνων ἄξιον ψυχῶν, οἳ [e] μαστιχθέντες ἔχαιρον.

[f] ματαιότητος K.Q. [g] ὑπ'] καὶ ὑπ' N. [h] ἠλγεῖτε] οὐκ ἠλγεῖτε Cat. [i] εἰπὼν] + τοῦτο O. + τοῦτο δὲ K.Q. Sav. cet. [k] οὕτω π.] οὕτως ἀναστρεφομένων K.Q. Sav. cet. invitis Cat. Mut. Post γενηθέντες add. καὶ γὰρ τοῖς δεσμίοις συνεπαθήσατε iidem. [l] καὶ om. K.Q. [m] οὐ μόνον, φ.] τοῦτο αὐτοὺς ἐντεῦθεν συλλογιζόμενος, καὶ λέγων ὅτι οὐ μόνον K.Q. [n] πάσχουσι N. [o] καὶ et mox αὐτοὺς om. N. [p] ἀλλὰ—καὶ (+ γὰρ Cat.) τοῖς] ἀλλ' ἁπλῶς, τοῖς K.Q. Sav. cet. [q] τοῖς (τοῖσδε R.) δεσμίοις] Sic K.N.O.Q.R. Mut. Sav. cet. τοῖς δεσμοῖς (sine μου?) A. τοῖς δεσμοῖς μου Cat. Veron. [r] αὐτοῦ A.N.R. Veron. Mox δεδομένων A. [s] εἶναι om. K.Q. [t] ἡμετέροις K.Q. [v] ἐγίνεσθε omnes. ἐγένεσθε Edd. [w] ὅπερ] περὶ A. Veron. [x] ἁρπαγῆναι K.Q. Sav. cet. [y] ἄδηλον A. Statim καὶ ὅτι R. Veron. [z] τὴν] καὶ τὴν N. [a] ἠνέγκατε] Sic A.N.O.R. ὑπεμείνατε K.Q. Sav. cet. In Veron. vocabulum deest. [b] εἴπερ] ὅπερ O.R. Statim ἠβούλεσθε K. [c] τοῦτο K. [d] τὰ om. A. Mox ὑπενεγκεῖν pro φέρειν K.Q. [e] μαστιζόμενοι K.Q. Mox ὑπέστρεφον K.N.O.Q.R. Mut. ὑπέστρεψαν Edd.

Digitized by Google

[4] "Ὑπέστρεφον γὰρ, φησὶν, ἀπὸ προσώπου τοῦ συνεδρίου [f]χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος ἀτιμασθῆναι." Ὁ δὲ μετὰ χαρᾶς φέρων, δείκνυσιν ὅτι ἔχει μισθόν τινα, καὶ ὅτι οὐ ζημία, ἀλλὰ πρόσοδός ἐστι τὸ πρᾶγμα. Καὶ τὸ, "[g]προσεδέξασθε," τὴν ἑκούσιον αὐτῶν ὑπομονὴν δηλοῖ· [h]ὅτι εἵλεσθε, φησὶ, καὶ κατεδέξασθε. "Γινώσκοντες ἔχειν [i]ἑαυτοῖς κρείσσονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν." [k]Ἀντὶ τοῦ, βεβαίαν, οὐχ οὕτως ἀπολλυμένην ὥσπερ [l]ταύτην. C

Εἶτα ἐπαινέσας αὐτοὺς, φησί· [5]"Μὴ οὖν ἀποβάλητε τὴν παρρησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην." [m]Τί λέγεις; Οὐκ εἶπεν, ὅτι ἀπεβάλετε, [n]καὶ ἀνακτήσασθε· [o]ἀλλ', ὃ μᾶλλον αὐτοὺς ἐποίει ῥωσθῆναι, ὅτι ἔχετε αὐτὴν, φησί. Τὸ μὲν γὰρ ἀποβληθὲν ἀνακτήσασθαι πάλιν, καμάτου δεῖται πλείονος· τὸ δὲ κατεχόμενον μὴ ἀπολέσαι, οὐχ οὕτω. Γαλάταις δὲ τὸ ἐναντίον [p]λέγει· [6]"Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις [q]οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν·" καὶ εἰκότως. Ἐκεῖνοι μὲν γὰρ ὑπτιώτερον διέκειντο, ὅθεν αὐτοῖς ἔδει πληκτικωτέρου λόγου· οὗτοι δὲ μικροψυχότερον, ὅθεν θεραπευτικωτέρου μᾶλλον ἐδέοντο. "Μὴ ἀποβάλητε οὖν, [r]φησὶ, τὴν παρρησίαν ὑμῶν." [s]Ὥστε ἐν παρρησίᾳ ἦσαν πολλῇ πρὸς τὸν θεόν. "Ἥτις ἔχει, φησὶ, μισθαποδοσίαν μεγάλην." [t]Καὶ πότε αὐτὰ ληψόμεθα; φησίν· ἰδοὺ [v]τὰ παρ' ἡμῶν πάντα ὑπῆρκται. Διὰ τοῦτο προέλαβεν [w]αὐτοὺς τῇ αὐτῶν ὑπολήψει, [x]μονονουχὶ λέγων· εἰ ἐν οὐρανοῖς γινώσκετε ἔχειν ὕπαρξιν [y]κρείσσονα, μηδὲν ἐνταῦθα ζητεῖτε· [z]ὑπομονῆς γὰρ ἔχετε χρείαν, οὐχὶ προσθήκης, ἵνα ἐν D 196 B

4 Act. v. 41. 5 v. 35. 6 Gal. iv. 19.

[f] χαίροντες ante ἀπὸ προσώπου transp. K.Q. Post ὀνόματος add. αὐτοῦ Edd. αὐτοῦ om. N.R. et a pr. m. O. *Jesu* Mut. [g] προσδέξασθαι Veron. [h] ὅτι εἵλεσθε, φ.] πῶς οὖν εἵλεσθε K.Q. Sav. cet. Statim καὶ om. R. Post γινώσκοντες add. φησὶν K.Q. Sav. cet. [i] ἑαυτοὺς A. Veron. ἐν ἑαυτοῖς Q. Statim ἐν οὐρ. κρ. ὕπαρξιν hoc ord. A. Veron. [k] ἀντὶ τοῦ] τί ἐστι, μένουσαν K.Q. Sav. cet. [l] ταύτῃ A. [m] τί λέγεις] καὶ τοῦτο μὲν αὐτοῖς λέγει K.Q. τί λ. om. N. Cat. Statim οὐκ εἶπεν δὲ ὅτι K.Q. Post ἀπεβάλετε add. τὴν παρρησίαν ὑμῶν K.Q. Sav. cet. [n] καὶ] ἀλλ' N. ἀλλὰ O. καὶ om. K.Q. Post ἀνακτήσασθε (ἀνεκτ. R.) add. ἵνα μὴ ἀπαγορεύσωσιν K.Q. Sav. cet. [o] ἀλλ' ὃ (ἀλλὰ R.) μᾶλλον (μάλιστα N.O.) αὐτοὺς ἐποίει (ἐποίει αὐτοὺς N. Cat.) ῥωσθῆναι] ἀλλ', ὅτι ἔχετε αὐτὴν, μὴ ἀποβάλητε· ὃ μᾶλλον αὐτοὺς ἐψυχαγώγει καὶ ἐποίει ῥωσθῆναι K.Q. Sav. cet. [p] λέγει] γράφει iidem. Statim τέκνα A. Veron. [q] οὗ] + πάλιν K.Q. Statim μορφωμωθῇ (sic) Q. [r] φησὶ om. K.Q. post ὑμῶν transp. O.R. [s] ὥστε] ἐπειδὴ A. Veron. Mox φησὶ om. K.Q. [t] καὶ π. αὐτὰ ληψ. (ἀποληψ. N.) φ.] τί ἐστι τοῦτο; τότε αὐτὰ ληψ. φ. οὐκοῦν εἰ κατὰ τὸ μέλλον ἀπόκειται, οὐ δεῖ ἐνταῦθα ζητεῖν. εἶτα, ἵνα μή τις εἴπῃ K.Q. Sav. cet. [v] τὰ om. K.Q. [w] αὐτοὺς] καὶ αὐτοὺς K.Q. αὐτοὺς καὶ Sav. cet. invitis libris. Post αὐτῶν add. συλλογίζεται K.Q. [x] μονονουχὶ] + τοῦτο K.Q. Sav. cet. Mox ἐν οὐρανῷ A. Veron. [y] κρείσσονα] + δὲ A. Veron. Statim μηδὲ K.Q. [z] ὑπομονῆς—χρείαν] ἄρα ὑπομονῆς χρεία K.Q. Post προσθήκης add. ἀγῶνος K.Q. Sav. cet.

Digitized by Google

[a]τοῖς αὐτοῖς μείνητε, ἵνα μὴ ῥίψητε τὸ ἐγχειρισθέν. Οὐδενὸς
[b]ὑμῖν ἑτέρου δεῖ, ἀλλ' [c]ἢ ὥστε στῆναι, ὡς ἑστήκατε, ἵνα πρὸς
τὸ τέλος ἐλθόντες, κομίσησθε τὴν ἐπαγγελίαν. [7] "Ὑπομονῆς
γὰρ ἔχετε, [d]φησὶ, χρείαν, ἵνα τὸ θέλημα τοῦ θεοῦ ποιήσαντες,
κομίσησθε τὴν ἐπαγγελίαν." [e]Ἑνὸς ὑμῖν δεῖ μόνου, ἵνα ἀνα-
μείνητε τὴν μέλλησιν, οὐχ ἵνα ἀθλήσητε πάλιν. Πρὸς τὸν
στέφανον αὐτόν ἐστε, φησί· τοὺς ἀγῶνας πάντας ἠνέγκατε,
[f]τῶν δεσμῶν, τῶν θλίψεων· τὰ ὑπάρχοντα ὑμῶν ἡρπάγη. [g]Τί
οὖν; πρὸς τὸ στεφανωθῆναι ἑστήκατε λοιπόν· τοῦτο μόνον (539)
C φέρετε, τὴν μέλλησιν τοῦ στεφάνου. Ὦ μέγεθος [h]παρακλή-
σεως· ὡς ἄν τις [i]εἴποι πρὸς ἀθλητὴν πάντας καταβαλόντα, καὶ
μηδένα ἔχοντα ἀνταγωνιστὴν, εἶτα μέλλοντα στεφανοῦσθαι,
καὶ οὐ φέροντα τὸν χρόνον ἐκεῖνον, καθ' ὃν ὁ ἀγωνοθέτης ἔρχε-
ται, [k]καὶ τίθησι τὸν στέφανον· ἐκεῖνος δὲ ἀκαρτερήτως ἔχων,
θέλοι ἐξελθεῖν καὶ φυγεῖν, [l]ὡς μὴ φέρων τὸ δίψος καὶ τὸν
φλογμόν. Τοῦτο [m]τοίνυν καὶ αὐτὸς αἰνιττόμενος, [n]τί φησιν;
[8] "Ἔτι μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ."
Ἵνα γὰρ μὴ λέγωσι, καὶ πότε ἥξει; ἀπὸ τῶν γραφῶν αὐτοὺς
[o]παρακαλεῖ. Καὶ γὰρ [p]τὸ, [9] "Ἐγγύτερον ἡμῶν ἡ σωτηρία,"
ὅταν λέγῃ ἀλλαχοῦ, παραμυθεῖται αὐτοὺς, ὡς ὀλίγου ὄντος τοῦ
D λειπομένου χρόνου. Καὶ τοῦτο οὐκ ἀφ' ἑαυτοῦ φησιν, ἀλλ' ἀπὸ
τῶν γραφῶν. Εἰ δὲ ἐξ ἐκείνου [q]ἐλέγετο, "Μικρὸν ὅσον ὅσον,
ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ·" δῆλον ὅτι νῦν [r]ἐγγύτερός
ἐστιν. Ὥστε καὶ τὸ ἀναμένειν μισθός ἐστιν [s]οὐ μικρός. [10] "Ὁ
δὲ δίκαιος, [t]φησὶν, ἐκ πίστεως ζήσεται· καὶ ἐὰν ὑποστείληται,
οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ." Μεγάλη αὕτη [v]παράκλησις,
197 ὅταν δεικνύῃ τις τὸ πᾶν κατωρθωκότας, καὶ διὰ μικρᾶς ῥαθυμίας
ἀπολλύντας αὐτό. [11] "Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώ-
λειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς. [12] Ἔστι δὲ πίστις,

7 v. 36. 8 v. 37. 9 Rom. xiii. 11. 10 v. 38. 11 v. 39. 12 Cap. XI. v. 1, 2.

a τοῖς om. K.Q. Mox *μένητε* N. Statim *καὶ ἵνα* N. et ex corr. O. b *ὑμῶν* K.Q. Post *δεῖ* add. *φησὶν* iidem. c *ἢ* om. A. Veron. Mox *ἐνστῆναι* N. Veron. et ex corr. O. d *φησὶ* om. K.Q.R. et olim O. *ὑπομονῆς—ἐπαγγελίαν* om. A. e *ἑνὸς*] *ἄρα ἑνὸς* K.Q. Sav. cet. f *τῶν δεσμῶν* (*τὸν δεσμὸν* N. et corr. O.) *τῶν θλ.*] Sic omnes. *τοὺς δεσμοὺς, τὰς θλίψεις* Edd. *vincula, tribulationes* Mut. g *τί οὖν* om. K.Q. inclusum a Sav. Mox *τούτου μόνου φέρετε τὴν μέλλησιν, τοῦ στ.* K.Q. h *παρακλήσεως*] + *οὕτως αὐτοὺς παρακαλεῖ* K.Q. Sav. cet. i *εἴποι*] *εἰ* K.Q. Statim *πρὸς τὸν ἀθλ.* Q. Mox *καταβάλλοντα* A. Veron. k *καὶ τίθησι τὸν στ.*] *θεὶς τὸν στ. ἐπιδεικνύοι* K.Q. l *ὡς* om. K.Q. Mox *φλεγμὸν* O. m *τοίνυν*] *νῦν* O.R. Statim *καὶ* accessit ex K.N.O.Q.R. Mut. n *τί φ.*] *τίθησιν* N.O. o *παρακαλεῖ*] *ψυχαγωγεῖ* K.Q. p *τὸ*] + *νῦν* K.Q.R. Sav. cet. Mox *ὑμῶν* K.Q. q *ἐλέγετο*] *ἔλεγε τὸ* N. et ex corr. O. r *ἐγγύτερον* N.R. s *οὐ μικρὸς*] *οὐκ ὀλίγος* A. Veron. t *φησὶν* om. K.Q. v *παρ.*] *ἡ παρ.* K.N.R. Sav. cet. Mox *κατορθ.* A. Cat.

Digitized by Google

ἐλπιζομένων ὑπόστασις πραγμάτων, ἔλεγχος οὐ βλεπομένων.
Ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι." Βαβαὶ, οἵᾳ
λέξει ἐχρήσατο εἰπὼν, "Ἔλεγχος οὐ βλεπομένων·" ἔλεγχος
γάρ [w] ἐστιν ἐπὶ τῶν λίαν [x] δήλων. [y] Ἡ τοίνυν πίστις ὄψις ἐστὶ
τῶν ἀδήλων, φησὶ, καὶ εἰς τὴν αὐτὴν τοῖς ὁρωμένοις φέρει πλη-
ροφορίαν τὰ μὴ ὁρώμενα. Οὔτε οὖν [z] ἐν τοῖς ὁρωμένοις ἀπι-
στῆσαί ἐστιν, οὔτε πάλιν, [a] ἂν μὴ τῶν ὁρωμένων σαφέστερον B
περὶ τῶν ἀοράτων πεπληροφόρηταί τις, πίστις εἶναι δύναται.
Ἐπειδὴ γὰρ τὰ ἐν ἐλπίδι ἀνυπόστατα εἶναι δοκεῖ, ἡ πίστις
ὑπόστασιν αὐτοῖς χαρίζεται· μᾶλλον δὲ, οὐ χαρίζεται, ἀλλ'
αὐτό ἐστιν οὐσία αὐτῶν· οἷον, ἡ ἀνάστασις [b] οὐ παραγέγονεν,
οὐδέ ἐστιν ἐν ὑποστάσει, ἀλλ' ἡ ἐλπὶς ὑφίστησιν αὐτὴν ἐν τῇ
ἡμετέρᾳ ψυχῇ. Τοῦτό ἐστιν, "ὑπόστασις [c] πραγμάτων." Εἰ
τοίνυν ἔλεγχός ἐστιν οὐ βλεπομένων, τί δὴ βούλεσθε αὐτὰ C
ἰδεῖν, ἵνα ἐκπέσητε τῆς πίστεως [d] καὶ τοῦ δίκαιοι εἶναι, εἴγε ἐκ
πίστεως ὁ δίκαιος ζήσεται; Ὑμεῖς δὲ [e] εἰ βούλεσθε αὐτὰ ἰδεῖν,
οὐκέτι ἐστὲ πιστοί. Ἐκάμετε, φησὶν, ἠθλήσατε· κἀγὼ τοῦτό
φημι· ἀλλὰ ἀναμείνατε· τοῦτο γάρ ἐστι πίστις· μὴ ἐνταῦθα
ζητεῖτε τὸ πᾶν.

[f] Ταῦτα εἴρηται μὲν πρὸς Ἑβραίους, κοινὴ δέ ἐστι παραί-
νεσις καὶ πρὸς πολλοὺς τῶν ἐνταῦθα συνειλεγμένων. [g] Πῶς καὶ D
τίνι τρόπῳ; Πρὸς τοὺς ὀλιγοψύχους, πρὸς τοὺς μικροψύχους.
Ὅταν γὰρ ἴδωσι [h] πονηροὺς [i] εὐπραγοῦντας, ἑαυτοὺς δὲ δυσπρα-
γοῦντας, ἀλύουσι, δυσανασχετοῦσιν· [k] ὅταν ποθῶσιν ἐκείνων τὴν
κόλασιν καὶ τὴν ἐκδικίαν, [l] ὅταν τῶν οἰκείων πόνων τοὺς μισθοὺς
ἐκδέχωνται. "Ἔτι [m] γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος [n] ἥξει."
Καὶ ἡμεῖς [o] τοίνυν πρὸς [p] τοὺς ῥᾳθύμους ταῦτα λέγομεν· πάντως
ἔσται κόλασις, πάντως ἥξει, ἐπὶ θύραις λοιπὸν τὰ τῆς ἀναστά- 198

[w] ἐστιν] λέγεται K.Q. Sav. cet. [x] δήλων] Sic A. et a pr. m. O. consentientibus Cat. Mut. Veron. ἀδήλων K.N.Q.R. Sav. Mor. [y] ἡ τοίνυν π.] Sic N.O.R. ἡ δὲ π. K.Q. ἡ π. τοίνυν Edd. Statim ὄψις ἐστὶ pro ἐστὶν ὄψις K.N.Q. ἐστὶ om. R. et a pr. m. O. Mox φησὶ om. K.Q. [z] ἐν om. K.N.Q.R. et a pr. m. O. invita Cat. In A. lacuna est. [a] ἂν] εἰ K.N.Q. Sav. cet. invita Cat. Mox πληροφορῆται Cat. [b] οὐ] οὔπω K.Q. [c] πραγμάτων] + ἐλπιζομένων K.Q. Sav. cet. [d] καὶ τοῦ] οὐ τοῦ R. οὐ τῷ Cat. οὕτω A. Statim δίκαιον A. καὶ τοῦ—εἴγε] οὐ τοῦτο δικαίους εἶναι ποιεῖ· εἰ γὰρ K.Q. [e] εἰ om. K.N.Q. [f] ΗΘΙΚΟΝ. Πρὸς τοὺς μικροψύχους, ["Adde καὶ ὅτι δεῖ." *Heyse*.] μὴ ἀλύειν εὐπραγούντων τῶν πονηρῶν, δυσπραγούντων δὲ τῶν δικαίων, μηδὲ κατακρίνειν, μηδὲ περιεργάζεσθαι. Veron. [g] πῶς κ. τ. τρόπῳ] μάλιστα δὲ K.Q. [h] πονηροὺς—ποθῶσιν (ἴδωσιν Veron.) om. A. [i] εὐπράττοντας Q.R. et a pr. m. O. εὖ πράττοντας K. Statim αὐτοὺς Veron. et, ut videtur, R. [k] ὅταν] μικροψύχων δὲ καὶ ὅταν K.Q. [l] ὅταν] ἢ ὅταν K.Q. Sav. cet. [m] γὰρ om. K.N.Q. Sav. cet. [n] ἥξει] + καὶ οὐ χρονιεῖ, εἶπε τότε ὁ Παῦλος iidem. [o] τοίνυν om. K.Q. [p] τοὺς] + ὀλιγοψύχους καὶ R. Mox λέγωμεν N.Q.R. Sav. cet.

Digitized by Google

σεως. [q]Πόθεν, φησίν; Οὐ λέγω, ἀπὸ προφητῶν· οὔτε γὰρ
πρὸς [r]Χριστιανοὺς μόνον μοι νῦν ὁ λόγος, ἀλλὰ κἂν Ἕλλην ᾖ,
θαρρῶ πάνυ, καὶ τὰς ἀποδείξεις παρέχω, καὶ διδάξω αὐτόν.
[s]Πῶς, φησί; Πολλὰ προεῖπεν ὁ Χριστός. Εἰ μὴ ἐξέβη ἐκεῖνα,
μηδὲ [t]τούτοις πιστεύσῃς· εἰ δὲ πάντα ἐξέβη, τί περὶ τῶν λει-
πομένων ἀμφιβάλλεις; Καίτοι πολὺ ἀπίθανον ἦν, μηδενὸς ἐκ-
βάντος, περὶ ἐκείνων πιστεύειν, ἢ ὅτε πάντα ἐξέβη, τούτοις
B ἀπιστεῖν. Μᾶλλον δὲ ἐπὶ ὑποδείγματος ποιήσω τὸ πρᾶγμα
φανερόν. Εἶπεν ὁ [v]Χριστὸς ὅτι τὰ Ἱεροσόλυμα ἁλώσεται,
[w]καὶ ἁλώσεται ἅλωσιν οἵαν οὐδέποτε, καὶ ὅτι [x]οὐκέτι ἀναστή-
σεται· καὶ ἐξέβη εἰς ἔργον ἡ πρόρρησις. Εἶπεν ὅτι θλῖψις
ἔσται μεγάλη, καὶ ἐξέβη. Εἶπεν ὅτι καθάπερ σίνηπι σπαρὲν,
οὕτως ἐκταθήσεται τὸ κήρυγμα· καὶ τοῦτο ὁρῶμεν καθ᾽ ἑκάστην
ἡμέραν τὴν οἰκουμένην ἐπιτρέχον. Εἶπεν ὅτι οἱ [y]καταλιπόντες
πατέρα, ἢ μητέρα, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἕξουσι [z]καὶ πατέρας (540)
καὶ μητέρας· καὶ τοῦτο διὰ τῶν ἔργων ὁρῶμεν πληρούμενον.
Εἶπεν ὅτι [13]"Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· ἀλλὰ θαρσεῖτε,
C ἐγὼ νενίκηκα τὸν κόσμον·" τουτέστιν, οὐδεὶς ὑμῶν περιέσται·
καὶ τοῦτο διὰ τῶν [a]πραγμάτων ὁρῶμεν ἐκβεβηκός. Εἶπεν ὅτι
πύλαι ᾅδου οὐ κατισχύσουσι [b]τῆς ἐκκλησίας, καὶ ταύτης διωκο-
μένης, καὶ ὅτι οὐδεὶς σβέσει τὸ κήρυγμα· καὶ μαρτυρεῖ καὶ
ταύτῃ τῇ προρρήσει [c]τῶν πραγμάτων ἡ πεῖρα. Καίτοι σφό-
δρα ἀπίθανος ἦν ταῦτα λέγων τότε. Διὰ τί; Ὅτι πάντα
λόγοι ἦσαν, καὶ οὐδέπω ἀπόδειξιν [d]παρείχετο τῶν λεχθέντων.
Ὥστε πολλῷ μᾶλλον πιστότερα γέγονε νῦν. [e]Εἶπεν ὅτι [f]ὅταν
κηρυχθῇ τὸ εὐαγγέλιον ἐν πᾶσι τοῖς ἔθνεσι, τότε ἥξει τὸ τέλος·
D [g]ἰδοὺ πρὸς τὸ τέλος λοιπὸν ἐφθάσαμεν. Τὸ γὰρ πλέον τῆς
οἰκουμένης κατηγγέλη· λοιπὸν οὖν τὸ τέλος [h]ἐνέστηκε. Φρί-
ξωμεν, ἀγαπητοί. Τί [i]δὲ, εἰπέ μοι; περὶ συντελείας σὺ μερι-
μνᾷς; Καὶ αὕτη μὲν γὰρ ἐγγὺς πάρεστιν, ἡ δὲ ἑκάστου ζωὴ
[k]ἐγγυτέρα καὶ ἡ τελευτή. [14]"Αἱ ἡμέραι γὰρ τῶν ἐτῶν ἡμῶν,

[13] Joan. xvi. 33. [14] Psal. lxxxix. 10.

[q] πόθεν] + δῆλον K.N.Q. Sav. cet. [r] Χριστιανὸν K.O.Q.R. μόνον om. K.Q. [s] πῶς, φ.] καὶ πῶς, ἄκουε K.N.Q. Sav. cet. [t] ταῦτα A. Veron. Mox εἰ δὲ—λειπομένων om. A. [v] Χριστὸς] κύριος A. Veron. Statim ὅτι Ἱερ. A. [w] καὶ ἁλώσεται om. R. Veron. [x] οὐκέτι] οὐκ ἔστιν Veron. οὐδέπω R. [y] καταλειπόντες (sic) A. [z] καὶ π. καὶ μ.] καὶ μ. καὶ π. K.Q. [a] πραγμάτων] ἔργων N. et marg. O. [b] τὴν ἐκκλησίαν O. Mox διωκομένην A.O.R. Veron. [c] τῶν πρ. ἡ π.] ἡ τῶν πρ. π. K.Q. Sav. cet. [d] παρείχετο] ἐποιεῖτο K.Q. [e] εἶπε] + γὰρ A.N. Veron. Statim ὅτι om. R. γὰρ ὅτι in marg. O. [f] ὅταν] ὅτε A. Veron. Mox ἐν om. iidem. [g] ἰδοὺ] καὶ ἰδοὺ K.Q. Sav. cet. Statim πρὸς om. K.Q. inclusum a Sav. Proximum τὸ om. R. [h] ἕστηκε K.Q. [i] δὲ, εἰπέ μοι om. K.Q. [k] ἐγγυτέρα] + πολλῷ K.Q. Sav. cet.

Digitized by Google

[l]φησὶν, ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη· ἐὰν δὲ ἐν δυναστείαις, ὀγδο-
ήκοντα [m]ἔτη." Ἐγγὺς ἡ ἡμέρα τῆς [n]κρίσεως· φοβηθῶμεν.
[15]"Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος;" Πολλὰ
μετανοήσομεν ἐκεῖ· ἀλλ' ἐν τῷ θανάτῳ οὐδεὶς ἐξομολογήσεται 199
αὐτῷ. Διὰ τοῦτο λέγει, [16]"Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ
ἐν ἐξομολογήσει·" τουτέστι, τὴν παρουσίαν αὐτοῦ. Ἐνταῦθα
μὲν γὰρ ὅπερ ἐὰν ποιήσωμεν, ἔχει ἰσχύν· ἐκεῖ δὲ οὐκέτι. [o]Εἴ
τις ἡμᾶς, εἰπέ μοι, ἐν καμίνῳ φλεγομένῃ μικρὸν στήσειε χρόνον,
οὐχὶ πάντα ὑποστησόμεθα ὑπὲρ τῆς ἀπαλλαγῆς, κἂν χρήματα
[p]δέῃ προέσθαι, κἂν δουλείαν ὑποστῆναι; Πόσοι νόσοις [q]περι-
έπεσον χαλεπαῖς, καὶ πάντα ἑτοίμως εἵλοντο [r]δοῦναι, ὥστε
ἀπαλλαγῆναι, εἴγε [s]αἵρεσις προὔκειτο; Εἰ τοίνυν [t]ἐνταῦθα B
νόσος ὀλιγοχρόνιος οὕτως ἡμᾶς ἀνιᾷ, τί [v]ποιήσομεν ἐκεῖ, ὅταν
μηδὲν ὄφελος ᾖ τῆς μετανοίας; Πόσων [w]νῦν γέμομεν κακῶν,
καὶ οὐκ αἰσθανόμεθα; ἀλλήλους [x]δάκνομεν, ἀλλήλους κατεσθίο-
μεν ἀδικοῦντες, κατηγοροῦντες, διαβάλλοντες, ταῖς τῶν πλησίον
δόξαις δακνόμενοι. Καὶ ὅρα τὸ χαλεπόν· ὅταν βουληθῇ τις
διορύξαι τοῦ πλησίον τὴν ὑπόληψιν, φησί· τόδε εἶπεν ὁ δεῖνα
περὶ αὐτοῦ· ὁ θεὸς, συγχώρησόν μοι, μή με ἐξετάσῃς, ἀκοῆς
λόγον ὀφείλω. [y]Τί οὖν λέγεις ὅλως, εἰ οὐ πιστεύεις; τί λέγεις; C
τί πιστὸν [z]αὐτὸ ἐργάζῃ τῇ πολλῇ φήμῃ; τί διαπορθμεύεις τὸν
λόγον οὐκ ἀληθῆ ὄντα; Σὺ ἀπιστεῖς, καὶ τὸν θεὸν παρακαλεῖς
ὥστε [a]σε μὴ ἐξετάσαι; Μὴ λέγε τοίνυν, ἀλλὰ σιώπα, καὶ
παντὸς δέους ἀπήλλαξαι.

Ἀλλ' οὐκ οἶδα πόθεν ἡ νόσος [b]αὕτη ἐν τοῖς ἀνθρώποις ἐμ-
πέπτωκε· φλύαροι γεγόναμεν, οὐδὲν ἡμῶν ἐναπομένει τῇ ψυχῇ.
Ἄκουε σοφοῦ τινος παραινοῦντος καὶ λέγοντος, [17]"Ἤκουσας
λόγον; [c]ἐναποθανέτω σοι· θάρσει, οὐ μή σε ῥήξῃ·" καὶ πάλιν,
"Ἤκουσε λόγον [d]ὁ μωρὸς, καὶ ὠδίνησεν, ὡς ἀπὸ προσώπου
βρέφους ἡ τίκτουσα." Πρὸς [e]κατηγορίας ἐσμὲν ἕτοιμοι, πρὸς D

15 Ibid. xlviii. 8. 16 Ibid. xciv. 2. 17 Sirac. xix. 10, 11.

[l] φησὶν om. R. et in text. O. φησὶ ante τῶν ἐτῶν transp. K.N.Q. [m] ἔτη om. N. Veron. eras. in O. [n] κρίσεως] + κἂν οὕτω K.Q. Sav. cet. [o] εἴ τις ἡμᾶς, εἰπέ μοι] εἰπέ μοι, παρακαλῶ, εἴ τις ἡμᾶς K.Q. [p] δέοι K.Q. Veron. [q] περιπεσόντες (et mox οὐ πάντα pro καὶ πάντα) K.Q. [r] δοῦναι] + ἂν K.Q. Sav. cet. ὥστε ἀπ. om. N. [s] προαίρεσις N. [t] ἐνταῦθα om. A. Veron. [v] ποιήσωμεν A. Mox μηδὲ ὄφ. N. et ex corr. O. [w] νῦν] οὖν K.Q. [x] δάκνομεν, ἀλλήλους om. A. Mox κακηγ. K.Q. [y] τί οὖν λ. ὅλως om. R. et in text. O. Mox τί καὶ λέγεις K.Q. [z] αὐτὸν K.N.Q.R. [a] σε om. K. [b] αὕτη om. K.Q. [c] συναποθανέτω Q.R. συναποθάνω(?) K. Statim θάρρει K.Q.R Mox ῥήξει R. Veron. et olim O. [d] ὁ om. R. [e] κακηγορίας N. κακηγορίαν R. κατηγορίας (olim –αν) O. κακουργίας K.Q. *maliloquia* Mut. Statim ἕτοιμοί ἐσμεν K.Q.

Digitized by Google

κατακρίσεις παρεσκευασμένοι. Κἂν μηδὲν ἡμῖν ἕτερον εἰργα-
σμένον [f]εἴη κακὸν, τοῦτο ἱκανὸν ἦν ἡμᾶς ἀπολέσαι, καὶ εἰς γέεν-
ναν ἀπαγαγεῖν, τοῦτο μυρίοις [g]περιβάλλει κακοῖς. Καὶ ἵνα
μάθῃς [h]ἀκριβῶς, ἄκουε τοῦ προφήτου λέγοντος, [18]"Καθήμενος,
φησὶ, κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις." Ἀλλ' οὐκ ἐγὼ,
φησὶν, ἀλλ' [i]ἐκεῖνος. Σὺ μὲν οὖν· εἰ γὰρ μὴ σὺ [k]εἶπες, ἕτερος
οὐκ ἂν ἤκουσεν· εἰ δὲ καὶ ἔμελλεν ἀκούειν, ἀλλὰ σὺ τῆς ἁμαρ-
τίας οὐκ ἧς αἴτιος. Δέον συσκιάζειν καὶ συγκρύπτειν τὰ ἐλατ-
τώματα τῶν πλησίον, σὺ δὲ ἐκπομπεύεις προσχήματι φιλαγα-
θίας. Οὐ γίνῃ [l]κατήγορος, ἀλλὰ φλύαρος, ἀλλὰ λῆρος, ἀλλὰ
μωρός. [m]Ὢ δεινότης· σαυτὸν αἰσχύνεις μετ' ἐκείνου, καὶ οὐκ
αἰσθάνῃ; Ὅρα [n]δὲ ὅσα τὰ κακὰ ἐντεῦθεν γίνεται. Παροργί-
ζεις τὸν [o]θεόν. Οὐκ ἀκούεις Παύλου λέγοντος περὶ [p]χηρῶν
γυναικῶν· [19]"Οὐ μόνον δὲ ἀργαὶ [q]μανθάνουσι, φησὶν, ἀλλὰ
[r]καὶ φλύαροι καὶ περίεργοι, περιερχόμεναι τὰς οἰκίας, καὶ λα-
λοῦσαι τὰ μὴ δέοντα;" Ὥστε καὶ ὅταν πιστεύσῃς τοῖς λεγο-
B μένοις κατὰ τοῦ [s]ἀδελφοῦ, οὐδὲ οὕτω λέγειν χρὴ, [t]μήτιγε ἀπι-
στοῦντα. Ἀλλὰ [v]τὸ σαυτοῦ πανταχοῦ σκοπεῖς; [w]δέδοικας
ἐξετασθῆναι παρὰ τοῦ θεοῦ; [x]Δεῖσον οὖν μὴ καὶ ὑπὲρ τῆς
φλυαρίας [y]ἐξετασθῇς. Ἐνταῦθα γὰρ οὐκ ἔχεις εἰπεῖν ὅτι μή με (541)
ἐξετάσῃς, ὁ θεὸς, ὑπὲρ [z]τῆς φλυαρίας· [a]τὸ γὰρ πρᾶγμα φλυα-
ρία ἐστί. Τί ἐξεπόμπευσας; τί ηὔξησας τὸ δεινόν; Τοῦτο
ἡμᾶς ἀπολέσαι ἔχει· διὰ τοῦτο ἔλεγεν ὁ Χριστὸς, [20]"Μὴ κρί-
νετε, ἵνα μὴ κριθῆτε." Ἀλλ' οὐδεὶς ἡμῖν τούτου λόγος, οὐδὲ
[b]τὰ κατὰ τὸν Φαρισαῖον ἡμᾶς σωφρονίζει. Ἐκεῖνος εἶπεν ἀλη-
θὲς πρᾶγμα, ὅτι [21]"Οὐκ εἰμὶ ὡς ὁ τελώνης [c]οὗτος·" καὶ εἶπεν
C ἀκούοντος οὐδενὸς, καὶ κατεκρίθη. [d]Εἰ τὸ ἀληθὲς εἰρηκὼς κατε-
κρίθη, καὶ μηδενὸς ἀκούοντος εἰπών· οἱ τὰ ψευδῆ, καὶ ὑπὲρ ὧν
οὐκ εἰσὶ πεπεισμένοι ταῦτα διαπορθμεύοντες πανταχοῦ, καθάπερ

18 Psal. xlix. 20. 19 1 Tim. v. 13. 20 Matth. vii. 1.
21 Luc. xviii. 11.

[f] εἴη] ἦν K.Q.R. Veron. Mox ἦν om. K.N.Q. [g] περιβαλεῖν K.N.Q. Sav. cet. [h] ἀκριβῶς om. K.Q. Statim ἄκουσον N.R. Mox φησὶ om. K.N.Q. Sav. cet. [i] ἐκεῖνοι R. et olim O. [k] εἶπας R. [l] κακήγ. N. Mox ἀλλὰ φλύαρος om. R. ἀλλὰ μῶρος om. in text. O. [m] ὢ K.Q. et Sav. in *Corrigendis*. ὦ Edd. Statim δεινότητος Q. [n] δὲ] γὰρ N. et ex corr. O. Statim τὰ om. K.Q.R. et olim O. [o] θεὸν] + λυπεῖς τὸν πλησίον, ὑπεύθυνον σεαυτὸν τῇ κολάσει ποιεῖς K.Q. Sav. cet. [p] χηρῶν] λήρων Veron. [q] μανθάνουσι, φ.] Sic K.N.O.Q.R. φ. μανθάνουσιν Edd. [r] καὶ om. A. Mox καὶ περίεργοι om. N. [s] ἀδελφοῦ] + σου N.O. Sav. cet. [t] μήτοιγε Veron. [v] τὸ] τὰ N.O.R. Mut. Mox σκόπει N.O.R. [w] δεδοικὼς K.Q. Sav. cet. [x] δεῖσον οὖν] οὐκοῦν δεῖσον K.Q. [y] ἐξετάσῃ Q. Mor. Ben. [z] τῆς om. R. [a] τὸ γὰρ—ἐστὶ om. K. inclusum a Sav. τὸ γὰρ—ἐξεπόμπευσας om. Q. [b] τὰ] τὸ O.R. [c] οὗτος] ἐκεῖνος K.Q. Mox οὐδενὸς ἀκούοντος hoc ord. K.O.Q.R. [d] εἰ] ὁ R. et a pr. m. O.

Digitized by Google

γυναῖκες φλύαροι, τί οὐ πείσονται δεινόν; τί δὲ οὐχ ὑπομε-
νοῦσι; Θῶμεν λοιπὸν τῷ στόματι θύραν καὶ μοχλόν· [e] μυρία
γὰρ ἀπὸ φλυαρίας γέγονε κακά· οἰκίαι ἀνετράπησαν, φιλίαι
διεσπάσθησαν, ἕτερα μυρία χαλεπὰ [f] γέγονε. Μὴ περιεργάζου
τὰ τοῦ πλησίον, ἄνθρωπε. Ἀλλὰ λάλος εἶ, καὶ ἐλάττωμα
ἔχεις; Λάλει τὰ σὰ πρὸς τὸν θεόν· οὕτως οὐκέτι ἔσται [g] τὸ
ἐλάττωμα ἐλάττωμα, ἀλλὰ πλεονέκτημα· λάλει τὰ σὰ πρὸς
[h] τοὺς φίλους, τοὺς πάνυ φίλους καὶ δικαίους, καὶ οἷς θαρρεῖς,
ὥστε εὔξασθαι ὑπὲρ τῶν σῶν ἁμαρτημάτων. Ἂν [i] τὰ ἑτέρων D
εἴπῃς, οὐδὲν ὠφελήθης, [k] οὐδὲ ἐκέρδανας, ἀλλὰ καὶ ἀπώλου· [l] ἂν
τὰ σαυτοῦ ἐξαγορεύσῃς τῷ δεσπότῃ, πολὺν ἔχεις τὸν μισθόν·
22 “[m] Εἶπα γάρ, φησὶν, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου
τῷ κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.” Θέλεις
[n] κρίνειν; τὰ σαυτοῦ κρῖνε· οὐδείς σοι ἐγκαλεῖ, ἐὰν καταδικάσῃς
σαυτόν· [o] ἐγκαλεῖ δὲ, [p] ἂν μὴ καταδικάσῃς· ἐγκαλεῖ, ἂν μὴ
ἐλέγξῃς σαυτόν· [q] ἐγκαλεῖ ἀναλγησίας. Εἶδες τὸν δεῖνα ὀργι-
ζόμενον, παροξυνόμενον, [r] ἄλλο τι ἄτοπον ποιοῦντα; ἐννόησον 201
εὐθέως καὶ σὺ τὰ σαυτοῦ, καὶ οὕτως οὐδὲ ἐκεῖνον καταδικάσεις
σφοδρῶς, καὶ σαυτὸν ἐλευθερώσεις τοῦ φορτίου τῶν ἡμαρτη-
μένων. Ἂν οὕτω τὸν ἑαυτῶν ῥυθμίζωμεν βίον, ἂν οὕτω πραγμα-
τευώμεθα ἡμῶν τὴν ζωὴν, ἂν κατακρίνωμεν ἑαυτοὺς, οὐ πολλὰ
ἁμαρτησόμεθα ἴσως, πολλὰ δὲ [s] ἐργασόμεθα καλὰ, ἐπιεικεῖς
ὄντες καὶ μέτριοι, καὶ πάντων [t] ἀπολαύσομεν τῶν ἐπηγγελμένων
τοῖς ἀγαπῶσι τὸν θεόν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν,
χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ'
οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, [v] τιμὴ, νῦν
καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

22 Psal. xxxi. 5.

[e] *μυρία*] *πολλὰ* K.Q. [f] *γέγονε* om. K.Q. Statim *ἄνθρωπε, μὴ π. τὰ τοῦ πλ.* hoc ord. iidem. [g] *τὸ ἐλάτ. ἐλάτ.*] Sic A. et ex corr. O. *vitium illud vitium* Mut. *τὸ ἐλάτ. οὐκ ἐλάτ.* N. *ἐλάττωμα* K.Q.R. et olim O. *τὸ ἐλάττωμα* Edd. [h] *τοὺς φίλους*] *οὓς φιλεῖς* N. Mox *τοὺς π. φίλους* om. A. Veron. [i] *τὰ* om. R. [k] *οὐδὲν* K.N. Sav. cet. Statim *ἐκέρδανες* a pr. m. O. [l] *ἐὰν* K.Q. [m] *εἶπον* A.K.O.Q. [n] *κρῖναι* K.O.Q.R. Veron. *κρίναι* A. [o] *ἐγκαλῇ* ter K.Q. et olim O. *culpaberis* Mut. [p] *ἂν* pro *ἐὰν* bis A.K.N.O.Q. Post *καταδικάσῃς* add. *σαυτὸν* K.N.Q. et in marg. O. *ἐγκαλεῖ δὲ, ἂν μὴ καταδικάσῃς· ἐγκαλεῖ*] *οὐκ ἐγκαλεῖ* R. [q] *ἐγκαλεῖ ἀναλγησίας*] Sic N. *ἀναλγησίας* (om. *ἐγκαλεῖ*) R. Veron. *ἐγκαλεῖ ἂν ἀλγησίας* A. *ἐγκαλεῖ ἀνάλγησις* (olim *ἐγκαλῇ ἀναλγησίας*) O. *ἐγκαλεῖ* (–*λῇ* K.Q.) *ἂν οὐκ ἀλγήσῃς* K.Q. Sav. cet. *culpaberis, si non dolueris* Mut. [r] *ἢ ἄλλο* Edd. *ἢ* om. K.N.Q.R. et olim O. “Oratorie, ut solet Chr.” *Heyse.* [s] *ἐργασόμεθα*] + *μᾶλλον* ex corr. O. [t] *ἀπολαυσόμεθα* N. Post *θεὸν* add. *ἀγαθῶν* A.N. Sav. cet. Sic in marg. O. [v] *τιμὴ*] + *καὶ προσκύνησις* N.

Digitized by Google

ΛΟΓΟΣ ΚΒ.

B [1]Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι [a]θεοῦ, εἰς τὸ
μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι. Πίστει πλείονα
θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ θεῷ, δι' ἧς ἐμαρ-
τυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ
τοῦ θεοῦ· καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι [b]λαλεῖ.

C ΤΟ τῆς πίστεως [c]γενναίας καὶ νεανικῆς δεῖται ψυχῆς, καὶ
πάντα ὑπερβαινούσης τὰ αἰσθητὰ, καὶ τὴν ἀσθένειαν [d]τῶν λο-
γισμῶν τῶν ἀνθρωπίνων παρερχομένης. Οὐ γάρ ἐστιν ἑτέρως
γενέσθαι πιστὸν, [e]ἂν μή τις ἑαυτὸν τῆς συνηθείας ὑπεραναγάγῃ
τῆς κοινῆς. Ἐπεὶ οὖν αἱ τῶν Ἑβραίων ἦσαν ἐξησθενημέναι ψυ-
χαὶ, καὶ ἀπὸ πίστεως μὲν ἤρξαντο, ὑπὸ δὲ τῶν πραγμάτων,
λέγω δὴ τῶν παθῶν, [f]τῶν θλίψεων, ὠλιγοψύχουν [g]λοιπὸν καὶ
ἐμικροψύχουν καὶ παρεσαλεύοντο, πρῶτον μὲν αὐτοὺς ἀπὸ τῶν
[h]αὐτῶν παρεκάλεσεν, εἰπὼν, "Ἀναμνήσθητε τὰς πρότερον ἡμέ-
D ρας·" ἔπειτα ἀπὸ τῆς γραφῆς [i]λεγούσης, "Ὁ δὲ δίκαιος ἐκ
πίστεως ζήσεται·" ἔπειτα [k]ἀπὸ λογισμῶν, εἰπὼν, "Ἔστι δὲ
πίστις, ἐλπιζομένων ὑπόστασις πραγμάτων, ἔλεγχος οὐ βλε-
πομένων." Νῦν δὲ [l]πάλιν ἀπὸ τῶν προπατόρων, τῶν μεγάλων
ἀνδρῶν [m]καὶ θαυμαστῶν ἐκείνων, μονονουχὶ λέγων· εἰ [n]ἔνθα
παρὰ πόδας τὰ ἀγαθὰ, πάντες πίστει ἐσώθησαν, πολλῷ μᾶλ-
202 λον ἡμεῖς. Ὅταν γὰρ [o]εὕρῃ τῶν αὐτῶν παθημάτων κοινωνὸν
ψυχὴ, ἀναπαύεται καὶ ἀναπνεῖ. Τοῦτο καὶ ἐπὶ [p]τῆς πίστεως,
τοῦτο καὶ ἐπὶ θλίψεως ἔστιν ἰδεῖν· [2]"[q]Ὥστε εἶναι παράκλησιν (542)
ὑμῖν, φησὶ, διὰ τῆς ἐν ἀλλήλοις πίστεως." Σφόδρα γὰρ ἄπι-
στον [r]τὸ γένος τὸ ἀνθρώπινον, καὶ ἑαυτῷ οὐ δύναται θαρρεῖν,
καὶ δέδοικεν ὑπὲρ ὧν [s]ἂν κρίνῃ ὅτι ἔχει, καὶ πολλὴν ἔχει τῆς

[1] Cap. XI. v. 3, 4. [2] Rom. i. 12.

Hom. XXII. [a] τοῦ θεοῦ Edd. [τοῦ] θεοῦ Sav. τοῦ deest in omnibus. [b] λαλεῖται A. Sav. cet. καὶ δι' αὐτῆς—λαλεῖ om. K. [c] γενναῖον A. Veron. [d] τῶν ἀνθρωπίνων λ. R. [e] ἐὰν O. [f] τῶν] καὶ τῶν K.N.O.Q. Sav. cet. invitis Cat. Mut. [g] λοιπὸν om. R. et in text. O. λοιπὸν καὶ ἐμικρ. om. A. Veron. invita Cat. καὶ ἐμικρ. om. K.Q. [h] αὐτῶν O. ἑαυτῶν K.Q. Sav. cet. Statim παρεσκεύασεν R. [i] τῆς λεγούσης K.Q. Sav. cet. λεγούσης om. N. [k] ἀπὸ τῶν λ. K.Q. Sav. cet. ἐπαγαγὼν pro εἰπὼν K. [l] πάλιν ἀπὸ τῶν προπ.] ἀπὸ τῶν προτέρων πάλιν K.Q. [m] καὶ] Sic A.O.Q.R. Cat. τῶν Edd. Mox ἐκείνων om. R. τῶν μεγ. καὶ θαυμ. ἐκείνων ἀνδρῶν hoc ord. N. [n] ἔνθα] ὅταν R. [o] εὕροι K.Q. Mox παθῶν K.Q. παθημάτων om. Sav. cet. invitis libris et Mut. Mox ἡ ψυχὴ K.Q. Sav. cet. [p] τῆς om. N.O.R. Mox τοῦτο eras. in O. [q] ὥστε—ὑμῖν, φ.] συμβαῖνον· καθὼς ἀλλαχοῦ φησιν, εἰς τὸ συμπαρακληθῆναι ἐν (ἐν om. K.Q.) ὑμῖν K.Q. Sav. cet. [r] τὸ τῶν ἀνθρώπων γένος R. [s] ἂν κρίνῃ] ἀνακρίνει N. ἀνακρίνῃ ex corr. O.

Digitized by Google

τῶν πολλῶν δόξης φροντίδα. Τί οὖν ὁ [t]Παῦλος; Ἀπὸ τῶν
[v]πατέρων αὐτοὺς παρακαλεῖ, καὶ [w]πρὸ τούτων, ἀπὸ τῆς κοινῆς B
[x]ἐννοίας. [y]Εἰπὲ γάρ μοι, φησίν· ἐπειδὴ ἡ πίστις διαβάλλεται
ὡς ἀναπόδεικτον πρᾶγμα, καὶ ἀπάτης μᾶλλον ὄν, [z]διὰ τοῦτο
δείκνυσιν, ὅτι τὰ μέγιστα διὰ πίστεως, καὶ οὐ διὰ λογισμῶν
[a]κατορθοῦνται. Καὶ πῶς τοῦτο δείκνυσιν, [b]εἰπέ μοι; [c]Δῆλόν
ἐστι, φησὶν, ὅτι ἐξ οὐκ ὄντων τὰ ὄντα ἐποίησεν ὁ θεὸς, ἐκ τῶν
μὴ φαινομένων τὰ φαινόμενα, ἐκ τῶν οὐχ ὑφεστώτων τὰ ὑφε-
στῶτα. [d]Πόθεν ὅτι καὶ ῥήματι τοῦτο ἐποίησεν; ὁ μὲν [e]γὰρ
λογισμὸς οὐδὲν ὑποβάλλει τοιοῦτον, ἀλλὰ τοὐναντίον, [f]ὡς ἐκ C
φαινομένων τὰ φαινόμενα εἶναι. Διὰ τοῦτο μάλιστα οἱ φιλό-
σοφοι [g]οὐδέν φασιν ἐξ οὐκ ὄντων εἶναι, [h]ψυχικοὶ ὄντες, καὶ
οὐδὲν τῇ πίστει ἐπιτρέποντες· ἁλίσκονται δὲ καὶ [i]αὐτοὶ, ὅταν
μέγα τι καὶ γενναῖον εἴπωσι, τῇ πίστει αὐτὸ ἐπιτρέποντες·
οἷον, [k]ὅτι ὁ θεὸς ἄναρχός ἐστι καὶ ἀγέννητος· [l]ὁ γὰρ λογισμὸς
οὐχ ὑποβάλλει τοῦτο, ἀλλὰ τοὐναντίον. Θέα [m]δέ μοι τὴν
πολλὴν μωρίαν. Τὸν θεὸν ἄναρχον [n]λέγοντες· [o]καίτοι τοῦ ἐξ
οὐκ ὄντων [p]πολλῷ θαυμασιώτερον. [q]Τοῦ γὰρ εἰπεῖν, ὅτι ἐξ
οὐκ ὄντων τὰ ὄντα ὁ θεὸς ἐποίησε, τὸ εἰπεῖν, ὅτι ἄναρχός ἐστιν, D
[r]ὅτι ἀγέννητος, οὔτε ὑφ' ἑαυτοῦ, οὔτε ὑφ' ἑτέρου γεννηθεὶς, ἀπο-
ρώτερον. Ἐνταῦθα μὲν γὰρ πολλὰ τὰ πιστά· οἷον, ὅτι ἐποίησέ
[s]τις, ὅτι ἀρχὴν ἔσχε τὸ ποιούμενον, ὅτι [t]ἐποιήθη ὅλως· ἐκεῖ δὲ

[t] Παῦλος] + ποιεῖ K.Q. Sav. cet. [v] πατέρων] προτέρων K.N.O.Q. Sav. cet. invito Mut. [w] πρὸ τούτων] πρὸ τούτου τῶν A. Veron. πρὸ τούτων τῶν (olim πρὸ τούτων) O. [x] ἐννοίας] ἀναστάσεως R. [y] εἰπὲ γάρ μοι (μοι γὰρ N. μοι om. A.)—διαβάλλεται] ἐπειδὴ γὰρ ἡ π. τότε διεβάλλετο K.Q. Sav. cet. [z] διὰ τ. δείκνυσιν] δείκνυσιν αὐτὸς K.Q. [a] κατορθοῦται K.N.O.Q. Sav. cet. invita Cat. [b] εἰπέ μοι;] εἶπεν ὁ R. εἰπέ μοι in rasura O. καὶ πῶς —εἰπέ μοι;] πῶς; πίστει νοοῦμεν, εἰπὼν, κατηρτίσθαι τοὺς αἰῶνας ῥ. θ., εἰς τὸ μὴ ἐκ φ. τὰ βλ. γεγονέναι. K.Q. Sav. cet. [c] δ. ἐστι, φ.] Sic N.O.R. δ. φ. ἐστιν Edd. ἀλλὰ τοῦτο μὲν φανερόν ἐστι, φ. K.Q. [d] πόθεν] + δὲ δῆλον K.Q. Sav. cet. Mox τοῦτο om. K.Q. inclusum a Sav. [e] γὰρ om. N.R. et olim O. invita Cat. Mox ἀλλὰ καὶ τοὐν. K.N.Q. Sav. cet. [f] ὡς ἐκ (ἐκ om. A.) φ. τὰ φ.] ἐκ τῶν φ. τὰ μὴ φ. K.Q. Sav. cet. [g] οὐδέν φασιν] καίτοι μηδὲν λέγοντες K.Q. [h] ψυχικοὶ] ἅτε ψ. K.Q. Mox δὲ om. iidem. [i] αὐτοὶ] + ὅμως K.Q. Sav. cet. Mox ἐπιτρέπουσι K. [k] ὅτι] λέγουσιν ὅτι K.Q. Sav. cet. λέγουσιν om. N.O.R. λέγουσιν ὅτι ὁ θ. om. A. Veron. [l] ὁ γὰρ—ἀλλὰ τ.] τοῦτο δὲ (+ ὁ Q.) λογισμὸς οὐχ ὑπ. ἀλλὰ πᾶν τ. K.Q. [m] δὲ] δὴ N. Statim μοι καὶ τὴν K.Q. Sav. cet. Post μωρίαν add. αὐτῶν iidem. [n] λέγουσιν iidem. Post λέγοντες add. τὸ ποιούμενον, ὅτι οὐκ ἐποίηθη ὅλως· ἐκεῖ δὲ ὅτι αὐτόματος, ὅτι ἀγέννητος, οὔτε ἀρχὴν ἔσχεν, ἄναρχον λέγοντες N. et in marg. a 2da m. O. [o] καίτοι τοῦ] Sic N. καὶ τοῦ A. Veron. et ex corr. O. καὶ τὸ R. et olim O. ὁ τοῦ K.Q. Sav. cet. [p] πολὺ A. Veron. πολλῷ—οὐκ ὄντων om. N.O. Statim τὰ ὄντα ὁ θ. ἐποίησεν in rasura aliquantum majori a 2da m. script. in O. [q] τοῦ] τὸ A. Mox ὅτι ἐξ—τὸ εἰπεῖν om. idem. [r] ὅτι] καὶ N. et ex corr. O. [s] τις] Sic K.N.Q. et ex corr. O. receptum a Sav. Mor. *aliquis* Mut. τι A.R. et olim O. cum Edd. Veron. Ben. [t] ἐποίησεν K.Q.

[v]τί; αὐτόματος, ἀγέννητος, οὔτε ἀρχὴν [w]ἔσχεν, οὔτε χρόνον·
ταῦτα οὐχὶ πίστεως δεῖται, εἰπέ μοι; Ἀλλ' οὐκ ἔθηκε τοῦτο,
[x]ὃ πολλῷ πλέον ἦν, ἀλλὰ τὸ ἔλαττον. [y]Πόθεν, φησὶν, ὅτι ὁ
203 θεὸς ταῦτα ἐποίησε; Λογισμὸς οὐχ ὑποβάλλει· [z]οὐδεὶς παρῆν
ὅτε ἐγένετο· [a]πόθεν δῆλον; Πίστεως δῆλον [b]ὅτι τὸ ἔργον.
"Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας." Διὰ τί, πίστει;
Ὅτι μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γέγονε· τοῦτο γὰρ ἡ
πίστις.

Εἰπὼν [c]δὴ τὸ κοινὸν, [d]λοιπὸν ἐπὶ προσώπων αὐτὸ γυμνάζει.
Καὶ γὰρ τῆς οἰκουμένης ἐστὶν ἀντάξιος ἔνδοξος ἀνήρ. Τοῦτο
γοῦν καὶ ὕστερον ᾐνίξατο. Ἐπειδὴ γὰρ ἐπὶ προσώπων αὐτὸ
[e]ἑκατὸν ἢ διακοσίων ἀντέστησεν, εἶτα εἶδε τὸν ἀριθμὸν ὀλίγον
B τῇ ποσότητι, λοιπόν φησιν· [3]"Ὧν οὐκ ἦν ἄξιος ὁ [f]κόσμος."
Καὶ θέα τίνα πρῶτον τίθησι, τὸν παθόντα κακῶς, καὶ παρὰ
[g]ἀδελφοῦ. Οἰκεῖον [h]τὸ πάθος· [4]"Καὶ γὰρ [i]καὶ ὑμεῖς τὰ αὐτὰ,
φησὶν, ἐπάθετε ὑπὸ τῶν [k]ἰδίων συμφυλετῶν." [l]Καὶ ὑπὸ ἀδελ-
φοῦ οὐδὲν ἠδικημένου, ἀλλὰ [m]διὰ θεὸν φθονηθέντος· [n]δεικνὺς
ὅτι καὶ αὐτοὶ βασκαίνονται καὶ φθονοῦνται. Ἐτίμησεν ἐκεῖνος
τὸν θεὸν, καὶ ἀπέθανεν ἀνθ' ὧν ἐτίμησε, καὶ οὐδέπω ἀναστάσεως
ἔτυχεν· ἀλλ' ἡ μὲν προθυμία αὐτοῦ δήλη, καὶ [o]τὰ παρ' αὐτοῦ
γέγονε, τὰ δὲ παρὰ τοῦ θεοῦ οὐδέπω εἰς αὐτὸν εἰσενήνεκται.
C Θυσίαν δὲ [p]πλείονα ἐνταῦθα τὴν ἐντιμοτέραν λέγει, τὴν λαμ-
προτέραν, τὴν ἀναγκαιοτέραν. Καὶ οὐκ ἔχομεν, [q]φησὶν, εἰπεῖν,
ὅτι οὐκ ἀπεδέχθη· [r]ἀπεδέξατο, καὶ εἶπε πρὸς τὸν Κάϊν, [5]"Οὐκ
ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς." Οὐκοῦν ὁ Ἄβελ
καὶ ὀρθῶς προσήνεγκε, καὶ ὀρθῶς διεῖλεν. Ἀλλ' ὅμως ἀντὶ τού-

[3] Hebr. xi. 38. [4] 1 Thess. ii. 14. [5] Gen. iv. 7.

[v] τί] Sic K.N.Q. τί in rasura majori O. οὐκέτι R. τὸ Edd. [w] ἔσχεν] ἔχων K.Q. Statim οὐ χρ. N. [x] ὃ] εἰ καὶ K.Q. [y] πόθεν] πῶς R. πόθεν in rasura O. πόθεν—διὰ τί, πίστει;] εἰπών· πίστει νοοῦμεν κατ. τοὺς αἰ. ῥ. θεοῦ. πόθεν οὖν λέγεις δῆλον, ὅτι ὁ θεὸς ῥήματι πάντα ἐποίησε; λογισμὸς γὰρ τοῦτο οὐχ ὑποβάλλει, οὐδὲ παρῆν τις ὅτε ταῦτα ἐγίνετο. ἀπὸ (ὑπὸ Sav. cet.) πίστεως· πίστεως γὰρ ἔργον ἐστὶν ἡ κατανόησις· διὸ καὶ οὕτως εἶπε, πίστει νοοῦμεν. τί νοοῦμεν πίστει, εἰπέ; K.Q. Sav. cet. [z] οὐδεὶς] + γὰρ ex corr. O. γὰρ ἦν pro παρῆν N.R. [a] πόθεν] + οὖν ex corr. N. [b] ὅτι accessit ex N.O.R. [c] δὴ] δὲ K. [d] λοιπὸν] + καὶ Q. Statim ἐπὶ πρόσωπον R. et bis K. ἐπὶ προσώπῳ Cat. *in personis* Mut. [e] ἑκατὸν] + τυχὸν K.Q. [f] κόσμος.] + πίστει πλείονα θ. Ἄ. παρὰ K. πρ. τῷ θ. K.Q. Sav. cet. Statim καὶ om. iidem. [g] ἀδελφοῦ] + οὐδὲν ἠδικημένου, ἀλλὰ διὰ τὸν θεὸν φθονηθέντος. οὐκοῦν iidem. [h] τὸ] τοῦτο A. Veron. [i] καὶ om. K.Q.R. Cat. Sav. cet. Sic a pr. m. O. [k] ἰδίων] οἰκείων K.Q. Sav. cet. [l] καὶ ὑπὸ—φθονηθέντος om. iidem. [m] διὰ τὸν θ. A. [n] δεικνὺς] ἅμα καὶ δείκνυσιν K.Q. Sav. cet. Mox καὶ φθονοῦνται om. K.Q. [o] τὰ] πᾶν τὸ K.Q. Mox τούτου pro τοῦ θεοῦ iidem. [p] πλείονα ἐνταῦθα] Sic N. et ex corr. O. ἐνταῦθα πλείονα K.Q. Sav. cet. πλείονα om. A.R. Cat. Mut. Veron. et olim O. [q] φ. εἰπεῖν] εἰπεῖν, φ. K.O.Q.R. [r] ἀπεδέξατο] + γὰρ K.Q. Sav. cet.

Digitized by Google

των [s]τίνα τὴν ἀμοιβὴν ἔλαβεν; Ἐσφάγη παρὰ τῆς ἀδελφικῆς
χειρός· καὶ τὴν καταδίκην, ἣν ὁ πατὴρ ὑπέμεινε διὰ τὴν ἁμαρ-
τίαν, ταύτην [t]πρῶτος ἐδέξατο [v]ὁ κατορθώσας, καὶ τοσούτῳ
χαλεπὰ ἔπαθεν, ὅσῳ καὶ παρὰ ἀδελφοῦ, [w]καὶ πρῶτος. Καὶ
ταῦτα κατώρθωσεν εἰς οὐδένα ἰδών· εἰς τίνα γὰρ εἶδε, καὶ οὕτως D
ἐτίμησε τὸν θεόν; εἰς τὸν πατέρα καὶ τὴν μητέρα; Ἀλλ' ἐκεῖ-
νοι ὕβρισαν αὐτὸν ἀντὶ τῶν εὐεργεσιῶν. Ἀλλ' εἰς τὸν ἀδελ-
φόν; Ἀλλὰ καὶ οὗτος ἠτίμασεν. Ὥστε παρ' ἑαυτοῦ τὸ ἀγαθὸν
ἐξεῦρε. Καὶ ὁ τοσαύτης [x]ὢν τιμῆς ἄξιος, τί δὴ πάσχει; [y]Ἀναι-
(543) ρεῖται. Πῶς [z]δὲ καὶ ἄλλως ἐμαρτυρήθη εἶναι δίκαιος; Λέγε-
ται πῦρ [a]κατελθὸν ἀναλαβεῖν τὰς θυσίας· ἀντὶ γὰρ τοῦ, [6]"Ἐπὶ 204
Ἄβελ ἐπέβλεψε, καὶ ἐπὶ τὰς θυσίας αὐτοῦ," ὁ [b]Σύρος, "[c]Καὶ
ἐνεπύρισεν," εἶπεν. Ὁ τοίνυν καὶ διὰ [d]λόγων, καὶ δι' ἔργων
μαρτυρήσας τῷ δικαίῳ, καὶ δι' αὐτὸν ὁρῶν ἀναιρούμενον, οὐκ
ἤμυνεν, ἀλλ' εἴασε. Τὸ δὲ [e]ὑμέτερον οὐ τοιοῦτον· πῶς γάρ,
[f]οἱ καὶ προφήτας [g]καὶ παραδείγματα ἔχοντες, καὶ παρακλήσεις
μυρίας, καὶ σημεῖα [h]καὶ θαύματα γενόμενα; Ὥστε ἐκεῖνο [i]ὄν-
τως πίστις ἦν. Ποῖα γὰρ θαύματα [k]εἶδεν, ἵνα πιστεύσῃ ὅτι E
ἔσται τις αὐτῷ ἀντίδοσις τῶν ἀγαθῶν; οὐχὶ ἀπὸ πίστεως μό-
νης τὴν ἀρετὴν εἵλετο; Τί ἐστι, "Καὶ [l]δι' αὐτῆς ἀποθανὼν ἔτι
λαλεῖ;" Ἵνα μὴ εἰς πολλὴν ἀπόγνωσιν αὐτοὺς [m]ἐμβάλῃ, δεί-
κνυσιν αὐτὸν ἐν μέρει ἀπολαύσαντα ἀμοιβῆς. Πῶς; Ἡ ἐπι-
σκοπὴ ἡ [n]παρ' αὐτοῦ, φησί, πολλή [o]ἐστι· "καὶ ἔτι λαλεῖ·"
τουτέστιν, ἀνεῖλεν αὐτὸν, ἀλλὰ οὐ [p]συνανεῖλεν αὐτοῦ τὴν δόξαν
καὶ τὴν [q]μνήμην· οὐ τέθνηκεν ἐκεῖνος· οὐκοῦν οὐδὲ ὑμεῖς τεθνή-
ξεσθε. Ὅσῳ γὰρ ἄν τις χαλεπώτερα πάθῃ, τοσούτῳ [r]ἡ δόξα C
μείζων. Πῶς [s]ἔτι λαλεῖ; Τοῦτο καὶ τοῦ ζῆν σημεῖόν ἐστι,
καὶ τοῦ παρὰ πάντων ᾄδεσθαι, θαυμάζεσθαι, [t]μακαρίζεσθαι· ὁ

[6] Gen. iv. 4.

[s] τίνα] τί A. Veron. [t] πρῶτον A. [v] ὁ κατ.] Sic K.Q.R. Cat. ὁ om. A. Veron. υἱὸς ὁ κατ. N.O. Sav. cet. [w] καὶ πρῶτος] ὅρα δέ· καὶ (καὶ om. K.) πρῶτος προσήνεγκε K.Q. Statim καὶ ταῦτα om. R. et olim O. [x] ὢν τ.] τ. ὢν N. ὢν om. Cat. [y] ἀναιρεῖται] + εἶτα καὶ ἄλλο ἐγκώμιον τίθησι λέγων· δι' ἧς—λαλεῖ. K.Q. Sav. cet. [z] δὲ καὶ—δίκαιος om. K.Q. ἄλλως om. N. [a] κατῆλθεν A. Veron. [b] Σύρος] Sic K.N.Q.R. Mut. Sav. κύριος A. Cat. et olim O. editum a Veron. Mor. Ben. [c] καὶ om. Veron. Statim ἐνέπρησεν A. [d] λόγου K.Q.R. Mox ἔργου K.Q. [e] ἡμέτερον Q. [f] οἱ ... ἔχοντες] οἱ ... ἔχετε K.Q. [g] καὶ om. K.N.Q. Sav. invita Cat. [h] καὶ θ.] θαυμαστὰ K.Q. [i] ὄντως π. ἦν] π. ἦν ὄντως O.R. [k] εἶδεν] + ἐκεῖνος K.Q. Sav. cet. [l] διὰ ταύτης K.Q. [m] ἐμβάλλῃ R. [n] παρ' αὐτοῦ] Sic Q.R. Cat. ὑπὲρ αὐτοῦ Edd. [o] ἐστι] + τοῦτο γὰρ ἠνίξατο εἰπὼν K.Q. Sav. cet. [p] συνεῖλεν A. Statim αὐτοῦ libri omnes et Cat. αὐτῷ Edd. [q] μνήμην] Sic K.N.O.Q. Cat. Mut. τιμὴν Edd. [r] ἡ] καὶ ἡ R. [s] ἔτι] οὖν ἔτι K. οὖν ἔτι γὰρ Sav. cet. repugnantibus libris. [t] καὶ μακαρίζεσθαι Edd. καὶ om. K.N.Q.R. et a pr. m. O.

Digitized by Google

γὰρ παραινῶν τοῖς ἄλλοις [v]δικαίοις εἶναι, λαλεῖ. Οὐ τοσοῦτον
γὰρ ἀνύει λόγος, ὅσον τὸ πάθος τὸ ἐκείνου. Ὥσπερ οὖν ὁ
οὐρανὸς φαινόμενος μόνον λαλεῖ, οὕτω καὶ ἐκεῖνος μνημονευόμε-
νος. Οὐκ ἄν, εἰ ἀνεκήρυξεν [w]ἑαυτὸν, οὐκ ἄν, εἰ μυρίας ἔσχε
γλώσσας, καὶ ἔζη, οὕτως ἐθαυμάζετο ὡς νῦν. Τουτέστιν, οὐκ
ἀτιμωρητὶ ταῦτα γίνεται οὐδὲ ἁπλῶς, οὐδὲ παρέρχεται.
D [7] "Πίστει Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον· [x]καὶ οὐχ
εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ [y]θεός." Οὗτος μείζονα πί-
στιν τοῦ Ἄβελ ἐπεδείξατο. Τί δήποτε; [z]Ὅτι εἰ καὶ μετ'
ἐκεῖνον γέγονεν, [a]ἀλλὰ τὰ εἰς ἐκεῖνον γενόμενα ἱκανὰ ἦν αὐτὸν
[b]ἀποστρέψαι. Πῶς; [c]Προῄδει ὁ θεὸς ὅτι ἀπολεῖται· εἶπε γὰρ
205 τῷ Κάϊν, [8] "Ἥμαρτες, μὴ προσθῇς ἔτι." Ἐτιμήθη παρ' αὐτοῦ,
οὐκ ἤμυνεν [d]αὐτῷ. Καὶ οὐδὲ [e]τοῦτο εἰς ῥᾳθυμίαν ἐνέβαλεν·
[f]οὐκ εἶπε πρὸς ἑαυτὸν, τίς χρεία πόνων καὶ κινδύνων; ὁ Ἄβελ
ἐτίμησε τὸν θεὸν, καὶ οὐκ ἤμυνεν αὐτῷ· τί γὰρ ὄφελος τῷ
ἀπελθόντι [g]τῆς τιμωρίας τῆς τοῦ ἀδελφοῦ; τί δὲ ἐκεῖθεν ἀπό-
νασθαι αὐτὸν δυνατόν; θῶμεν ὅτι χαλεπὴν δίδωσι δίκην· [h]τί
πρὸς τὸν ἀνῃρημένον; Οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ [i]ἐνενόησεν·
ἀλλὰ ταῦτα πάντα ὑπερβὰς, ἔγνω ὅτι, [k]εἰ θεός ἐστι, πάντως
καὶ ἀνταποδότης ἐστί· καίτοι [l]οὐδὲν οὔπω περὶ ἀναστάσεως
B ᾔδεσαν. Εἰ δὲ οἱ μηδὲν μηδέπω περὶ ἀναστάσεως εἰδότες, [m]καὶ
ἐνταῦθα τἀναντία ὁρῶντες οὕτως εὐηρέστησαν· πόσῳ μᾶλλον
ἡμεῖς; Οὔτε γὰρ περὶ ἀναστάσεως ᾔδεσαν ἐκεῖνοι, οὔτε εἰς
παραδείγματα εἶχον ἰδεῖν. Αὐτὸ μὲν οὖν τοῦτο αὐτὸν εὐαρε-
στῆσαι ἐποίησε, τὸ μηδὲν αὐτὸν ἀπολαβεῖν· [n]ᾔδει γὰρ ὅτι μι-
σθαποδότης ἐστίν. Πόθεν; [o]τῷ γὰρ Ἄβελ ἀπέδωκε, φησίν;

[7] v. 5. [8] Gen. iv. 7.

[v] δικαίους R. Cat. δίκαιοι K.Q. [w] ἑαυτὸν om. K.Q. Veron. Mox εἶχε K.Q.R. [x] καὶ οὐχ—θεὸς om. N.O.R. Mut. [y] θεὸς] + πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐηρεστηκέναι τῷ θεῷ. χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι· πιστεῦσαι γὰρ δεῖ πρῶτον (πρῶτον inclusit Sav.) τὸν προσερχόμενον τῷ θεῷ, ὅτι ἔστι, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. K.Q. Sav. cet. invitis Cat. Mut. Eadem habet in marg. O. [z] ὅτι om. N.R. et olim O. Statim εἰ καὶ om. K.Q. καὶ om. R. et a pr. m. O. [a] ἀλλὰ] καὶ K.Q. [b] ἐπιστρέψαι K.Q. ἀποτρέψαι Cat. [c] προῄδει—τί γὰρ ὄφελος] ὅτι οὐκ εἶπε πρὸς ἑαυτὸν ἅπερ πολλοί· τίς χρεία μοι π. καὶ κ. προῄδει ὁ θεὸς ὅτι ἀναιρεθήσεται Ἄβελ τιμηθεὶς παρ' αὐτοῦ. εἶπε γὰρ τῷ K. ἥμαρτες, μὴ πρ. ἔτι. ἐτίμησεν αὐτὸν, καὶ οὐκ ἤμ. αὐτῷ. τί τοίνυν ὄφ. K.Q. [d] αὐτὸν A. Veron. et ex corr. O. [e] τοῦτο] + τοῦτον N.O.R. [f] οὐκ] καὶ οὐκ N. [g] τῆς τ. τῆς (τῆς om. R. et olim O.) τοῦ ἀδ.] ἡ τιμωρία τῆς τοῦ ἀδ. καταδίκης A. Veron. et ex corr. O. [h] τί] + ταῦτα N. et ex corr. O. [i] ἐνενόησεν] + οὐδὲ εἰς ῥᾳθυμίαν αὐτὸν ἐνέβαλεν K.Q. [k] εἰ om. R. Post πάντως add. ὅτι idem. Mox καὶ ὅτι pro καίτοι idem. [l] οὐδὲν οὔπω (οὐδέπω N.)] Sic K.N.O.Q.R. Cat. οὔπω οὐδὲν Edd. [m] καὶ] ἀλλὰ καὶ K.Q. Sav. cet. [n] ᾔδει—ἐστὶν] εἰπὲ δή μοι· ᾔδει ὅτι μ. ἐστὶν ὁ θεὸς iidem. [o] τῷ γὰρ—φησὶν] οὔπω γὰρ οὐδὲ τῷ Ἄ. ἀπέδωκεν iidem.

Digitized by Google

Ὥστε ὁ λογισμὸς ἕτερα [p]ὑπέβαλλεν, ἡ δὲ πίστις τὰ ἐναντία
τῶν ὁρωμένων. [q]Κἂν ὑμεῖς οὖν, φησὶν, [r]ὁρᾶτε μηδὲν ἐνταῦθα
ἀπολαμβάνοντας ὑμᾶς, μὴ θορυβεῖσθε. [s]Πῶς πίστει μετετέθη C
Ἐνώχ; Ὅτι τῆς μεταθέσεως ἡ εὐαρέστησις αἰτία, τῆς δὲ εὐα-
ρεστήσεως ἡ πίστις. Εἰ γὰρ μὴ ᾔδει ὅτι λήψεται ἀμοιβὰς,
πῶς [t]εὐηρέστει; [9]"Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι."
[v]Πῶς; Ἂν γάρ τις πιστεύσῃ εἶναι θεὸν καὶ ἀντίδοσιν, ἕξει τὰς
ἀμοιβάς. [w]Πόθεν οὖν ἡ εὐαρέστησις; Πιστεῦσαι [x]γὰρ [y]δεῖ,
ὅτι ἔστιν, οὐ τὸ τί ἐστιν. [z]Εἰ, ὅτι ἔστι, πίστεως, καὶ οὐ λογι-
σμῶν δεῖται· τὸ, τί ἐστι, λογισμῷ καταλαβεῖν [a]ἀδύνατον. [b]Εἰ,
ὅτι [c]μισθαποδότης ἐστὶ, πίστεως χρείαν ἔχει, καὶ οὐ λογισμῶν· D
πῶς τὰ τῆς οὐσίας λογισμῷ περιλαβεῖν ἔνι; Ποῖος γὰρ δυνή-
σεται λογισμὸς ἐφικέσθαι τούτων; τινὲς [d]γὰρ αὐτόματά φα-
σιν [e]εἶναι τὰ ὄντα. Ὁρᾷς ὅτι, ἂν μὴ πιστεύωμεν περὶ πάντα,
οὐ περὶ τὴν ἀντίδοσιν μόνον, ἀλλὰ καὶ περὶ αὐτὸ τὸ εἶναι θεὸν,
οἴχεται ἡμῖν [f]τὰ πάντα; Πολλοὶ δὲ ζητοῦσι ποῦ μετετέθη [g]ὁ
(544) Ἐνὼχ, καὶ διὰ τί μετετέθη, καὶ διὰ τί οὐκ ἀπέθανεν, οὔτε αὐ-
τὸς, οὔτε ὁ Ἡλίας, καὶ εἰ ἔτι ζῶσι, [h]πῶς ζῶσι, καὶ ἐν ποίῳ 206
σχήματι. Ἀλλὰ [i]περιττὸν ταῦτα ζητεῖν. Ὅτι [k]μὲν γὰρ
μετετέθη οὗτος, καὶ ὅτι ἀνελήφθη ἐκεῖνος, εἶπον αἱ γραφαί·
ποῦ δέ εἰσι, καὶ πῶς εἰσὶν, οὐκέτι προσέθηκαν· οὐδὲν γὰρ πλέον
τῶν ἀναγκαίων λέγουσι. Τοῦτο μὲν γὰρ [l]γέγονε, τὸ τῆς μετα-
θέσεως, ἐκ προοιμίων εὐθέως [m]τῆς ἀνθρωπίνης ψυχῆς λαμβα-
νούσης ἐλπίδα τῆς καταλύσεως τοῦ θανάτου, καὶ τῆς καθαιρέ-
σεως τῆς τυραννίδος τῆς διαβολικῆς, καὶ ὅτι παραλυθήσεται ὁ
θάνατος· μετετέθη γὰρ οὐ νεκρὸς, ἀλλὰ, "τοῦ μὴ ἰδεῖν θάνα-
τον." Διὰ τοῦτο προσέθηκε, ζῶν μετετέθη, ὅτι εὐηρέστησε. B
Καθάπερ γάρ τις ἀπειλήσας πατὴρ υἱῷ, βούλεται μὲν εὐθέως,

[9] v. 6.

[p] ὑπέβαλεν K.Q.R. Veron. Sic ante corr. O. [q] κἂν] καὶ K.Q. [r] ὁρᾶτε] ὁρῶντες ἑαυτοὺς (mox om. ὑμᾶς) K.Q. [s] πῶς] + δὲ K.Q. Sav. cet. Mox ὁ Ἐνὼχ Sav. cet. invitis omnibus. [t] εὐηρέστησε N. [v] πῶς; ἂν γὰρ] πῶς γὰρ ἂν A. Veron. [w] πόθεν] ἐντεῦθεν K.Q. Sav. cet. Statim οὖν om. K.Q. [x] γὰρ om. K.Q. [y] δεῖ] + τὸν προσερχόμενον τῷ (τῷ om. Cat.) θεῷ A.N. Cat. Sav. cet. + τὸν προσερχόμενον R. Veron. et marg. O. Nobiscum faciunt K.Q. Mut. et a pr. m. O. [z] εἰ] Sic N. ἢ A.O.R. Veron. εἰ δὲ τὸ K.Q. Sav. cet. δὲ superscript. in N. [a] ἀδύνατον] οὐ δυνατὸν K.Q. δυνατὸν N. Sav. cet. [b] εἰ] ἢ A. Veron. [c] μισθαποδοσίας A. Statim γίνεται pro ἐστὶ K.Q. [d] [γὰρ] Sav. γὰρ om. K.Q. Mox φησὶν O. [e] εἶναι] ἄγεσθαι K.Q. Sav. cet. Statim τὰ πάντα R. Mox πιστεύσωμεν idem. [f] τὸ πᾶν K.Q. Mox δὲ om. iidem. [g] ὁ om. N.O.R. Mox Ἡλίας sine artic. K.Q.R. [h] πῶς ζῶσι om. K.Q. Post σχήματι add. εἰσιν K.Q. Sav. cet. [i] περιττὸν] + πάντη τὸ iidem. [k] μὲν om. A. Veron. Mox ὅτι om. R. [l] γέγονε] + λέγω δὲ K.Q. Sav. cet. [m] τῆς] τὰ τῆς R. τῆς—ἐλπίδα] ὅπως ἡ ἀνθρωπίνη φύσις ἐλπίδα λάβῃ K.Q. Sav. cet.

Digitized by Google

[n]ὅταν ἀπειλήσῃ, ἀνεῖναι τὴν ἀπειλὴν, ἀνέχεται δὲ καὶ [o]καρτερεῖ,
ἵνα τέως αὐτὸν σωφρονίσῃ καὶ νουθετήσῃ, ἀφεὶς βεβαίαν μένειν
τὴν ἀπειλήν· οὕτω καὶ ὁ θεὸς, σχεδὸν εἰπεῖν ἀνθρωπίνως, οὐκ
ἐκαρτέρησεν, ἀλλ' εὐθέως ἔδειξεν, ὅτι λέλυται ὁ θάνατος. Καὶ
πρῶτον ἀφίησι τὸν [p]θάνατον γενέσθαι, φοβῆσαι βουλόμενος
διὰ τοῦ παιδὸς τὸν πατέρα. Θέλων γὰρ δεῖξαι, ὅτι ὄντως ἐστὶν
ἡ ἀπόφασις βεβαία, οὐ τοὺς κακοὺς εὐθέως, ἀλλὰ καὶ τὸν εὐα-
C ρεστήσαντα ὑπέβαλε τῇ τιμωρίᾳ, τὸν μακάριον ἐκεῖνον τὸν
Ἄβελ λέγω· καὶ [q]σχεδὸν μετὰ τοῦτον εὐθέως μετέθηκε τὸν
Ἐνώχ. Καὶ οὐκ ἀνέστησεν ἐκεῖνον, ἵνα μὴ [r]θαρρήσωσιν εὐθέως,
ἀλλὰ μετέθηκε τοῦτον ζῶντα· διὰ μὲν τοῦ Ἄβελ φοβήσας,
διὰ δὲ τούτου [s]διδοὺς ζῆλον τοῦ εὐαρεστεῖν [t]αὐτῷ. Ὥστε οἱ
αὐτόματα [v]πάντα ἄγεσθαι καὶ φέρεσθαι λέγοντες, καὶ μὴ
προσδοκῶντες [w]ἀντίδοσιν, οὐκ εὐαρεστοῦσιν, ὥσπερ οὐδὲ [x]Ἕλ-
ληνες. Τοῖς γὰρ ἐκζητοῦσιν αὐτὸν δι' ἔργων καὶ διὰ [y]τῆς γνώ-
σεως μισθαποδότης γίνεται.

D [z]Ἐπεὶ οὖν [a]ἔχομεν μισθαποδότην, πάντα πράττωμεν, ὥστε
μὴ ἀποστερηθῆναι τῶν μισθῶν τῶν ἐπὶ τῇ ἀρετῇ· καὶ γὰρ
πολλῶν δακρύων ἄξιον τοιαύτης ἀμοιβῆς ὑπεριδεῖν, τοιαύτης
ἀντιδόσεως καταφρονῆσαι. Ὥσπερ [b]γὰρ τοῖς ἐκζητοῦσιν αὐ-
τὸν μισθαποδότης γίνεται, οὕτω τοῖς μὴ ζητοῦσι τὸ ἐναντίον.
[10] "Ζητεῖτε, καὶ εὑρήσετε," φησί. Πῶς δὲ ἔστι τὸν κύριον εὑρεῖν;
[c]Ἐννόησον πῶς εὑρίσκεται τὸ χρυσίον, μετὰ πολλοῦ πόνου.
207 [11] "Ταῖς χερσί μου, [d]φησὶ, νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατή-
θην." Τουτέστιν, ὥσπερ τὸ ἀπολωλὸς ζητοῦμεν, οὕτω τὸν θεὸν
ζητήσωμεν. Οὐχὶ τὸν νοῦν ἐκεῖ συστρέφομεν; οὐχὶ πάντας ἐξε-
τάζομεν; οὐχὶ ἀποδημίαν ποιούμεθα; [e]οὐχὶ χρήματα ἐπαγγελ-
λόμεθα; Οἷον, ἔστω τις [f]ἡμῖν υἱὸς ἀπολωλώς· τί οὐ πράττομεν;

[10] Matth. vii. 7. [11] Psal. lxxvi. 3.

[n] Sic K.N.O.Q.R. ὅταν ἀπ. post ἀπειλὴν transp. Edd. [o] καρτερεῖ—οὐκ ἐκαρτέρησεν] καρτερεῖ τὸ τῆς ἀπειλῆς· οὕτω καὶ ὁ θεὸς ἀπειλήσας θάνατον, σχεδὸν εἰπεῖν, οὐκ ἐκαρτ. K.Q. [p] θάνατον] + εἰς τὸν δίκαιον K.Q. Sav. cet. [q] σχεδὸν om. K.Q. Post Ἐνὼχ add. ζῶντα K.N.Q. Sav. cet. [r] θαρσήσωσιν K.N. εὐθέως—ζῶντα om. K.Q. inclusum a Sav. [s] δοὺς K.O.Q. Sav. cet. [t] αὐτὸν O. αὐτὴν R. [v] ἅπαντα K.Q. [w] ἀνάστασιν R. et in text. O. [x] οἱ Ἕλληνες A.K.O.Q. Sav. cet. [y] τῆς om. K.Q. [z] ΗΘΙΚΟΝ. Περὶ προσευχῆς ἐπιτεταμένης, καὶ τοῦ ἀποσπᾶν ἑαυτοὺς τῶν βιωτικῶν. Veron. [a] μισθ. ἔχομεν hoc ord. N. et a pr. m. O. [b] γὰρ] δὲ K.Q. [c] ἐννόησον—ζητήσωμεν] ἂν ἐννοήσωμεν ὅπως εὗρεν (+ αὐτὸν K.) ὁ Δαυὶδ, μετὰ δακρύων αὐτὸν (αὐτὸν om. K.) ἐκζητῶν, μετὰ στεναγμῶν. καὶ ὅτι οὕτως εὗρεν, ἄκουε αὐτοῦ λέγοντος, ἐν ἡμέρᾳ θλίψεώς μου τὸν θεὸν ἐξ—(ἐπ— K.)εζήτησα, ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην. ἂν καταμάθωμεν πῶς τὰ χρήματα, πῶς τὸ ἀπολωλὸς ζητοῦμεν. ὥσπερ οὖν τὸ ἀπολωλὸς, οὕτω τὸν θεὸν ζητήσωμεν. εἰπὲ γάρ μοι K.Q. [d] φ. νυκτὸς] νυκτὸς, φ. N. φησὶ om. R. [e] οὐχὶ χρ. ἐπ. om. K.Q. [f] ἡμῖν (ἡμῶν N.) υἱὸς] υἱὸς ἡμῖν K.O.Q.R. Mox τί οὖν οὐ K.

Digitized by Google

ποίαν γῆν, ποίαν θάλατταν οὐ περινοστοῦμεν; οὐχὶ [g]καὶ χρή-
ματα, καὶ οἰκίας, καὶ πάντα δεύτερα τιθέμεθα τῆς εὑρέσεως; κἂν
εὕρωμεν, κατέχομεν, ἐπισφίγγομεν, οὐκ ἐγκαταλιμπάνομεν. Καὶ
[h]μέλλοντες ζητεῖν, πάντα πραγματευόμεθα, ὥστε εὑρεῖν τὸ ζη- B
τούμενον· [i]πόσῳ δὴ μᾶλλον ἐπὶ τοῦ θεοῦ τοῦτο ποιεῖν χρὴ, ὥσπερ
τι τῶν ἀναγκαίων ζητοῦντας; μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ
πολλῷ πλέον. [k]Πλὴν ἐπειδὴ ἀσθενεῖς ἐσμεν, κἂν ὡς τὰ χρή-
ματά σου ζητεῖς, ἢ τὸν υἱὸν, ζήτησον τὸν θεόν. Οὐχὶ ἀποδη-
μεῖς ὑπὲρ τούτου; [l]ἆρα ἀπεδήμησάς ποτε ὑπὲρ χρημάτων;
οὐχὶ πάντα περιεργάζῃ; οὐχ ὅταν εὕρῃς, τότε θαρρεῖς; "Ζη-
τεῖτε, φησὶ, καὶ εὑρήσετε." Τὰ γὰρ ζητούμενα πολλῆς δεῖται
μερίμνης, [m]μάλιστα ἐπὶ θεοῦ· πολλὰ γὰρ τὰ κωλύματα, [n]πολ-
λὰ τὰ ἐπισκοτοῦντα, πολλὰ τὰ εἴργοντα ἡμῶν τὴν αἴσθησιν. C
Ὥσπερ [o]γὰρ ὁ ἥλιός ἐστι δῆλος, καὶ εἰς μέσον πᾶσι πρόκειται,
καὶ οὐ δεόμεθα τοῦ ζητεῖν αὐτόν· ἂν μέντοι κατορύξωμεν ἑαυ-
τοὺς, [p]κἂν πάντα περιστρέφωμεν, πολλοῦ δεόμεθα πόνου, ὥστε
ἰδεῖν πρὸς τὸν ἥλιον· οὕτω δὴ καὶ ἐνταῦθα, ἐὰν ἐν τῷ βυθῷ
[q]τῶν ἐπιθυμιῶν τῶν πονηρῶν, ἐὰν ἐν τῷ σκότῳ τῶν παθῶν καὶ
τῶν βιωτικῶν πραγμάτων κατορύττωμεν ἑαυτοὺς, μόλις [r]ἀνα-
βλέπομεν, μόλις ἀνακύπτομεν, μόλις διαβλέπομεν. Ὁ [s]κάτω
κατορωρυγμένος, ὅσῳ ἂν ἄνω [t]ὁρᾷ, τοσούτῳ ἔρχεται πρὸς τὸν
ἥλιον. Ἀποτιναξώμεθα τοίνυν τὸν χοῦν, ἀναρρήξωμεν τὴν ἐπι- D
κειμένην ἡμῖν ἀχλύν· πυκνή τις ἐστὶ καὶ [v]στεγανὴ, καὶ οὐκ
ἀφίησιν ἡμᾶς [w]διαβλέψαι. Καὶ πῶς διαρρήγνυται, φησὶν, ἡ
νεφέλη αὕτη; Ἐὰν [x]ἐπισπασώμεθα τὰς ἀκτῖνας τοῦ ἡλίου τῆς
(545) [y]δικαιοσύνης. [12]"Ἔπαρσις, φησὶ, τῶν χειρῶν μου θυσία ἑσπε-
ρινή." [z]Μετὰ τῶν χειρῶν καὶ τὸν νοῦν ἀναλάβωμεν. Ἴστε οἱ
μεμνημένοι τί λέγω· [a]τάχα καὶ ἐπιγινώσκετε τὸ λεχθὲν, καὶ
συνορᾶτε ὅπερ ᾐνιξάμην. Ἐπάρωμεν εἰς ὕψος τὴν διάνοιαν. 208

12 Psal. cxl. 2.

[g] καὶ om. O. [h] μέλλοντες] + δὲ K.Q. [i] πόσῳ δὴ (δὲ Sav. cet. ut a pr. m. O.)] πολλῷ A.R. Veron. Mox ποιεῖν χρὴ pro χρὴ ποιεῖν omnes. [k] πλὴν ἀλλ' Edd. ἀλλ' deest in omnibus. [l] ἆρα] + οὐκ A. Sav. cet. Sic ex corr. O. ἆρα—χρημάτων om. K.Q. inclusum a Sav. [m] μάλιστα] καὶ μ. K.Q. Sav. cet. [n] πολλὰ] + γὰρ A. [o] γὰρ om. A. Veron. Mox ἐστι om. K. [p] κἂν] καὶ A.R. Veron. [q] τῶν ἐπ. τῶν π.] τῶν π. ἐπ. N. τῶν ἁμαρτιῶν τῶν π. A.R. Veron. et a pr. m. O. [r] ἀναβλέπομεν] ὁρῶμεν K.Q. διαβλέπομεν N. Sav. cet. Mox μ. διαβλέπομεν accessit ex nostris omnibus. μ. ἀνακύπτομεν om. K. [s] κάτω om. K.R. Statim κατωρυγμένος Veron. [t] ὁρᾷ] Sic A.K.N.Q.R. βλέπῃ Edd. Mox ἔρχ. πρὸς τὸν ἥ. K.N.O.Q.R. πρὸς τὸν ἥ. ἔρχ. Edd. [v] στενὴ R. et olim O. [w] διαβλέψαι] Sic A.K.O.Q.R. ἀναβλέψαι Edd. [x] ἐπισπασώμεθα] + τοῦ νοητοῦ ἡλίου Edd. Haec, inclusa a Sav. desunt in libris omnibus et Mut. Mox τοῦ ἡλίου τῆς δ. om. Veron. [y] δικαιοσύνης] + ἐὰν τὰς χεῖρας εἰς τὸν οὐρανὸν αἴρωμεν K.Q. Sav. cet. [z] μετὰ] ἐὰν μετὰ iidem. [a] τάχα] + δὲ καὶ iidem.

Digitized by Google

*Οἶδα πολλοὺς ἄνδρας ἐγὼ, σχεδὸν κρεμαμένους ἀπὸ τῆς γῆς,
καὶ πέρα τοῦ μέτρου τὰς χεῖρας ἀνατείνοντας, καὶ ἀθυμοῦντας
ὅτι μὴ δυνατὸν μετεωρισθῆναι, καὶ οὕτως εὐχομένους μετὰ προ-
θυμίας. Οὕτως ὑμᾶς [a]εἶναι βούλομαι ἀεί· εἰ δὲ μὴ ἀεὶ, κἂν
πλεονάκις· εἰ δὲ μὴ πλεονάκις, [b]κἂν ὀλιγάκις, κἂν ἐν ταῖς ἑωθι-
ναῖς, κἂν ἐν ταῖς ἑσπεριναῖς. Εἰπὲ γάρ μοι, ἐκτείνειν τὰς χεῖ-
B ρας οὐ [c]δύνῃ; ἔκτεινον τὴν προαίρεσιν· ὅσον θέλεις ταύτην
ἔκτεινον, [d]κἂν εἰς αὐτὸν τὸν οὐρανόν· κἂν αὐτῆς βουληθῇς τῆς
κορυφῆς ἅψασθαι, κἂν ἀνωτέρω [e]ἀνελθὼν ἐμπεριπατῆσαι, ἔξεστί
σοι· παντὸς γὰρ [f]πτεροῦ καὶ κουφότερος καὶ ὑψηλότερος ὁ
ἡμέτερος νοῦς. [g]Ὅταν δὲ καὶ τὴν παρὰ τοῦ πνεύματος λάβῃ
χάριν, βαβαὶ, [h]πόσον ἐστὶ ταχὺς, πῶς ὀξὺς, πῶς πάντα περι-
νοστεῖ, πῶς οὐ καταφέρεται οὐδὲ καταπίπτει πρὸς [i]τὸ ἔδαφος.
Ταῦτα κατασκευάσωμεν [k]ἡμῖν τὰ πτερά· διὰ τούτων καὶ τὸ
πέλαγος διαπτῆναι δυνησόμεθα τοῦ κλύδωνος τοῦ παρόντος
βίου. Τὰ ὀξύτατα τῶν ὀρνίθων καὶ ὄρη καὶ νάπας καὶ πελάγη
C καὶ σκοπέλους ἐν βραχείᾳ καιροῦ ῥοπῇ [l]διΐπταται ἀσινῆ. Τοι-
οῦτός ἐστι καὶ ὁ νοῦς· ὅταν πτερωθῇ, ὅταν τῶν βιωτικῶν ἀπο-
στῇ, οὐδὲν αὐτοῦ [m]ἐπιλαβέσθαι δύναται, πάντων ἐστὶν ἀνώτε-
ρος, καὶ τῶν βελῶν τῶν πεπυρωμένων τοῦ διαβόλου. Οὐκ ἔστιν
οὕτως εὔστοχος ὁ διάβολος, ὡς δυνηθῆναι τοῦ ὕψους ἐφικέσθαι,
[n]ἀλλὰ ἀφίησι μὲν τὰ βέλη· ἀναίσχυντος γάρ ἐστιν· οὐκ ἐπι-
τυγχάνει δὲ, ἀλλ' ὑποστρέφει πρὸς [o]αὐτὸν κενὸν τὸ βέλος, καὶ
οὐ μόνον κενὸν, ἀλλὰ καὶ εἰς τὴν αὐτοῦ κεφαλήν· δεῖ γὰρ πάν-
τως πλῆξαι τὸ παρ' αὐτοῦ πεμπόμενον. Ὥσπερ οὖν τὸ παρὰ
ἀνθρώπων βληθὲν, [p]ἢ τὸν καθ' οὗ πέμπεται βάλλει, [q]ἢ ὄρνεον,
ἢ τοῖχον, ἢ ἱμάτιον, ἢ ξύλον, ἢ αὐτὸν τὸν ἀέρα διατέμνει· οὕτω
D καὶ τὸ τοῦ διαβόλου βέλος, δεῖ [r]μὲν πλῆξαι πάντως, ἂν δὲ [s]τὸν
βαλλόμενον μὴ πλήξῃ, πάντως τὸν πέμποντα ἔπληξε. Καὶ
[t]ἔστι πολλαχόθεν τοῦτο μαθεῖν, ὅτι ὅταν ἡμεῖς μὴ πληγῶμεν,
πάντως ἐκεῖνος πλήττεται· οἷόν τι λέγω, ἐπεβούλευσε τῷ Ἰὼβ,
οὐκ ἔπληξεν αὐτὸν, [v]ἀλλ' ἐπλήγη αὐτός· ἐπεβούλευσε τῷ Παύ-*

[a] εἶναι β.] β. εἶναι A.N.O.R. [b] κἂν ὀλιγάκις om. K.Q. [c] δύνασαι K.N.O.Q.R. [d] κἂν] καὶ A. κἂν om. Veron. [e] ἀνέλθωμεν A. ἀνελθὼν om. Veron. Statim περιπατεῖν A. Veron. [f] πτεροῦ] νοῦ K. Proximum καὶ om. A. Veron. [g] ὅταν δὲ καὶ (καὶ om. R.) τὴν παρὰ τοῦ] πῶς πάντα περινοστεῖ, ὅταν καὶ τὴν τοῦ K.Q. [h] πόσον] πῶς K.O.Q.R. Sav. cet. Mox ταχὺς, πῶς om. R. et in text. O. [i] τοὔδαφος K.O.Q.R. [k] ἡμῖν] ἑαυτοῖς O.R. [l] διΐπτανται R. et a pr. m. O. [m] λαβέσθαι K.Q. [n] ἀλλὰ] + τί N.O. Sav. cet. invito Mut. [o] αὐτὸν] ἑαυτὸ K.Q. [p] ἢ om. K.Q. Statim τὸ καθ' οὗ N. Sav. cet. τὰ καθ' ὧν K.Q. [q] ἢ] καὶ ἢ K.Q. [r] μὲν] + γὰρ K.Q. [s] τὸν β.] τὸν καθ' οὗ πέμπεται K.Q. Mox βάλλοντα pro πέμποντα R. [t] ἔνεστι K.O.Q.R. [v] ἀλλ' om. A.N. Veron. Mox ἐπεβούλευσε—αὐτὸς om. K.Q.

Digitized by Google

λῳ, οὐκ ἔπληξεν αὐτὸν, ἀλλ' ἐπλήγη αὐτός. [w]Πανταχοῦ τοῦτο
ἔστιν, ἐὰν νήφωμεν, ἰδεῖν γινόμενον. Καὶ ὅταν μὲν γὰρ πλήξῃ,
πλήττεται· πολλῷ δὲ πλέον [x]τότε. Ὠθῶμεν τοίνυν κατ' ἐκεί- 209
νου τὰ ξίφη, καὶ τῷ θυρεῷ τῆς πίστεως καθοπλίσαντες καὶ τει-
χίσαντες ἑαυτοὺς, [y]ἐν ἀσφαλείᾳ διατηρῶμεν, [z]ὥστε ἀνάλωτοι
γενέσθαι. Βέλος δέ ἐστι τοῦ διαβόλου ἐπιθυμία πονηρά. Ὀργὴ
μάλιστα πῦρ ἐστι, φλόξ ἐστι, συναρπάζει, ἀναιρεῖ, κατακαίει·
[a]ἡμεῖς τῇ μακροθυμίᾳ, τῇ ἀνοχῇ οὕτως αὐτὴν σβέσωμεν. Κα-
θάπερ γὰρ [b]πεπυρωμένος σίδηρος εἰς ὕδωρ βαφεὶς, τὸ πῦρ
ἀπόλλυσιν· οὕτως [c]ὀργίλος εἰς [d]μακρόθυμον ἐμπεσὼν, [e]οὐδὲν
τὸν μακρόθυμον ἔβλαψεν, ἀλλὰ μᾶλλον ὠφέλησε, καὶ αὐτὸς
διεκρατήθη πλέον. Οὐδὲν γὰρ μακροθυμίας ἴσον· οὐδέποτε
ὑβρίζεται ὁ τοιοῦτος· ἀλλ' ὥσπερ τὰ ἀδαμάντινα σώματα οὐ B
πλήττεται, οὕτως οὐδὲ αἱ τοιαῦται ψυχαί· ἀνώτεραι γὰρ τῶν
βελῶν εἰσιν. [f]Ὑψηλός ἐστι, καὶ οὕτως ὑψηλὸς ὁ μακρόθυμος,
ὡς μὴ δέχεσθαι πληγὴν ἀπὸ τῆς βολῆς. [g]Ὅταν ἀγριαίνῃ, σὺ
γέλα· γέλα δὲ μὴ φανερῶς, ὥστη μὴ παροξῦναι, ἀλλὰ γέλα
κατὰ ψυχὴν [h]ἑαυτοῦ ἕνεκεν. Καὶ γὰρ ἐπὶ τῶν παίδων, ὅταν
πλήττωσιν ἡμᾶς μετὰ θυμοῦ, ὡς [i]δὴ ἀμυνόμενοι, γελῶμεν. Ἂν
τοίνυν γελάσῃς, τοσοῦτον ἔσται σοῦ κἀκείνου τὸ μέσον, ὅσον
παιδὸς καὶ ἀνδρός· ἂν δὲ ἀγριάνῃς, γέγονας παῖς· παίδων γὰρ
ἀνοητότεροι οἱ ὀργιζόμενοι. [k]Κἂν ἀπίδῃ τις πρὸς παῖδα ἀγρι-
αίνοντα, [l]οὐχὶ καταγελᾷ; [13]"Ὁ δὲ ὀλιγόψυχος, φησὶν, [m]ἰσχυ- C
ρῶς ἄφρων." [n]Ὁ τοίνυν ἄφρων νήπιός ἐστι. "[o]Καὶ ὁ μακρό-
θυμος, φησὶ, πολὺς ἐν φρονήσει." Ταύτην [p]τοίνυν τὴν [q]πολλὴν
σύνεσιν μεταδιώκωμεν, [r]ἵνα τύχωμεν τῶν ἐπηγγελμένων [s]ἡμῖν
ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ

13 Prov. xiv. 29.

[w] καὶ πανταχοῦ Edd. καὶ deest in omnibus. Mox ἰδεῖν γ. ἐὰν ν. hoc ord. K.Q. [x] τότε—τὰ ξίφη] Sic K.N.O.Q.R. Mut. ὅτε κατ' ἐκείνου τοῖς ξίφεσι Edd. [y] ἐν ἀσφ.] ἀσφάλειαν R. ἐν om. a pr. m. O. [z] ὥστε] + μὴ R. et olim O. Statim γίνεσθαι K.Q.R. Sav. cet. [a] ἡμεῖς] ἀλλ' ἡμεῖς K.Q. Sav. cet. Mox οὕτως om. iidem. [b] πεπυρωμένος σ.] σ. πεπυρακτωμένος K.Q. [c] ὀργίλος] Sic K.N.Q. ὁ ὀργίλος O.R. ὀργίλως A. *iracundus* Mut. ὀργὴ Edd. [d] μακρόθυμον] Sic A.O.Q.R. τὸ μακρ. Veron. τὸν μακρ. N. Sav. cet. μακροθυμίαν K. Statim ἐμπεσὼν K.O.Q.R. ἐμπεσοῦσα Edd. ἐμπεσὼν—μακρόθυμον om. A. [e] οὐδὲν] οὐδὲ γὰρ K.Q. [f] ὑψ. ἐστι om. K.Q. [g] ὅταν] + γὰρ K. [h] σαυτοῦ K.N.Q. αὐτοῦ R. αὑτοῦ Sav. cet. [i] δὴ ἀμυν.] διαμυν. A.R. Veron. Sic olim O. [k] κἂν] ἂν O. εἰπὲ δή μοι, ἂν K.Q. Sav. cet. [l] οὐχὶ] οὐ R. Post καταγελᾷ add. τοῦτο καὶ ἐπὶ τῶν ὀργιζομένων συμβαῖνόν ἐστιν ἰδεῖν· οἱ τοιοῦτοι καὶ ὀλιγόψυχοι, εἰ δὲ ὀλιγόψυχοι, καὶ ἄφρονες K.Q. Sav. cet. [m] ἰσχυρὸς A.K.O.Q. Mut. [n] ὁ τοίνυν—ἐστιν om. K.Q. inclusum a Sav. [o] καὶ] ὥσπερ K.Q. Mox φησὶ om. iidem. [p] τοίνυν] οὖν N. [q] πολλὴν σ. μεταδ.] μακροθυμίαν μεταδ. ὅθεν πολλὴ τοῖς κατορθοῦσι σύνεσις περιγίνεται K. Q. Sav. cet. [r] ἵνα καὶ τῶν ἐπ. δυνηθῶμεν τυχεῖν ἀγαθῶν K.Q. [s] ἡμῖν om. A.N.K.Q.

Digitized by Google

ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΓ.

210 [1] Πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐ- (546)
λαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ· δι' ἧς κατέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος.

“[a] ΠΙΣΤΕΙ, φησὶ, χρηματισθεὶς Νῶε·” καθάπερ ὁ υἱὸς τοῦ θεοῦ περὶ τῆς ἑαυτοῦ [b] παρουσίας διαλεγόμενος ἔλεγεν, [2] “Ἐν ταῖς ἡμέραις [c] τοῦ Νῶε ἐγάμουν καὶ ἐγαμίσκοντο.” [d] Διὰ
B τοῦτο καὶ ὁ ἀπόστολος οἰκείας εἰκόνος αὐτοὺς ἀνέμνησε. Τὸ μὲν γὰρ ὑπόδειγμα τοῦ Ἐνὼχ πίστεως ἦν ὑπόδειγμα μόνον, [e] τὸ δὲ τοῦ Νῶε καὶ ἀπιστίας. Αὕτη δέ ἐστιν ἀπηρτισμένη παράκλησις καὶ προτροπὴ, ὅταν μὴ μόνον οἱ πιστεύσαντες εὑρίσκωνται εὐδοκιμοῦντες, ἀλλὰ καὶ οἱ ἀπιστοῦντες τἀναντία πάσχοντες. [f] Τί γάρ φησι; “Πίστει χρηματισθείς.” [g] Τί ἐστι, χρηματισθείς; [h] Τουτέστι, προλεχθὲν αὐτῷ. [i] Χρηματισμὸς δὲ τίνος ἕνεκεν λέγεται; [k] Καὶ γὰρ ἀλλαχοῦ [l] φησιν· [3] “Ἦν αὐτῷ κεχρηματισμένον [m] ὑπὸ τοῦ πνεύματος·” καὶ πάλιν, “Καὶ τί φησιν ὁ χρηματισμός;” Ὁρᾷς τοῦ πνεύματος τὸ ἰσότιμον; ὥσπερ [n] γὰρ ὁ θεὸς [o] χρᾷ, οὕτω καὶ τὸ πνεῦμα τὸ
C ἅγιον. Τίνος δὲ ἕνεκεν οὕτως εἶπεν; [p] Ἡ προφητεία λέγεται χρηματισμός. “[q] Περὶ τῶν [r] μηδέπω βλεπομένων,” φησί· τουτέστι, τοῦ ὑετοῦ· “[s] εὐλαβηθεὶς κατεσκεύασε κιβωτόν.” Ὁ μὲν λογισμὸς οὐδὲν τοιοῦτον [t] ὑπέβαλλεν· ἐγάμουν γὰρ καὶ ἐγαμίσκοντο, ἀὴρ ἦν καθαρὸς, σημεῖα οὐκ ἦν· ἀλλ' ὅμως ἐφοβήθη ἐκεῖνος. “[v] Πίστει, φησὶ, χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω

[1] CAP. XI. v. 7. [2] Luc. xvii. 26, 27. [3] Luc. ii. 26. Rom. xi. 4.

HOM. XXIII. [a] πίστει—Νῶε om. K.Q. inclusum a Sav. [b] παρουσίας] ἐπιδημίας K.Q. [c] τοῦ om. K.Q. [d] διὰ—ἀνέμνησε (ἀνεμίμνησκε A.)] οὕτω καὶ οὗτός φησιν. εἰκότως δὲ αὐτοὺς οἰκ. εἰκ. ἀνέμνησε K.Q. Sav. cet. [e] τὸ δὲ τοῦ] τοῦ δὲ N. [f] τί γὰρ] καὶ τί K.Q. Post χρηματισθεὶς add. Νῶε K.Q. Sav. cet. [g] Haec τί ἐστι χρ. accesserunt ex N. Mut. [h] τουτέστι, προλεχθὲν (προλεχθέντ' R.) αὐτῷ] τί ἐστι τοῦτο; προλεχθὲν ἦν αὐτῷ, φησὶ K.Q. Sav. cet. [i] χρηματισμὸς—λέγεται (ἐκλέγεται N.)] χρηματισμὸν δὲ τὴν προφητείαν καλεῖ iidem. [k] καὶ γὰρ] ὅτι καὶ K.Q. [l] φησιν· ἦν] οὕτως εἶπε· καὶ ἦν K.Q. Sav. cet. [m] ὑπὸ] φησὶν, ὑπὸ K.Q. Mox λέγει pro φησιν K.Q. Sav. cet. [n] γὰρ] δὲ K.Q. [o] χρᾷ] Sic N. Sav. cet. χαρὰ (sic) Cat. κιχρᾷ A.R. Veron. κϊχρᾷ (sic) O. χρηματίζει K.Q. [p] ἡ πρ. λ. χρ.] ἵνα δείξῃ ὅτι ὁ χρ. πρ. ἐστὶ K.Q. Sav. cet. [q] περὶ] πίστει Νῶε χρηματισθεὶς περὶ K.Q. [r] μήπω K.Q.R. et olim O. Mox φησὶ om. A.K.Q. [s] εὐλαβ.] + γὰρ A. et corr. O. [t] ὑπέβαλεν Cat. Veron. [v] πίστει, φ.] διὸ καὶ οὕτως εἶπε· πίστει K.Q. Sav. cet. Mox μὴ pro μηδέπω K.Q.

Digitized by Google

βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ." [w]Πῶς, "Δι' ἧς κατέκρινε τὸν κόσμον;" Ἔδειξεν αὐτοὺς ἀξίους ὄντας κολάσεως, [x]οἵ γε οὐδὲ διὰ τῆς κατασκευῆς ἐσωφρονίζοντο. "Καὶ τῆς κατὰ πίστιν, [y]φησὶ, δικαιοσύνης D
ἐγένετο κληρονόμος·" τουτέστιν, ἀπὸ τούτου δίκαιος ἐφάνη, ἀπὸ τοῦ πιστεῦσαι [z]τῷ θεῷ. Τοῦτο γὰρ ψυχῆς ἐστι γνησίως πρὸς αὐτὸν διακειμένης, καὶ μηδὲν πιστότερον τῶν αὐτοῦ ῥημάτων εἶναι κρινούσης, ὥσπεροῦν ἡ ἀπιστία τοὐναντίον. Ἡ δὲ πίστις εὔδηλον ὅτι δικαιοσύνην ἐργάζεται. Ὥσπερ [a]γὰρ ἡμεῖς ἐχρηματίσθημεν περὶ γεέννης, οὕτω κἀκεῖνος. Καίτοιγε ἐγελᾶτο τότε, [b]καίτοιγε ὠνειδίζετο καὶ ἐχλευάζετο· ἀλλ' ὅμως 211
πρὸς οὐδὲν τούτων εἶδε.

[4]"Πίστει καλούμενος, [c]φησὶν, Ἀβραὰμ, ὑπήκουσεν [d]ἐξελθεῖν εἰς τὸν τόπον, ὃν ἔμελλε λαμβάνειν εἰς κληρονομίαν· καὶ ἐξῆλθε μὴ ἐπιστάμενος ποῦ ἔρχεται. Πίστει παρῴκησεν εἰς [e]τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς." Τίνα γὰρ εἶδεν, [f]εἰπέ μοι, ἵνα ζηλώσῃ; πατέρα Ἕλληνα [g]εἶχε καὶ εἰδωλολάτρην, προφητῶν οὐκ ἠκηκόει, [h]οὐκ ᾔδει ποῦ ἤρχετο. Ἐπειδὴ [i]γὰρ εἰς τούτους ἑώρων οἱ ἐξ Ἑβραίων πεπιστευκότες, ὡς μυρίων ἀπολαύσαντας ἀγαθῶν, δείκνυσιν ὅτι οὐδεὶς οὐδέπω οὐδὲν ἐκομίσατο, [k]πάντες εἰσὶν B
ἀγέραστοι, [l]οὐδεὶς οὐδέπω ἐδέξατο τὰς ἀμοιβάς. Τῆς πατρίδος ἐκεῖνος καὶ τῆς οἰκίας ἐξέπεσε, καὶ ἐξῆλθεν οὐκ εἰδὼς ποῦ ἔρχεται. Καὶ τί θαυμαστὸν, [m]εἰ αὐτὸς, [n]ὅπου γε καὶ τὸ σπέρμα αὐτοῦ οὕτω κατῴκησεν; Ὁρῶν γοῦν ἐλεγχομένην τὴν ἐπαγγελίαν· εἶπε γὰρ, [5]"Σοὶ δώσω τὴν γῆν ταύτην, καὶ τῷ σπέρματί σου·" [o]εἶδε τὸν υἱὸν ἐκεῖ κατοικοῦντα, καὶ ὁ ἔκγονος πάλιν εἶδεν [p]ἑαυτὸν ἐν ἀλλοτρίᾳ κατοικοῦντα, καὶ οὐδὲν ἐθορυβήθη. Τὸ μὲν γὰρ τοῦ Ἀβραὰμ εἰκότως ἐγεγόνει, ἅτε μετὰ ταῦτα μελλούσης τῆς ἐπαγγελίας εἰς ἔργον ἐκβήσεσθαι εἰς τὸ

[4] v. 8, 9. [5] Gen. xii. 7. xiii. 15.

[w] πῶς om. K.Q. [x] οἵ γε] εἴγε R. [y] φησὶ om. K.Q. [z] τῷ om. K.N.R. et olim O. [a] γὰρ om. K.Q. Sav. cet. [b] καίτοιγε] καὶ N.O. Sav. cet. invito Mut. ἐγελᾶτο τότε, καίτοιγε om. K.Q. [c] φησὶν assumtum ex A.N.O.R. [d] ἐλθεῖν A. Mox τὸν om. A. Veron. πόνον pro τόπον O. [e] τὴν om. A. Veron. et olim N. [f] εἰπέ μοι, ἵνα ζ.] Sic K.O.Q.R. Cat. Mut. ἵνα ζ. εἰπέ μοι Edd. εἰπέ μοι ante εἶδεν transp. N. [g] ἔσχε K.Q. [h] οὐκ] Sic Cat. Veron. καὶ οὐκ R. Sic, sed καὶ expuncto, O. οὐδὲ Edd. [i] γὰρ om. Q. γὰρ εἰς om. K. [k] πάντες] ἀλλὰ πάντες K.Q. Sav. cet. [l] οὐδεὶς] καὶ ὅτι οὐδεὶς iidem. [m] εἰ] + γε A.N.O.R. Veron. invita Cat. [n] ὅπου γε —ἐπαγγελίαν] ὅπου γε ἐλεγχομένην τὴν ἐπαγ. εἶδεν K.Q. Post ἐπαγγελίαν add. οὐ κατενάρκησεν Sav. cet. invitis omnibus. [o] εἶδε—κατοικοῦντα] καὶ οὐδὲ τὸν υἱὸν ἐκεῖ ἐθεάσατο κατοικοῦντα K.Q. [p] αὐτὸν R. Veron. et a pr. m. O.

Digitized by Google

C γένος αὐτοῦ· καίτοιγε [q]καὶ πρὸς αὐτὸν εἴρηται, ὅτι "Σοὶ καὶ
τῷ σπέρματί σου·" [r]οὐ, διὰ τοῦ σπέρματός σου σοι, ἀλλὰ,
"Σοὶ καὶ τῷ σπέρματί σου·" καὶ οὔτε αὐτὸς, οὔτε ὁ Ἰσαὰκ,
οὔτε ὁ Ἰακὼβ [s]ἀπήλαυσαν τῆς ὑποσχέσεως. Ὁ μὲν γὰρ μισθῷ
[t]ἐδούλευσεν, ὁ δὲ ἐξηλαύνετο, οὗτος δὲ [v]καὶ ἐξέπιπτε δεδοικώς· (547)
καὶ τὰ μὲν εἷλε πολέμῳ, τὰ δὲ, εἰ μὴ τῆς τοῦ θεοῦ ῥοπῆς ἔτυ-
χεν, ἀπώλετο ἄν. Διὰ τοῦτό φησιν, [w]ὅτι "Μετὰ τῶν κληρο-
νόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς." [x]Οὐχὶ αὐτὸς μόνος, φησὶν,
ἀλλὰ καὶ οἱ [y]κληρονόμοι.

6 "Κατὰ πίστιν, [z]φησὶν, ἀπέθανον οὗτοι πάντες, μὴ κομι-
σάμενοι τὰς ἐπαγγελίας." Δύο ἐνταῦθα ζητῆσαι ἄξιον· πῶς
εἰπὼν ὅτι "Μετέθηκε τὸν Ἐνὼχ, [a]καὶ οὐχ εὑρίσκετο, τοῦ μὴ
D ἰδεῖν θάνατον," λέγει, "Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες·"
καὶ πάλιν εἰπὼν, "Μὴ κομισάμενοι τὰς ἐπαγγελίας," [b]τὸν Νῶε
[c]εἰληφέναι φησὶ μισθὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, καὶ τὸν
Ἐνὼχ [d]μετατεθεῖσθαι, καὶ τὸν Ἄβελ ἔτι λαλεῖν, καὶ τὸν
Ἀβραὰμ [e]ἐπειλῆφθαι τῆς γῆς· καί φησι· "Κατὰ πίστιν ἀπέ-
212 θανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας." Τί οὖν
[f]ἐστιν; Ἀναγκαῖον τὸ πρῶτον λῦσαι, εἶτα τὸ δεύτερον. "Κατὰ
πίστιν ἀπέθανον, [g]φησὶν, οὗτοι πάντες." Τὸ, πάντες, [h]ἐν-
ταῦθα, οὐκ ἐπειδὴ πάντες ἀπέθανον, ἀλλ' ἐπειδὴ ἐξῃρημένου
ἐκείνου, ἀπέθανον οὗτοι πάντες, οὓς ἴσμεν τεθνηκότας. Τὸ δὲ,
"Μὴ κομισάμενοι τὰς ἐπαγγελίας," ἀληθὲς τυγχάνει· οὐ γὰρ
δὴ τοῦτο ἔμελλεν εἶναι ἡ ἐπαγγελία τῷ Νῶε. Ποίας δὲ καὶ
ἐπαγγελίας φησίν; ὁ μὲν γὰρ [i]Ἰσαὰκ καὶ Ἰακὼβ ἔλαβον τὰς
ἐπαγγελίας τῆς γῆς· οἱ δὲ περὶ Νῶε καὶ Ἄβελ καὶ Ἐνὼχ ποίας
ἐπαγγελίας ἔλαβον; Ἢ τοίνυν περὶ τῶν [k]τριῶν φησι τούτων·
B ἢ [l]εἰ καὶ περὶ ἐκείνων, οὐ τοῦτο ἦν ἡ ἐπαγγελία, τὸ [m]θαυμα-
σθῆναι τὸν Ἄβελ, οὐδὲ τὸ [n]μετατεθῆναι τὸν Ἐνὼχ, οὐδὲ τὸ
διασωθῆναι τὸν Νῶε, ἀλλὰ καὶ ταῦτα μὲν αὐτοῖς διὰ τὴν ἀρετὴν

6 v. 13.

[q] καὶ om. R. Veron. Mox εἴρητο N.O. Sav. cet. invita Cat. [r] οὐ—σπέρματί σου om. A. [s] ἀπέλαυσαν K.Q.R. Veron. [t] ἐδούλευεν N. [v] καὶ om. K.Q. [w] [ὅτι] Sav. ὅτι om. K.Q. Mox ταύτης pro τῆς αὐτῆς iidem. [x] οὐχὶ—φησὶν] δηλῶν ὅτι οὐκ αὐτὸς μόνος K.Q. [y] κληρονόμοι] + εἶτα καὶ ἕτερόν τι τῶν εἰρημένων τρανότερον ἐπήγαγε λέγων K.Q. Sav. cet. [z] φ. ἀπέθανον] ἀπέθανον φ. A. Veron. φησὶν om. K.Q. Sav. cet. [a] καὶ—θάνατον] τοῦ μὴ ἰ. θ. καὶ οὐχ εὑρ. (ηὑρ. N.) N. Sav. cet. invitis Cat. Mut. [b] τὸν] τοῦ Q. [c] εἰλ. φησὶ] δείκνυσιν εἰλ. K.Q. Sav. cet. Statim μισθὸν om. Cat. [d] μετατεθῆναι N. μετατεθῆσθαι K. [e] ἐπιληφθήσεσθαι O.R. [f] ἐστιν] + ὃ λέγει K.Q. Sav. cet. [g] φ. οὗτοι π.] οὗτοι π. φ. O.R. φησὶν om. K. [h] ἐνταῦθα] + εἶπεν K.Q. Sav. cet. [i] Ἰσαὰκ] + φησὶν R. [k] τριῶν φ. τούτων] τριῶν τούτων φ. O.R. πατριαρχῶν λέγει τούτων K.Q. [l] εἰ om. A. Veron. [m] θαυμαστωθῆναι K.Q. [n] μεταστῆναι A.R. Veron.

Digitized by Google

ἐγένετο, γεύματα δέ τινα ἦν τῶν μελλόντων. Ὁ γὰρ θεὸς ἀπ' ἀρχῆς εἰδὼς τὸ γένος [o]τὸ ἀνθρώπινον πολλῆς δεόμενον συγκαταβάσεως, οὐ μόνον τὰ [p]ἐν τῷ μέλλοντι, ἀλλὰ καὶ τὰ ἐνταῦθα ἡμῖν χαρίζεται· οἷον ὅπερ καὶ τοῖς μαθηταῖς ἔλεγεν ὁ Χριστὸς, [7]"Ὅστις ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἑκατονταπλασίονα [q]λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει·" καὶ πάλιν, "Ζητεῖτε τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν." Ὁρᾷς καὶ ἐν προσθήκης μέρει C
ταῦτα παρ' [r]αὐτοῦ διδόμενα, ὥστε μὴ ἀποκαμεῖν; Καθάπερ γὰρ οἱ ἀθληταὶ ἀπολαύουσι μὲν θεραπείας καὶ ὅταν ἀγωνίζωνται, [s]πλὴν ἀλλ' οὐ πάσης τότε τῆς ἀνέσεως ἀπολαύουσιν, [t]ὑπὸ νόμοις ζῶντες, ἀλλὰ πάσης μετὰ ταῦτα ἀπολαύουσιν· οὕτω καὶ ὁ θεὸς οὐ πάσης ἐνταῦθα δίδωσι μεταλαβεῖν τῆς ἀνέσεως· δίδωσι μὲν γὰρ καὶ [v]ἐνταῦθα. "Ἀλλὰ πόρρωθεν αὐτὰς, [w]φησὶν, ἰδόντες καὶ ἀσπασάμενοι." Ἐνταῦθά τι μυστικὸν αἰνίτ- D
τεται, [x]ὅτι πάντα προέλαβον τὰ περὶ τῶν μελλόντων εἰρημένα, [y]περὶ ἀναστάσεως, περὶ [z]βασιλείας οὐρανῶν, περὶ τῶν ἄλλων, ὧν [a]ἐλθὼν ὁ Χριστὸς ἐκήρυξε· [b]τὰς γὰρ ἐπαγγελίας ταύτας φησίν. Ἢ [c]τοῦτό φησιν, ἢ ὅτι οὐκ ἔλαβον μὲν αὐτὰς, θαρρήσαντες δὲ ὑπὲρ αὐτῶν ἀπῆλθον· ἐθάρρησαν δὲ τῇ πίστει μόνῃ. "[d]Πόρρωθεν αὐτὰς ἰδόντες," πρὸ τεσσάρων γενεῶν· μετὰ γὰρ τοσαύτας [e]ἀνῆλθον ἐξ Αἰγύπτου. "Καὶ ἀσπασάμενοι," φησὶ, [f]καὶ ἡσθέντες. Οὕτω [g]πεπεισμένοι ἦσαν περὶ αὐτῶν, ὡς καὶ 213
ἀσπάσασθαι αὐτάς· ἀπὸ [h]μεταφορᾶς τῶν πλεόντων καὶ πόρρωθεν ὁρώντων [i]τὰς πόλεις τὰς ποθουμένας, [k]ἃς πρὶν [l]ἢ εἰσελθεῖν εἰς αὐτὰς τῇ προσρήσει λαβόντες αὐτὰς οἰκειοῦνται. [8]"Ἐξεδέχοντο γάρ, [m]φησὶ, τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν,

7 Matt. xix. 29. vi. 33. 8 v. 10.

[o] τὸ ἀνθρ.] τῶν ἀνθρώπων N. [p] ἐν τῷ μ.] μέλλοντα A. Veron. [q] λήψεται] + νῦν O. [r] αὐτῷ O.R. [s] πλὴν—ἀπολαύουσιν] πρός τινα, οὐ πάσης δὲ τότε ἀπολ. τῆς ἀν. O.R. [t] ὑπὸ νόμον A.O.R. Veron. Mox ἐπιτυγχάνουσιν pro ἀπολαύουσιν K.Q. [v] ἐνταῦθα] + πλὴν ὅμως τὴν πᾶσαν ἐν τῷ μέλλοντι ἐταμίευσε. καὶ ὅτι τοῦτό ἐστιν, ἐδήλωσεν αὐτὸ καὶ διὰ τῆς ἐπαγωγῆς, εἰπὼν K.Q. Sav. cet. [w] φησὶν om. K.Q. Sav. cet. post ἰδόντες transp. N. [x] ὅτι] δείκνυσι γὰρ ὅτι K.Q. Sav. cet. Statim πάντα προέλ. (προσέλ. A.) omnes. προέλ. (προσέλ. Veron.) πάντα Edd. [y] περὶ] τὰ περὶ ter K.Q. Sav. cet. [z] βασ.] τῆς βασ. K.Q. οὐρανῶν om. R. [a] ἐλθὼν ὁ Χρ.] ὁ Χρ. ἐλθὼν N.O.R. Statim ἐκήρυξε omnes. ἐκήρυσσε Edd. [b] τὰς γὰρ—ἢ (καὶ A.) ὅτι] ἢ τοίνυν ἐπαγγελίας ταῦτα λέγει, ἢ εἰ μὴ τοῦτο, ἐκεῖνό ἐστιν εἰπεῖν, ὅτι K.Q. [c] τοῦτο] + οὖν N.O. Mut. Sav. cet. invita Cat. [d] πόρρωθεν] + δὲ K.Q. Sav. cet. Post ἰδόντες add. εἶπε O. add. εἶπε, δηλῶν ὅτι K.Q. Sav. cet. [e] ἀπῆλθον Cat. ἐξῆλθον R. et olim O. [f] καὶ] τουτέστιν K.Q. [g] πεπιστευκότες K.Q. [h] μεταφορᾶς] + εἶπε K.Q. Sav. cet. [i] τὰς om. A.Q.R. Veron. Mox πορθουμένας A. [k] αἷς K.Q. [l] ἢ om. A. Statim ἐλθεῖν R. εἰς αὐτὰς om. K.Q. [m] φησὶ om. K.Q. Mut.

Digitized by Google

ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός." Ὁρᾷς ὅτι [n]τούτῳ ἔλαβον,
[o]τῷ ἤδη [p]δέξασθαι καὶ θαρσῆσαι ὑπὲρ αὐτῶν; Εἰ τοίνυν τὸ θαρ-
σῆσαι λαβεῖν ἐστιν, ἔνεστι καὶ ὑμῖν λαβεῖν. Οὗτοι γάρ, εἰ καὶ
μὴ [q]ἀπήλαυσαν τούτων, ἀλλ' ὅμως τῷ πόθῳ [r]ἑώρων αὐτάς. Τί
[s]δὴ ταῦτα γίνεται; Ἵνα ἡμεῖς αἰσχυνθῶμεν, ὅτι ἐκεῖνοι μέν, [t]ἐπαγ-
B γελλομένων αὐτοῖς τῶν ἐν τῇ γῇ, οὐ προσεῖχον, ἀλλὰ τὴν μέλ-
λουσαν πόλιν [v]ἐζήτουν· ἡμῖν δὲ ἄνω καὶ κάτω ὁ θεὸς περὶ τῆς
ἄνω διαλέγεται πόλεως, καὶ τὴν ἐνταῦθα ζητοῦμεν. Εἶπεν (548)
αὐτοῖς, [w]ὅτι δώσω ὑμῖν τὰ ἐν τῷ παρόντι· [x]ἐπειδὴ εἶδε, μᾶλ-
λον δὲ ἐπειδὴ [y]ἔδειξαν ἑαυτοὺς μειζόνων ὄντας ἀξίους, [z]τότε
οὐκέτι αὐτοὺς ἀφίησι ταῦτα λαβεῖν, ἀλλ' ἐκεῖνα τὰ [a]μείζονα,
βουλόμενος ἡμῖν δεῖξαι ὅτι μειζόνων ἄξιοί εἰσι, μὴ θελήσαντες
[b]προσδεθῆναι τούτοις· ὡς ἄν τις [c]παιδίῳ συνετῷ ἐπαγγέλλοιτο
παιδικά, οὐχ ἵνα λάβῃ, ἀλλ' ἐπιδεικνύμενος αὐτοῦ τὴν φιλο-
σοφίαν, αἰτοῦντος ἐκείνου τὰ μείζονα. [d]Τοῦτο γάρ ἐστι δει-
C κνύντος, ὅτι μετὰ τοσαύτης [e]σπουδῆς ἀπείχοντο τῆς γῆς, ὅτι
οὐδὲ διδόμενα ἐλάμβανον. Τοιγαροῦν διὰ τοῦτο οἱ [f]ἔκγονοι
λαμβάνουσιν· αὐτοὶ γὰρ ἦσαν τῆς γῆς ἄξιοι. Τί ἐστι, "Τὴν
τοὺς θεμελίους ἔχουσαν πόλιν;" οὗτοι γὰρ οὐκ εἰσὶ θεμέλιοι;
Πρὸς σύγκρισιν [g]ἐκείνων οὐκ εἰσίν. "Ἧς τεχνίτης καὶ δημι-
ουργὸς ὁ θεός." Βαβαί, οἷον [h]τὸ ἐγκώμιον τῆς πόλεως ἐκείνης.
[9]"Πίστει, [i]φησί, καὶ αὐτὴ Σάρρα." Ἐντρεπτικῶς ἐνταῦθα
ἤρξατο, εἴγε γυναικὸς ὀλιγοψυχότεροι φανεῖεν. Ἀλλ' εἴποι
ἄν τις, πῶς [k]πίστει ἡ γελάσασα; Ὁ μὲν οὖν γέλως ἐξ ἀπι-
D στίας, ὁ δὲ φόβος ἀπὸ πίστεως· τὸ γὰρ εἰπεῖν, [10]"Οὐκ ἐγέ-
λασα," ἀπὸ πίστεως γέγονε. Τοιγαροῦν [l]διὰ τοῦτο, κενωθείσης
τῆς ἀπιστίας, ἐπεισῆλθεν ἡ πίστις. "[m]Πίστει καὶ αὐτὴ Σάρρα

9 v. 11. 10 Gen. xviii. 15.

[n] τούτῳ] Sic R. Cat. et olim O. *hac re* Mut. τοῦτο K.N.Q. et ex corr. O. τὸ Edd. [o] τῷ] Sic N.O.R. Cat. τὸ Edd. [p] δέξασθαι] + ἐστι Edd. ἐστι om. K.N.O.Q.R. Cat. inclusum a Sav. Mox θαρρῆσαι pro θαρσῆσαι bis habent K.N.Q. Cat. et corr. O. [q] ἀπέλαυσαν A.K.R. Veron. [r] ἑώρων] Sic K.N.O.Q.R. ἐθεώρουν Edd. Statim αὐτὰ K.Q. et olim O. [s] δὴ] δήποτε δὲ K.Q. [t] ἐπαγ.] καὶ ἐπαγ. A.K.Q. Sav. cet. [v] ἐπεζήτουν R. [w] ὅτι om. A. Veron. [x] ἐπειδὴ] Sic N.O.R. Mut. καὶ ἐπειδὴ K.Q. ἐπειδὴ δὲ Edd. [y] ἔδειξεν αὐτοὺς K.Q.R. et olim O. receptum a Sav. Mor. invito Mut. [z] τότε om. K.Q. [a] μείζονα] + τοῦτο δὲ ποιεῖ K.Q. [b] προσδεηθῆναι A. προστεθῆναι Q. [c] παιδίῳ accessit ex K.N.O.Q.R. Mut. [d] τούτῳ K. [e] σπουδῆς—γῆς] ἀπείχοντο τῆς γ. σφοδρότητος R. σπουδῆς om. in text. O. Mox ὅπου pro ὅτι A.R. Veron. [f] ἔγγονοι K.Q. [g] ἐκείνων οὐκ εἰσὶν om. A. Veron. invitis Cat. Mut. οὐκ εἰσὶν om. N. eras. in O. [h] τῆς π. ἐκείνης τὸ ἐγκ. hoc ord. O.R. τῆς π. τὸ ἐγκ. ἐκείνης K.Q. [i] φησὶ assumtum ex N.O.R. Cat. Mut. [k] πίστει] πιστὴ K.N. Cat. Mut. et olim O. receptum a Sav. cet. Statim ἦν pro ἡ R. [l] διὰ τοῦτο om. R. et olim O. [m] πίστει] + φησὶ K.Q. Mut.

Digitized by Google

δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβε, καὶ παρὰ καιρὸν
[n] ἡλικίας.” Τί ἐστιν, “εἰς καταβολὴν σπέρματος;” Εἰς τὸ
κατασχεῖν τὸ σπέρμα, εἰς [o] τὴν ὑποδοχὴν δύναμιν ἔλαβεν ἡ
νενεκρωμένη, ἡ στεῖρα. Διπλῆ [p] γὰρ ἦν ἡ πήρωσις, ἡ μὲν ἀπὸ
τοῦ χρόνου, [q] γεγηράκει γὰρ ὄντως· ἡ δὲ ἀπὸ τῆς φύσεως,
στεῖρα γὰρ ἦν. [11] “Ὅθεν [r] καὶ ἐξ ἑνὸς ἐγεννήθησαν οἱ [s] πάντες, 214
ὡς τὰ ἄστρα τοῦ [t] οὐρανοῦ, καὶ [v] ὡς ἡ ἄμμος ἡ παρὰ τὸ χεῖ-
λος τῆς [w] θαλάσσης.” “[x] Ὅθεν, φησὶ, [y] καὶ ἐξ ἑνὸς ἐγεννήθησαν
οἱ πάντες.” Οὐ τοῦτο [z] μόνον λέγει, ὅτι ἐγέννησεν, ἀλλ᾽ ὅτι καὶ
[a] τοσούτων ἐγένετο μήτηρ, ὅσων οὐδὲ [b] αἱ εὔφοροι γαστέρες.
“Ὡς τὰ ἄστρα,” φησί. Πῶς οὖν [c] αὐτοὺς ἀριθμεῖ πολλάκις,
καίτοιγε εἰπὼν, [12] “Ὃν τρόπον οὐκ ἐξαριθμηθήσεται τὰ ἄστρα
τοῦ οὐρανοῦ, οὕτως οὐδὲ τὸ σπέρμα ὑμῶν;” Ἤτοι [d] τὴν ὑπερ-
βολήν φησιν, ἤτοι τοὺς ἀεὶ γινομένους. [e] Μιᾶς γὰρ οἰκίας B
δυνατὸν, [f] εἰπέ μοι, τοὺς προγόνους ἀριθμῆσαι, [g] ὁ δεῖνα τοῦ
δεῖνος, [h] καὶ ὁ δεῖνα τοῦ δεῖνος; [i] Ἐνταῦθα δὲ τοιαῦται αἱ ἐπαγ-
γελίαι τοῦ θεοῦ, οὕτως εὐμήχανοι αὐτοῦ αἱ ὑποσχέσεις. Εἰ δὲ
ἅπερ ἐν προσθήκης μέρει ὑπέσχετο, οὕτω θαυμαστὰ, οὕτω πα-
ράδοξα, οὕτω [k] μεγαλόδωρα, τίνα ἔσται [l] ἐκεῖνα, ὧν ταῦτα προσ-
θήκη, ὧν ἐκ περιουσίας ταῦτα;

[m] Τί τοίνυν τῶν [n] ἐπιτυγχανόντων μακαριώτερον; τί τῶν
ἀποτυγχανόντων ἀθλιώτερον; Εἰ γὰρ πατρίδος τις ἐκβεβλη-
μένος, ὑπὸ πάντων ἐλεεῖται, καὶ κληρονομίαν ἀπολέσας δοκεῖ
παρὰ πᾶσιν ἐλεεινὸς εἶναι· ὁ τοῦ οὐρανοῦ ἐκπίπτων καὶ τῶν C
ἀποκειμένων ἀγαθῶν ἐκεῖ, πόσοις ὀφείλει δάκρυσι δακρύεσθαι;
Μᾶλλον δὲ [o] οὐδὲ δακρύεσθαι· δακρύεται γάρ τις ὅταν τι πάθῃ,
ὧν οὐκ αὐτός ἐστιν αἴτιος· ὅταν δὲ ἐξ οἰκείας γνώμης ἑαυτὸν

11 v. 12. 12 Gen. xv. 5.

[n] ἡλικίας] + ἔτεκε Edd. ἔτεκε om. N.O.R. [o] τὴν assumtum ex K.N.O. Q.R. [p] γὰρ om. A. [q] γεγηράκει γὰρ] Sic K.N.O.Q.R. γεγηρακυῖα (-κεῖα Veron.) γὰρ ἦν Edd. [r] καὶ] + ὡς R. [s] πάντες] + καὶ ταῦτα νενεκρωμένου K.Q. Sav. cet. [t] οὐρανοῦ] + τῷ πλήθει Edd. τῷ πλ. om. K.N. Q.R. Mut. et a pr. m. O. [v] ὡς ἡ] ὡσεὶ N. Sav. cet. [w] θαλάσσης] + ἡ ἀναρίθμητος Edd. invitis nostris K.N.O.Q.R. et Mut. [x] ὅθεν—πάντες om. K.Q. inclusum a Sav. φησὶ post ἑνὸς transp. N.O.R. [y] καὶ] + ὡς R. Mox οἱ πάντες—ἐγέννησεν om. R. [z] μόνον] + ἐνταῦθα K.Q. Sav. cet. Statim λέγει om. in text. O. [a] τοιούτων R. [b] αἱ om. N. [c] αὐτοῖς A. [d] τὴν ὑπ.] καθ᾽ ὑπ. A. ἤτοι—γινομένους] ἤτοι καθ᾽ ὑπ. ἐστι τοῦτο, ἢ διὰ τοὺς ἀεὶ ἐπιγινομένους οὕτως εἶπε K.Q. Sav. cet. [e] μιᾶς] + μὲν K.N.Q. Sav. cet. [f] εἰπέ μοι om. K.Q. Sav. cet. Mox ἐρευνῆσαι pro ἀριθμῆσαι K.Q. [g] ὁ] οἷον, ὁ K.N.Q. Sav. cet. [h] καὶ—δεῖνος om. A.K.R. Veron. [i] ἐντ. δὲ τοιαῦται] ἐντ. δὲ, ὧν τὸ γένος τῷ πλήθει τῶν ἄστρων παρεικάζεται, οὐκ ἔστι. τοιαῦται K.Q. Sav. cet. [k] μεγάλα δῶρα ex corr. O. [l] ἐκεῖνα] ταῦτα R. et olim, ut videtur, O. [m] ΗΘΙΚΟΝ. Περὶ τῆς προσδοκωμένης μακαριότητος, καὶ τῆς πρὸς ἡμᾶς ἀγάπης τοῦ θεοῦ. Veron. [n] ἐπιτυχόντων K. Mox τί δὲ τῶν K.Q. [o] οὐδὲ] οὐ R. et a pr. m. O. μᾶλλον δὲ οὐδὲ δακρ. om. A.K.

Digitized by Google

περιπείρῃ τῇ κακίᾳ, οὐδὲ δακρύων, ἀλλὰ θρήνων [p]ἔσται ἄξιος.
Μᾶλλον δὲ καὶ τότε πένθους· ἐπεὶ καὶ ὁ κύριος [q]ἡμῶν Ἰησοῦς
Χριστὸς τὴν Ἱερουσαλὴμ, καίτοι ἀσεβοῦσαν, ἐπένθησε καὶ ἐδά-
κρυσεν. Ὄντως μυρίων ὀδυρμῶν ἄξιοί ἐσμεν, μυρίων θρήνων.
Ἐὰν πᾶσα ἡ [r]οἰκουμένη λαβοῦσα φωνὴν, καὶ λίθοι καὶ ξύλα
D καὶ δένδρα καὶ θηρία καὶ [s]ὄρνιθες καὶ ἰχθύες, καὶ ἁπλῶς [t]πᾶσα
ἡ οἰκουμένη [u]ἐὰν λαβοῦσα φωνὴν ἡμᾶς ὀδύρηται τοὺς ἐκπεπτω-
κότας τῶν ἀγαθῶν ἐκείνων, οὐδὲν κατ' ἀξίαν [v]ὀδυρεῖται οὐδὲ
θρηνήσει. Ποῖος γὰρ λόγος παραστῆσαι δυνήσεται, ποῖος νοῦς
[w]ἐκείνην τὴν μακαριότητα καὶ τὴν ἀρετὴν, ἐκείνην τὴν ἡδονὴν,
τὴν δόξαν, τὴν εὐφροσύνην, τὴν λαμπρότητα· [13] "Ἃ [x]ὀφθαλ-
μὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ
[y]ἀνέβη;" Οὐκ εἶπεν ὅτι ὑπερβαίνει ἁπλῶς, ἀλλ', οὐδὲ [z]ἐνενόησέ
215 ποτέ τις, "Ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν." Ὧν
[a]γὰρ ἑτοιμαστὴς καὶ παρασκευαστὴς ὁ θεὸς ἀγαθῶν, ποῖα εἰκὸς (549)
εἶναι ταῦτα; Εἰ γὰρ ποιήσας ἡμᾶς εὐθέως, οὐδενὸς παρ' ἡμῶν
προϋπηργμένου, τοσαῦτα ἐχαρίσατο, παράδεισον, ὁμιλίαν τὴν
μετ' αὐτοῦ, ἀθανασίαν ὑπέσχετο, βίον μακάριον καὶ φροντίδων
ἀπηλλαγμένον· τοῖς τοσαῦτα [b]πεπονηκόσι καὶ ἠθληκόσι, [c]καὶ
ὑπὲρ αὐτοῦ ὑπομείνασι, τί οὐ χαριεῖται; Τοῦ μονογενοῦς οὐκ
ἐφείσατο δι' ἡμᾶς, τὸν [d]υἱὸν τὸν γνήσιον εἰς θάνατον ἔδωκε δι'
ἡμᾶς [e]ἐχθροὺς ὄντας· [f]τίνος οὐ καταξιώσει γενομένους φίλους;
B τίνος οὐ μεταδώσει καταλλάξας [g]ἑαυτῷ; [h]Καὶ πλούσιός ἐστι
[i]σφόδρα καὶ ἀπείρως, καὶ ἐπιθυμεῖ καὶ σπουδάζει τῆς ἡμετέρας
φιλίας τυχεῖν· [k]ἡμεῖς οὐ σπουδάζομεν οὕτως, [l]ἀγαπητοί· [m]τί
λέγω, οὐ σπουδάζομεν; οὐ θέλομεν οὕτω τυχεῖν αὐτοῦ τῶν

[13] 1 Cor. ii. 9.

[p] ἐστὶν K.N.Q. Sav. cet. [q] ἡμῶν om. K.Q. Statim Ἰησ. ὁ Χρ. O. [r] οἰκουμένη] κτίσις K.Q. [s] ὄρνεις O.R. [t] πᾶσα] ὅλη K.Q. [u] ἐὰν λ.] ἀναλαβοῦσα A. Veron. Mox ἡμᾶς om. K. inclusum a Sav. [v] ὀδύρεται A.N.R. Veron. [w] ἐκείνην τὴν μ.] τὴν μ. ἐκείνην K.Q. Statim καὶ τὴν ἀ. ἐκείνην om. K.Q. inclusum a Sav. [x] ὀφθαλμὸς] + φησὶν K.Q. Mut. Sav. cet. [y] ἀνέβη] + ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν K.Q. Sav. cet. [z] ἐνόησε A. Veron. Mox ἃ ἡτοίμασεν—αὐτὸν om. K.Q. [a] γὰρ] δὲ K.Q. Mox καὶ παρασκ. om. K.Q. [b] πεπονηκόσι] Sic O.Q.R. Eclog. XL. XLIV. (Tom. xii. pp. 730 E. 758 B.) πεποιηκόσι Edd. Statim καὶ ἠθληκόσι om. R. [c] καὶ ὑπὲρ αὐτοῦ] ὑπὲρ αὐτοῦ καὶ K.Q. Mox χαρίσεται A. Veron. [d] υἱὸν] + αὐτοῦ A.N. et marg. O. receptum a Sav. cet. [e] ἐχθ. ὄντας] εἰ δὲ ἐχθ. ὄντας τοσούτων κατηξίωσε K.Q. Sav. cet. [f] τί (corr. ex τίς) A. Mox γεν. φίλους pro φίλους γεν. omnes. [g] αὐτῷ K.Q. et olim O. [h] καὶ] ὁ μὲν καὶ K.Q. [i] σφ. καὶ ἀπείρως, καὶ] Sic N. σφ. ἀπείρως, καὶ A. Veron. Eclog. XLIV. σφ. καὶ ἀπείρως K.Q. Sav. cet. σφ. καὶ ἀληθὴς, καὶ O.R. σφ. καὶ ἄπειρος, καὶ Eclog. XL. Mut. Statim σπουδ. καὶ ἐπιθ. alio ord. R. [k] ἡμεῖς] καὶ ἡμεῖς ex corr. O. ἡμεῖς δὲ Eclogg. ἡμεῖς οὐ σπ. οὕτως] ἡμεῖς δὲ οὐδὲ τὸ πολλοστὸν ἐκείνου σπ. K.Q. Sav. cet. [l] ἀγαπητοὶ om. K.Q. Post ἀγαπητοὶ add. ἐπιτυχεῖν N. Eclog. XLIV. et marg. O. [m] τί] καὶ τί K.Q. Mox οὐ θέλομεν post αὐτὸς θέλει transp. iidem.

Digitized by Google

ἀγαθῶν, ὡς αὐτὸς θέλει. Καὶ ὅτι [n]πλέον θέλει, [o]ὃ ἐποίησεν,
ἔδειξεν. Ἡμεῖς μὲν γὰρ ὑπὲρ ἡμῶν αὐτῶν μόλις ὀλίγου κατα-
φρονοῦμεν χρυσίου· αὐτὸς δὲ ὑπὲρ ἡμῶν καὶ τὸν υἱὸν [p]ἔδωκε
τὸν αὐτοῦ. Χρησώμεθα εἰς δέον τῇ ἀγάπῃ τοῦ [q]θεοῦ, ἀπολαύ-
σωμεν αὐτοῦ τῆς φιλίας· [14] "Ὑμεῖς [r]γάρ φίλοι μού ἐστε,
φησὶν, ἐὰν ποιῆτε ἃ λέγω ὑμῖν." Βαβαὶ, τοὺς ἐχθροὺς τοὺς C
ἀπείρως [s]αὐτοῦ διεστηκότας, ὧν ἀσυγκρίτῳ τῇ ὑπερβολῇ κατὰ
πάντα διενήνοχε, τούτους φίλους [t]ἐποίησε καὶ καλεῖ φίλους.
Τί οὖν οὐχ αἱρετὸν παθεῖν ὑπὲρ ταύτης τῆς φιλίας; [v]Ὑπὲρ
ἀνθρώπων φιλίας πολλάκις κινδυνεύομεν, ὑπὲρ δὲ τῆς τοῦ θεοῦ
[w]οὐδὲ χρήματα προϊέμεθα. Πένθους [x]ὄντως ἄξια τὰ ἡμέτερα,
πένθους [y]καὶ δακρύων καὶ ὀδυρμῶν [z]καὶ ὀλοφυρμοῦ μεγάλου καὶ
[a]κοπετῶν. Τῆς ἐλπίδος ἡμῶν [b]ἐξεπέσομεν, ἐταπεινώθημεν ἀπὸ
τοῦ ὕψους ἡμῶν, ἀνάξιοι τῆς τιμῆς [c]ἐφάνημεν τοῦ θεοῦ, [d]ἀγνώ- D
μονες καὶ μετὰ τὰς εὐεργεσίας [e]γεγόναμεν καὶ ἀχάριστοι, ἐγύ-
μνωσεν ἡμᾶς πάντων ὁ διάβολος τῶν ἀγαθῶν· οἱ καταξιωθέντες
εἶναι υἱοὶ, [f]οἱ ἀδελφοὶ [g]καὶ συγκληρονόμοι, τῶν ἐχθρῶν αὐτοῦ
οὐδὲν διενηνόχαμεν, τῶν ὑβριζόντων αὐτόν. Τίς ἡμῖν [h]ἔσται
παραμυθία λοιπόν; Αὐτὸς ἡμᾶς ἐκάλεσε πρὸς τὸν οὐρανὸν,
ἡμεῖς δὲ ἑαυτοὺς πρὸς τὴν γέενναν ὠθήσαμεν. Ἀρὰ, καὶ ψεῦ-
δος, καὶ κλοπὴ, καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς· οἱ μὲν αἵματα
ἐφ' αἵμασι μιγνύουσιν, οἱ δὲ πράγματα πράττουσιν αἱμάτων
χείρονα. Πολλοὶ τῶν ἀδικουμένων, πολλοὶ τῶν πλεονεκτου- 216
μένων, μυρίους εὔχονται θανάτους ἢ ταῦτα παθεῖν· καὶ εἰ μὴ
τὸν τοῦ θεοῦ φόβον [i]ἐδεδοίκεσαν, [k]καὶ διεχειρίσαντο ἑαυτοὺς,
οὕτω [l]φονῶντες καθ' ἑαυτῶν. [m]Ταῦτ' οὖν οὐχ αἱμάτων χείρω;
[15] "Οἴμοι [n]ψυχὴ, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ

14 Joan. xv. 14. 15 Mich. vii. 1, 2.

[n] πλέον] + ἐκεῖνος iidem. [o] ὃ] δι' οὗ K.N.Q. Eclog. XL. Sav. cet. [p] ἔδ. τὸν αὐτοῦ] αὐτοῦ ἔδ. R. ἔδ. τὸν ἑαυτοῦ K. [q] θεοῦ] + ἀγαπητοὶ K.Q. Sav. cet. [r] γὰρ] φησὶ K.Q. Mox φησὶν om. iidem. [s] αὐτῷ K.Q. Eclog. XL. Mox κατὰ πάντα om. R. [t] ἐποίησε—φίλους] αὐτοῦ καλεῖ K.Q. [v] ὑπὲρ ἀνθ. φ. (φ. ἀνθ. O.R.) πολλάκις κ.] ἀλλ' ἡμεῖς ὑπὲρ ἀνθ. μὲν φ. πολλάκις καὶ κ. K.Q. Sav. cet. [w] οὔτε A. Veron. [x] ὄντως ἄξ.] ἄξ. ὄντως A.N. [y] καὶ om. K.Q. [z] καὶ om. K. [a] κοπετῶν] Sic A.N.O.R. Eclogg. κοπετοῦ Edd. [b] ἐξεπέσαμεν O.R. Sav. cet. [c] ἐφάνημεν] γεγόναμεν R. et a pr. m. O. [d] ἀγνώμονες] + γεγόναμεν A. Mox γεγόναμεν om. idem. [e] γεγ. καὶ ἀχάριστοι] ἐφάνημεν καὶ ἀχαρίστοι Q. ἐφάνημεν ἄχρηστοι K. Sav. cet. [f] οἱ om. N.O. [g] καὶ] οἱ K.Q. καὶ om. N. Statim κληρονόμοι R. et olim O. [h] ἐστι K.Q. [i] ἐδεδοίκεισαν a pr. m. O. -κησαν A. [k] καὶ διεχειρίσαντο] διεχειρίσαντο ἂν O.R. καὶ διεχειρίσαντο ἂν Eclog. XL. καὶ διεχρήσαντο K.Q. κἂν διεχρήσαντο a pr. m. N. κἂν διεχειρήσαντο ex corr. idem. [l] φρονῶντες A. [m] ταῦτα K.N. Mox χείρονα N. [n] ψυχὴ] + ἔλεγεν ἀποδυσπετῶν ὁ προφήτης K.Q. Sav. cet.

Digitized by Google

κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει·" [o]νῦν καὶ ἡμεῖς [p]βοήσω-
μεν περὶ ἡμῶν αὐτῶν πρῶτον. Ἀλλά μοι τοῦ θρήνου συλλά-
βεσθε. Τάχα τινὲς [q]καὶ οἰωνίζονται καὶ γελῶσι· [r]διὰ γὰρ
τοῦτο ἐπιτείνειν χρὴ τὸν θρῆνον, ὅτι οὕτω μαινόμεθα καὶ παρα-
B παίομεν, [s]ὅτι οὐδὲ εἰ μαινόμεθα ἴσμεν, ἀλλ' ἐφ' οἷς ἐχρῆν στέ-
νειν, γελῶμεν. 16 "Ἀποκαλύπτεται, [t]ἄνθρωπε, ὀργὴ ἀπ' οὐ-
ρανοῦ, ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων." "Ὁ θεὸς
ἐμφανῶς ἥξει· πῦρ [v]ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ κύκλῳ
αὐτοῦ καταιγὶς σφοδρά. Πῦρ [w]ἐναντίον αὐτοῦ καυθήσεται, καὶ
φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ." "[x]Ἡμέρα κυρίου ὡς κλί-
βανος καιόμενος." Καὶ οὐδεὶς [y]ταῦτα εἰς νοῦν βάλλεται, ἀλλὰ
[z]μύθων μᾶλλον καταπεφρόνηται τὰ φρικώδη ταῦτα [a]δόγματα
καὶ φοβερά, [b]καὶ πεπάτηται. Ὁ ἀκούων, οὐδείς· οἱ δὲ γελῶντες
καὶ χλευάζοντες, [c]πάντες. Τίς [d]ἔσται ἡμῖν πόρος; πόθεν σω-
C τηρίαν εὕρωμεν; 17 "Ἀπολώλαμεν, [e]παρανηλώμεθα·" γεγόνα-
μεν τῶν ἐχθρῶν ἡμῶν κατάγελως, [f]καὶ χλευασμὸς τῶν Ἑλλήνων
καὶ τῶν δαιμόνων. [g]Μέγα φρονεῖ νῦν ὁ διάβολος, γαυροῦται
καὶ [h]χαίρει· ἐν αἰσχύνῃ οἱ πιστευθέντες ἡμᾶς ἄγγελοι [i]πάντες,
ἐν κατηφείᾳ· οὐδεὶς ὁ ἐπιστρέφων, εἰκῇ πάντα ἡμῖν [k]ἀνήλωται,
καὶ ἡμεῖς ὑμῖν δοκοῦμεν ληρεῖν. Εὔκαιρον καὶ νῦν καλέσαι τὸν
οὐρανὸν, ὅτι οὐδεὶς ὁ ἀκούων, διαμαρτύρασθαι τὰ στοιχεῖα·
18 "Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, [l]γῆ, ὅτι κύριος ἐλάλησε."
Δότε χεῖρα, ὀρέξατε οἱ μηδέπω καταβαπτισθέντες τοῖς ὑπὸ
D τῆς μέθης ἀπολωλόσιν, οἱ ὑγιαίνοντες τοῖς κάμνουσιν, οἱ νή-

16 Rom. i. 18. Psal. xlix. 3. xcvi. 3. Mal. iv. 1. 17 Num. xvii. 12.
18 Esai. i. 2.

[o] νῦν] + δὲ Edd. δὲ om. N.Q.R. Eclogg. et olim O. Post ἡμεῖς add. τοῦτο K.Q. Sav. cet. [p] βοήσωμεν] Sic A.O. Eclogg. Mut. βοήσομεν Edd. Statim ὑπὲρ ex corr. O. [q] καὶ om. K.Q. [r] διὰ γὰρ τ.] καὶ γὰρ τ. R. πλὴν καὶ διὰ τ. K.Q. Sav. cet. Post ἐπιτείνειν add. μᾶλλον iidem. [s] ὅτι οὐδὲ εἰ μ.] Sic K.N.Q. Eclog. XL. Sav. cet. ὅτι οὐδὲ ὅτι μ. O.R. ὅτι οὐδὲ μ. A. καὶ οὐδ' ὅτι μ. Eclog. XLIV. καὶ ὅτι μ. οὐδὲ Veron. [t] ἄνθρωπε] ἀκούομεν K.Q. Mox ἀπ' οὐρανῶν R. [v] ἐναντίον A. Veron. Mox προπορεύεται N. πορεύσεται a pr. m. O. καυθήσεται K.Q. Sav. cet. [w] ἐνώπιον A. Veron. Mox προπορεύσεται pro καυθήσεται K.Q. Sav. cet. [x] ἡ ἡμέρα A.N.O. Sav. cet. invitis Eclogg. [y] αὐτὰ olim O. [z] μύθων] μεθύει K.Q. [a] δόγματα] Sic K.N.Q. Eclog. XL. et ex corr. O. *decreta* Mut. πράγματα Edd. [b] καὶ πεπ.] καταπεπ. O.R. Statim καὶ ὁ Eclogg. et ex corr. O. Mox ἀκούσων K. [c] πάντες] πολλοὶ N. [d] ἐστιν A. Veron. Statim πόρος ἡμῖν hoc ord. K.O. Q.R. Mox εὕρομεν A. εὑρήσομεν R. et a pr. m. O. [e] παραναλώμεθα A.R. Veron. παρανηλώθημεν N. [f] καὶ om. K.Q. [g] μέγα] καὶ μέγα N. Mox γαβροῦται A. γαυριᾶτε (sic) N. [h] χαίρει· ἐν αἰσχ. οἱ] χαίρει ἐν τῇ αἰσχ. ἡμῶν· οἱ Eclog. XLIV. [i] πάντες] + ἄγγελοι A. πάντες om. Veron. Statim καὶ ἐν κ. (καὶ superscript. a pr. m.) O. καὶ κ. Eclog. XLIV. [k] ἀναλωται A.R. Veron. [l] ἡ γῆ Edd. invitis omnibus.

Digitized by Google

φοντες τοῖς μαινομένοις, [m] τοῖς περιφερομένοις. Μηδεὶς, παρα-
(550) καλῶ, [n] χάριν τῆς σωτηρίας τοῦ φίλου [o] προτιμάτω· καὶ [p] ἡ
ὕβρις καὶ ἡ ἐπιτίμησις εἰς ἓν ὁράτω μόνον, αὐτοῦ τὴν ὠφέλειαν.
Ὅταν πυρετὸς καταλάβῃ, καὶ δοῦλοι κρατοῦσι δεσποτῶν. Ὅταν
γὰρ ἐκεῖνος μὲν [q] ἐπικέηται τὴν ψυχὴν συγχέων, ἀνδραπόδων δὲ
ἑσμὸς [r] παραστήκῃ, [s] οὐδὲ ἐπιγινώσκει τὸν νόμον τὸν δεσποτικὸν
ἐν τῇ βλάβῃ τοῦ δεσπότου. Συστρέψωμεν ἑαυτοὺς, παρακαλῶ·
πόλεμοι καθημερινοὶ, καταποντισμοὶ, ἀπώλειαι μυρίαι κύκλῳ, 217
καὶ [t] πάντοθεν ἡ ὀργὴ τοῦ θεοῦ ἡμᾶς περιστοιχίζεται. Ἡμεῖς
δὲ ὡς εὐαρεστοῦντες, οὕτως ἐσμὲν ἐν ἀδείᾳ· πάντες τὰς χεῖρας
εἰς πλεονεξίαν εὐτρεπίζομεν, οὐδεὶς εἰς βοήθειαν· πάντες εἰς ἁρ-
παγὴν, οὐδεὶς εἰς προστασίαν· ἕκαστος [v] πῶς πλείονα τὰ ὄντα
ποιήσει ἐσπούδακεν, οὐδεὶς [w] πῶς βοηθήσει τῷ δεομένῳ· ἕκαστος
πῶς προσθῇ τοῖς χρήμασι, πολλὴν ἔχει τὴν μέριμναν, οὐδεὶς
ὅπως τὴν ψυχὴν [x] τὴν ἑαυτοῦ διασώσῃ· φόβος εἷς ἔχει πάντας,
μὴ πενιχροὶ, [y] φησὶ, γενώμεθα· μὴ εἰς [z] γέενναν ἐμπέσωμεν, οὐ-
δεὶς ἀγωνιᾷ καὶ τρέμει.

Ταῦτα θρήνων, ταῦτα [a] κατηγορίας, ταῦτα διαβολῆς ἄξια. B
[b] Ἀλλ' οὐ ταῦτα [c] ἐβουλόμην λέγειν, ἀλλ' ὑπὸ τῆς ὀδύνης βιά-
ζομαι· σύγγνωτε· ὑπὸ τοῦ πένθους ἀναγκάζομαι πολλὰ καὶ
ὧν οὐ βούλομαι [d] φθέγξασθαι. Χαλεπὴν ὁρῶ τὴν [e] πληγὴν,
ἀπαραμύθητον τὴν συμφορὰν, παρακλήσεως μείζονα τὰ κατα-
λαβόντα ἡμᾶς δεινὰ, ἀπολώλαμεν. [19] "Τίς δώσει τῇ κεφαλῇ
μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου [f] πηγὴν δακρύων," ἵνα θρη-
νήσω; Κλαύσωμεν, ἀγαπητοὶ, [g] κλαύσωμεν, στενάξωμεν. Τάχα
τινές εἰσιν ἐνταῦθα λέγοντες, πάντα θρήνους ἡμῖν λέγει, πάντα
δάκρυα. Οὐκ ἐβουλόμην, πιστεύσατε, οὐκ ἐβουλόμην, ἀλλ' ἐγ- C
κώμια καὶ ἐπαίνους διεξιέναι· νυνὶ δὲ [h] οὐ τούτων ὁ καιρός. Οὐ
τὸ θρηνεῖν, ἀγαπητοὶ, χαλεπὸν, ἀλλὰ τὸ θρήνων [i] ἄξια ποιεῖν·

[19] Jer. ix. 1.

[m] τοῖς π.] Sic A.N. Veron. καὶ τοῖς π. O.R. Eclog. XL. οἱ ἑδραῖοι τοῖς π. Sav. cet. οἱ σπουδαῖοί τε καὶ ἑδραῖοι τοῖς π. Eclog. XLIV. τοῖς περιφ. om. K.Q. [n] χάριν om. Veron. [o] προτιμάτω] τι προτ. R. Veron. προτ. τι N. [p] ἡ om. Q. [q] ἐπικαίηται N.Q.R. Eclogg. Mut. Sav. cet. Sic olim O. [r] παρειστήκει A. Veron. et ex corr. O. παρεστήκει N. παραστήκει R. [s] Vid. Annot. [t] πανταχόθεν N. Mox κυρίου pro θεοῦ A. [v] ὅπως O. Eclog. XL. Mox ποιήσῃ et βοηθήσῃ iidem. [w] ὅπως O.R. Eclog. XL. [x] τὴν ἑαυτοῦ] αὐτοῦ A. Statim διασώσει K.N.Q. [y] φησὶ] τινες K.Q. [z] γέενναν] + δὲ Eclog. XLIV. Sav. cet. invitis libris. Haec μὴ εἰς γ. ἐμπέσωμεν post τρέμει transp. K.Q. [a] κατηγοριῶν N.O. Sav. cet. [b] ἀλλ' om. K.Q. [ἀλλ'] Sav. [c] ἠβουλ. N. et corr. O. [d] φθέγγεσθαι Veron. φθέγγομαι R. Eclog. XL. Sic a pr. m. O. [e] πληγὴν] ἀπειλὴν A. Veron. [f] πηγὰς O.R. Eclogg. [g] κλαύσωμεν] + θρηνήσωμεν R. στενάξωμεν om. A. [h] οὐ accessit ex O.R. Eclog. XL. [i] ἄξιον K. Mox ὀδύρασθαι olim O.

Digitized by Google

οὐ τὸ ὀδύρεσθαι ἀποτρόπαιον, ἀλλὰ τὸ τὰ ὀδυρμῶν ἄξια πράτ-
τειν. Μὴ κολασθῇς, καὶ οὐ πενθῶ· μὴ ἀποθάνῃς, καὶ οὐ κλαίω.
Ἀλλ' ἐὰν μὲν τὸ σῶμα [k] κεῖται νεκρὸν, πάντας παρακαλεῖς
συναλγεῖν, καὶ ἀσυμπαθεῖς ἡγῇ τοὺς μὴ πενθοῦντας· τῆς δὲ
D ψυχῆς ἀπολλυμένης, λέγεις μὴ πενθεῖν; Ἀλλ' οὐ δύναμαι
[l] πατὴρ εἶναι μὴ δακρύων· πατήρ εἰμι φιλόστοργος. [m] Ἀκούετε
οἷα βοᾷ ὁ Παῦλος· [20] "[n] Τεκνία μου, οὓς πάλιν ὠδίνω." [o] Ποία
μήτηρ κύουσα οὕτω [p] πικρὰς ἀφίησι φωνὰς, ὡς ἐκεῖνος; Εἴθε
ἐνῆν [q] αὐτὴν τῆς διανοίας τὴν πυρὰν ἰδεῖν, καὶ [r] εἶδες ἂν, ὅτι
πάσης γυναικὸς καὶ κόρης χηρείαν ἄωρον ὑποστάσης πλέον καί-
ομαι. [s] Οὐχ οὕτως ἐκείνη τὸν ἄνδρα πενθεῖ τὸν [t] ἑαυτῆς, οὐδὲ
[v] πατὴρ υἱὸν, ὡς ἐγὼ τὸ πλῆθος τοῦτο τὸ παρ' ἡμῖν. Οὐδεμίαν
ὁρῶ προκοπὴν, [w] πάντα εἰς διαβολὰς καὶ κατηγορίας· οὐδεὶς
218 ἔργον τίθεται ἀρέσκειν θεῷ· ἀλλὰ τὸν δεῖνα, φησὶν, εἴπωμεν
κακῶς, καὶ τὸν δεῖνα· ὁ δεῖνα ἀνάξιος τοῦ κλήρου, ὁ δεῖνα ἀσέ-
μνως βιοῖ. Ὀφείλοντες τὰ ἡμέτερα πενθεῖν κακὰ, κρίνομεν
ἑτέρους, οὐδὲ ὅτε καθαροί ἐσμεν ἁμαρτημάτων [x] ὀφείλοντες
τοῦτο ποιεῖν. [21] "Τίς γάρ σε διακρίνει; φησί· τί δὲ ἔχεις ὃ
οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;" Σὺ
δὲ τί κρίνεις τὸν ἀδελφόν σου, μυρίων αὐτὸς γέμων κακῶν;
Ὅταν εἴπῃς, ὁ δεῖνα πονηρός ἐστι καὶ λυμεὼν καὶ μοχθηρὸς,
ἐννόησον σαυτὸν, καὶ ἐξέτασον ἀκριβῶς τὰ σαυτοῦ, καὶ [y] μετα-
μελήσει σοι ἐπὶ τοῖς λεχθεῖσιν. Οὐ γάρ ἐστιν, οὐκ ἔστι πρὸς
B ἀρετὴν προτροπή τις τοιαύτη, οἷον ἁμαρτημάτων ἀνάμνησις.
Ἐὰν ταῦτα τὰ δύο στρέφωμεν παρ' ἑαυτοῖς, δυνησόμεθα τυχεῖν
τῶν ἐπηγγελμένων ἀγαθῶν, δυνησόμεθα καθαίρειν ἑαυτοὺς καὶ
ἀποσμήχειν. Μόνον λάβωμεν [z] ἔννοιάν ποτε, μεριμνήσωμεν τὸ
πρᾶγμα, ἀγαπητοί· ἀλγήσωμεν ἐνταῦθα τῷ λογισμῷ, ἵνα μὴ
ἀλγήσωμεν ἐκεῖ τῇ κολάσει, [a] ἀλλ' ἵνα ἀπολαύσωμεν τῶν αἰω-
νίων ἀγαθῶν, ἔνθα ἀπέδρα ὀδύνη [b] καὶ λύπη καὶ στεναγμός· ἵνα
τύχωμεν τῶν ὑπερβαινόντων τὸν ἀνθρώπινον [c] νοῦν ἀγαθῶν, ἐν

20 Gal. iv. 19. 21 1 Cor. iv. 7.

[k] κέηται N. Sav. cet. [l] πατὴρ εἶναι μὴ δ.] πατήρ εἰμι δακρύων R. πατήρ εἰμι καὶ (καὶ om. a pr. m. O.) δακρύω O. Eclog. XL. πατὴρ εἶναι μὴ δακρύων εἰμὶ, δακρύων N. [m] ἄκουε K. Mox Παῦλος sine artic. A.R. Veron. [n] τέκνα A. Veron. [o] οἷα a pr. m. O. Mox κυοῦσα K. [p] πικρὰς] δεινὰς N. Eclog. XLIV. [q] αὐτὴν (αὐτῆς O.) τῆς δ. τὴν π.] Sic omnes, τὴν π. αὐτὴν τῆς δ. Edd. [r] εἶδες ἂν] ᾔδεσαν A. ᾔδεσαν ἂν Q. [s] οὐχ] ἀλλ' Q. [t] αὐτῆς A.K.Q.R. et olim O. αὐτῆς Veron. [v] πατὴρ] μήτηρ N. Sav. cet. [w] πάντας K.O.Q.R. Eclog. XLIV. [x] ὀφείλομεν R. Eclogg. et a pr. m. O. [y] μεταμελήσει σοι] μεταμελήσῃ σοι A. μεταμελήσῃ σὺ N. et ex corr. O. μεταμεληθήσῃ R. Eclogg. [z] ἔννοιαν om. Veron. ἔννοιάν ποτε, μεριμνήσωμεν om. A. [a] ἀλλ' om. K.Q. [b] καὶ assumtum ex omnibus. [c] νοῦν] + αἰωνίων K.Q. Sav. cet.

Digitized by Google

Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(551) ## ΛΟΓΟΣ ΚΔ. C

[1] Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. Οἱ γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα [a] ἐπιζητοῦσι. Καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον, ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι· νῦν δὲ κρείττονος ὀρέγονται, τουτέστιν, ἐπουρανίου. Διὰ τοῦτο οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ θεὸς, θεὸς ἐπικαλεῖσθαι αὐτῶν· ἡτοίμασε γὰρ αὐτοῖς D
πόλιν.

Ἡ ΠΡΩΤΗ [b] ἀρετὴ, καὶ [c] ἡ πᾶσα ἀρετὴ, τὸ ξένον εἶναι τοῦ κόσμου [d] τούτου καὶ παρεπίδημον, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὰ ἐνταῦθα πράγματα, ἀλλὰ [e] ἀπηρτῆσθαι αὐτῶν ὥσπερ ξένων, καθάπερ οἱ [f] μακάριοι μαθηταὶ ἐκεῖνοι, περὶ ὧν φησι·
[2] "Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, 219
[g] θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος." Ἐκεῖνοι μὲν οὖν ξένους [h] ἔλεγον εἶναι ἑαυτούς· ὁ δὲ [i] Παῦλος πολλῷ τι πλέον εἶπεν· οὐ γὰρ ξένον [k] ἑαυτὸν εἶπεν, [l] ἀλλὰ νεκρὸν [m] τοῦ κόσμου, καὶ τὸν κόσμον αὐτῷ νεκρόν· [3] "Ἐμοὶ γὰρ, φησὶ, [n] κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ." Ἀλλ' ἡμεῖς [o] καὶ πολῖται, καὶ σφόδρα ζῶντες, [p] ὡς πολῖται, οὕτω πάντα ἐνταῦθα πραγματευόμεθα· καὶ [q] ὅπερ ἦσαν [r] οἱ δίκαιοι τῷ κόσμῳ, ξένοι καὶ νεκροὶ, τοῦτο ἡμεῖς ἐσμεν τῷ οὐρανῷ· ὅπερ δὲ ἦσαν ἐκεῖνοι τῷ οὐρανῷ, ζῶντες καὶ πολιτευόμενοι, τοῦτο ἡμεῖς ἐσμεν [s] τῷ κόσμῳ. Διὰ τοῦτο τεθνήκαμεν, ὅτι τὴν ὄντως ζωὴν ἠρνησά- B
μεθα, καὶ τὴν πρόσκαιρον ταύτην εἱλόμεθα· διὰ τοῦτο [t] παρω-

1 Cap. XI. v. 13—16. 2 Hebr. xi. 37, 38. 3 Gal. vi. 14.

Hom. XXIV. [a] ζητοῦσιν A. [b] ἀρετὴ om. N. [c] ἡ om. O.R. Mox ἀρετὴ om. K.Q. [d] τούτου om. K.Q. [e] ἀπηρνεῖσθαι R. Mox ξένον ex corr. N. *peregrinum* Mut. [f] μακάριοι om. A. μαθηταὶ om. K.O.Q.R. Mut. inclusum a Sav. [g] θλιβ. κακουχ.] + πλανώμενοι K.Q. + διωκόμενοι marg. O. κακουχ. θλιβ. διωκόμενοι N. [h] ἔλεγον εἶναι] εἶναι ἔλεγον A. εἶναι om. Veron. et in text. R. [i] Παῦλος] + καὶ K.Q. Sav. cet. [k] ἑαυτὸν] + ἁπλῶς iidem. [l] ἀλλὰ] + καὶ O.R. Post νεκρὸν add. εἶπε Edd. repugnantibus libris. [m] τῷ κόσμῳ N.O. Sav. cet. Post κόσμου add. ἑαυτὸν K.Q. [n] ὁ κόσμος N.O.R. Sav. cet. [o] καὶ] ὡς καὶ N.O. Sav. cet. [p] ὡς] καὶ ὡς K.Q. ὡς πολῖται om. N. eras. in O. [q] ὅπερ] + μὲν K.Q. [r] οἱ δ. τῷ κ.] Sic omnes. τῷ κ. οἱ δ. Edd. [s] τῷ] ἐν τῷ N. et ex corr. O. [t] παροξύνομεν K.Q. παρωξύνομεν Sav. cet. invitis libris.

Digitized by Google

ξύναμεν τὸν θεὸν, ὅτι προκειμένης ἡμῖν [v] τῆς ἐν οὐρανοῖς ἀπο-
λαύσεως, [w] οὐδὲ τῶν ἐπὶ [x] τῆς γῆς ἀποστῆναι βουλόμεθα, ἀλλὰ
καθάπερ τινὲς σκώληκες, ἀπὸ τῆς γῆς εἰς τὴν γῆν, καὶ πάλιν
ἀπὸ ταύτης εἰς ταύτην περιστρεφόμεθα· καὶ ὅλως οὐδὲ μικρὸν
ἀνακύψαι βουλόμεθα, οὐδὲ ἀποστῆσαι ἑαυτοὺς τῶν ἀνθρωπίνων
πραγμάτων, ἀλλ' ὥσπερ ὑπό τινος κάρου καὶ ὕπνου καὶ μέθης
καταβαπτισθέντες, καταπεπλήγμεθα φανταζόμενοι. Καὶ καθ-
C άπερ οἱ γλυκεῖ κατεχόμενοι ὕπνῳ, οὐ μόνον ἐν νυκτὶ, ἀλλὰ καὶ
αὐτοῦ τοῦ ὄρθρου καταλαβόντος, καὶ λαμπρᾶς [y] γενομένης
ἡμέρας κεῖνται ἐπὶ κλίνης, καὶ οὐκ αἰσχύνονται τῇ ἡδονῇ χα-
ριζόμενοι, καὶ τὸν καιρὸν τῆς ἐργασίας καὶ τῆς σπουδῆς, τοῦ-
τον καιρὸν ποιούμενοι [z] ὕπνου καὶ νωθείας· οὕτω δὴ καὶ ἡμεῖς,
τῆς ἡμέρας ἐγγιζούσης, τῆς νυκτὸς προκοπτούσης, μᾶλλον
δὲ τῆς ἡμέρας· [4] "[a] Ἐργάζεσθε γὰρ, φησὶν, ἕως ἐστὶν
ἡμέρα·" ἡμέρας οὔσης, τὰ τῆς νυκτὸς πράττομεν [b] ἅπαντα,
καθεύδοντες, ὀνείρατα βλέποντες, φαντασίαις ἐντρυφῶντες· καὶ
μεμύκασιν [c] ἡμῖν οἱ τῆς διανοίας ὀφθαλμοὶ καὶ οἱ τοῦ σώματος,
D παραφθεγγόμεθα, [d] παραλαλοῦμεν· κἂν βαθεῖαν ἡμᾶς πλήξῃ
τις πληγὴν, [e] οὐδὲ αἰσθανόμεθα, κἂν πᾶσαν ἡμῶν διαρπάσῃ τὴν
οὐσίαν, κἂν αὐτὴν ἐμπρήσῃ τὴν οἰκίαν· μᾶλλον δὲ οὐδὲ ἀνα-
μένομεν ἑτέρους τοῦτο ποιεῖν, ἀλλ' αὐτοὶ τοῦτο πράττομεν,
[f] κεντοῦντες ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν [g] καὶ πλήττοντες,
ἀσχημόνως κείμενοι, καὶ γεγυμνωμένοι πάσης εὐδοξίας, πάσης
τιμῆς, καὶ τὰ αἰσχρὰ ἡμῶν ἔργα οὔτε [h] αὐτοὶ συγκαλύπτοντες,
οὔτε ἑτέροις ἐπιτρέποντες τοῦτο ποιεῖν, [i] ἀλλ' εἰς μέσην ἀσχη-
μοσύνην τοῖς ὁρῶσι καὶ παριοῦσι προκείμενοι εἰς γέλωτα, εἰς
σκώμματα μυρία. Οὐκ οἴεσθε καὶ αὐτοὺς [k] τοὺς πονηροὺς κατα-
γελᾶν τῶν ὁμοτρόπων, καὶ καταγινώσκειν αὐτῶν; Ἐπειδὴ γὰρ
ἡμῖν ἐντέθεικεν ὁ θεὸς δικαστήριον ἀδέκαστον, οὐδέποτε δια-
φθειρόμενον, κἂν εἰς αὐτὸν τῆς κακίας [l] ἔλθωμεν τὸν πυθμένα·
τούτου χάριν καὶ αὐτοὶ οἱ πονηροὶ καταδικάζουσιν ἑαυτοὺς, κἂν
αὐτοὺς καλέσῃ τις τοῦτο ὅπερ εἰσὶν, αἰσχύνονται, ὀργίζονται,
ὕβριν τὸ πρᾶγμά φασιν. Οὕτως εἰ καὶ μὴ [m] δι' ἔργων, ἀλλὰ (552)

[4] Joan. ix. 4.

[v] τῆς om. K. Statim ἐν τοῖς οὐρ. K.N. Sav. cet. [w] οὐδὲ] + οὕτω N. et ex corr. O. receptum a Sav. cet. οὐδὲ om. K.Q. Mox οὐ βουλόμεθα iidem. [x] τῆς om. K.Q.R. et olim O. [y] γινομένης A. [z] νωθείας καὶ ὕπνου hoc ord. K.Q. [a] ἐργάζεσθαι A. Statim γὰρ om. A. Veron. Mox ὡς pro ἕως iidem. [b] ἅπαντες K.Q. [c] ἡμῶν K.Q.R. et a pr. m. O. [d] παρακαλοῦμεν A. [e] οὐδὲ αἰσθ. post οἰκίαν transp. K.Q. [f] κενοῦντες K.Q. [g] καὶ om. K. [h] αὐτοῖς Q. Statim συγκαλύπτομεν K.O.Q.R. Mox ἐπιτρέπομεν K.Q. [i] ἀλλ'] εἰπὲ οὖν μοι K.Q. Mox παροῦσι N. [k] τοὺς om. R. [l] εἰσέλθωμεν A. Veron. Sic ex corr. O. [m] δι' om. A.

Digitized by Google

διὰ λόγων καταδικάζουσιν ἅπερ πράττουσι, διὰ τοῦ συνειδότος,
μᾶλλον δὲ καὶ διὰ τῶν ἔργων. Ὅταν γὰρ λανθάνοντες καὶ
κρυπτόμενοι πράττωσι, μέγιστον ἐκφέρουσι δεῖγμα γνώμης, ἣν B
περὶ τοῦ πράγματος ἔχουσιν. Οὕτω γὰρ δήλη ἐστὶν ἡ κακία,
ὡς πάντας αὐτῆς εἶναι κατηγόρους, καὶ τοὺς μετιόντας αὐτήν·
[n]τοιοῦτον δέ ἐστιν ἡ ἀρετὴ, ὡς καὶ παρ' ἐκείνων θαυμάζεσθαι
τῶν μὴ ζηλούντων αὐτήν. Καὶ γὰρ [o]καὶ ὁ πόρνος ἐπαινέσεται
τὴν σωφροσύνην, [p]καὶ ὁ πλεονέκτης καταγνώσεται τῆς ἀδικίας,
[q]καὶ ὁ ὀργίλος τὴν ἀνεξικακίαν θαυμάσεται, καὶ τὴν μικροψυ-
χίαν μέμψεται, καὶ τὴν ἀσέλγειαν ὁ ἀσελγής. Πῶς οὖν αὐτὰ
μέτεισι, φησίν; Ἀπὸ ῥαθυμίας πολλῆς, οὐ κρίνας εἶναι καλόν· C
ἐπεὶ οὐδ' ἂν ᾐσχύνθη τῷ πράγματι, οὐδ' ἂν ἠρνήσατο κατηγο-
ροῦντος ἑτέρου. Πολλοὶ δὲ καὶ [r]προληφθέντες, τὴν αἰσχύνην
οὐ φέροντες, καὶ ἀπήγξαντο. Τοσαύτη τοῦ καλοῦ καὶ πρέ-
ποντος ἔνεστιν ἡμῖν ἡ μαρτυρία· οὕτως ἡλίου λαμπρότερα τὰ
καλὰ, [s]καὶ πάντων δυσειδέστερα τὰ ἐναντία.

Ξένοι καὶ παρεπίδημοι ἦσαν οἱ ἅγιοι· πῶς καὶ τίνι τρόπῳ;
ποῦ δὲ [t]ὁμολογεῖ ὁ Ἀβραὰμ ξένος εἶναι καὶ παρεπίδημος;
Ἴσως [v]μὲν καὶ αὐτὸς ὡμολόγησεν· [w]ὡμολόγησε δὲ καὶ ὁ Δαυῒδ
ὅτι ξένος εἰμί· καὶ τί; [5] "Καθὼς πάντες οἱ πατέρες μου." Οἱ D
γὰρ ἐν σκηναῖς κατοικοῦντες, οἱ ἀργυρίου [x]καὶ τάφους ὠνούμε-
νοι, δῆλον ὅτι ξένοι [y]τινὲς ἦσαν, ὥστε μηδὲ ὅπου θάψωσι τοὺς
[z]νεκροὺς αὐτῶν ἔχοντες. Τί οὖν; ἆρα τῆς γῆς [a]ἐκείνης ἔλεγον
εἶναι ξένοι τῆς ἐν Παλαιστίνῃ; Οὐδαμῶς, [b]ἀλλὰ τῆς οἰκουμένης
πάσης, [c]εἰκότως· οὐδὲν γὰρ ἐθεώρουν [d]ἐν αὐτῇ τούτων ὧν ἐβού-
λοντο, ἀλλὰ πάντα ξένα καὶ ἀλλότρια. Αὐτοὶ μὲν οὖν τὴν
ἀρετὴν ἀσκεῖν [e]ἐβούλοντο· ἐνταῦθα [f]δὲ ἦν κακία πολλὴ, καὶ
ἀπεξένωτο πρὸς αὐτοὺς τὰ πράγματα· οὐδένα φίλον, οὐδένα
οἰκεῖον εἶχον, πλὴν ὀλίγων τινῶν. Πῶς [g]δὲ ξένοι ἦσαν; Οὐκ 221
[h]ἐπεμελοῦντο τῶν ἐνταῦθα· καὶ τοῦτο οὐ διὰ ῥημάτων, ἀλλὰ

[5] Psal. xxxviii. 13.

[n] τοσοῦτον A. [o] καὶ om. A.R. Veron. [p] καὶ om. K.Q. [q] καὶ om. A.K.Q. [r] προλειφθέντες R. Veron. [s] καὶ—ἐναντία om. K.Q. [t] ὡμολόγει N. et ex corr. O. ὡμολόγησεν K.Q. Statim ὁ om. K.Q. Mox καὶ παρεπίδ. εἶναι hoc ord. K.N.Q. [v] μὲν] δὲ O.R. [w] ὡμολόγησε δὲ (δὲ om. A.) —καὶ τί;] ὁ δὲ Δ. ὅτι ὡμολόγησε, παντί που δῆλον· καὶ ἄκουε αὐτοῦ λέγοντος, ὅτι ξένος (+ [εἰμὶ] Sav. Mor. + εἰμὶ Ben.) καὶ παρεπίδημος K.Q. Sav. cet. [x] καὶ eras. in Q. [y] τινὲς] + οὕτως K.Q. Sav. cet. Mox θάψουσι ex corr. N. θάψαι K.Q. [z] νεκροὺς om. A. Veron. Mut. Statim ἑαυτῶν N. Sav. cet. ἔχειν pro ἔχοντες K.Q. Sav. cet. [a] ἐκείνης] + μόνον A.K.Q. Sav. cet. [b] ἀλλὰ] + καὶ N. et ex corr. O. Mox ἁπάσης R. [c] καὶ εἰκότως K. Sav. cet. [d] ἐν αὐτῇ τ.] τ. ἐν αὐτῇ K.O.Q.R. τούτων om. N. Mox ξ. πάντα pro πάντα ξ. K.Q. [e] ἐβουλ. pro ἠβουλ. A.K.N.O. [f] δὲ] + ἔνθα K.Q. Sav. cet. [g] δὲ om. R. [h] ἐπεμέλοντο N. et corr. O. ἐπιμελούμενοι K.Q. Sav. cet.

[i]καὶ διὰ πραγμάτων αὐτῶν ἐδείκνυον. [k]Τίνι τρόπῳ; Εἶπε τῷ Ἀβραὰμ, ἄφες τὴν πατρίδα τὴν δοκοῦσαν, καὶ ἐλθὲ ἐπὶ τὴν ἀλλοτρίαν· καὶ οὐκ ἀντέσχετο τῶν οἰκείων, ἀλλ' ὡς ξένην μέλλων ἀφιέναι, οὕτως [l]ἀπροσπαθῶς αὐτὴν εἴασεν. Εἶπεν αὐτῷ, ἀνένεγκε τὸν υἱόν [m]σου· καὶ ὡς οὐκ ἔχων υἱὸν, [n]οὕτως αὐτὸν ἀνήνεγκεν, ὡς οὐκ ἐνδεδυμένος τὴν φύσιν, οὕτως αὐτὸν ἀνήνεγκε.
B Τὰ χρήματα κοινὰ ἐκέκτητο τοῖς παριοῦσιν ἅπασι, καὶ οὐδὲν [o]τὸ πρᾶγμα ἡγεῖτο· τῶν πρωτείων ἑτέροις παρεχώρει, εἰς κινδύνους ἑαυτὸν ἐνέβαλλε, μυρία ἔπασχε δεινά· οὐκ οἰκίας ᾠκοδόμει λαμπρὰς, οὐδὲ ἐτρύφα, [p]οὐχ ἱματίων ἐπεμελεῖτο, [q]ἃ πάντα ἐστὶ τῶν ἐνταῦθα· ἀλλὰ [r]πάντα τὰ τῆς ἐκεῖ πόλεως ἐπολιτεύετο, φιλοξενίαν ἐπεδείκνυτο, φιλαδελφίαν, ἐλεημοσύνην, ἀνεξικακίαν, ὑπεροψίαν χρημάτων καὶ τῆς παρούσης δόξης καὶ τῶν ἄλλων ἁπάντων. Καὶ ὁ [s]τούτου παῖς τοιοῦτος ἦν· ἐλαυνόμενος, πολεμούμενος εἶκε καὶ παρεχώρει, ἅτε ἐν ξένῃ ὤν· οἱ γὰρ ξένοι, ὅσα
C ἂν πάθωσι, φέρουσιν, ἅτε οὐκ ὄντες ἐν πατρίδι. Καὶ τῆς γυναικὸς [t]ἀφαιρουμένης, καὶ τοῦτο ἔφερεν, [v]ἅτε ὡς ἐν ξένῃ· [w]τὰ δὲ ἄνω πάντα ἐπολιτεύετο, σωφροσύνην, κοσμιότητα [x]ἐπιδεικνύμενος. Καὶ γὰρ μετὰ τὸ παιδοποιῆσαι, οὐκέτι ὡμίλησε τῇ γυναικί· καὶ [y]παρελθούσης τῆς ἀκμῆς τῆς νεότητος, τότε αὐτὴν ἠγάγετο, δεικνὺς ὅτι οὐ πάθους ἕνεκεν τοῦτο [z]ἐποίει, ἀλλὰ ὑπηρετούμενος τῇ ἐπαγγελίᾳ τοῦ θεοῦ. Τί δὲ ὁ Ἰακώβ; οὐχὶ ἄρτον ἐζήτει μόνον καὶ ἱμάτιον, ἃ ξένων ἐστὶν ὄντως αἰτήματα
D [a]τῶν εἰς πενίαν ἐλθόντων πολλήν; οὐχὶ ἐλαυνόμενος ἀνεχώρει, καθάπερ ξένος; οὐχὶ ἐθήτευεν; οὐχὶ μυρία ἔπασχε [b]δεινὰ πανταχοῦ, καθάπερ ξένος; Ταῦτα δὲ, [c]φησὶν, ἔλεγον, τὴν πατρίδα ζητοῦντες τὴν ἑαυτῶν. Βαβαὶ, πόση διαφορά· ἐκεῖνοι μὲν ὤδινον καθ' ἑκάστην ἡμέραν, ἀπαλλαγῆναι βουλόμενοι [d]ἐντεῦθεν, καὶ πρὸς τὴν αὐτῶν πατρίδα ἐπανελθεῖν· ἡμεῖς δὲ τοὐναντίον, [e]ἂν πυρετὸς ἐπιπέσῃ, πάντα ἀφέντες, καθάπερ τὰ παιδία τὰ

[i] καὶ om. N. [k] τίνι] πῶς καὶ τίνι K.Q. Sav. cet. [l] ἀπροσπάσαν (sic) A. εὐπροσπαθῶς R. Veron. [m] σου] φησὶ A. Veron. σου, φησὶ R. σου om. K.Q. [n] οὕτως αὐτὸν ἀν. om. K.Q. inclusum a Sav. Sequentia ὡς οὐκ— ἀνήνεγκε (ἀνήγαγε A. et ex corr. O.) om. N. [o] τὸ om. Q. [p] οὐχ] οὐδὲ A.R. Veron. [q] ἃ (ἅπερ N. et corr. O.) π. ἐστι τῶν ἐντ.] οὐκ ἄλλου οὐδενὸς, ἃ τῶν ἐντ. ἐστιν (εἰσιν Q.) K.Q. Sav. cet. [r] πάντα] κατὰ πάντα K.Q. Statim τὰ om. Q.R. [s] τούτου] + δὲ K.Q. Sav. cet. Mox ὢν pro ἦν K.Q. [t] ἀφαιρεθείσης super rasuram O. ἀφειρεθείσης N. [v] ἅτε ὡς ἐν ξ.] Sic N.O.R. ἅτε ὡς ξένη A. ἅτε ἐν ξ. διατρίβων K.Q. ἅτε ξένος Edd. [w] τὰ δὲ ἄ.] κατὰ δὲ τὰ ἄ. Q. [x] ἐπιδ.] + πᾶσαν K.N.Q. Sav. cet. [y] παρελθούσης] + δὲ K.Q. Sav. cet. [z] ποιεῖ K.N.Q. [a] τῶν om. N. [b] δεινὰ] + περιϊὼν K.Q. Sav. cet. Statim πανταχοῦ om. N. [c] φ. ἔλεγον (ἔλεγχον Veron.)— ἑαυτῶν] πάσχοντες ἔφερον, δεικνύντες ὅτι πατρίδα ἐπιζητοῦσιν ἑτέραν K.Q. Sav. cet. [d] ἐντ.] τῶν ἐντ. R. [e] ἂν] + γὰρ K.Q. Sav. cet. Mox ἐμπέσῃ Sav. cet. repugnantibus libris.

Digitized by Google

μικρὰ τὰ κλαυθμυριζόμενα, τὸν θάνατον δεδοίκαμεν· καὶ εἰκότως 222
τοῦτο πάσχομεν. Ἐπειδὴ γὰρ οὐχ ὡς ξένοι διάγομεν ἐνταῦθα,
[f]καὶ οὐχ ὡς ἐπὶ πατρίδα σπεύδομεν, ἀλλ' ὡς ἐπὶ κόλασιν ἀπ-
(553) ιόντες ἐσμὲν, διὰ τοῦτο ἀλγοῦμεν, ὅτι τοῖς πράγμασιν οὐκ
ἐχρησάμεθα εἰς δέον, ἀλλὰ τὴν τάξιν ἀντεστρέψαμεν· διὰ τοῦτο
ὀδυρόμεθα, ὅτε χαίρειν ἐχρῆν, διὰ τοῦτο φρίττομεν, καθάπερ
τινὲς ἀνδροφόνοι καὶ λῄσταρχοι, μέλλοντες δικαστηρίῳ [g]παρ-
ίστασθαι, καὶ πάντα λογιζόμενοι ἅπερ ἔπραξαν, [h]καὶ διὰ τοῦτο
δεδοικότες καὶ τρέμοντες. Ἀλλ' [i]οὐκ ἐκεῖνοι τοιοῦτοι, ἀλλ'
ἠπείγοντο· ὁ δὲ Παῦλος καὶ ἐστέναζε· [6]"[k]Καὶ αὐτοὶ, φησὶν, B
οἱ ἐν τῷ σκήνει ὄντες, στενάζομεν βαρούμενοι." Τοιοῦτοι ἦσαν
οἱ περὶ τὸν Ἀβραάμ· ξένοι, [l]φησὶν, ἦσαν τῆς οἰκουμένης ἁπά-
σης, καὶ πατρίδα ἐζήτουν. Ποίαν δὴ ταύτην; ἆρα ἣν εἴασαν;
Οὐδαμῶς· τί γὰρ ἐκώλυεν αὐτοὺς, εἴγε ἐβούλοντο, ὑποστρέψαι
πάλιν, καὶ γενέσθαι πολῖται; ἀλλ' ἐκείνην ἐζήτουν τὴν ἐν τοῖς
οὐρανοῖς. Οὕτω πρὸς τὴν ἀποδημίαν τὴν [m]ἐνθένδε ἔσπευδον,
καὶ οὕτως ἤρεσκον θεῷ, [n]ὅτι οὐκ ἐπῃσχύνετο ὁ θεὸς [o]θεὸς κα-
λεῖσθαι αὐτῶν. Βαβαὶ, [p]ὅσον ἀξίωμα· θεὸς αὐτῶν καλεῖσθαι
κατεδέξατο. Τί λέγεις; [q]θεὸς τῆς γῆς καλεῖται, καὶ θεὸς τοῦ
οὐρανοῦ, καὶ ὡς μέγα τι τέθεικας τὸ, "Οὐκ [r]ἐπαισχύνεται θεὸς C
καλεῖσθαι αὐτῶν;" Μέγα, [s]καὶ ὄντως μέγα, καὶ πολλῆς μακα-
ριότητος τοῦτο τεκμήριον. Πῶς; Ὅτι γῆς μὲν καὶ οὐρανοῦ
οὕτω καλεῖται θεὸς, ὡς καὶ [t]Ἑλλήνων, [v]ἣ ἔκτισε καὶ ἐδημιούρ-
γησεν αὐτά· τῶν δὲ ἁγίων ἐκείνων οὐχ οὕτως, ἀλλ' ὡς φίλος τις
γνήσιος. [w]Ἐπὶ δὲ ὑποδείγματος ὑμῖν αὐτὸ ποιήσω φανερόν.
[x]Οἷον ἐπὶ τῶν ἐν ταῖς μεγάλαις οἰκίαις, ὅταν τινὲς εὐδοκιμῶσι
τῶν προεστηκότων τῆς οἰκίας, καὶ σφόδρα εὐδοκιμῶσι, καὶ
πάντα αὐτοὶ διέπωσι, καὶ [y]πολλὴν πρὸς τοὺς δεσπότας [z]τὴν
παρρησίαν ἔχωσιν, ἀπ' αὐτῶν ὁ δεσπότης καλεῖται· καὶ πολ-

[6] 2 Cor. v. 4.

[f] καὶ οὐχ] οὐδὲ K.Q. Sav. cet. [g] παρεστάναι K.Q. [h] καὶ om. A. Veron. [i] οὐκ ἐκεῖνοι] ἐκεῖνοι οὐ A.K.Q. [k] καὶ αὐτοὶ, φ.] καὶ ἄκουε αὐτοῦ λέγοντος, καὶ αὐτοὶ K.Q. Sav. cet. Statim οἱ om. N. eras. in O. [l] [φησὶν] Sav. φησὶν om. K.Q. [m] ἐντεῦθεν R. Mox καὶ om. K. [n] ὅτι] διὸ K.Q. Sav. cet. Statim ἐπαισχύνεται K.N.Q. et olim O. receptum a Sav. cet. Post h. v. add. αὐτοὺς K.N.Q. Sav. cet. [o] θεὸς om. R. Veron. Statim ἐπικαλεῖσθαι K.N.Q. et ex corr. O. [p] πόσον N. Mox αὐτῶν καλεῖσθαι pro καλεῖσθαι αὐτῶν K.N.O.Q.R. [q] θεὸς] ὁ θεὸς R. [r] ἐπαισχύνεται] Sic A.O.Q.R. Cat. Mut. ἐπαισχύνεσθαι Edd. Statim ὁ θεὸς A. Mox ἐπικαλεῖσθαι N. et ex corr. O. [s] καὶ om. K.Q. [t] Ἑλλήνων] + καὶ οὐρανοῦ μὲν καὶ γῆς K.Q. Sav. cet. [v] ἣ] ἧς R. [w] ἐπὶ δὲ ὑ.] οἷον δέ ἐστιν ὃ λέγω, ἐπὶ ὑ. K.Q. Mox αὐτὸ om. N. inclusum a Sav. [x] οἷον om. K.Q. [y] πολλὴν πρὸς τοὺς δ.] Sic K.N.O.Q.R. πρὸς τοὺς δ. πολλὴν Edd. [z] τὴν om. N. Statim παρουσίαν K.

Digitized by Google

D λοὺς ἄν τις εὕροι οὕτω καλουμένους. Τί δὲ λέγω; ὥσπερ ἦν εἰπεῖν, ὁ θεὸς, οὐχ ὁ τῶν ἐθνῶν, [a]ἀλλ' ὁ τῆς οἰκουμένης· οὕτως ἦν εἰπεῖν ὁ θεὸς Ἀβραάμ. Ἀλλ' οὐκ [b]ἴστε ὅσον ἐστὶν ἀξίωμα τοῦτο, [c]ἐπειδὴ μηδὲ τυγχάνομεν αὐτοῦ. Ὥσπερ γὰρ νῦν [d]ὁ κύριος τῶν Χριστιανῶν ἁπάντων λέγεται, καὶ ὅμως ὑπερβαίνει τὸ ὄνομα τὴν ἡμετέραν ἀξίαν· εἰ δὲ ἑνὸς [e]κληθείη θεὸς, ἐννόη-
223 σον [f]ὅσον τὸ μέγεθος. Ὁ τῆς οἰκουμένης [g]καλούμενος θεὸς οὐκ ἐπαισχύνεται [h]τριῶν καλεῖσθαι θεὸς, εἰκότως· οὐ γὰρ τῆς οἰκουμένης, ἀλλὰ μυρίων τοιούτων εἰσὶν ἀντίρροποι οἱ ἅγιοι. [7]"Κρείττων γὰρ εἷς ποιῶν [i]τὸ θέλημα κυρίου, ἢ μυρίοι παράνομοι." Ὅτι δὲ οὕτως [k]ἑαυτοὺς ξένους ἐκάλουν, δῆλον. Ἔστω δὲ, οὗτοι διὰ τὴν ξένην ἔλεγον εἶναι ξένοι· τί [l]δὲ καὶ ὁ Δαυΐδ; οὐχὶ βασιλεὺς ἦν; οὐχὶ προφήτης; οὐχὶ ἐν τῇ [m]οἰκείᾳ πατρίδι διέτριβε; τίνος οὖν ἕνεκέν [n]φησι, "Ξένος καὶ παρεπίδημός εἰμι;" Πῶς εἶ ξένος; "[o]Καθὼς οἱ πατέρες μου." Ὁρᾷς ὅτι κἀκεῖνοι ξένοι ἦσαν; Ἔχομεν πατρίδα, φησὶν, [p]ἀλλ' οὐ
B τὴν ὄντως πατρίδα. Πῶς δὲ σὺ [q]ξένος; Τῆς γῆς. Οὐκοῦν κἀκεῖνοι τῆς γῆς· [r]καθὼς ἐκεῖνοι γὰρ, φησὶν, οὕτω [s]κἀγὼ, καὶ καθὼς οὗτος, οὕτω κἀκεῖνοι.

[t]Γενώμεθα [v]ξένοι κἂν νῦν, ἵνα μὴ ἐπαισχυνθῇ ἡμᾶς ὁ θεὸς, θεὸς [w]καλεῖσθαι ἡμῶν. Αἰσχύνη γὰρ αὐτῷ, ὅταν ἀνδρῶν πονηρῶν καλῆται θεὸς, καὶ ἐπαισχύνεται αὐτοὺς καὶ αὐτός· ὥσπερ οὖν δοξάζεται, ὅταν ἀγαθῶν ᾖ καὶ χρηστῶν καὶ ἀσκούντων ἀρετήν. [x]Εἰ γὰρ ἡμεῖς παραιτούμεθα καλεῖσθαι [y]δεσπόται

7 Sirac. xvi. 3.

[a] ἀλλ' ὁ] ἀλλὰ R. [b] ἴσμεν K.N.Q.R. et ex corr. O. invito Mut. Mox ἐστὶ τὸ ἀξ. A.K.Q. Sav. cet. [c] ἐπειδὴ] Sic A.K.N.O.R. ἐπεὶ Edd. [d] ὁ κύριος om. K.Q. Post λέγεται add. θεὸς K.Q. Sav. cet. [e] κληθείη—μέγεθος] κληθείη, πολλῷ μᾶλλον· οὕτω καὶ τούτων ἀκούει θεὸς, καὶ οὐκ αἰσχύνεται. ἐννόησον (ἐννόη Q.) τοίνυν ὅσον τὸ μέσον ἡμῶν κἀκείνων ἐστὶν, ὅσον τὸ μέγεθος K.Q. [f] ὅσον] ὅσον ἐστὶ R. Cat. et olim O. ὅσον τὸ μέσον ἐστὶν, ὅσον N. et ex corr. O. [g] καλούμενος accessit ex A.K.N.O.Q. Cat. Mut. [h] τῶν τριῶν K.Q. [i] τὸ om. A.Q.R. Mox τοῦ θεοῦ pro κυρίου N. [k] αὐτοὺς R. [l] δὲ pro δαὶ A.K.N.O.Q. τί δὲ καὶ ὁ Δ.] οὗτος δὲ R. [m] οἰκίᾳ Veron. οἰκείᾳ om. O.R. [n] φησι] ἔλεγε περὶ ἑαυτοῦ K.Q. Mox ἐγὼ pro εἰμι iidem. [o] καθὼς] + φησὶ, πάντες Sav. cet. φησὶ om. A.N.O.R. Veron. πάντες om. N.R. et in text. O. *sicut patres, inquit, mei* Mut. [p] ἀλλ 'οὐ] ἀλλὰ Veron. et ex corr. A. favente Mut. [q] ξένος—κἀκεῖνοι τῆς γῆς] ξένος τῆς γῆς; ὥσπερ ἐκεῖνοι K.Q. [r] καθὼς ἐκ. γὰρ, φ.] Sic A.N.O.R. καθὼς γὰρ, φ. ἐκ. Veron. καθὼς γὰρ ἐκ. K.Q. Sav. cet. [s] κἀγὼ] καὶ οὗτος K.Q. Sav. cet. [t] ΗΘΙΚΟΝ. Περὶ τοῦ ξένους εἶναι ἡμᾶς τῶν παρόντων, καὶ (+ δεῖ Veron.) πάντα πράττειν πρὸς τὴν τῶν δεομένων προστασίαν, ὡς ταύτης ἄνευ οὐδὲν ἄλλο τῆς κολάσεως ἐξαιρήσεται. Veron. [v] ξένοι κἂν νῦν] τοίνυν ξένοι κἂν νῦν καὶ ἡμεῖς iidem. [w] ἐπικαλεῖσθαι K.N.Q. Sav. cet. Sic ex corr. O. [x] εἰ γὰρ] καὶ γὰρ A. οὕτω καὶ K.Q. [y] δεσπόται om. A. Veron. δεσπόται post δούλων a 2da m. superscript. in A.

Digitized by Google

πονηρῶν ἡμῶν δούλων, καὶ ἀφίεμεν αὐτούς· κἂν [z]εἴπῃ τις
προσελθὼν, ὁ δεῖνα μυρία ἐργάζεται κακὰ, [a]ἆρα σὸς δοῦλός
ἐστιν; εὐθέως φαμὲν, [b]ὅτι οὐδαμῶς, ἀποτριβόμενοι τὸ ὄνειδος· C
σχέσις γάρ ἐστι [c]τῷ δούλῳ πρὸς τὸν δεσπότην, καὶ διαβαίνει
ἡ [d]ἀδοξία καὶ εἰς τοῦτον [e]ἀπ' ἐκείνου. Ἀλλ' ἐκεῖνοι οὕτως ἦσαν
λαμπροὶ, οὕτω παρρησίας μεστοὶ, ὡς μὴ μόνον αὐτὸν μὴ ἐπαι-
σχύνεσθαι παρ' ἐκείνων καλούμενον, ἀλλὰ [f]καὶ ἑαυτὸν λέγειν,
ὅτι [8]"Ἐγὼ ὁ θεὸς Ἀβραὰμ, [g]καὶ ὁ θεὸς Ἰσαὰκ, καὶ ὁ θεὸς
Ἰακώβ." Γενώμεθα καὶ ἡμεῖς, [h]ἀγαπητοὶ, [i]ξένοι, ἵνα μὴ ἐπαι-
σχυνθῇ [k]ἡμᾶς ὁ θεὸς, ἵνα μὴ ἐπαισχυνθῇ, καὶ τῇ γεέννῃ παραδῷ.
Τοιοῦτοι ἦσαν ἐκεῖνοι οἱ λέγοντες, [9]"Κύριε, οὐ τῷ σῷ ὀνόματι
προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσα-
μεν;" Ἀλλ' [l]ὁρᾶτε τί φθέγγεται πρὸς αὐτοὺς ὁ Χριστός· D
"Οὐκ οἶδα ὑμᾶς·" [m]ὅπερ ἂν ποιήσειαν δεσπόται [n]οἰκετῶν πο-
νηρῶν προστρεχόντων αὐτοῖς, βουλόμενοι τὸ ὄνειδος ἀποτρί-
(554) ψασθαι. "Οὐκ οἶδα ὑμᾶς," φησί. Πῶς οὖν κολάζεις, οὓς οὐκ
οἶδας; [o]Οὐκ οἶδα, ἑτέρως εἶπον· τουτέστι, ἀρνοῦμαι ὑμᾶς καὶ
παραιτοῦμαι. Ἀλλὰ μὴ γένοιτο ταύτην ἡμᾶς ἀκοῦσαι τὴν
φωνὴν τὴν [p]ὀλεθρίαν καὶ φρικώδη. Εἰ γὰρ οἱ δαίμονας [q]ἐκ- 224
βάλλοντες, καὶ προφητείας ἐργαζόμενοι, ἐπειδὴ βίον οὐκ [r]ἔσχον
συμβαίνοντα, ἠρνήθησαν· πόσῳ μᾶλλον ἡμεῖς; Καὶ πῶς, φη-
σὶν, ἔνι προφητείας ἐπιδειξαμένους, καὶ σημεῖα πεποιηκότας,
καὶ [s]δαίμονας ἐκβαλόντας, ἀρνηθῆναι; Εἰκὸς [t]αὐτοὺς ὕστερον
μεταβεβλῆσθαι, καὶ [v]γεγενῆσθαι πονηρούς· ὅθεν οὐδὲν ἀπώ-
ναντο οὐδὲ τῆς προτέρας ἀρετῆς. [w]Οὐ γὰρ τὰ προοίμια δεῖ
μόνον ἔχειν λαμπρὰ, ἀλλὰ καὶ τὸ τέλος λαμπρότερον. Εἰπὲ
γάρ μοι, ὁ ῥήτωρ οὐχὶ τὰ ἐν τῷ τέλει τοῦ λόγου σπουδάζει
[x]ποιεῖν λαμπρὰ, ὥστε μετὰ κρότων ἀναχωρεῖν; [y]ὁ λειτουργὸς B

8 Exod. iii. 6. 9 Matth. vii. 22.

[z] εἴποι K.N.O.Q. [a] ἆρα] ὅρα K.Q.R. et ex corr. O. ὅρα ὁ N. et a pr. m. O. *num* Mut. [b] ὅτι om. K. inclusum a Sav. [c] τοῦ δούλου R. [d] δόξα N.Q. et ex corr. O. [e] ἀπ' (ἐπ' A.) ἐκείνου] + πολλῷ μᾶλλον ὁ θεὸς Sav. cet. invitis omnibus. [f] καὶ om. A. [g] καὶ om. O. [h] ἀγαπητοὶ om. R. et olim O. [i] ξένοι] + γενώμεθα ξένοι A. Pro ξένοι habet *efficiamur peregrini* Mut. [k] ἡμᾶς—ἐπαισχυνθῇ om. R. ἵνα μὴ ἐπ. in 2do loco om. Mut. [l] ὅρα A.R. Veron. [m] ἅπερ N.R. et corr. O. Mox ποιήσοιεν N. et a 2da m. O. ποιήσωνται R. [n] πονηρῶν οἰκετῶν inverso ord. K.N.Q. [o] οὐκ—εἶπον] ἑτέρως εἶπον, οὐκ οἶδα K.Q. [p] ὀλεθρίαν] φοβερὰν K.Q. [q] ἐκβαλόντες K.Q. Sav. cet. Sic ex corr. O. Mox ἐργασάμενοι A.K.Q. Sav. cet. [r] εἶχον O.R. Post συμβαίνοντα add. τοῖς λόγοις K.Q. Sav. cet. [s] δαίμονας] Sic K.N.O.Q.R. δαιμόνια Edd. Statim ἐκβάλλοντας A. [t] αὐτοὺς] + ἴσως K.Q.R. [v] γενέσθαι A. Veron. et ex corr. O. [w] οὐ] οὐδὲ O.R. [x] ποιῆσαι A. Veron. [y] ὁ λειτουργὸς] Sic A.N.O.R. *perfunctor* Mut. ὁ δὲ λειτουργῶν πόλει K.Q. Sav. cet. ὁ λειτουργὸς om. Veron. Statim οὐχὶ τὰ K.Q. Sav. cet.

Digitized by Google

οὐ τὰ ἐπ' ἐξόδῳ τῆς λειτουργίας [z]λαμπρότερα ἐπιδείκνυται;
ὁ ἀθλητὴς ἐὰν μὴ ἐκεῖνα [a]δεικνύῃ λαμπρότερα, καὶ μέχρι τέλους
νικήσῃ, [b]κἂν πάντας νικήσας νικηθῇ ὑπὸ τοῦ τελευταίου, οὐχὶ
πάντα αὐτῷ ἀνόνητα; ὁ κυβερνήτης [c]ἂν ἅπαν τὸ πέλαγος
[d]διαλάβῃ, πρὸς τῷ λιμένι καταρράξας τὸ σκάφος, οὐχὶ πάντα
ἀπώλεσε τὸν ἔμπροσθεν πόνον; Τί δὲ ὁ ἰατρός; [e]οὐχὶ ἐὰν
ἀπαλλάξας τῆς νόσου τὸν κάμνοντα, [f]ἐὰν, ὅταν μέλλῃ τέλεον
ἀπαλλάττειν, [g]τότε διαφθείρῃ, οὐχὶ τὸ πᾶν διέφθειρεν; Οὕτω
C καὶ ἐπὶ τῆς ἀρετῆς, ὅσοι μὴ τῇ ἀρχῇ ἀκόλουθον τὸ τέλος ἐπέ-
θηκαν καὶ σύμφωνον καὶ συνῳδὸν, ἀπώλοντο καὶ [h]διεφθάρησαν.
Τοιοῦτοί εἰσιν οἱ ἀπὸ [i]μὲν τῶν βαλβίδων αὐτῶν λαμπροὶ καὶ
γαῦροι προπηδήσαντες, μετὰ ταῦτα δὲ ἐκλυθέντες, καὶ χαῦνοι
γενόμενοι· διὸ καὶ τοῦ βραβείου ἀπεστερήθησαν, καὶ παρὰ τοῦ
δεσπότου οὐκ [k]ἐπεγνώσθησαν. Ἀκούσωμεν ταῦτα οἱ χρημά-
των ἐρῶντες· ἡ γὰρ μεγίστη ἀνομία αὕτη τυγχάνει· [10]"[l]Ῥίζα
γάρ ἐστι πάντων τῶν κακῶν ἡ φιλαργυρία." Ἀκούσωμεν οἱ
βουλόμενοι μείζονα τὴν ὑπάρχουσαν οὐσίαν ποιεῖν· ἀκούσωμεν,
καὶ παυσώμεθα τῆς πλεονεξίας [m]ποτὲ, ἵνα μὴ ταῦτα ἀκούσω-
μεν ἅπερ κἀκεῖνοι. [n]Νῦν αὐτὰ ἀκούσωμεν [o]καὶ φυλαξώμεθα,
D ἵνα μὴ τότε ἀκούσωμεν· [p]νῦν ἀκούσωμεν μετὰ φόβου, ἵνα μὴ
[q]τότε ἀκούσωμεν μετὰ τιμωρίας· [11]" Ἀπέλθετε ἀπ' ἐμοῦ, [r]φη-
σὶν, οὐδέποτε ἔγνων ὑμᾶς·" [s]οὐδὲ τότε, φησὶν, ὅτε τὰς προφη-
τείας ἐπεδείκνυσθε, καὶ τοὺς δαίμονας [t]ἐξεβάλλετε. Εἰκὸς αὐτὸν
ἐνταῦθα καὶ ἕτερόν τι αἰνίττεσθαι, ὅτι καὶ τότε βίου ἦσαν πο-
νηροῦ· παρὰ δὲ τὴν ἀρχὴν καὶ δι' ἀναξίων ἐνήργει ἡ χάρις. Εἰ
γὰρ [v]διὰ Βαλαὰμ ἐνήργησε, πολλῷ μᾶλλον δι' [w]ἀναξίων, διὰ
225 τοὺς μέλλοντας κερδαίνειν. Εἰ δὲ [x]καὶ σημεῖα καὶ τέρατα οὐκ
ἴσχυσε κολάσεως ἀπαλλάξαι, πολλῷ μᾶλλον, κἂν ἐν ἀξιώματι

10 1 Tim. vi. 10. 11 Matth. vii. 23.

[z] λαμπρὰ O. [a] δείξῃ K.O.Q. Sav. cet. [b] κἂν] καὶ R. [c] ἐὰν O. [d] διαλαβὼν K.Q. Sav. cet. Mox καταρράξῃ K.Q.R. Sav. cet. [e] οὐχὶ om. K.Q. Sav. cet. Mox ἀπαλλάξας (ῆ a pr. m.) O. τῆς νόσου om. A. Veron. [f] ἐὰν om. K.Q. Sav. cet. Statim ὅτε N.O.R. [g] τότε] τοῦτον R. et olim O. [h] ἐφθάρησαν R. [i] μὲν om. R. [k] ἐγνωρίσθησαν K. [l] ῥίζα] ἡ ῥ. N. Post πάντων add. φησὶ K.Q. Sav. cet. [m] τότε R. Mox τὰ αὐτὰ idem. ποτὲ, ἵνα μὴ ταῦτα in marg. O. [n] νῦν usque ad ἀκούσωμεν in 2do loco om. K. inclusum a Sav. [o] καὶ φυλαξώμεθα] μετὰ φόβου καὶ φυλάξωμεν N. et in rasura O. Statim ἵνα μὴ—φόβου om. iidem. [p] νῦν—φόβου] μετὰ φ. νῦν ἀκούσωμεν K.Q. μετὰ φ. om. R. [q] τότε] + αὐτὰ A.N. Veron. et marg. O. [r] φησὶν om. N. [s] οὐδὲ τότε, φ.] τουτέστιν, οὐδὲ τότε K.Q. οὐδέποτε, φ. οὐδὲ N. [t] ἐξεβάλετε K.Q. [v] διὰ] καὶ διὰ K.N.Q. et corr. O. receptum a Sav. cet. [w] ἀναξίων] + ἐνήργει ἡ χάρις O.R. + καὶ τοῦτο K.Q. Sav. cet. In A. lacuna est. Nobiscum faciunt N. Veron. Mut. [x] [καὶ] Sav. καὶ om. K.Q.R. Mox ἴσχυσαν iidem.

Digitized by Google

ἱερατικῷ τις ὢν τυγχάνῃ, κἂν εἰς τὴν ἀνωτάτω τιμὴν φθάσῃ,
κἂν εἰς [y]τὴν χειροτονίαν ἐνεργήσῃ ἡ χάρις, κἂν εἰς τὰ ἄλλα
πάντα διὰ τοὺς τῆς προστασίας δεομένους, ἀκούσεται καὶ αὐ-
τὸς, οὐδέποτέ σε ἔγνων, [z]οὐδὲ τότε, ὅτε ἐνήργησεν ἐν σοὶ ἡ
χάρις. Βαβαὶ, [a]πόση τῆς τοῦ βίου καθαρότητος [b]ἡ ζήτησις
ἐκεῖ· πῶς [c]αὐτὴ καθ' ἑαυτὴν ἀρκεῖ εἰς τὴν βασιλείαν ἡμᾶς εἰσα-
γαγεῖν; [d]ἀποῦσα δὲ προδίδωσι τὸν ἄνδρα, κἂν μυρία ἔχῃ τέ-
ρατα καὶ σημεῖα ἐπιδείκνυσθαι; Οὐδὲν [e]γὰρ οὕτως εὐφραίνει B
τὸν θεὸν, ὡς πολιτεία ἀρίστη. [12]"Ἐὰν ἀγαπᾶτέ με," φησὶν,
οὐκ εἶπε, σημεῖα [f]ποιήσατε, ἀλλὰ [g]τί; "τὰς ἐντολάς μου τηρή-
σατε." Καὶ πάλιν, "Φίλους ὑμᾶς λέγω," οὐχ ὅταν [h]δαίμο-
νας ἐκβάλητε, ἀλλ', "ἐὰν τηρήσητε τοὺς λόγους τοὺς ἐμούς."
[i]Ἐκεῖνα μὲν γὰρ τῆς τοῦ θεοῦ δωρεᾶς ἐστι· ταῦτα δὲ μετὰ τὴν
τοῦ θεοῦ δωρεὰν [k]καὶ τῆς ἡμετέρας σπουδῆς. Σπουδάσωμεν
γενέσθαι φίλοι τοῦ θεοῦ, καὶ μὴ μένωμεν ἐχθροί. [l]Ἀεὶ ταῦτα
λέγομεν, ἀεὶ ταῦτα παραινοῦμεν καὶ ἡμῖν αὐτοῖς καὶ ὑμῖν, πλέον
δὲ οὐδὲν γίνεται· διὸ [m]καὶ δέδοικα. Καὶ ἐβουλόμην μὲν σιγῆ- C
σαι, ὥστε μὴ τὸν κίνδυνον ὑμῖν αὐξῆσαι· τὸ γὰρ [n]πολλάκις
ἀκούοντα [o]μηδὲ οὕτω ποιεῖν, παροξῦναι τὸν δεσπότην ἐστίν·
ἀλλὰ δέδοικα καὶ αὐτὸς τὸν ἕτερον κίνδυνον τὸν τῆς σιγῆς,
[p]εἴγε εἰς λόγου διακονίαν τεταγμένος, μέλλοιμι σιγᾶν. Τί οὖν
[q]ποιήσομεν ἵνα σωθῶμεν; Ἀρξώμεθα τῆς ἀρετῆς, [r]ὡς καιρὸν
ἔχομεν· διανείμωμεν [s]ἑαυτοῖς τὰς ἀρετὰς, καθάπερ τὴν γεωρ-
γίαν οἱ γηπόνοι· ἐν τῷ μηνὶ τούτῳ κρατήσωμεν λοιδορίας,
(555) ὕβρεως, ὀργῆς ἀδίκου, καὶ θῶμεν ἑαυτοῖς νόμον, καὶ εἴπωμεν,
σήμερον τόδε κατορθώσωμεν· καὶ ἐν τῷ μηνὶ [t]τούτῳ τὴν ἀν-
εξικακίαν ἑαυτοὺς παιδεύσωμεν, καὶ ἐν ἑτέρῳ ἄλλην ἀρετήν· καὶ
ὅταν ἐν ἕξει ταύτης γενώμεθα τῆς ἀρετῆς, ἐφ' ἑτέραν ἔλθωμεν, D
καθάπερ ἐπὶ τῶν [v]μαθημάτων, τά τε ἤδη κτηθέντα φυλάτ-
τοντες, καὶ ἕτερα προσλαμβάνοντες. Μετ' ἐκείνην ἔλθωμεν ἐπὶ
τὴν τῶν χρημάτων ὑπεροψίαν· πρῶτον κατάσχωμεν τὰς χεῖ-

12 Joan. xiv. 15. xv. 14.

[y] τὴν] + ἄνω R. Mox ἅπαντα O.R. [z] οὐδὲ τ.] οὐδέποτε R. [a] ὅση N. [b] ἡ] ὅση R. et olim O. [c] αὕτη olim O. αὐτὸ R. Statim καὶ καθ' ἑ. K.Q. Sav. cet. Mox ἡμᾶς εἰς τὴν β. hoc ord. K.Q. [d] ἀπ. δὲ] πῶς δὲ ἀπ. K.Q. Sav. cet. Mox κἂν σ. καὶ τ. μυρία ἔχῃ ἐπιδ. hoc ord. K.N.Q. [e] γὰρ om. R. Mut. et a pr. m. O. [f] ποιήσετε et mox τηρήσετε K. [g] τί om. R. [h] δαίμονας K.N.O.Q.R. δαιμόνια Edd. Statim ἐκβάλλητε A.R. Veron. et olim O. [i] κἀκεῖνα K. [k] καὶ om. R. [l] ἀεὶ τ. λέγομεν om. R. [m] καὶ om. R. et olim O. [n] πολλάκις] πολλὰ R. et in text. O. [o] μηδὲ οὕτω] μηδὲν K.Q. [p] εἴγε] εἰ ἤδη R. εἰ δὲ a pr. m. O. [q] ποιήσομεν (ποιήσωμεν A.)] + φησὶν K.Q. Sav. cet. [r] ὡς] ἕως A.O.R. Sav. cet. Sic ex corr. N. Mox ἔχωμεν O. [s] ἑαυτοὺς A. [t] τούτῳ] τῷ ἄλλῳ K.Q. Sav. cet. *illo* Mut. Mox ἑαυτοῖς K.N.Q. [v] μαθητῶν K.Q.

Digitized by Google

ρας ἀπὸ πλεονεξίας, καὶ τότε ποιήσωμεν ἐλεημοσύνην· μὴ πάν-
τα ἁπλῶς συγχέωμεν, ταῖς αὐταῖς χερσὶ καὶ [w]σφάττοντες καὶ
ἐλεοῦντες δῆθεν· μετὰ τοῦτο ἐπ' ἄλλην ἀρετὴν, καὶ [x]ἀπ' ἐκείνης
ἐπ' ἄλλην. [13]"Αἰσχρότης, καὶ μωρολογία, καὶ εὐτραπελία
226 μηδὲ [y]ὀνομαζέσθω παρ' ὑμῖν." Ταῦτα τέως κατορθώσωμεν.
Οὐκ [z]ἔστι δαπάνης, οὐκ ἔστι πόνων, οὐκ ἔστιν ἱδρώτων· ἀρκεῖ
θελῆσαι μόνον, καὶ πάντα ἤνυσται. [a]Οὐ δεῖ μακρὰν ὁδὸν βαδί-
σαι, [b]οὐδὲ πέλαγος διαλαβεῖν ἄπειρον, ἀλλὰ σπουδάσαι καὶ
προθυμηθῆναι, καὶ χαλινὸν [c]ἐπιθεῖναι τῇ γλώττῃ. Τὰς ὕβρεις
τὰς ἀκαίρους, τὰς ὀργὰς, τὰς ἐπιθυμίας τὰς ἀτόπους, τὴν τρυ-
φὴν, τὴν [d]πολυτέλειαν ἐκβάλωμεν, τὴν ἐπιθυμίαν τῶν χρημά-
των, ἀπὸ τῆς ψυχῆς τῆς ἡμετέρας, τὰς ἐπιορκίας, τοὺς ὅρκους
τοὺς συνεχεῖς. Ἂν οὕτως ἑαυτοὺς γεωργῶμεν, τὰς [e]προτέρας
B ἀκάνθας ἐκτίλλοντες, καὶ τὸν οὐράνιον σπόρον ἐμβάλλοντες,
δυνησόμεθα τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν. Ἥξει γὰρ ὁ
γεωργὸς, καὶ [f]ἀποθήσεται ἡμᾶς εἰς τὴν ἀποθήκην, καὶ ἐπιτευ-
ξόμεθα πάντων τῶν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυ-
χεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, [g]τιμὴ,
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

C

ΛΟΓΟΣ ΚΕ.

[1]Πίστει [a]προσενήνοχε τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονο-
γενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας [b]δεξάμενος, πρὸς ὃν ἐλα-
λήθη, Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· λογισάμενος ὅτι
καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ θεός· ὅθεν αὐτὸν καὶ ἐν
[c]παραβολῇ ἐκομίσατο.

[d]ΜΕΓΑΛΗ ὄντως ἡ πίστις τοῦ Ἀβραάμ. Ἐπὶ μὲν γὰρ
D τοῦ Ἄβελ καὶ τοῦ Νῶε καὶ τοῦ Ἐνὼχ λογισμῶν [e]ἦν μάχη
μόνον, καὶ τοὺς ἀνθρωπίνους [f]ὑπερβῆναι ἐχρῆν λογισμούς· ἐν-

13 Eph. v. 4. 1 Cap. XI. v. 17—19.

w σφάττοντες] Sic K.N.O.Q.R. Mut. ἀφάττοντες (sic) A. ἁρπάζοντες Edd. x ἀπ' ἐκείνης] ἐπ' ἐκείνην A. μετ' ἐκείνην N. Sav. cet. Post αἰσχρότης add. φησὶ K. Sav. cet. y ὀνομαζέσθω] + φησὶ Q. Statim παρ' ἡμῖν A. Veron. z ἔστι] + χρεία K. Sav. cet. a οὐ δεῖ] οὐδὲ R. et olim O. b οὔτε K.N. Mox διαβαίνειν R. et olim O. c ἐπιτεθῆναι N. Statim τῇ γλώττῃ πρὸς τὰς ὕ. τὰς ἀκαίρους. τὰς ὀργὰς K.Q. Sav. cet. d πολυτελῆ K.N.Q.R. e προτέρας pro πρότερον omnes. f ἀποθήσει N. et ex corr. O. g τιμὴ] + καὶ προσκύνησις K.N.Q.
Hom. XXV. a προσενήνοχεν] + Ἀβραὰμ N.O.R. Mut. Sav. cet. invita Cat. b ἀναδεξάμενος K.N.O.Q. non Cat. Post ἐλαλήθη add. ὅτι in marg. O. c παραβολαῖς A. Veron. d μέγα A. Veron. e ἦν] ἡ R. Statim μόνον pro μόνων A.N.O.R. ἦν μ. μόνον] μαχίμων K.Q. f ὑπερβ. ἐχρῆν] ὑπερβαινόντων ἦν K.Q. ὑπερβῆναι—ἀνθρωπίνους om. A.

Digitized by Google

ταῦθα δὲ οὐ τοὺς ἀνθρωπίνους [g]ὑπερβῆναι μόνον ἐχρῆν λογι-
σμοὺς, ἀλλὰ καὶ ἕτερόν τι πλέον ἐπιδείξασθαι· τὰ γὰρ τοῦ θεοῦ
ἐδόκει τοῖς τοῦ θεοῦ μάχεσθαι, καὶ πίστις ἐμάχετο πίστει, καὶ
πρόσταγμα ἐπαγγελίᾳ. Οἷόν τι λέγω· εἶπεν, [2]"Ἔξελθε ἐκ
τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δώσω σοι τὴν γῆν
ταύτην·" καὶ οὐκ ἔδωκεν αὐτῷ [h]ἐν αὐτῇ κληρονομίαν, οὐδὲ βῆμα
ποδός. Ὁρᾷς πῶς τὰ γινόμενα τῇ ἐπαγγελίᾳ [i]ἐμάχετο; Πά-
λιν φησὶν, [3]"Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα," καὶ ἐπί-
στευσε· καὶ πάλιν λέγει, [k]ὅτι θῦσον ἐμοὶ τοῦτον, τὸν μέλλοντα 227
τὴν οἰκουμένην πᾶσαν ἐκ τοῦ σπέρματος αὐτοῦ πληροῦν. Εἶδες
μάχην προσταγμάτων καὶ ἐπαγγελίας; [l]Ἐναντία ταῖς ἐπαγ-
γελίαις προσέταξε, καὶ οὐδὲ οὕτως ἰλιγγίασεν ὁ δίκαιος, οὐδὲ
ἠπατῆσθαι ἔφη. [m]Ὑμεῖς μὲν γάρ, φησὶν, οὐκ ἂν ἔχοιτε τοῦτο
εἰπεῖν, ὅτι ἄνεσιν ἐπηγγείλατο, καὶ [n]θλῖψιν ἔδωκεν· ἐνταῦθα
γὰρ ἅπερ ἐπηγγείλατο, ταῦτα καὶ ποιεῖ. Πῶς; [4]"Ἐν τῷ
κόσμῳ, [o]φησὶ, θλῖψιν ἕξετε." "Ὁ μὴ λαβὼν τὸν σταυρὸν
αὐτοῦ, καὶ [p]ἀκολουθήσας μοι, οὐκ ἔστι μου ἄξιος." "Ὁ μὴ μι-
σῶν τὴν ψυχὴν αὐτοῦ, οὐ μὴ εὕρῃ αὐτήν·" καὶ, "Ὃς οὐκ [q]ἀπο- B
τάσσεται πᾶσι τοῖς ὑπάρχουσιν [r]αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω
μου, οὐκ ἔστι μου ἄξιος·" καὶ πάλιν, "Ἐπὶ ἡγεμόνας καὶ βασι-
λεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ·" καὶ πάλιν, "Ἐχθροὶ τοῦ ἀνθρώ-
που οἱ [s]οἰκιακοὶ [t]αὐτοῦ." Τὰ δὲ τῆς ἀνέσεως ἐκεῖ. Ἐπὶ δὲ τοῦ
Ἀβραὰμ τοὐναντίον· ἐναντία ταῖς ὑποσχέσεσι [v]προσετάττετο
ποιεῖν, καὶ οὐδὲ οὕτως ἐθορυβήθη, οὐδὲ ἰλιγγίασεν, [w]οὐδὲ ἠπα-
τῆσθαι ἐνόμισεν· ὑμεῖς δὲ οὐδὲν ἔξωθεν τῆς ἐπαγγελίας ὑπο-
μένετε, καὶ θορυβεῖσθε. Ἐκεῖνος ἐναντία ὧν ἐπηγγείλατο ἤκου-
(556) σε [x]παρ' αὐτοῦ τοῦ ἐκεῖνα ἐπαγγειλαμένου, καὶ οὐκ ἐθορυβεῖτο, C
ἀλλ' ὡς σύμφωνα [y]ἔπραττε· καὶ γὰρ ἦν σύμφωνα, ἐναντία μὲν
τοῖς λογισμοῖς τοῖς ἀνθρωπίνοις, σύμφωνα δὲ ἀπὸ τῆς πίστεως·
καὶ πῶς, αὐτὸς ἡμᾶς ἐδίδαξεν ὁ ἀπόστολος, εἰπὼν, "[z]Λογι-

2 Gen. xii. 1. 3 Ibid. xxi. 12. 4 Joan. xvi. 33. Matth. x. 38. Luc. xiv. 26, 33. Matth. x. 18, 36.

g ὑπ. μόνον] μόνον ὑπ. K.Q.R. Sav. cet. μόνον (om. ὑπ. ἐχρῆν λογισμοὺς) N. h ἐν αὐτῇ κλ.] κλ. ἐν αὐτῇ N. Cat. i ἐμάχοντο Q. k ὅτι assumtum ex A.O.R. Cat. l ἐναντίαν N. ἐναντίας Cat. Mox ἐπαγγ. αἷς προσέταξε O. προσέταξε om. Cat. m ὑμεῖς—φησὶν om. K.Q. Statim οὐκ ἂν οὖν ἔχ. Q. Post εἰπεῖν add. ὑμεῖς K.Q. n θλ. ἔδωκεν] οὐ θλ. N. o φησὶ om. R. et in text. O. p ἀκολουθῶν K.Q. Sav. cet. Statim ἐμοὶ K.O.Q. Sav. cet. q ἀποτάσσεται] + φησὶ N.O. Sav. cet. r αὐτῷ Q. s οἰκειακοὶ A.K.Q. Veron. t αὐτοῦ] + καὶ τὰ μὲν τῆς θλίψεως ὧδε K.Q. Sav. cet. v προσετέτακτο iidem. w οὐδὲ—ἐνόμισεν om. A. x παρ' αὐτοῦ] Sic K.O.Q.R. παρὰ τοῦ αὐτοῦ Edd. Statim τοῦ ἐπαγγ. ἐκεῖνα K.Q. y ἔπραττε—σύμφωνα om. A. καὶ γὰρ ἦν σ. om. K.Q. inclusum a Sav. z λογιζόμενος N. et ex corr. O.

Digitized by Google

σάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ θεός." [a]Ἀπὸ τῆς
αὐτῆς πίστεως, φησὶν, ἧς ἐπίστευσεν ὅτι οὐκ ὄντα [b]ἐχαρίσατο
καὶ νεκρὸν [c]ἤγειρεν, ἀπὸ τῆς αὐτῆς καὶ ὅτι σφαγιασθέντα ἀνα-
στήσει, ἐπέπειστο. Ὁμοίως γὰρ ἄπορον ἦν, ἀνθρωπίνῳ [d]λέγω
λογισμῷ, καὶ ἐκ μήτρας νεκρᾶς καὶ γεγηρακυίας καὶ ἀχρήστου
D ἤδη γεγενημένης πρὸς παιδοποιΐαν δοῦναι παιδίον, καὶ σφαγι-
ασθέντα ἀναστῆσαι. [e]Ἀλλὰ προωδοποίει ἡ πίστις ἡ παρελ-
θοῦσα τοῖς μέλλουσιν. [f]Καὶ ὅρα τὰ μὲν χρηστὰ πρῶτα, τὰ δὲ
δυσχερῆ [g]ὕστερα πρὸς τῷ γήρᾳ. [h]Ὑμῖν δὲ τοὐναντίον, φησὶ,
τὰ μὲν σκυθρωπὰ πρῶτα, τὰ δὲ χρηστὰ τελευταῖα. Τοῦτο
πρὸς τοὺς [i]λέγειν τολμῶντας, ὅτι μετὰ θάνατον ἡμῖν ἐπηγγεί-
λατο τὰ ἀγαθά· ἠπάτησεν ἴσως ἡμᾶς. [k]Δείκνυσιν ὅτι καὶ ἐκ
228 νεκρῶν ἐγείρειν δυνατὸς ὁ θεός· εἰ δὲ [l]ἐκ νεκρῶν ἐγείρειν δυνατὸς
ὁ θεὸς, πάντως πάντα ἀποδώσει. Εἰ δὲ Ἀβραὰμ ἐπίστευσε
πρὸ τοσούτων ἐτῶν, ὅτι [m]ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ θεὸς,
πολλῷ μᾶλλον ἡμεῖς πιστεύειν ὀφείλομεν. Ὁρᾷς [n]ὅτι, ὅπερ
ἔφθην εἰπὼν, οὔπω εἰσῆλθεν ὁ θάνατος, καὶ εὐθέως αὐτοὺς εἰς
τὴν τῆς ἀναστάσεως εἵλκυσεν ἐλπίδα, καὶ εἰς τοσαύτην πληρο-
φορίαν ἤγαγεν, ὡς καὶ σφαγιάζειν τοὺς ἑαυτῶν υἱοὺς κελευομέ-
νους, [o]καὶ ἀφ' ὧν προσεδόκων ἐμπλήσειν τὴν οἰκουμένην, ἑτοί-
μως τούτους προσάγειν; Καὶ ἕτερον δὲ [p]δείκνυσι διὰ τοῦ εἰπεῖν,
[5]"Ἐπείραζεν ὁ θεὸς τὸν Ἀβραάμ." Τί οὖν; οὐκ ᾔδει ὁ θεὸς
ὅτι γενναῖος ἦν καὶ δόκιμος [q]ὁ ἀνήρ; τίνος οὖν ἕνεκεν ἐπείραζεν
[r]αὐτόν; Οὐχ ἵνα αὐτὸς μάθῃ, ἀλλ' ἵνα τοῖς ἄλλοις δείξῃ, καὶ
B κατάδηλον αὐτοῦ τὴν [s]ἀνδρείαν ἅπασι καταστήσῃ. [t]Καὶ δεί-
κνυσιν ἐνταῦθα καὶ τῶν πειρασμῶν τὴν αἰτίαν, ἵνα μὴ [v]νομί-
ζωσιν, ὡς ἐγκαταλελειμμένοι ταῦτα πάσχειν. Ἐνταῦθα μὲν
γὰρ καὶ ἀνάγκη πειράζεσθαι, διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐλαύ-

[5] Gen. xxii. 1.

[a] ἀπὸ] ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἀπὸ K.O.Q. Sav. cet. Statim αὐτῆς om. K. N.Q. Mox φησὶν om. K.Q. [b] ἐχαρίσατο—τῆς αὐτῆς] χαρίσεται παῖδα, ἀπὸ τῆς αὐτῆς καὶ νεκρὸν ἐγείρειν K.Q. Sav. cet. [c] ἤγειρεν] Sic A. Cat. et olim O. ἐγείρειν N. et ex corr. O. ἤγειρεν ἂν R. Veron. [d] λέγω om. A. K.Q. Cat. Mut. [e] ἀλλὰ προωδοποίει (προοδοποιεῖ A.N.O. Mut. invita Cat.)] ἀλλ' ὅμως ἐπείθετο· προωδοποίει γὰρ K.Q. Sav. cet. [f] καὶ ὅρα τὰ μὲν χρ.] ἄλλως δὲ καὶ ὁ μὲν ἑώρα τὰ χρ. iidem. [g] ὕστερον K.Q. [h] ὑμεῖς K.Q. Sav. cet. Mox δυσχερῆ pro χρηστὰ A. [i] λ. τολμῶντας] τολμῶντας λ. K. N.Q. [k] δ. ὅτι] ὅτι φησὶ K.Q. [l] ἐκ] καὶ ἐκ K.N.O. Sav. cet. invita Cat. [m] ἐκ ν. ἐγείρειν δ.] Sic omnes. δ. ἐκ ν. ἐγείρειν Edd. [n] ὅτι om. K.Q. [o] καὶ om. A.R. Mut. Veron. et a pr. m. O. Mox ἑτοίμως τ. προσάγειν om. Veron. [p] δείκνυσιν] + ἐνταῦθα K.Q. Sav. cet. Statim ἀπὸ pro διὰ R. [q] ὁ om. A.R. Veron. Post ἀνὴρ add. σφόδρα γε K.Q. Sav. cet. [r] αὐτὸν] εἰ ᾔδει K.Q. αὐτὸν, εἰ ᾔδει Sav. cet. [s] ἀνδρίαν K.Q. Veron. Statim ἅπασι pro πᾶσι omnes. [t] καὶ δ. ἐνταῦθα] διὰ τοῦτο δ. K.Q. [v] νομίσωσιν R.

Digitized by Google

νοντας, [w]τοὺς ἐπιβουλεύοντας· ἐκεῖ δὲ ποία ἀνάγκη ἦν τοὺς οὐκ
ὄντας αὐτῷ πειρασμοὺς ἐπινοεῖν; Οὗτος τοίνυν ὁ πειρασμὸς
[x]δῆλος ἦν ὅτι αὐτοῦ προστάττοντος ἐγίνετο. Οἱ μὲν οὖν ἄλλοι
συγχωροῦντος αὐτοῦ συνέβαινον, οὗτος δὲ καὶ προστάττοντος.
Εἰ τοίνυν οὕτω δοκίμους τὰ τῶν πειρασμῶν ποιεῖ, ὡς καὶ μὴ
οὔσης αἰτίας τὸν θεὸν γυμνάζειν τοὺς ἑαυτοῦ ἀθλητάς· πολλῷ C
μᾶλλον ἡμᾶς φέρειν [y]πάντα χρὴ γενναίως. Ἐμφαντικῶς δὲ
εἶπεν ἐνταῦθα, ὅτι "Πίστει προσενήνοχε τὸν Ἰσαὰκ πειρα-
ζόμενος·" οὐδεμία γὰρ ἄλλη αἰτία ἦν τῆς προσαγωγῆς ἢ αὕτη.
Εἶτα ἐπεξέρχεται τῷ νοήματι. Οὐκ [z]εἶχε, φησὶ, τὶς εἰπεῖν,
[a]ὅτι ἄλλον εἶχεν υἱὸν, καὶ ἐξ ἐκείνου προσεδόκα τὴν ἐπαγγε-
λίαν πληρωθήσεσθαι, καὶ διὰ τοῦτο θαρρῶν τοῦτον προσήνεγκε.
"Καὶ τὸν μονογενῆ, [b]φησὶ, προσέφερεν ὁ τὰς ἐπαγγελίας
δεξάμενος." [c]Τί λέγεις μονογενῆ; τί οὖν; ὁ Ἰσμαὴλ πόθεν
ἦν; Μονογενῆ λέγω, φησὶν, ὅσον [d]κατὰ τὸν τῆς ἐπαγγελίας
λόγον· διὰ γὰρ [e]τοῦτο προσέθηκεν, εἰπὼν μονογενῆ, δεικνὺς ὅτι D
διὰ [f]τοῦτό [g]φησι, "[h]Πρὸς ὃν ἐρρέθη, [i]ὅτι ἐν Ἰσαὰκ κληθή-
σεταί [k]σοι σπέρμα·" τουτέστιν, ἐξ αὐτοῦ. Ὁρᾷς πῶς θαυμά-
ζει τὸ παρὰ τοῦ πατριάρχου γινόμενον; "Ἐν [l]Ἰσαὰκ κληθή-
σεταί [m]σοι σπέρμα·" καὶ προσέφερε [n]σφαγιαζόμενον τὸν υἱόν.
Εἶτα, ἵνα μή τις νομίσῃ, ὅτι ἀπογνοὺς τοῦτο [o]ποιεῖ, καὶ διὰ
τοῦ προστάγματος τούτου τὴν πίστιν ἐκείνην ἐξέβαλεν, ἀλλὰ 229
μάθῃ, ὅτι [p]ὄντως καὶ τοῦτο πίστεως ἦν, φησὶν ὅτι κἀκείνην
εἶχε τὴν πίστιν, καίτοιγε δοκοῦσαν ταύτῃ μάχεσθαι· ἀλλ' οὐκ
ἐμάχετο· οὐ γὰρ [q]λογισμοῖς ἀνθρωπίνοις ἐμέτρει τοῦ θεοῦ τὴν
δύναμιν, ἀλλὰ τῇ πίστει [r]πάντα ἐπέτρεπεν. [s]Ὅθεν οὐ δέδοικεν
εἰπεῖν, ὅτι "Καὶ ἐκ νεκρῶν ἐγείρειν [t]δυνατὸς ὁ θεός." "Ὅθεν
αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο," τουτέστιν, ἐν ὑποδείγματι·
ἐν τῷ κριῷ, φησί. Πῶς; Τοῦ γὰρ κριοῦ σφαγιασθέντος οὗτος
ἐσώθη· ὥστε διὰ τοῦ κριοῦ αὐτὸν ἔλαβεν, [v]ἀντ' ἐκείνου σφάξας

[w] τοὺς] καὶ τοὺς K.O.Q. Sav. cet. [x] δῆλον K. Statim ἐστιν pro ἦν K.Q. Mox ἐγένετο A. [y] π. χρὴ] χρὴ π. K.N.Q. Mox ἐμφατικῶς Mor. Ben. ut a pr. m. O. [z] εἶχε] ἔχει A.K.Q. Sav. cet. Mox τὶς om. Sav. cet. repugnantibus libris. [a] ὅτι] + καὶ K.N.Q. Sav. cet. Sic ex corr. O. [b] φησὶ om. K.Q. Mox ἀναδεξάμενος K.N.Q. Sav. cet. [c] τί] + δὲ R. et ex corr. O. [d] κατὰ] εἰς N. Sav. cet. [e] τοῦτον R. Veron. Sav. Mor. [f] τοῦτον K.Q. Sav. cet. [g] φησι] φησιν ὅτι R. et fort. a pr. m. O. καὶ λέγει K.Q. Sav. cet. [h] πρὸς ὃν om. A. Veron. Statim ἐρρήθη O.R. ἐλαλήθη K.Q. Sav. cet. [i] ὅτι om. N. [k] σοι] + φησὶ R. et olim O. [l] Ἰσαὰκ] + ἤκουσε K.Q. Sav. cet. [m] σοι (σου O.)] + φησὶ N. Veron. et marg. O. φησὶ post σπέρμα habet A. [n] σφάγιον K.Q. Sav. cet. [o] ἐποίει K.N.Q. Sav. cet. Mox ἐκείνην ἐξέβ. pro ἐξέβ. ἐκείνην omnes. [p] ὄντως om. R. Cat. [q] λογισμὸς ἀνθρώπινος Cat. [r] τὰ πάντα O.R. [s] ὅθεν οὐ] διὸ οὐδὲ K.Q. Sav. cet. [t] δύναται R. et olim O. [v] ἀντ' ἐκείνου] ἀντὶ τούτου K.Q. Sav. cet. invita Cat.

ἐκεῖνον. Ταῦτα δὲ τύποι τινὲς ἦσαν· ἐνταῦθα γὰρ ὁ υἱός [w]ἐστι
B τοῦ θεοῦ ὁ σφαγιαζόμενος. Καὶ θέα μοι τὴν φιλανθρωπίαν
[x]ὅση. Ἐπειδὴ γὰρ μεγάλη τις ἔμελλε δίδοσθαι χάρις τοῖς
ἀνθρώποις, βουλόμενος μὴ χάριτι αὐτὸ ποιῆσαι, ἀλλ' ὡς ὀφει- (557)
λέτης, παρασκευάζει πρῶτον [y]ἄνθρωπον τὸν υἱὸν τὸν ἑαυτοῦ
ἐπιδοῦναι ὑπὲρ τοῦ [z]προστάγματος τοῦ θεοῦ, ἵνα μηδὲν δόξῃ
μέγα ποιεῖν, τὸν ἑαυτοῦ [a]ἐπιδιδοὺς υἱὸν, εἴγε ἄνθρωπος πρὸ
αὐτοῦ τοῦτο ἐποίησεν· ἵνα μὴ χάριτι [b]νομισθῇ τοῦτο ποιεῖν,
ἀλλ' ὀφειλῇ. Οὓς γὰρ ἂν φιλῶμεν, καὶ τοῦτο αὐτοῖς χαρί-
ζεσθαι βουλόμεθα, τὸ δοκεῖν παρ' αὐτῶν τι πρότερον λαβόντας
C μικρὸν, οὕτως αὐτοῖς τὸ πᾶν διδόναι· καὶ καυχώμεθα ἐπὶ τῇ
λήψει μᾶλλον ἢ ἐπὶ τῇ δόσει, καὶ οὐ λέγομεν, [c]τόδε ἐδώκαμεν
αὐτῷ, ἀλλὰ, τόδε ἐλάβομεν παρ' αὐτοῦ. "Ὅθεν αὐτὸν, φησὶ,
καὶ ἐν παραβολῇ [d]ἐκομίσατο," τουτέστιν, ὡς ἐν αἰνίγματι·
ὥσπερ γὰρ παραβολὴ ἦν ὁ κριὸς τοῦ Ἰσαάκ· ἢ ὡς ἐν [e]τύπῳ.
Ἐπειδὴ γὰρ ἀπήρτιστο ἡ θυσία καὶ ἔσφακτο ὁ Ἰσαὰκ τῇ
προαιρέσει, διὰ τοῦτο αὐτὸν χαρίζεται τῷ πατριάρχῃ.
D [f]Ὁρᾷς ὅτι ὃ ἀεὶ λέγω, τοῦτο καὶ νῦν δείκνυται; [g]ὅταν
παραστήσωμεν ἡμῶν τὴν διάνοιαν ἀπηρτισμένην, καὶ δείξωμεν
ὅτι ὑπερορῶμεν τῶν γηΐνων πραγμάτων, τότε ἡμῖν καὶ τὰ
γήϊνα χαρίζεται, πρότερον δὲ οὔ, ἵνα μὴ [h]τὸ λαβεῖν προσδε-
δεμένους ἡμᾶς αὐτοῖς ἔτι προσδήσῃ. [i]Λῦσον σαυτὸν πρῶτον,
φησὶ, τῆς δουλείας, καὶ τότε λάβε, ἵνα μηκέτι ὡς δοῦλος λά-
βῃς, ἀλλ' ὡς δεσπότης· καταφρόνησον πλούτου, καὶ ἔσῃ πλού-
σιος· καταφρόνησον δόξης, καὶ ἔσῃ ἔνδοξος· καταφρόνησον τῆς
τιμωρίας τῶν ἐχθρῶν, καὶ τότε αὐτῆς ἐπιτεύξῃ· καταφρόνησον
230 ἀνέσεως, καὶ τότε αὐτὴν λήψῃ· ἵνα λαβὼν, μὴ ὡς δέσμιος
[k]λάβῃς, μηδὲ ὡς δοῦλος, ἀλλ' ὡς ἐλεύθερος. Καθάπερ γὰρ ἐπὶ
τῶν [l]παιδίων τῶν μικρῶν, ὅταν μὲν ἐπιθυμῇ τὸ παιδίον παιδι-
κῶν ἀθυρμάτων, μετὰ πολλῆς σπουδῆς ἐκεῖνα κρύπτομεν, οἷον
σφαῖραν καὶ ὅσα τοιαῦτα, ἵνα μὴ ἐμποδίζηται τῶν ἀναγκαίων·

[w] ἐστι τ. θ.] τ. θ. ἐστι (vel ἐστιν) K. Q. Cat. ἐστι om. N. Statim ὁ om. A.O.R. Cat. Veron. invito Mut. [x] ὅση] + ἦν N.O. Sav. cet. [y] ἄνθρ.] τὸν ἄνθρ. R. [z] πράγματος A. Cat. Veron. [a] ἐπιδοὺς A.R. Cat. [b] νομισθῇ] νομισθῇ μόνον O.R. μόνον νομισθῇ N. Eclog. XLIII. (Tom. xii. p. 745 B.) Sav. cet. μόνον post τοῦτο habet Cat. Mox ἀλλὰ καὶ ὀφ. N.O. Eclog. Sav. cet. [c] τόδε—αὐτῷ] αὐτὸ A. [d] ἐκομίσατο—παραβολῇ om. A. [e] τῷ τύπῳ Edd. τῷ om. K.N.O.Q.R. Eclog. inclusum a Sav. [f] ΗΘΙΚΟΝ. Ὅτι ὁ ὑπερορῶν τῶν γηΐνων μᾶλλον ταῦτα κτᾶται· καὶ κατὰ πλεονεκτῶν, ὅτι καὶ ἡ ἐλεημοσύνη αὐτῶν ἀπρόσδεκτος. Veron. [g] ὅταν] + γὰρ K.Q. Sav. cet. [h] τῷ λ. K.N.Q. et ex corr. O. Statim προδεδεμένους K.Q. Mox αὐτοῖς om. Q. Eclog. [i] λύε N. Statim σαυτὸν πρ. φ. pro φ. σαυτὸν πρ. A.K.O.Q.R. πρῶτον om. N. Eclog. [k] λάβῃς om. R. et olim O. Post δοῦλος add. ἢ R. [l] παίδων O.Q.R. Eclog.

Digitized by Google

ὅταν δὲ αὐτῶν καταφρονήσῃ καὶ μηκέτι [m]ἐπιθυμῇ, ἀδεῶς [n]αὐ-
τῶν μεταδιδόαμεν, εἰδότες ὡς οὐδεμία βλάβη λοιπὸν αὐτῷ ἐν-
τεῦθεν γίνεται, τῆς ἐπιθυμίας ἐκείνης οὐκέτι ἰσχυούσης [o]ἀπαγα-
γεῖν αὐτὸν τῶν ἀναγκαίων· οὕτω καὶ ὁ θεὸς, ὅταν ἴδῃ μηκέτι
ἐπιθυμοῦντας τῶν ἐνταῦθα, λοιπὸν ἀφίησιν αὐτοῖς κεχρῆσθαι·
ὡς γὰρ ἐλεύθεροι καὶ ἄνδρες αὐτὰ [p]ἔχομεν, οὐχ ὡς παῖδες. B
[q]Ὅτι γὰρ, ἐὰν καταφρονήσῃς τῆς τιμωρίας τῶν ἐχθρῶν, τότε
ἐπιτεύξῃ, ἄκουε τί φησιν· [6]"Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε
αὐτόν· [r]ἐὰν διψᾷ, πότιζε αὐτόν·" καὶ ἐπήγαγε, "Τοῦτο γὰρ
ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ." Καὶ
πάλιν, [s]ὅτι ἐὰν καταφρονήσῃς τοῦ πλούτου, τότε αὐτοῦ ἐπι-
τεύξῃ, ἄκουε [t]τοῦ Χριστοῦ λέγοντος· [7]"Οὐκ ἔστιν ὃς ἀφῆκε
πατέρα, ἢ μητέρα, ἢ οἰκίαν, ἢ ἀδελφοὺς, ὃς οὐχὶ ἑκατονταπλα-
σίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει." Καὶ ὅτι ἐὰν
καταφρονήσῃς δόξης, τότε αὐτῆς ἐπιτεύξῃ, ἄκουε [v]πάλιν αὐτοῦ C
τοῦ Χριστοῦ λέγοντος· [8]"Ὁ θέλων ἐν ὑμῖν [w]εἶναι πρῶτος,
ἔστω ὑμῶν διάκονος·" καὶ πάλιν, "Ὃς γὰρ ἂν ταπεινώσῃ ἑαυ-
τὸν, οὗτος ὑψωθήσεται." Τί λέγεις; ἐὰν [x]ποτίσω τὸν ἐχθρὸν,
τότε αὐτὸν κολάζω; ἐὰν ἀφῶ τὰ ὑπάρχοντα, τότε [y]αὐτὰ ἔχω;
ἐὰν ταπεινώσω [z]ἐμαυτὸν, τότε ὑψηλὸς ἔσομαι; Ναὶ, φησί· τοι-
αύτη γὰρ ἡ ἐμὴ δύναμις, διὰ τῶν ἐναντίων τὰ ἐναντία [a]παρέ-
χειν· εὔπορός εἰμι καὶ εὐμήχανος, μὴ δείσῃς· τῷ ἐμῷ θελήματι
ἡ τῶν πραγμάτων ἀκολουθεῖ φύσις, οὐκ ἐγὼ τῇ φύσει ἕπομαι·
ἐγὼ πάντα ἐργάζομαι, οὐκ ἐγὼ ὑπ' ἐκείνων ἄγομαι· διὸ καὶ
μεταπλάττειν καὶ μεταρρυθμίζειν αὐτὰ [b]δύναμαι. Καὶ τί θαυ- D
μάζεις [c]εἰ ἐν [d]τούτοις; τὸ αὐτὸ γὰρ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν
εὑρήσεις. [e]Ἐὰν ἀδικήσῃς, ἠδικήθης· ἐὰν ἀδικηθῇς, τότε οὐκ
ἠδικήθης· ἐὰν ἀμύνῃ, τότε οὐκ ἠμύνω, ἀλλὰ σαυτὸν ἠμύνω. [9]"Ὁ
γὰρ ἀγαπῶν τὴν ἀδικίαν, φησὶ, μισεῖ τὴν ἑαυτοῦ ψυχήν."
Ὁρᾷς ὅτι [f]οὐκ ἀδικεῖς, ἀλλ' ἠδικήθης; Διὰ τοῦτο καὶ [g]Παῦλος

6 Rom. xii. 20. 7 Matth. xix. 29. 8 Ibid. xx. 26. xxiii. 12. 9 Psal. x. 5.

m ἐπιθυμῇ] ἐνθυμῆσαι R. n αὐτὸν A. αὐτὰ N. Eclog. et ex corr. O. Statim μεταδίδωμεν R. ἐπιδιδόαμεν O. o ἀπάγειν K.O.Q.R. Eclog. p ἔχωμεν R. q ὅτι γὰρ] ὅταν A. r ἐὰν διψᾷ, π. αὐτὸν om. O.R. s ὅτι om. R. t τοῦ Χρ.] αὐτοῦ A. v πάλιν αὐτοῦ] Sic K.O.Q.R. Eclog. αὐτοῦ πάλιν Edd. τοῦ Χριστοῦ om. K.Q. w εἶναι πρ.] Sic A.K.N.O.Q. Eclog. πρ. εἶναι Edd. Statim ἔσται K.Q. x ποτίζω A. Veron. y αὐτὸν A. z ἑαυτὸν O.R. Eclog. Mox ὑψοθήσομαι (sic) pro ὑψ. ἔσομαι N. a παρέχει N. Sav. cet. b δύναμαι] βούλομαι N. Eclog. c εἰ om. N. Eclog. d τούτοις] τοῖς τοιούτοις γίνεται τὸ τοιοῦτο K.Q. Sav. cet. Mox γὰρ om. K.Q. e ἐὰν] + γὰρ K.Q. Sav. cet. Statim ἀδικῇς O.R. f οὐκ ἀδικεῖς, ἀλλ' ἠδικήθης] Sic N. Sav. cet. οὐκ ἠδικήθης, ἀλλ' ἀδικεῖς A.K.O.Q.R. Eclog. Mut. Veron. g ὁ Παῦλος N. Sav. cet. Mox λέγει pro φησι K.Q.

Digitized by Google

φησι, [10] "Διὰ τί [h] οὐχὶ μᾶλλον ἀδικεῖσθε;" [i] Εἶδες ὅτι οὐκ ἔστι τοῦτο ἀδικεῖσθαι; Ὅταν ὑβρίσῃς, τότε ὑβρίσθῃς. Καὶ τοῦτο
231 ἐκ μέρους ἴσασιν οἱ πολλοί· ὡς ὅταν λέγωσι πρὸς ἀλλήλους, ἄγωμεν ἐντεῦθεν, μὴ ὑβρίσῃς σαυτόν. Διὰ τί; Ὅτι πολὺ τὸ μέσον σοῦ κἀκείνου· ὅσα γὰρ ἂν ὑβρίσῃς, ἐκεῖνος δόξαν ἡγεῖται. Τοῦτο ἐπὶ πάντων ἐννοῶμεν, καὶ [k] γενώμεθα ὑψηλότεροι τῶν ὕβρεων. Πῶς, ἐγὼ λέγω· [l] ἐὰν πρὸς αὐτὸν τὸν τὴν ἀλουργίδα ἔχοντα μάχην ἔχωμεν, [m] τῷ ὑβρίζειν αὐτὸν ἡμᾶς αὐτοὺς ὑβρί- (558)
ζειν [n] ἡγώμεθα· [o] τοῦ γὰρ πλύνεσθαι [p] ἄξιοι γινόμεθα. [q] Τί λέγεις, εἰπέ μοι; τῶν οὐρανῶν πολίτης ὢν, καὶ τὴν ἄνω φιλοσοφίαν ἔχων, μετὰ τοῦ [r] τὰ γήϊνα φρονοῦντος πλύνεις σαυτόν;
B Κἂν γὰρ μυρία χρήματα κέκτηται, κἂν ἐν δυναστείᾳ [s] ᾖ, οὔπω οἶδε τὸ καλὸν τὸ σόν. Μὴ [t] ὑβρίσῃς σαυτὸν, ἐκεῖνον ὑβρίζων· σαυτοῦ φεῖσαι, μὴ ἐκείνου· σαυτὸν τίμησον, μὴ ἐκεῖνον. Οὐχὶ παροιμία [v] τοιαύτη ἐστὶν, ὁ τιμῶν, ἑαυτὸν τιμᾷ; Εἰκότως· οὐ γὰρ ἐκεῖνον τιμᾷ, ἀλλ' ἑαυτόν. Ἄκουε σοφοῦ τινος λέγοντος, [11] "Ποίησον τῇ ψυχῇ σου τιμὴν κατὰ τὴν ἀξίαν αὐτῆς." "[w] Κατὰ τὴν ἀξίαν αὐτῆς," τί ἐστιν; [x] Εἰ ἐπλεονέκτησε, φησὶ, μὴ πλεονεκτήσῃς· εἰ ὕβρισε, μὴ ὑβρίσῃς. Εἰπέ μοι, παρακαλῶ, εἴ τις πένης πηλὸν ἐρριμμένον ἀπὸ τῆς αὐλῆς ἔλαβε τῆς σῆς,
C ἆρα ἂν ὑπὲρ τούτου [y] δικαστήριον συνεκρότησας; Οὐδαμῶς. Διὰ τί; Ἵνα μὴ ὑβρίσῃς σαυτὸν, ἵνα μὴ πάντες σου καταγνῶσι. Τοῦτο καὶ νῦν [z] γίνεται· πένης γάρ ἐστιν ὁ πλούσιος, καὶ [a] ὅσῳ πλουτεῖ, τοσούτῳ [b] πένεται τὴν ὄντως πενίαν. Πηλός ἐστιν ὁ χρυσὸς, ἐν αὐλῇ ἐρριμμένος, οὐκ ἐν τῇ οἰκίᾳ σου κείμενος· ἡ γὰρ οἰκία σου [c] ὁ οὐρανός ἐστιν. Ὑπὲρ τούτου οὖν συγκροτήσεις δικαστήριον, καὶ οὐ καταγνώσονταί σου οἱ ἄνω πολῖται; οὐκ ἐκβαλοῦσί σε τῆς [d] ἑαυτῶν πατρίδος, τὸν οὕτω ταπεινὸν, τὸν οὕτως εὐτελῆ, ὡς ὑπὲρ ὀλίγου πηλοῦ μάχεσθαι αἱρεῖσθαι; Εἰ
D γὰρ ὁ κόσμος ἦν σὸς, εἶτα αὐτόν τις ἔλαβεν, ἐπιστραφῆναι

[10] 1 Cor. vi. 7. [11] Sirac. x. 28.

[h] οὐχὶ] οὐ A.N. Veron. [i] εἰδὼς K.Q. [k] γενώμεθα] Sic K.N.O.Q. Eclog. Mut. γινώμεθα A. γενόμεθα R. γινόμεθα Edd. [l] ἂν Q.R. Eclog. [m] τῷ] τὸ A.O. [n] ἡγώμεθα] Sic K.N.R. et a pr. m. O. *putemus* Mut. ἡγούμεθα Edd. [o] τοῦ γὰρ] καὶ γὰρ πλύνοντες ἐκεῖνον, καὶ ἡμεῖς τοῦ K.Q. Sav. cet. [p] ἄ. γινόμεθα] γινόμεθα ἄ. K.Q. ἄ. ἡγούμεθα Eclog. et fortasse Mut. qui haec τοῦ γὰρ—γινόμεθα non vertit. [q] τί λ. εἰπέ μοι om. K. εἰπέ μοι om. Q. [r] τὰ om. N. Eclog. [s] ᾖ] εἴη N. [t] ὑβρίζῃς A. Veron. [v] τοιαύτη] + τις K.Q. [w] κατὰ—τί ἐστιν] Sic N. Eclog. et in marg. O. τί ἐστι, κατὰ τ. ἀ. αὐτῆς K.Q. Sav. cet. τί ἐστι (om. κατὰ τ. ἀ. αὐτῆς) A.R. Veron. et in text. O. *quid est hoc?* Mut. [x] εἰ om. Veron. εἰ ante ὕβρισε om. A.K.N. Veron. Mut. [y] δικαστήριον] + αὐτῷ K.Q. Sav. cet. [z] γίνεται] συμβαίνει K.Q. [a] ὅσον . . τοσοῦτον K. [b] πένεται] πένης γίνεται K.N.Q. Eclog. Sav. cet. [c] ὁ om. K. Eclog. [d] ἑαυτῶν] ἄνω N.

Digitized by Google

ἐχρῆν; Οὐκ οἶδας ὅτι δεκάκις τὴν οἰκουμένην ἐὰν θῇς, [e]καὶ ἑκατοντάκις, καὶ μυριάκις, καὶ δὶς τοσοῦτον, οὐδὲ πρὸς τὸ [f]πολλοστὸν τῶν ἐν τοῖς οὐρανοῖς ἐστιν ἀγαθῶν; Ὁ τοίνυν τὰ ἐνταῦθα θαυμάζων, ἐκεῖνα ὕβρισεν, [g]εἴγε [h]ταῦτα ἄξια σπουδῆς ἡγεῖται, τοσοῦτον ἐκείνων ἀπολιμπανόμενα· μᾶλλον δὲ οὐδὲ θαυμάσαι ἐκεῖνα [i]δυνήσεται· πῶς γὰρ, πρὸς ταῦτα ἐπτοημένος; 232
[k]Διατέμωμεν τὰ σχοινία καὶ τὰς πλεκτάνας· τοῦτο γὰρ τὰ γήϊνα πράγματα. Μέχρι πότε [l]κάτω κύπτομεν; μέχρι τίνος ἀλλήλοις ἐπιβουλεύομεν, καθάπερ τὰ θηρία, καθάπερ οἱ ἰχθύες; Μᾶλλον δὲ, τὰ θηρία οὐκ ἐπιβουλεύει ἀλλήλοις, ἀλλὰ τοῖς ἀλλοφύλοις· οἷον, [m]ἄρκος ἄρκον οὐ ταχέως ἀναιρεῖ, οὐδὲ ὄφις ὄφιν [n]οὐκ ἀναιρεῖ, τὸ ὁμόφυλον αἰδούμενος· σὺ δὲ μετὰ τοῦ ὁμοφύλου καὶ [o]μυρία ἔχων δικαιώματα, τὸ συγγενὲς, τὸ λογικὸν, [p]τὸ τὸν θεὸν εἰδέναι, μυρία ἄλλα ἕτερα, [q]τῆς φύσεως τὴν ἰσχὺν, τὸν συγγενῆ [r]καὶ τῆς αὐτῆς φύσεως κεκοινωνηκότα, B
τοῦτον ἀναιρεῖς, καὶ μυρίοις περιβάλλεις κακοῖς. Τί γὰρ, εἰ μὴ τὸ ξίφος [s]ὠθεῖς, μηδὲ βαπτίζεις εἰς τὴν [t]δέρρην τὴν δεξιάν; [v]ἕτερα χαλεπώτερα τούτου ποιεῖς, λύπαις διηνεκέσι περιβάλλων. Ἐκεῖνο γὰρ εἰ εἰργάσω, ἀπήλλαξας ἂν αὐτὸν φροντίδος· νῦν δὲ λιμῷ, [w]δουλείᾳ περιβάλλεις, ἀποδυσπετήσεσιν, [x]ἁμαρτίαις πολλαῖς.

Ταῦτα λέγω, καὶ λέγων οὐ [y]παύσομαι, οὐχὶ φονᾶν ὑμᾶς παρασκευάζων, οὐδὲ ὡς ἐπὶ ἔλαττον ἐκείνου κακὸν [z]ἔρχεσθαι προτρεπόμενος, ἀλλὰ μὴ θαρρεῖν, ὡς μὴ μέλλοντας δώσειν δί- C
κην. [12]"Ὁ ἀφαιρούμενος γὰρ, φησὶν, ἐμβίωσιν, [a]καὶ ἄρτον αἰτῶν," φησί. Κατάσχωμεν παρ' ἑαυτοῖς τὰς χεῖράς [b]ποτε· μᾶλλον δὲ μὴ κατάσχωμεν, ἀλλ' ἐκτείνωμεν αὐτὰς καλῶς, μὴ πρὸς πλεονεξίαν, ἀλλὰ πρὸς ἐλεημοσύνην· μὴ ἄκαρπον ἔχωμεν τὴν χεῖρα, μηδὲ ξηράν· ἡ μὲν γὰρ μὴ ποιοῦσα ἐλεημοσύνην,

[12] Sirac. xxxiv. (xxxi.) 22.

[e] καὶ ἑκ. καὶ μυρ. om. A. [f] πολλοστὸν] + μέρος A.N. et marg. O. receptum a Sav. cet. Statim ἔστι τῶν ἀγ. τῶν ἐν οὐρανοῖς N. [g] εἴγε] καὶ K.Q. [h] ταῦτα] ὅσον αὐτὰ K.O.Q.R. Eclog. Mox ἀπολιμπάνεται iidem. ἀπολιμπανώμεθα A. [i] δυνήσῃ A.N. Veron. Mut. [k] διατέμωμεν] + ὀψὲ γοῦν ποτε, παρακαλῶ K.Q. Sav. cet. [l] κατακύπτομεν R. [m] ἄρκτος ἄρκτον K.Q. Sav. cet. Statim οὐ τ. ἀναιρεῖ pro οὐκ ἀναιρεῖ τ. K.N.O.Q.R. Eclog. [n] οὐκ assumtum ex iisdem. [o] μυρία] πολλὰ K.Q. [p] τὸ om. A. τὸν om. Veron. [q] Haec τῆς φ. τὴν ἰσχὺν post εἰδέναι transp. K.Q. Sav. cet. [r] καὶ τῆς αὐτῆς] τὸν τῆς Q. [s] ὠθῇς ex corr. O. Mox βαπτίζῃς O. et olim N. καταβαπτίζεις A. [t] δέρρην] Sic R. Veron. δέρριν A. δειρὴν N.O. δέρην K.Q. Sav. cet. [v] ἕτερα] + δὲ O.R. [w] δουλείᾳ] Sic A. Veron. Mut. δουλείας N.O.R. Eclog. καὶ δουλείᾳ K.Q. Sav. cet. [x] ἁμαρτίαις] καὶ ἁμ. ἑτέραις K.Q. Mut. Sav. cet. [y] παύομαι a pr. m. O. [z] ἔρχεσθαι] + πρὸς τοῦτο K.Q. Sav. cet. Statim ἐπιτρεπ. K.Q. [a] Vid. Annot. [b] ποτε] + παρακαλῶ, κατάσχωμεν K.Q. Sav. cet.

Digitized by Google

ξηρά· ἡ δὲ [c]καὶ πλεονεκτοῦσα, μιαρὰ καὶ ἀκάθαρτος. Μηδεὶς μετὰ τοιούτων ἐσθιέτω χειρῶν· ὕβρις γὰρ τῶν κεκλημένων τοῦτο. Εἰπὲ γάρ μοι, εἴ τις ἐπὶ ταπήτων καὶ στρωμνῆς ἁπα-
D λῆς καὶ χρυσοπάστων σινδόνων κατακλίνας ἡμᾶς ἐν οἴκῳ λαμπρῷ καὶ μεγάλῳ, [d]καὶ πολὺ πλῆθος διακόνων παραστησάμενος, εἶτα πίνακα ἐξ ἀργύρου παρασκευασάμενος καὶ χρυσοῦ, καὶ πολλῶν ἐμπλήσας ἐδεσμάτων καὶ πολυτελῶν καὶ παντοδαπῶν, ἠνάγκαζεν ἐσθίειν, [e]εἰ μόνον ἀνεξόμεθα αὐτοῦ τὰς χεῖρας εἰς βόρβορον χρίοντος ἢ καὶ κόπρον ἀνθρωπίνην, καὶ οὕτω [f]συγκατακλινομένου· ἆρα ἄν τις ταύτην ἠνέσχετο τὴν κόλασιν, ἀλλ' οὐχ ὕβριν τὸ πρᾶγμα [g]ἐνόμισεν ἄν; Ἔγωγε οἶμαι, καὶ εὐθέως
233 ἂν ἀπεπήδησε. Νῦν δὲ βορβόρου τοῦ ὄντως οὐχὶ τὰς χεῖρας (559)
ὁρᾷς ἐμπεπλησμένας, ἀλλὰ καὶ αὐτὰ τὰ ἐδέσματα, καὶ οὐκ ἀποπηδᾷς, [h]οὐ φεύγεις, οὐκ ἐπιτιμᾷς· ἀλλ' ἐὰν ἐν δυναστείᾳ ᾖ, [i]καὶ μέγα τὸ πρᾶγμα τίθεσαι, καὶ τὴν ψυχὴν ἀπολλύεις τὴν σαυτοῦ, τοιαῦτα σιτούμενος. Παντὸς γὰρ βορβόρου πλεονεξία χείρων· [k]ψυχὴν γάρ, οὐ σῶμα μολύνει, καὶ ποιεῖ δυσέκπλυτον. [l]Σὺ τοίνυν ὁρῶν τοῦ βορβόρου τούτου ἀνακεχρωσμένον [m]μὲν τὸν κατακλινόμενον, καὶ τὰς χεῖρας καὶ τὴν [n]ὄψιν, ἐμπεπλησμένην [o]δὲ τὴν οἰκίαν, ἐμπεπλησμένην δὲ καὶ τὴν τράπεζαν· βολβίτων γάρ, καὶ [p]εἴ τι τούτων ἀκαθαρτότερον, ἀκαθαρτότερα
B ἐκεῖνα καὶ [q]μιαρώτερα τὰ ἐδέσματα· ὡς δὴ τιμηθεὶς διάκεισαι, καὶ ὡς μέλλων τρυφᾶν; καὶ οὐδὲ τὸν Παῦλον δέδοικας, εἰς μὲν Ἑλλήνων τράπεζαν, εἰ βουλοίμεθα, ἀκωλύτως συγχωροῦντα ἀπελθεῖν, εἰς δὲ [r]τὰς τῶν πλεονεκτῶν οὐδὲ βουλομένους ἐῶντα; [13]"Ἐὰν γάρ τις ἀδελφὸς ὀνομαζόμενος ᾖ," [s]φησίν· ἀδελφὸν ἐνταῦθα λέγων πάντα τὸν πιστὸν ἁπλῶς, οὐ τὸν μονάζοντα. Τί γάρ ἐστι τὸ ποιοῦν τὴν ἀδελφότητα; Τὸ λουτρὸν τῆς παλιγγενεσίας, τὸ δυνηθῆναι καλέσαι πατέρα [t]τὸν θεόν. Ὥστε ὁ μὲν [v]μοναχὸς ὤν, ἂν κατηχούμενος ᾖ, οὐκ ἀδελφός· ὁ δὲ πι-
C στός, κἂν κοσμικὸς [w]ᾖ, ἀδελφός ἐστιν. "Εἴ τις, φησίν, ἀδελ-

13 1 Cor. v. 11.

[c] καὶ om. Q. [d] καὶ] εἶτα K.Q. Mox καὶ pro εἶτα iidem. [e] εἰ μ. ἀνεξόμεθα] ἐὰν ἓν μ. ἀνεξώμεθα N. [f] κατακλινομένου O. [g] ἐνόμιζεν O. Sav. cet. ἂν om. K.Q. [h] οὐ φεύγεις] οὐδὲ φεύγεις K.Q. οὐκ ἀποφεύγεις N. Eclog. Sav. cet. [i] καὶ om. N.O.R. Eclog. Veron. invito Mut. Mox τίθεσθαι A. [k] ψ. γὰρ] αὕτη ψ. K.Q. [l] σὺ] ὁ R. [m] [μὲν] Sav. μὲν om. K.Q. [n] ὄψιν] ψυχὴν R. [o] δὲ] + καὶ K.N.Q. Eclog. ἐμπ. δὲ τὴν οἰκίαν om. O.R. ἐμπ. δὲ in 2do loco om. K.N.Q. Eclog. Post ἐμπ. δὲ add. καὶ τὴν οἰκίαν in marg. a 2da m. O. [p] Vid. Annot. [q] μιαρὰ R. et olim O. [r] τὰς τῶν] τὰ Q. [s] φησὶ] + πόρνος N. Eclog. Sav. cet. Mox πάντα om. a pr. m. A. [t] τὸν om. R. et olim O. [v] μ. ὢν (ὢν om. K.Q.) ἂν (κἂν A.O.R.) κατ. ᾖ] Sic nostri omnes et Eclog. κατηχούμενος, κἂν μοναχὸς ᾖ Edd. Mut. [w] ᾖ] εἴη N.

Digitized by Google

φὸς ὀνομαζόμενος.” Οὐδὲ γὰρ ἴχνος [x]τότε μονάζοντος ἦν,
ἀλλὰ πάντα πρὸς κοσμικοὺς διελέγετο ὁ μακάριος οὗτος. “Ἐάν
τις, [y]φησὶν, ἀδελφὸς ὀνομαζόμενος [z]ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ
μέθυσος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.” Ἀλλ’ οὐκ ἐπὶ τῶν Ἑλ-
λήνων οὕτως, [a]ἀλλ’, [14]“Ἐάν τις ὑμᾶς καλέσῃ τῶν ἀπίστων,”
τοὺς Ἕλληνας λέγων, “καὶ [b]θέλητε πορεύεσθαι, πᾶν τὸ παρα-
τιθέμενον ὑμῖν ἐσθίετε.” “[c]Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος
[d]ᾖ, φησὶ, μέθυσος.” Βαβαὶ, [e]πόση ἡ ἀκρίβεια. Ἡμεῖς δὲ οὐ D
μόνον οὐ φεύγομεν τοὺς μεθύσους, ἀλλὰ καὶ ἀπερχόμεθα πρὸς
αὐτοὺς, μεθέξοντες τῶν παρ’ [f]αὐτῶν. Διὰ τοῦτο πάντα ἄνω
καὶ κάτω γεγένηται, πάντα συγκέχυται καὶ ἀνατέτραπται καὶ
ἀπόλωλεν. Εἰπὲ γάρ μοι, εἰ καλέσειέ σέ τις τῶν τοιούτων
[g]ἐπὶ ἑστίασιν, σὲ τὸν πένητα καὶ εὐτελῆ νομιζόμενον, εἶτα
ἀκούσειε παρὰ σοῦ, ὅτι ἐπειδὴ ἀπὸ πλεονεξίας [h]ἐστὶ τὰ παρα-
τιθέμενα, οὐκ ἀνέξομαι μολύνειν τὴν [i]ἐμαυτοῦ ψυχὴν, οὐκ ἂν
ἠδέσθη; οὐκ ἂν ἐνετράπη; οὐκ ἂν κατῃσχύνθη; Τοῦτο μόνον 234
ἱκανὸν ἦν διορθῶσαι, καὶ ποιῆσαι ταλανίσαι μὲν ἐπὶ τῷ πλούτῳ
ἑαυτὸν, θαυμάσαι δὲ ἐπὶ τῇ πενίᾳ σε, εἴγε ἑώρα ἑαυτὸν μετὰ
τοσαύτης σπουδῆς καταφρονούμενον [k]παρὰ σοῦ. Ἀλλὰ γεγό-
ναμεν δοῦλοι ἀνθρώπων, οὐκ οἶδα πόθεν, τοῦ Παύλου ἄνω καὶ
κάτω βοῶντος, [15]“Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων.” [l]Πόθεν οὖν
γεγόναμεν δοῦλοι ἀνθρώπων; Ἐπειδὴ πρότερον γαστρὸς [m]ἐγε-
νόμεθα δοῦλοι, καὶ χρημάτων καὶ δόξης καὶ τῶν ἄλλων ἁπάντων·
προεδώκαμεν τὴν ἐλευθερίαν, ἣν ἐχαρίσατο ἡμῖν ὁ Χριστός.
Τί οὖν μένει τὸν γενόμενον δοῦλον, εἰπέ μοι; Ἄκουε τοῦ
Χριστοῦ λέγοντος, [16]“Ὁ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν B
αἰῶνα.” Ἔχεις ἀπόφασιν αὐτοτελῆ, ὅτι οὐδέποτε [n]εἰς βασι-
λείαν εἰσέρχεται· ἡ γὰρ οἰκία τοῦτό ἐστιν. [17]“Ἐν γὰρ τῇ
οἰκίᾳ, [o]φησὶ, τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν.” Ὁ τοίνυν
δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· δοῦλον ἐκεῖνον λέγει
τὸν τῆς ἁμαρτίας δοῦλον· ὁ δὲ μὴ μένων ἐν τῇ οἰκίᾳ εἰς τὸν
αἰῶνα, ἐν τῇ γεέννῃ μένει εἰς τὸν αἰῶνα, οὐδαμόθεν ἔχων παρα-

14 1 Cor. x. 27. 15 Ibid. vii. 23. 16 Joan. viii. 35. 17 Ibid. xiv. 2.

[x] τότε μ.] μ. τότε K.O.Q.R. [y] φησὶν] οὖν K.Q. [z] ᾖ] ἢ N.O.R. Veron. [a] ἀλλ’ ἐὰν] ἀλλὰ τί; ἐὰν K.Q. Sav. cet. Mox καλῇ K.Q. [b] θέλετε A. Eclog. [c] ἐὰν] + δὲ N. Eclog. Sav. cet. Sic ex corr. O. [d] ᾖ, φ.] φησὶν, ᾖ (ἢ O.) O.R. ᾖ om. N. Eclog. Mut. [e] πόση ἡ] ὅση N. [f] αὐτοῖς K.Q. [g] ἐπ’ ἑστ. A. ἐφ’ ἑστ. K. Post ἑστίασιν add. ἡτοιμασμένην K.Q. Sav. cet. Proximum σὲ om. K.Q. [h] εἰσὶ R. Veron. [i] ἑαυτοῦ A.R. et olim O. Mox ἐνετράπη et κατῃσχύνθη transp. N. [k] παρὰ] ὑπὸ Veron. [l] πόθεν—ἀνθρώπων om. A. Veron. [m] ἐγενόμεθα] γεγόναμεν K.O.Q.R. Eclog. Post δοῦλοι add. ἐπειδὴ (ἐπεὶ οὖν Q.) οὐ μόνον γαστρὸς, ἀλλὰ K.Q. [n] εἰς β. εἰσέρχεται] ἔρχεται εἰς β. N. [o] φ. τοῦ π. μου] τοῦ π. μου, φ. K.N.Q.

Digitized by Google

μυθίαν. Ἀλλὰ γὰρ εἰς [p]τοῦτο κακίας τὰ πράγματα ἦλθεν, ὡς καὶ ἐλεημοσύνας αὐτοὺς ἀπὸ τούτων ποιεῖν, καὶ πολλοὺς δέχε-
C σθαι. [q]Διὰ τοῦτο ἡ παρρησία ἡμῶν ἐκκέκοπται, καὶ οὐδὲ ἐπιτιμῆσαί [r]τινι δυνάμεθα. Ἀλλ' ὅμως κἂν ἀπὸ τοῦ νῦν [s]φεύγωμεν τὴν ἐντεῦθεν βλάβην· ὑμεῖς τε οἱ τὸν βόρβορον τοῦτον [t]ἀνελίττοντες, παύσασθε τῆς τοιαύτης λύμης, καὶ ἐπίσχετε τὴν ἐν τοῖς τοιούτοις συμποσίοις ὁρμήν, εἴ πως κἂν [v]νῦν δυνηθῶμεν ἐξιλεώσασθαι τὸν θεὸν, καὶ τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

235 ΛΟΓΟΣ ΚS. (560)

[1]Πίστει [a]καὶ περὶ μελλόντων ηὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ. Πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ ηὐλόγησε, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. Πίστει Ἰωσὴφ τελευτῶν, περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε, καὶ περὶ τῶν [b]ὀστῶν αὐτοῦ ἐνετείλατο.

[2]"ΠΟΛΛΟΙ, φησὶ, προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν
B ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν." [c]Ἆρα πάντα τὰ μέλλοντα ᾔδεσαν οἱ δίκαιοι; [d]Καὶ σφόδρα. Εἰ γὰρ [e]διὰ τοῦτο οὐκ ἀπεκαλύπτετο ὁ υἱὸς, διὰ τὴν ἀσθένειαν τῶν μὴ δυναμένων αὐτὸν δέξασθαι, τοῖς ἐν ἀρετῇ διαλάμπουσιν [f]εἰκότως ἀπεκαλύπτετο. Τοῦτο [g]καὶ ὁ Παῦλός φησιν, ὅτι τὰ μέλλοντα [h]ᾔδεσαν, τουτέστι, τὴν ἀνάστασιν τοῦ Χριστοῦ. Ἢ [i]οὐ τοῦτό φησιν, [k]ἀλλὰ, "πίστει περὶ μελλόντων," [l]οὐ τοῦ μέλλοντος αἰῶνος, ἀλλὰ περὶ [m]μελλόντων τῶν ἐνταῦθα. [n]Πῶς γὰρ ἄνθρωπος καθήμενος ἐν ξένῃ, τοιαύτας εὐ-

1 Cap. XI. v. 20—22. 2 Matth. xiii. 17.

p τοῦτο] τοσοῦτον K.N.Q. Eclog. Sav. cet. Sic ex corr. O. q διὰ τ. ἡ π.] καὶ τοῦτο τῆς παρρησίας R. Mox ἐγκέκοπται Veron. Sav. Mor. invitis libris. r τινα R. s φύγωμεν R. τοιαύτην pro ἐντεῦθεν idem. t ἀνορύττοντες N. v νῦν om. N. Hom. XXVI. a καὶ om. A. Veron. Sav. Mor. b ὀστέων N.O. Mox ἐνετείλατο om. Q. c ἆρα] τί οὖν K.Q. d καὶ σφ.] σφ. γε K.Q. e διὰ τοῦτο—δέξασθαι] καὶ διὰ τὴν ἀσθένειαν τῶν μὴ δ. α. δ. οὐκ ἀπεκ. ὁ υἱὸς (θεὸς Sav. Mor.) K.Q. Sav. cet. f εἰκότως] ὅμως K.Q. Sav. Mor. g καὶ] + νῦν K.Q. Sav. cet. Mox αἰνιττόμενος pro φησὶν K.Q. h ᾔδεσαν] + τὸ πίστει περὶ μελλόντων λέγει K.Q. i οὐ] οὖν A(?). K.Q. Sav. cet. invitis Cat. Mut. οὐ om. R. k ἀλλὰ] ἢ τὸ K.Q. Sav. cet. l οὐ] + περὶ iidem. m μελλ. τῶν ἐντ.] Sic N.R. Cat. Veron. τῶν μελλ. ἐντ. A. τῶν μελλ. τῶν ἐντ. O. τῶν ἐντ. μελλ. ὕστερον γίνεσθαι λέγει K.Q. Sav. cet. n πῶς γὰρ] ἂν γὰρ μὴ τοῦτο, πῶς iidem.

Digitized by Google

λογίας [o] ἐδίδου; Ἀλλὰ πάλιν ἐπέτυχεν [p] εὐλογίας, καὶ οὐκ C
ἔλαβεν αὐτήν. Ὁρᾷς ὅτι ὅπερ ἔφην ἐπὶ μὲν τοῦ [q] Ἀβραὰμ,
καὶ ἐπὶ τοῦ Ἰακὼβ ἔστιν εἰπεῖν, ὅτι οὐκ [r] ἀπώνατο τῆς εὐλο-
γίας, ἀλλ' εἰς ἐκγόνους ἐξῆλθε τὰ τῶν εὐλογιῶν, αὐτὸς δὲ τῶν
μελλόντων ἔτυχεν; εὑρίσκομεν γὰρ τὸν ἀδελφὸν μᾶλλον ἀπο-
λελαυκότα. [s] Ὁ μὲν γὰρ ἐν δουλείᾳ καὶ [t] θητείᾳ καὶ κινδύνοις
καὶ ἐπιβουλαῖς καὶ ἀπάταις καὶ φόβοις τὸν ἅπαντα διεγένετο
χρόνον, ἐρωτώμενός [v] τε παρὰ τοῦ Φαραὼ φησι, [3] "Μικραὶ καὶ
πονηραὶ αἱ ἡμέραι μου γεγόνασιν·" ἐκεῖνος δὲ ἐν [w] αὐθεντίᾳ καὶ
ἀδείᾳ πολλῇ, καὶ μετὰ [x] ταῦτα ἦν αὐτῷ φοβερός. Ποῦ οὖν
ἐξέβησαν αἱ εὐλογίαι, ἀλλ' ἢ ἐν τῷ μέλλοντι; Ὁρᾷς ὅτι ἄνω- D
θεν οἱ πονηροὶ τῶν ἐνταῦθα [y] ἀπήλαυον, [z] οἱ δὲ δίκαιοι τοὐναν-
τίον; οὐ μὴν πάντες. Ἰδοὺ γὰρ [a] ὁ Ἀβραὰμ δίκαιος ἦν, καὶ
ἀπήλαυσε καὶ τῶν ἐνταῦθα, πλὴν μετὰ [b] θλίψεως καὶ πειρα-
σμῶν· καὶ γὰρ πλοῦτος ἦν αὐτῷ μόνον, ἐπεὶ τὰ ἄλλα πάντα
θλίψεως ἔγεμε τὰ κατ' αὐτόν. Οὐ γὰρ ἔστι τὸν δίκαιον μὴ
θλίβεσθαι, κἂν πλουτῇ· ὅταν γὰρ [c] βούληται πλεονεκτεῖσθαι,
ἀδικεῖσθαι, τὰ ἄλλα πάσχειν, ἀνάγκη θλίβεσθαι. Ὥστε κἂν 236
ἀπολαύῃ τοῦ πλούτου, οὐκ ἀλύπως. Τί δήποτε; Ὅτι ἐν θλί-
ψει ἐστὶ καὶ ὀδύνῃ. Εἰ δὲ τότε ἐν θλίψει οἱ δίκαιοι, πολλῷ
μᾶλλον νῦν. "Πίστει [d] περὶ μελλόντων, φησὶν, εὐλόγησεν
Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ." [e] Καίτοιγε μείζων ἦν ὁ
Ἡσαῦ· ἀλλὰ προτίθησιν ἀπὸ τῆς ἀρετῆς τὸν Ἰακώβ. Ὁρᾷς
[f] ὅση ἦν ἡ πίστις; [g] Πόθεν ἐπηγγέλλετο τοῖς υἱοῖς [h] τοσαῦτα
ἀγαθά; [i] Ἀπὸ τοῦ πιστεύειν τῷ θεῷ πάντως.

"Πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐ-
λόγησεν." Ἐνταῦθα χρὴ θεῖναι τὰς εὐλογίας ὅλας, ἵνα καὶ ἡ B
πίστις καὶ ἡ προφητεία αὐτοῦ κατάδηλος γένηται. "Καὶ
προσεκύνησε, [k] φησὶν, ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ." Ἐν

[3] Gen. xlvii. 9.

[o] ἐδίδου; ἀλλὰ] ἠδύνατο διδόναι; πῶς δαὶ iidem. [p] εὐλογίας—αὐτὴν] ἦν οὐκ ἔλαβεν K.Q. [q] Ἀβρ. καὶ ἐπὶ τοῦ om. K. καὶ ἐπὶ (ἐπὶ om. R.) τοῦ Ἰακὼβ om. A. Veron. [r] ἀπώναντο N.O.R. Cat. Mut. Mox ἐγγόνους A. Cat. Veron. [s] ὁ μὲν γὰρ] καὶ ὁ μὲν K.Q. [t] θητείᾳ] θρηνῳδίᾳ O.R. καὶ θητείᾳ post δουλείᾳ in marg. add. O. καὶ ante κινδύνοις om. R. [v] τε] + γὰρ K.Q. [w] αὐθεντίᾳ (–τείᾳ K.Q.R. Cat.) καὶ ἀδείᾳ] Sic K.N.O.Q.R. Cat. ἀδείᾳ καὶ αὐθ. Edd. [x] ταῦτα] + δὲ K.Q. [y] ἀπέλαυνον A.R. Cat. Veron. Mox ἀπέλαυσε iidem. [z] οἱ δὲ δ. τοὺν. om. R. et in text. O. [a] ὁ om. R. et olim O. [b] θλίψεων K.Q.R. [c] βούλεται N. Mox ἀδικεῖσθαι om. a pr. m. O. καὶ pro ἀδικεῖσθαι R. [d] περὶ] καὶ περὶ R. [e] καίτοι N. Mox Ἡσαῦ sine artic. idem. καίτοιγε—Ἡσαῦ om. A. [f] πόση R. [g] πόθεν] + γὰρ K.Q. Sav. cet. Statim ἐπήγγελτο K.Q. ἐπηγγείλατο N. Sav. cet. [h] τοσαῦτα] τὰ τοσαῦτα N. Sav. cet. Sic ex corr. O. [i] ἀπὸ] ἢ ἀπὸ A.K.Q. Sav. cet. [k] φησὶν om. K.Q.

*ταῦθα, [l]φησὶν, οὐ μόνον εἶπεν, ἀλλὰ καὶ οὕτως ἐθάρρει τοῖς
ἐσομένοις, ὡς καὶ τῷ ἔργῳ [m]αὐτὸ ἐπιδεῖξαι. Ἐπειδὴ γὰρ ἔμελ-
λεν ἀπὸ τοῦ Ἐφραῒμ ἀνίστασθαι βασιλεὺς ἕτερος, διὰ τοῦτό
φησι, "Καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ·"
τουτέστι, καὶ γέρων ὢν ἤδη [n]προσεκύνει τῷ Ἰωσὴφ, τὴν παν-
τὸς τοῦ λαοῦ προσκύνησιν δηλῶν τὴν ἐσομένην αὐτῷ. Καὶ
τοῦτο ἐξέβη [o]μὲν ἤδη, [p]ὅτε αὐτῷ οἱ ἀδελφοὶ προσεκύνησαν·
ἐκβήσεσθαι δὲ ἔμελλεν [q]ὕστερον διὰ τῶν [r]δέκα φυλῶν. Ὁρᾷς
C πῶς τὰ ὕστερον ἐσόμενα προεῖπεν; ὁρᾷς ὅσην εἶχον πίστιν;
πῶς ὑπὲρ τῶν ἐσομένων ἐπίστευον; Τὰ μὲν γὰρ ὑπομονῆς ἐν-
ταῦθά ἐστιν ὑποδείγματα μόνης, τὰ παρόντα, καὶ τοῦ παθεῖν
κακῶς, καὶ τοῦ μηδὲν ἀπολαμβάνειν ἀγαθὸν, οἷον τὸ ἐπὶ τοῦ
Ἀβραὰμ, τὸ ἐπὶ τοῦ Ἄβελ· τὰ δὲ πίστεως, οἷον ἐπὶ τοῦ Νῶε,
ὅτι ἔστι [s]θεὸς, ὅτι ἔστιν ἀνταπόδοσις. Ἡ πίστις γὰρ [t]πολύ-
τροπός ἐστιν ἐνταῦθα, [v]τοῦ τε εἶναι ἀνταπόδοσιν, καὶ τοῦ μὴ
ἐπὶ τοῖς αὐτοῖς αὐτὴν [w]ἀναμένειν, καὶ [x]τοῦ πρὸ τῶν ἐπάθλων* (561)
D *ἀθλεῖν. Καὶ [y]τὰ κατὰ τὸν [z]Ἰωσὴφ δὲ πίστεως μόνης ἐστίν·
[a]ὅτι ἐπηγγείλατο τῷ Ἀβραὰμ, ὅτι ὑπέσχετο, "Σοὶ δώσω καὶ
τῷ σπέρματί σου τὴν γῆν ταύτην," ἤκουσεν ὁ Ἰωσήφ· [b]καὶ ἐν
ἀλλοτρίᾳ ὢν, καὶ οὐδέπω ὁρῶν ἐκβεβηκυῖαν τὴν ὑπόσχεσιν, οὐδὲ
οὕτω κατέπεσεν, [c]ἀλλ' οὕτως ἐπίστευσεν, ὡς καὶ περὶ τῆς ἐξό-
δου εἰπεῖν, καὶ περὶ τῶν ὀστῶν αὐτοῦ ἐντείλασθαι. Οὐκ ἄρα
μόνος αὐτὸς ἐπίστευσεν, ἀλλὰ καὶ τοὺς ἄλλους ἐνῆγεν εἰς [d]πί-*
237 *στιν, ἵνα ἀεὶ τῆς ἐξόδου [e]μεμνημένοι, ὅτι οὐκ ἂν περὶ τῶν
ὀστῶν αὐτοῦ ἐνετείλατο, εἰ μὴ πεπληροφόρητο, [f]προσδοκῶσι
τὴν ἐπάνοδον. Ὥστε ὅταν τινὲς λέγωσιν, ἰδοὺ καὶ δίκαιοι
ἐφρόντισαν μνημείων· λέγωμεν πρὸς αὐτοὺς ὅτι διὰ [g]τοῦτο·
[h]ᾔδει γὰρ ὅτι τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. Οὐκ ἂν
οὖν [i]ἐν τοσαύτῃ ζήσας φιλοσοφίᾳ τοῦτο ἠγνόησεν, [k]ὁ τὸν*

[l] *φησὶν*] *δείκνυσιν ὅτι* K.Q. Sav. cet. [m] *αὐτὸ*] Sic N.O. *αὐτῷ* Edd. [n] *προσκυνεῖ* N.R. Cat. [o] *μὲν* om. R. et olim O. [p] *ὅτε αὐτῷ*] *ὥστε αὐτὸν* A. *οἱ ἀδ. αὐτῷ* hoc ord. K.N.Q. [q] *καὶ ὕστερον* Edd. *καὶ* deest in omnibus. [r] *δώδεκα* K.Q. [s] *ὁ θεὸς* Edd. *ὁ* om. K.N.Q. et marg. O. *ὅτι ἔστι θεὸς* om. R. et in text. O. [t] *πολ. ἐστιν ἐνταῦθα*] *πολύσημός ἐστι λέξις· καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο σημαίνει· ἐνταῦθα δὲ σημαντική ἐστι* K.Q. Sav. cet. [v] *τοῦ τε*] *τοῦτο* A. [w] *ἀναμένειν*] + *πάντας* K.Q. Sav. Mor. [x] *τοῦ*] *τὸ* olim O. *πρὸ τοῦ* pro *τοῦ πρὸ* A. [y] *τὰ*] *τὸ* A. [z] *Ἰωσὴφ*] *Ἰακὼβ* A.O.R. Veron. Cat. Mut. Statim *δὲ* om. R. [a] *ὅτι*] + *γὰρ* K.Q. Sav. cet. Mox [*ὅτι ὑπέσχετο*] Sav. deletum in N. [b] *καὶ ἐν ἀλλ.*] *ἐν ἀλλ. δὲ* K.Q. [c] *ἀλλὰ* N. Mox *ὀστέων* bis K.N.Q. [d] *πίστιν*] + *διὰ τοῦτο καὶ ἐντέλλεται* K.Q. Sav. cet. [e] *μεμν.* (+ *ὦσιν* in marg. R.) *ὅτι οὐκ ἂν*] *τῆς ἐξόδου μεμν. ὦσιν· οὐκ ἂν δὲ* iidem. [f] *προσδοκῶσι*] *ἔσεσθαι* iidem. *προσδοκήσεσι* R. et fort. a pr. m. O. Statim *τὴν ἔξοδον* Veron. [g] *τοῦτο*] + *ἄλλως δὲ μηδαμῶς* K.Q. Sav. cet. [h] *ᾔδει γὰρ*] *μὴ γὰρ οὐκ ᾔδει* K.Q. [i] *ἐν*] *ὁ ἐν* R. [k] *ὁ τὸν—ζήσας* om. K.Q. inclusum a Sav.

Digitized by Google

ἅπαντα χρόνον ἐν Αἰγύπτῳ ζήσας. Καίτοιγε ἐξῆν, [l]εἴγε
ἐβούλετο, ἐπανελθεῖν, [m]καὶ μὴ πενθῆσαι μηδὲ [n]δυσχεράναι.
Ἀλλὰ καὶ τὸν πατέρα ἐκεῖ ἀναγαγὼν, τίνος ἕνεκεν καὶ τὰ [o]αὐ-
τοῦ ὀστᾶ ἀναγαγεῖν ἐκεῖθεν ἐπέσκηψεν; ἢ δῆλον ὅτι διὰ τοῦτο;
Τί δὲ, εἰπέ μοι; τοῦ Μωϋσέως αὐτοῦ τὰ ὀστᾶ οὐκ ἐν ξένῃ B
[p]κεῖται; τὰ δὲ [q]Ἀαρὼν, τὰ δὲ Δανιὴλ, τὰ δὲ Ἱερεμίου; τὰ δὲ
τῶν ἀποστόλων οὐδὲ ἴσμεν τῶν πολλῶν [r]ὅπου κεῖται. Πέτρου
μὲν γὰρ καὶ Παύλου καὶ Ἰωάννου καὶ Θωμᾶ δῆλοι οἱ τάφοι·
τῶν δὲ ἄλλων τοσούτων ὄντων, οὐδαμοῦ γνώριμοι γεγόνασι.
Μηδὲν τοίνυν ὑπὲρ [s]τούτου κοπτώμεθα, μηδὲ οὕτω μικροψυχῶ-
μεν· ὅπου γὰρ ἂν ταφῶμεν, [4]"Τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλή-
ρωμα αὐτῆς." Πάντως ὃ δεῖ γενέσθαι, γίνεται· τὸ μέντοι πεν-
θεῖν καὶ κόπτεσθαι [t]καὶ ὀδύρεσθαι τοὺς ἀπελθόντας, ἀπὸ μικρο-
ψυχίας γίνεται.

[5]"Πίστει Μωϋσῆς γεννηθεὶς ἐκρύβη [v]τρίμηνον ὑπὸ τῶν πα- C
τέρων αὐτοῦ." Ὁρᾷς ὅτι ἐνταῦθα τὰ μετὰ θάνατον [w]ἤλπιζον
ἐν τῇ γῇ; καὶ πολλὰ ἐκβέβηκε μετὰ θάνατον αὐτῶν. Τοῦτο
πρὸς τὸ λέγειν τινὰς, μετὰ θάνατον γίνεται ταῦτα [x]ἐκείνοις,
ὧν οὐκ ἔτυχον ζῶντες, οὔτε μετὰ θάνατον ἐπίστευον. Καὶ οὐκ
εἶπεν ὁ Ἰωσὴφ, ζῶντί μοι τὴν γῆν οὐκ ἔδωκεν, οὐδὲ τῷ πατρὶ
τῷ ἐμῷ, οὐδὲ τῷ πάππῳ [y]τῷ ἐμῷ, οὗ καὶ τὴν ἀρετὴν αἰδεσθῆ-
ναι ἔδει· τούτους δὲ τοὺς μοχθηροὺς ἀξιώσει ὧν ἐκείνους οὐκ
ἠξίωσεν; Οὐδὲν τούτων εἶπεν, ἀλλὰ τῇ πίστει [z]ταῦτα πάντα
καὶ ἐνίκησε καὶ ὑπερέβη. Εἶπε τὸν Ἄβελ, τὸν Νῶε, τὸν
Ἀβραὰμ, τὸν Ἰσαὰκ, τὸν Ἰακὼβ, τὸν Ἰωσὴφ, [a]πάντας ἐπι-
δόξους καὶ θαυμαστούς. Πάλιν αὔξει τὴν παράκλησιν, εἰς D
πρόσωπα εὐτελῆ κατάγων τὸ πρᾶγμα. Τὸ μὲν γὰρ θαυμαστὰ
πρόσωπα τοῦτο παθεῖν θαυμαστὸν οὐδὲν, καὶ [b]τὸ ἐκείνων ἐλάτ-
τους φανῆναι οὐχ οὕτω δεινόν· τὸ δὲ καὶ ἀνωνύμων ἐλάττους
ὀφθῆναι, τοῦτό ἐστι τὸ δεινόν. Καὶ ἄρχεται ἀπὸ τῶν γο-
νέων τοῦ Μωϋσέως, ἀσήμων [c]τινῶν ἀνδρῶν, καὶ οὐδὲν τοσοῦτον 238
ἐχόντων ὅσον ὁ παῖς. Διὰ τοῦτο καὶ προϊὼν αὔξει τὴν ἀτο-

[4] Psal. xxiii. 1. [5] v. 23.

[l] εἴγε] + μὴ K.Q. [m] καὶ μὴ—ἀναγαγεῖν] ὁ τὸν ἅπ. χρόνον ἐν Αἰγ. διατρίψας, μηδὲ ἐπισκῆψαι περὶ τούτου, μηδὲ (μητε Q.) ἐντείλασθαι. ἀλλὰ τίνος ἕνεκεν, φησὶ, καὶ τὸν πατέρα καταγαγεῖν ἐκεῖ, καὶ τὰ ἑαυτοῦ ὀστᾶ συναγαγεῖν K.Q. [n] δυσχεραίνειν R. et olim O. Mox ἐκεῖ om. R. [o] ἑαυτοῦ N.O. [p] κεῖνται R. [q] τοῦ Ἀαρὼν K.Q. Mox τοῦ Δ. et τοῦ Ἰ. K.Q. Sav. cet. [r] ποῦ R. et olim O. [s] τούτων iidem. [t] καὶ ὀδ. τοὺς ἀπ.] Sic omnes. τοὺς ἀπ. καὶ ὀδ. Edd. [v] τρίμηνον om. N. [w] ἤλπιζεν A. Veron. [x] ἐκείνοις] ἐκεῖ R. [y] τῷ ἐμῷ om. K.N.O.Q. [z] ταῦτα om. R. Veron. [a] πάντας] + τοὺς R. Mox καὶ πάλιν N. et ex corr. O. [b] τὸ] πρὸ R. [c] τινῶν] ὄντων N. Mox τοσούτων K. Veron.

πίαν, καὶ πόρνας γυναῖκας καὶ χήρας καταλέγων· “Πίστει γὰρ,
φησὶ, Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξα-
μένη τοὺς κατασκόπους μετ᾽ εἰρήνης.” Καὶ οὐ μόνον τῆς πί-
στεως, ἀλλὰ καὶ τῆς ἀπιστίας τίθησι τὰ ἐπίχειρα, ὡς ἐπὶ τοῦ
Νῶε. Τέως δὲ περὶ τῶν γονέων τοῦ Μωϋσέως ἀναγκαῖον εἰπεῖν.
Πάντα τὰ [d]ἄρρενα ἀπόλλυσθαι ἐκέλευσεν ὁ Φαραὼ, καὶ οὐδεὶς
ἐξέφυγε τὸν κίνδυνον. Πόθεν οὖν οὗτοι προσεδόκησαν σῶσαι
τὸ παιδίον; Ἀπὸ πίστεως. [e]Ποίας πίστεως; “Εἶδον, φησὶν,
B ἀστεῖον τὸ παιδίον.” [f]Αὐτὴ ἡ ὄψις αὐτοὺς πρὸς τὴν πίστιν
ἐπεσπάσατο. Οὕτως ἄνωθεν καὶ ἐξ αὐτῶν τῶν σπαργάνων
[g]πολλὴ τῷ δικαίῳ ἡ χάρις ἐπεκέχυτο, οὐ τῆς [h]φύσεως τοῦτο
ἐργαζομένης. Σκόπει γάρ· εὐθέως τεχθὲν καλὸν φαίνεται τὸ
παιδίον, ἀλλ᾽ οὐχὶ [i]εἰδεχθές. Τίνος οὖν ἦν τοῦτο; Οὐ τῆς φύ-
σεως, ἀλλὰ τῆς χάριτος τοῦ θεοῦ, ἣ καὶ τὴν βάρβαρον ἐκείνην
γυναῖκα τὴν Αἰγυπτίαν διήγειρε καὶ ἀνέρρωσε καὶ εἷλε καὶ
ἐπεσπάσατο· καίτοιγε ἡ πίστις οὐχ ἱκανὴν εἶχεν ἐπὶ τούτων
τὴν ὑπόθεσιν· τί γὰρ ἦν ἀπὸ τῆς [k]ὄψεως πιστεῦσαι; Ἀλλ᾽
ὑμεῖς, φησὶν, ἀπὸ πραγμάτων [l]πιστεύετε, καὶ πολλὰ τῆς πί-
C στεως ἐνέχυρα ἔχοντες· τὸ γὰρ μετὰ χαρᾶς τὴν ἁρπαγὴν τῶν
ὑπαρχόντων προσδέξασθαι, καὶ ὅσα τοιαῦτα, πίστεως [m]ἦν καὶ (562)
ὑπομονῆς. Ἀλλ᾽ ἐπειδὴ καὶ οὗτοι ἐπίστευσαν, εἶτα ὠλιγοψύ-
χησαν, δείκνυσιν ὅτι καὶ ἡ πίστις ἡ [n]ἐκείνων εἰς πολὺ παρετεί-
νετο· [o]οἵα ἡ τοῦ Ἀβραὰμ, καίτοι τῶν πραγμάτων δοκούντων
μάχεσθαι. “Καὶ οὐκ ἐφοβήθησαν, [p]φησὶ, τὸ διάταγμα τοῦ
βασιλέως.” Καίτοιγε [q]ἐκεῖνο ἐνηργεῖτο· τοῦτο δὲ ἁπλῶς ψιλή
τις ἦν προσδοκία. Καὶ τοῦτο μὲν τῶν γονέων ἦν· αὐτὸς δὲ
ὁ Μωϋσῆς [r]τί εἰσήνεγκεν;

Εἶτα πάλιν οἰκεῖον αὐτοῖς [s]τὸ ὑπόδειγμα· μᾶλλον δὲ ἐκείνου
D [t]μεῖζον. [6]“Πίστει [v]γὰρ, φησὶ, Μωϋσῆς μέγας γενόμενος, ἠρ-
νήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραὼ, μᾶλλον ἑλόμενος συγ-
κακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας

[6] v. 24—26.

[d] ἄρσενα N. Statim ἐκέλευσεν ἀπόλλ. hoc ord. K.N.Q. [e] ποίας π. om. R. [f] αὐτὴ] Sic K.N.Q.R. Cat. Mut. αὕτη Edd. Mox αὐτοῦ pro αὐτοὺς N. et corr. O. [g] πολὺ A. Mox ἐπέκχυτο (sic) Veron. ἐκκέχυτο R. ἐκέχυτο K.Q. [h] φύσεως] + ἀλλὰ A. + ἀλλὰ τοῦ θεοῦ K.Q. Sav. cet. [i] ἠδεχθὲς R. εἰ δεχθὲν Veron. [k] ὄψεως] πίστεως R. Veron. Statim ὥστε πιστεῦσαι K.Q. [l] ἐπιστεύσατε K.Q. [m] ἦν] ἐστι K.Q. Sav. cet. [n] ἐκείνου R. Mox παρεκτείνετο Veron. [o] οἷον Q. [p] φησὶ om. N. [q] ἐκεῖνο] + μὲν Q. ἐκεῖνος Cat. Statim ἐνήργει K.Q. Cat. [r] τί] οὐδὲν A.K.Q. Sav. cet. [s] τὸ om. K.Q. Post ὑπόδειγμα add. ἕτερον λέγει K.Q. Sav. cet. [t] μεῖζον] + ποῖον δὴ τοῦτο; K.O.Q. Sav. cet. [v] γὰρ om. K.Q. φησὶ om. R. et olim O. Mox μέγας γεν. pro γεν. μέγας omnes.

Digitized by Google

ἀπόλαυσιν· μείζονα πλοῦτον ἡγησάμενος τῶν [w] Αἰγύπτου θη-
σαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν
μισθαποδοσίαν." Ὡς ἂν εἰ ἔλεγε [x] πρὸς αὐτοὺς, οὐδεὶς ὑμῶν
ἀφῆκε βασίλεια, [y] καὶ βασίλεια λαμπρὰ, οὐδὲ θησαυροὺς τοιού-
τους, οὐδὲ, ἐξὸν εἶναι βασιλέως υἱὸν, [z] κατεφρόνησε τούτου, 239
καθὼς ὁ Μωϋσῆς πεποίηκε. Καὶ ὅτι οὐχ ἁπλῶς ἀφῆκεν, ἐδή-
λωσεν εἰπὼν, "ἠρνήσατο·" τουτέστιν, ἐμίσησεν, ἀπεστράφη.
Τοῦ γὰρ οὐρανοῦ προκειμένου, [a] περιττὸν ἦν τὰ βασίλεια θαυ-
μάζειν τὰ Αἰγύπτου. Καὶ [b] βλέπε τί θαυμαστῶς αὐτὸ ἔθηκεν
ὁ Παῦλος. Οὐκ εἶπε, μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰ-
γύπτου θησαυρῶν τὸν οὐρανὸν, καὶ τὰ ἐν [c] τοῖς οὐρανοῖς· ἀλλὰ
τί; "Τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ." Τὸ γὰρ διὰ Χριστὸν
ὀνειδίζεσθαι βέλτιον ἡγήσατο τοῦ [d] ἀνίεσθαι οὕτω, καὶ τοῦτο
αὐτὸ καθ' ἑαυτὸ μισθὸς ἦν. "Μᾶλλον ἑλόμενος, [e] φησὶ, συγ- B
κακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ." Ὑμεῖς μὲν γὰρ ὑπὲρ ὑμῶν
αὐτῶν [f] πάσχετε, ἐκεῖνος δὲ ὑπὲρ ἄλλων εἵλετο· καὶ ἑκὼν ἑαυτὸν
ἔρριψεν εἰς τοσούτους κινδύνους, ἐξὸν αὐτῷ καὶ εὐσεβεῖν, καὶ
ἀπολαύειν τῶν ἀγαθῶν. "Ἢ πρόσκαιρον ἔχειν, φησὶν, ἁμαρ-
τίας ἀπόλαυσιν." Ἁμαρτίαν εἶπε τὸ μὴ θελῆσαι τοῖς ἄλλοις
[g] συγκακουχηθῆναι· τοῦτο ἁμαρτίαν, φησὶν, ἐνόμισεν. Εἰ τοί-
νυν ἐκεῖνος τὸ μὴ προθύμως συγκακουχηθῆναι τοῖς ἄλλοις, ἁμαρ-
τίαν ἐνόμισε· μέγα ἄρα ἀγαθὸν ἡ κακουχία, ἐφ' ἣν ἀπὸ τῶν
βασιλείων ἔρριψεν ἑαυτόν. Ταῦτα δὲ ἐποίει, μεγάλα τινὰ
[h] προορῶν· "Μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου θη-
σαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ." [i] Τί ἐστι, "τὸν ὀνειδι- C
σμὸν τοῦ Χριστοῦ;" Τουτέστι, τὸ ὀνειδίζεσθαι τοιαῦτα [k] οἷα
ὑμεῖς, [l] τὸν ὀνειδισμὸν ὃν ὁ Χριστὸς ὑπέμεινεν· ἢ ὅτι διὰ τὸν
Χριστὸν [m] ὑπέμεινεν· [7] "Ἡ [n] γὰρ πέτρα ἦν ὁ Χριστός·" [o] τὸ
οὕτως ὀνειδίζεσθαι ὡς ὑμεῖς. Τί δέ ἐστιν ὀνειδισμὸς τοῦ Χρι-
στοῦ; Ὅτι καταπτύομεν τῶν πατρῴων [p] ὀνειδιζόμεθα, ὅτι

[7] 1 Cor. x. 4.

[w] Αἰγύπτου] Sic ter K.N.O.Q.R. ἐν Αἰγύπτῳ ter A. Edd. [x] πρὸς αὐτοὺς om. K.Q. [y] καὶ βασ. om. A. Mox οὐ θησ. K.Q. Sav. cet. [z] καταφρονῆσαι A. [a] περιττὰ A. [b] βλέπετε A. Mox τέθεικεν K.N.Q. Sav. cet. [c] τοῖς om. R. Veron. [d] ἀνίεσθαι] αἰνεῖσθαι K.Q. μὴ ἀνίεσθαι Cat. [e] φησὶ om. K.Q. [f] ἐπάσχετε A. [g] συγκακουχεῖσθαι N. Sav. cet. [h] προορῶν] + διὸ καὶ οὕτως εἶπε K.Q. Sav. cet. Statim μείζονα πλ. pro πλ. μείζονα A.N. O.R. [i] τί—Χριστοῦ om. A.K.Q.R. Veron. et in text. O. invitis Cat. Mut. [k] οἷα] ἃ R. οἷα om. in text. O. [l] τὸν—ὑπέμεινεν] τὸ οὕτως ὀνειδίζεσθαι ὀνειδισμὸν τοίνυν Χριστοῦ φησιν. ἢ ὃν ὁ Χριστὸς ἤκουσεν K.Q. [m] ὑπέμεινεν] + ὅτε ὑπὲρ τῆς πέτρας ἐλοιδορεῖτο, ἐξ ἧς ὕδωρ ἐξήγαγεν K.Q. Sav. cet. [n] γὰρ π.] δὲ π. φησὶν iidem. Mox ὁ Χρ. om. a pr. m. O. [o] τὸ—τί δέ ἐστιν] πῶς δέ ἐστιν K.Q. Sav. cet. Statim ὁ ὀνειδ. O. [p] ὀνειδ.] ὅτι ὀνειδ. K.Q. Ab ὀνειδιζόμεθα usque ad τοῦτό ἐστιν om. A.

Digitized by Google

πάσχομεν κακῶς θεῷ προσδραμόντες. [q]Εἰκὸς ἦν κἀκεῖνον ὀνειδίζεσθαι, ὅτε ἤκουσε, [8]"Μὴ ἀνελεῖν με σὺ [r]θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον;" Τοῦτό ἐστιν ὀνειδισμὸς τοῦ
D Χριστοῦ, [s]τὸ μέχρι τέλους καὶ ἐσχάτης ἀναπνοῆς πάσχειν κακῶς, ὥσπερ αὐτὸς ὠνειδίζετο καὶ ἤκουεν, [9]"Εἰ υἱὸς εἶ τοῦ θεοῦ," ὑπὸ τούτων ὑπὲρ ὧν ἐσταυροῦτο, ὑπὸ τούτων τῶν συμφυλετῶν. Τοῦτό ἐστιν ὀνειδισμὸς τοῦ Χριστοῦ, ὅταν τις παρὰ οἰκείων, ὅταν τις παρ' ὧν εὐεργετεῖ ὀνειδίζηται· καὶ γὰρ ἐκεῖνος παρὰ τοῦ εὐεργετηθέντος ταῦτα ἔπασχεν. Ἐνταῦθα αὐτοὺς ἀνέστησε, δεικνὺς ὅτι καὶ ὁ Χριστὸς ταῦτα [t]ἔπαθε, καὶ
240 ὁ Μωϋσῆς, δύο πρόσωπα ἔνδοξα. Ὥστε τοῦ Χριστοῦ μᾶλλόν ἐστιν οὗτος ὁ ὀνειδισμὸς ἢ τοῦ Μωϋσέως, ἐπειδὴ παρὰ τῶν ἰδίων [v]ταῦτα ἔπαθεν. Ἀλλ' οὔτε ἐκεῖνος [w]κεραυνοὺς ἠφίει, οὐδὲ οὗτος ἔπαθέ τι, ἀλλ' ὠνειδίζετο, καὶ ἔφερε [x]πάντα, κινούντων ἐκείνων τὰς κεφαλάς. Ἐπεὶ οὖν εἰκὸς ἦν τοιαῦτα ἀκούειν καὶ αὐτούς, καὶ ἐπιθυμεῖν τὴν ἀνταπόδοσιν, λέγει ὅτι καὶ ὁ Χριστὸς καὶ [y]ὁ Μωϋσῆς τοιαῦτα πεπόνθασιν. Ἄρα [z]οὖν ἡ μὲν ἄνεσις, τῆς ἁμαρτίας ἐστὶ, τὸ δὲ ὀνειδίζεσθαι, τοῦ Χριστοῦ. Τί [a]γὰρ βούλει; τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, ἢ τὴν ἄνεσιν; [10]"Πίστει [b]κατέλιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ
B βασιλέως· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε." Τί λέγεις; (563)
[c]ὅτι οὐκ ἐφοβήθη; Καὶ μὴν ἡ γραφὴ τοῦτό φησιν, ὅτι ἀκούσας ἐφοβήθη, [d]καὶ διὰ τοῦτο φυγῇ τὴν σωτηρίαν [e]ἐπορίσατο, καὶ ἀπέδρα καὶ ἐξέκλεψεν ἑαυτὸν, [f]καὶ μετὰ ταῦτα περιδεὴς ἦν. Πρόσεχε μετὰ ἀκριβείας τῷ εἰρημένῳ· τὸ, "Μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως," πρὸς τὸ καὶ πάλιν ἐπιστῆναι εἴρηκε. Φοβουμένου γὰρ ἦν [g]μὴ ἅψασθαι τῆς προστασίας πάλιν, μηδὲ [h]ἐγχειρῆσαι τῷ πράγματι· τὸ μέντοι ἅψασθαι πάλιν, τῷ θεῷ [i]τὸ πᾶν ἐπιτρέποντος ἦν. Οὐ γὰρ εἶπεν [k]ὅτι ζητεῖ με, καὶ περιεργάζεται, καὶ οὐκ ἀνέχομαι πάλιν τῶν αὐτῶν ἅψασθαι.
C Ὥστε καὶ τὸ φυγεῖν πίστεως ἦν. Τί οὖν οὐκ ἔμεινε, φησίν; Ὥστε μὴ [l]εἰς προῦπτον ἑαυτὸν κίνδυνον ἐμβαλεῖν. Τοῦτο γὰρ

[8] Exod. ii. 14. [9] Matth. xxvii. 40. [10] v. 27.

[q] εἰκὸς] + δὲ K.Q. Sav. cet. Statim ἦν om. K.Q. [r] θέλῃς O.R. [s] τὸ om. A.R. Veron. et olim O. καὶ ἐσχ. ἀναπνοῆς om. K.Q. [t] ἔπαθε] Sic A.K.N.Q. Cat. ἔπασχε Edd. Mox Μωϋσῆς sine artic. K.Q. [v] τοιαῦτα K.N.O.Q. Sav. cet. [w] κεραυνοὺς—ἔπαθέ τι] ἔπαθέ τι, οὔτε οὗτος κερ. ἠφίει K.Q. Sav. cet. [x] πάντων N.O. Statim ἐκείνων κινούντων hoc ord. N. [y] ὁ om. A.K. [z] οὖν om. K.Q. [a] γὰρ] οὖν K.Q. [b] κατέλειπεν R. et olim N. [c] ὅτι om. K.N.Q.R. et a pr. m. O. invito Mut. [d] καὶ δ. τ.] δ. τ. καὶ K.Q. [e] ἐπορίσατο] ἐχρήσατο A. Veron. et ex corr. O. invita Cat. Mox ἔκλεψεν K.N.Q. [f] καὶ] + ὅμως K.Q. [g] μὴ] καὶ μὴ A. [h] ἐγχειρίσαι A. Statim τῷ προστάγματι Q. [i] τὸ πᾶν om. K.Q. [k] [ὅτι] Sav. ὅτι om. N. eras. in O. [l] εἰς] ὡς A.

Digitized by Google

λοιπὸν πειράζοντος ἦν, τὸ ἅλλεσθαι εἰς μέσους κινδύνους, καὶ λέγειν, [m]ἴδωμεν εἰ σώζει με ὁ θεός. Τοῦτο καὶ τῷ Χριστῷ εἶπεν ὁ διάβολος· [11]"Ῥῖψον [n]σεαυτὸν κάτω." Ὁρᾷς ὅτι τοῦτο διαβολικόν ἐστι, τὸ εἰκῇ καὶ μάτην ῥίπτειν [o]ἑαυτοὺς εἰς κινδύνους, καὶ πειράζειν εἰ σώζει ὁ θεός; Προεστάναι γὰρ αὐτῶν οὐκέτι ἠδύνατο, οὕτως ἀγνωμόνως τῶν εὐεργετουμένων διακειμένων· μωρὸν τοίνυν ἦν καὶ [p]ἀνόητον, μένειν αὐτόθι. Ταῦτα D
δὲ πάντα γέγονεν, [q]ὅτι καθὼς ὁρῶν τὸν ἀόρατον, οὕτως ἐκαρτέρει.

[r]Ἂν [s]τοίνυν ὁρῶμεν ἀεὶ τὸν θεὸν τῷ νῷ, ἂν ἀεὶ ἐν τῇ μνήμῃ αὐτοῦ στρέφωμεν τὴν διάνοιαν, πάντα ἡμῖν [t]οἰστὰ φανήσεται, πάντα φορητὰ, πάντα εὐκόλως οἴσομεν, πάντων ἀνώτεροι γενησόμεθα. Εἰ γὰρ ἀγαπώμενόν τις ὁρῶν, μᾶλλον δὲ μεμνημένος τούτου, διανίσταται τὴν ψυχὴν, καὶ ὑψηλὸς γίνεται τὴν διά- 241
νοιαν, καὶ πάντα εὐκόλως φέρει ἐντρυφῶν τῇ μνήμῃ· ὁ τὸν ὄντως ἀγαπῆσαι ἡμᾶς καταξιώσαντα ἔχων ἐν διανοίᾳ, καὶ μεμνημένος αὐτοῦ, πότε ἢ λυπηροῦ τινος αἰσθήσεται, ἢ φοβερόν τι καὶ ἐπικίνδυνον φοβηθήσεται; πότε δὲ ὀλιγοψυχήσει; Οὐδέποτε. Πάντα γὰρ ἡμῖν δύσκολα φαίνεται, ὅτι τοῦ θεοῦ τὴν μνήμην οὐκ ἔχομεν ὡς ἔχειν δεῖ, ὅτι οὐ περιφέρομεν αὐτὸν ἐν τῇ διανοίᾳ διαπαντός· εἴποι γὰρ ἂν δικαίως πρὸς ἡμᾶς, ἐπελάθου [v]μου, ἐπιλήσομαί σου κἀγώ. [w]Καὶ διπλοῦν τὸ κακὸν γίνεται, [x]ὅτι καὶ ἡμεῖς αὐτοῦ ἐπιλανθανόμεθα, [y]καὶ αὐτὸς ἡμῶν. B
Ταῦτα γὰρ δύο ἐστὶν ἀλλήλοις μὲν συμπεπλεγμένα, δύο [z]δέ ἐστι. Μέγα μὲν γὰρ [a]ποιεῖ ἡ μνήμη τοῦ θεοῦ, μέγα δὲ καὶ τὸ μνημονεύεσθαι αὐτὸν παρ' ἡμῶν· τοῦτο ποιεῖ αἱρεῖσθαι τὰ ἀγαθὰ, [b]ἐκεῖνο ἀνύειν καὶ εἰς τέλος ἄγειν. Διὰ τοῦτό φησιν ὁ προφήτης, [12]"Μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου, καὶ [c]Ἑρμωνιεὶμ ἀπὸ ὄρους μικροῦ." Ταῦτά [d]φησιν ὁ λαὸς ὁ ἐν Βαβυλῶνι· ἐκεῖ ὢν μνησθήσομαί σου. Καὶ ἡμεῖς τοίνυν ὥσπερ ἐν Βαβυλῶνι [e]ὄντες. Εἰ γὰρ [f]καὶ μὴ μεταξὺ τῶν [g]πολεμίων

[11] Matt. iv. 6. [12] Psal. xli. 7.

[m] ἴδω K.Q. Sav. cet. [n] ἑαυτὸν A. Veron. [o] ἑαυτὸν K.N.Q. [p] ἀνόνητον K.O.Q.R. [q] ὅτι καθὼς] διότι ὡς K.Q. Sav. cet. [r] ΗΘΙΚΟΝ. Περὶ τοῦ μνημονεύειν θεοῦ διηνεκῶς, καὶ φοβεῖσθαι αὐτὸν, καὶ καταμέμφεσθαι ἑαυτῶν ["Corrige, ἑαυτόν." *Heyse*]· καὶ περὶ τοῦ Δανιὴλ καὶ τῶν τριῶν παίδων. Veron. [s] τοίνυν] + καὶ ἡμεῖς K.Q. Sav. cet. [t] οἰστὰ] ῥᾷστα K.N.Q. Sav. cet. Sic ex corr. O. *facilia* Mut. Statim φανεῖται K.N.O.Q. [v] μου] + σὺ K.Q. Sav. cet. [w] καὶ] ὥστε iidem. Statim διπλῆ Veron. [x] ὅτι καὶ] καὶ ὅτι K.Q. Mox ἐπελαθόμεθα N. [y] καὶ] + ὅτι K.Q. [z] δὲ] + ὅμως K.Q. Sav. cet. [a] ποιεῖ ἡ μνήμη] τὸ καὶ ἡμᾶς ἐν μνήμῃ ποιεῖσθαι iidem. [b] ἐκεῖνο] + δὲ N. Sav. cet. [c] Ἑρμονιεὶμ K.N. [d] φησὶν post μνησθ. σου transp. K.Q. [e] ὄντες] + τὰ αὐτὰ λέγωμεν K.Q. Sav. cet. [f] [καὶ] Sav. καὶ om. N.R. et olim O. [g] πολεμίων] + ἐσμὲν καὶ R.

Digitized by Google

καθήμεθα, ἀλλὰ μεταξὺ τῶν ἐχθρῶν ἐσμεν. Οἱ μὲν γὰρ ὡς
C αἰχμάλωτοι ἐκάθηντο, οἱ δὲ οὐδὲ ᾐσθάνοντο τῆς αἰχμαλωσίας,
ὡς ὁ Δανιὴλ, ὡς οἱ τρεῖς παῖδες· οἳ καὶ ἐν αἰχμαλωσίᾳ ὄντες,
αὐτοῦ τοῦ αἰχμαλωτεύσαντος αὐτοὺς βασιλέως ἐγένοντο λαμ-
πρότεροι ἐν [h]αὐτῇ τῇ χώρᾳ ἐκείνῃ· [i]καὶ τοὺς αἰχμαλώτους [k]ὁ
αἰχμαλωτεύσας προσκυνεῖ. Εἶδες ὅσον [l]ἐστὶν ἀρετή; Ἐν αὐτῇ
τῇ αἰχμαλωσίᾳ ὄντας [m]ἐθεράπευσεν ὡς δεσπότας· ἄρα ἐκεῖνος
[n]αἰχμάλωτος ἦν μᾶλλον ἢ οὗτοι. Οὐκ ἦν οὕτω θαυμαστὸν, εἰ
ἐν [o]τῇ πατρίδι ὄντας ἐλθὼν προσεκύνησε τῇ [p]αὐτῶν, εἰ βασι-
λεύοντας ἐκεῖ· τὸ δὲ θαυμαστὸν, ὅτι δεσμεύσας αὐτοὺς, καὶ
D λαβὼν αἰχμαλώτους, καὶ ἔχων ἐν τῇ [q]ἑαυτοῦ, πάντων ὁρώντων
οὐκ ᾐσχύνετο προσκυνῆσαι, καὶ [r]μαναὰ σπεῖσαι. [s]Ὁρᾶτε ὅτι
τὰ ὄντως λαμπρὰ πράγματα [t]τὰ κατὰ θεόν ἐστι, τὰ δὲ ἀν-
θρώπινα σκιά; Ἠγνόει ἄρα δεσπότας ἀπάγων [v]ἑαυτῷ, καὶ οὓς
ἔμελλε προσκυνεῖν ἐνέβαλεν εἰς κάμινον· ἀλλ' ὡς ὄναρ ταῦτα
242 ἐκείνοις ἦν. [w]Φοβηθῶμεν, ἀγαπητοὶ, τὸν θεὸν, φοβηθῶμεν·
[x]κἂν ἐν αἰχμαλωσίᾳ ὦμεν, πάντων [y]ἐσμὲν λαμπρότεροι· φόβος
παρέστω θεοῦ, καὶ οὐδὲν [z]ἔσται λυπηρὸν, κἂν πενίαν εἴπῃς, κἂν
νόσον, κἂν αἰχμαλωσίαν, κἂν δουλείαν, κἂν ὁτιοῦν τῶν λυπηρῶν·
ἀλλὰ καὶ αὐτὰ ἐκεῖνα ἡμῖν συνεργήσει πρὸς τὰ ἐναντία. Αἰ-
χμάλωτοι ἦσαν οὗτοι, καὶ προσεκύνησεν [a]αὐτοὺς ὁ βασιλεύς·
σκηνοποιὸς ἦν ὁ Παῦλος, καὶ ἔθυον αὐτῷ ὡς θεῷ. (564)

Ἐνταῦθα ζήτημα [b]ἀνακύπτει· τί δήποτε οἱ μὲν ἀπόστολοι
τὰς θυσίας ἀπεῖρξαν, καὶ διέρρηξαν αὐτῶν τὰ ἱμάτια, καὶ [c]ἀπ-
B ήγαγον αὐτοὺς τῆς ἐπιχειρήσεως, καὶ ἀπωδύροντο λέγοντες,
[13] "Τί ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς [d]ὑμῖν ἐσμεν ἄνθρωποι·"
ὁ δὲ Δανιὴλ οὐδὲν τοιοῦτον ἐποίησεν. Ὅτι γὰρ καὶ αὐτὸς τα-
πεινὸς ἦν, καὶ τούτων οὐχ ἧττον ἀνέφερε τῷ θεῷ δόξαν, πολ-
λαχόθεν δῆλον. Μάλιστα [e]μὲν καὶ ἐξ αὐτοῦ τοῦ φιλεῖσθαι
παρὰ [f]τοῦ θεοῦ [g]δῆλον· οὐ γὰρ ἂν αὐτὸν σφετεριζόμενον τοῦ

13 Act. xiv. 15.

[h] αὐτῇ om. K.N.Q. [i] καὶ om. K.Q. [k] ὁ] γὰρ ὁ K.Q. Sav. cet. Mox προσεκύνει K.N.O.Q. Sav. cet. [l] ἐστὶν (+ἡ A.) ἀρ.] Sic omnes. ἀρ. ἐστιν Edd. [m] ἐθεράπευεν A. Veron. [n] ὁ αἰχμ. Edd. ὁ om. A.K.N.O.Q. inclusum a Sav. Mox μᾶλλον om. N. [o] τῇ om. R. [p] ἑαυτῶν A.K. Sav. cet. Statim ἢ pro εἰ A.K.Q. Sav. cet. [q] ἑαυτοῦ] + ἐξουσίᾳ K.N.O.Q. Mut. Sav. cet. [r] μάννα R. Post σπεῖσαι add. κελεῦσαι αὐτῷ K.Q. [s] ὁρᾷς R. [t] τὰ om. K. et olim O. [v] ἑαυτοῦ K.Q. Proximum καὶ om. iidem. Mox ἔβαλεν K.N.Q. [w] φοβηθῶμεν] + οὖν K.N.Q. Sav. cet. Sic ex corr. O. Statim τὸν θ. ἀγαπητοὶ hoc ord. K.O.Q. [x] κἂν] ἐὰν A. [y] ἐσμὲν] ἐσόμεθα K.Q. Sav. cet. [z] ἐστιν N. Mox κἂν πενίαν—λυπηρῶν om. A. [a] αὐτοῖς K.N.Q. Sav. cet. [b] ἀνακύπτει] + ἐρωτῶσι γὰρ πολλοὶ λέγοντες K.Q. Sav. cet. [c] ἀπῆγον K.O.Q.R. [d] ὑμῖν ἐσμεν] ἐσμεν ὑμῖν O.R. [e] μὲν] + γὰρ καὶ πρῶτον K.Q. Sav. cet. μάλιστα—δῆλον om. N. [f] τοῦ om. R. [g] δῆλον] τοῦτο φανερὸν K.Q. τοῦτο δῆλον Sav. cet.

Digitized by Google

θεοῦ τὴν τιμὴν [h]εἴασε ζῆσαι, οὐ λέγω εὐδοκιμῆσαι· δεύτερον,
ὅτι καὶ μετὰ πολλῆς τῆς παρρησίας ἔλεγε, [14]"Καὶ ἐμοὶ, βασι-
λεῦ, οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ ἀπεκαλύφθη τὸ μυστήριον
τοῦτο·" καὶ [i]πάλιν, ἐν λάκκῳ ἦν διὰ τὸν θεόν· καὶ ἐπειδὴ τρο- C
φὴν αὐτῷ ἐκόμισεν ὁ προφήτης, φησὶν, [15]"Ἐμνήσθη [k]γάρ μου
ὁ θεός·" οὕτως ἦν ταπεινὸς καὶ συντετριμμένος. Ἐν λάκκῳ ἦν
διὰ τὸν θεὸν, καὶ ἀνάξιον ἑαυτὸν [l]ἡγεῖτο τῆς μνήμης καὶ τοῦ
ἀκουσθῆναι. Ἡμεῖς δὲ μυρία [m]μιαρὰ τολμῶντες, [n]καὶ πάντων
ὄντες μιαρώτεροι, ἐὰν μὴ ἐκ πρώτης εὐχῆς ἀκουσθῶμεν, ἀναχω-
ροῦμεν. [o]Ὄντως πολὺ τὸ μέσον ἐκείνων καὶ ἡμῶν, ὅσον τοῦ
οὐρανοῦ πρὸς τὴν γῆν, καὶ [p]εἴ τι πλέον. Τί λέγεις; μετὰ
τοσαῦτα κατορθώματα, μετὰ τὸ [q]ἐν λάκκῳ γενόμενον θαῦμα, D
[r]οὕτως ἑαυτὸν ταπεινὸν ἡγῇ; Ναὶ, φησίν· ὅσα γὰρ ἂν ἐργα-
σώμεθα, ἀχρεῖοι δοῦλοί ἐσμεν. [s]Οὕτω προλαβὼν, τὸ εὐαγγε-
λικὸν παράγγελμα ἐπλήρου, καὶ οὐδὲν ἡγεῖτο ἑαυτόν. "Ἐμνή-
σθη γάρ μου ὁ θεὸς," ἔλεγε. [t]Ἡ εὐχὴ αὐτοῦ [u]πάλιν ὅσης
ταπεινοφροσύνης γέμει. [v]Καὶ πάλιν οἱ τρεῖς παῖδες οὕτως
ἔλεγον· [16]"Ἡμάρτομεν, ἠνομήσαμεν·" καὶ πανταχοῦ τὸ τα-
πεινὸν [w]ἑαυτῶν δεικνύουσι. [x]Καίτοιγε εἶχεν ὁ Δανιὴλ μυρίας
ἀφορμὰς τοῦ ἐπαίρεσθαι, ἀλλ' ᾔδει ὅτι καὶ ταῦτα αὐτῷ ὑπῆρ-
χεν ἀπὸ τοῦ μὴ ἐπαίρεσθαι, καὶ οὐ διέφθειρε τὸν θησαυρόν.
Παρὰ πάντας γὰρ [y]ἀνθρώπους καὶ ἐν τῇ οἰκουμένῃ πάσῃ οὐκ 243
ἐπὶ τούτοις [z]ᾔδετο μόνον, ὅτι ῥίψας ἑαυτὸν εἰς πρόσωπον ὁ
βασιλεὺς ἔσπεισεν [a]αὐτῷ, καὶ θεὸν ἐνόμισεν αὐτὸν ὁ πανταχοῦ
τῆς γῆς ὡς θεὸς τιμώμενος· πάσης γὰρ αὐτὸς ἐκράτει· καὶ δῆλον
ἀπὸ [b]τοῦ Ἱερεμίου· [17]"Ὁ ἀναβαλλόμενος γὰρ, φησὶ, τὴν γῆν,
ὡς ἱμάτιον·" καὶ πάλιν, "Ἐγὼ ἔδωκα αὐτὴν Ναβουχοδονόσορ
τῷ δούλῳ μου." Καὶ ἐξ ὧν [c]ἐπιστέλλει πάλιν, [d]καὶ ὅτι οὐκ
ἐκεῖ μόνον ἐθαυμάζετο, ἔνθα ἦν, [e]ἀλλὰ πανταχοῦ, καὶ μείζων

14 Dan. ii. 30. 15 Bel et Draco v. 38. 16 Preces 3 Puer. v. 5.
17 Jer. xliii. (l.) 12. xxvii. (xxxiv.) 6.

[h] εἴασε] Sic omnes. εἶα Edd. [i] πάλιν] τρίτον πάλιν, ὅτι K.Q. Sav. cet. [k] γὰρ om. A. Mut. Veron. [l] ἡγεῖτο] ἀπεκάλει K.O.Q.R. [m] μιαρὰ τολ.] Sic A.K.O.Q.R. τολ. μιαρὰ Edd. ἄρα τολ. N. [n] καὶ om. R. [o] ὄντως] οὕτω K.Q. [p] εἴ τι] ἔτι K.N.Q. Statim πλεῖον N. [q] ἐν τῷ λ. K.O.Q. [r] οὕτως σεαυτὸν N. οὕτω σεαυτὸν Q. Sav. cet. [s] οὕτω] οὗτος A. Veron. [t] ἡ] καὶ ἡ K.N.Q. Sav. cet. Sic ex corr. O. [u] πάλιν] ὅρα πάλιν K.Q. Sav. cet. [v] καὶ πάλιν οἱ τρ. π. οὕτως (οὕτως om. N.)] οὕτω καὶ οἱ τρ. π. K.Q. Sav. cet. [w] ἑαυτῶν] + οἱ τοῦ Χριστοῦ K.Q. [x] καίτοι N. [y] ἀνθρώπους] + ᾔδετο K.Q. Sav. [z] ᾔδετο] + δὲ Q. [a] αὐτῷ] + ἀλλ' ὅτι Sav. cet. invitis omnibus. [b] τοῦ] τῶν K. Sav. Mor. Mox φησὶ om. R. et olim O. [c] ἐπιστέλλει] + δῆλον τοῦτο K.Q. Sav. cet. [d] καὶ om. iidem. ὅτι om. R. μόνον om. N. [e] ἀλλὰ] + καὶ R. Edd.

Digitized by Google

[f]ἦν ἢ εἰ παρόντες εἶδον αὐτὸν τὰ λοιπὰ ἔθνη, ὁπότε καὶ διὰ
γραμμάτων ὡμολόγησε τὴν δουλείαν καὶ τὸ θαῦμα. Ἀλλ'
B ὅμως καὶ ἐπὶ σοφίᾳ [g]πάλιν ἐθαυμάζετο· [18] "Μὴ σοφώτερος
γὰρ εἶ, [h]φησὶ, σὺ τοῦ Δανιήλ;" Καὶ μετὰ ταῦτα πάντα οὕτως
ἦν ταπεινὸς, [i]μυριάκις διὰ τὸν δεσπότην ἀποθανών. Τί δήποτ'
οὖν οὕτω ταπεινὸς ὢν, οὐ διεκρούσατο οὔτε τὴν προσκύνησιν
[k]τὴν παρὰ τοῦ βασιλέως, οὔτε τὰς σπονδάς; Τοῦτο οὐκ ἐρῶ·
ἀρκεῖ γάρ μοι τὸ ζήτημα μόνον εἰπεῖν· τὸ δὲ λοιπὸν ὑμῖν
ἀφίημι, ἵνα κἂν οὕτω διαναστήσω ὑμῶν τὴν διάνοιαν. Ἐκεῖνο
C μέντοι παρεγγυῶ, πάντα διὰ [l]τὸν τοῦ θεοῦ φόβον αἱρεῖσθαι,
ὑποδείγματα τοιαῦτα ἔχοντας· καὶ ὅτι ὄντως καὶ τῶν ἐνταῦθα
ἐπιτευξόμεθα, ἐὰν τῶν μελλόντων γνησίως ἀντιλαβώμεθα. Ὅτι
γὰρ οὐκ ἀπονοίᾳ τοῦτο ἐποίησε, δῆλον ἀπὸ τοῦ εἰπεῖν, [19] "Τὰ
[m]δόματά σου σοι ἔστω." Καὶ γὰρ καὶ τοῦτο πάλιν ἕτερον
ζήτημα, πῶς τῷ λόγῳ διακρουόμενος, διὰ τῶν ἔργων ἐδέξατο
τὴν τιμὴν, καὶ [n]ἐφόρεσε τὸν μανιάκην. Καὶ ὁ μὲν Ἡρώδης
ἀκούσας, [20] "[o]Φωνὴ θεοῦ, καὶ οὐκ ἀνθρώπου," ἐπειδὴ μὴ ἔδωκε
D δόξαν τῷ θεῷ, διερράγη, καὶ ἐξεχύθη τὰ σπλάγχνα αὐτοῦ·
οὗτος δὲ καὶ θεοῦ τιμὴν προσήκατο, οὐχὶ ῥήματα μόνον. [p]Ἀλλ'
ἀναγκαῖον εἰπεῖν τί [q]δὴ τοῦτό ἐστιν. [r]Ἐκεῖθεν μὲν εἰς εἰδωλο-
λατρείαν ἐξέπιπτον οἱ ἄνθρωποι μείζονα, ἐντεῦθεν δὲ οὐκέτι.
Πῶς; Τὸ γὰρ νομισθῆναι τοῦτον τοιοῦτον, τιμὴ εἰς τὸν θεὸν
ἦν· διὰ γὰρ τοῦτο προλαβὼν εἶπε, "Καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ
τῇ οὔσῃ ἐν [s]ἐμοί." Ἄλλως δὲ, οὐδὲ φαίνεται [t]προσιέμενος τὰς
σπονδάς· [v]εἶπε γὰρ, φησὶν, ὅτι χρὴ σπεῖσαι, [w]οὐ δῆλον δὲ
244 ἐγένετο, ὅτι καὶ τὸ ἔργον παρηκολούθησεν. Ἐκεῖ δὲ ἤνεγκαν
ὥστε [x]τοὺς ταύρους καταθῦσαι· καὶ ἐκάλουν τὸν μὲν Δία, τὸν
δὲ Ἑρμῆν. Τὸν μὲν οὖν μανιάκην προσήκατο, ἵνα δῆλον ἑαυτὸν (565)
ποιήσῃ· τὴν μέντοι σπονδὴν διὰ τί μὴ φαίνεται διακρουόμενος;
Καὶ γὰρ ἐκεῖ οὐκ ἐποίησαν, ἀλλ' ἐπεχείρησαν, καὶ ἐκώλυσαν οἱ
ἀπόστολοι· ὥστε καὶ ἐνταῦθα ἔδει εὐθέως [y]διακρούσασθαι· [z]καὶ

18 Ezech. xxviii. 3. 19 Dan. v. 17. 20 Act. xii. 22.

[f] ἦν] + ἀκουόμενος K.Q. Sav. cet. Mox παρόντα N.O. Sav. cet. [g] πάλιν ἐθ.] ἐθ. πάλιν K.O.Q.R. [h] φ. σὺ] σὺ, φ. K.N.Q. [i] μυρ. διὰ τ. δ. ἀποθανὼν] ὡς μυρ. διὰ τ. δ. ἀποθανεῖν K.Q. Sav. cet. [k] τὴν παρὰ om. K.N.Q. [l] τὸν om. A. [m] δώματα A. [n] ἐφόρεσε] ἐδέξατο N. [o] φωνὴν R. et olim O. θεοῦ φωνὴ hoc ord. K.N.Q. [p] ἀλλ' (ἀλλὰ N.)] ἐνταῦθα K.Q. Sav. cet. [q] δὴ] + πότε O.R. [r] ἐκεῖθεν] ὅτι ἐκεῖθεν K.N.Q. Sav. cet. μὲν om. A. Mox εἰδωλολατρίαν K.R. Veron. [s] ἐμοὶ] + ἀπεκαλύφθη K.Q. Sav. cet. [t] προθέμενος R. [v] εἶπε] + μὲν K.Q. Sav. cet. Mox φησὶν om. K.Q. [w] οὐ δῆλον δὲ (δὲ om. N. et olim O.)] οὔπω δὲ δῆλον K.Q. Sav. cet. Statim ἐγένετο om. K.Q. [x] τοὺς om. K.Q. [y] διακρούσασθαι (διακρούεσθαι N.O.)] + τὸν Δανιὴλ Q. [z] καὶ] ὅτι Q. καὶ ἐκεῖ] καὶ ἐκεῖ· ἐκεῖ K. Post ἐκεῖ add. μὲν K.Q. Sav. cet.

Digitized by Google

ἐκεῖ δῆμος ὁλόκληρος ἦν, ἐνταῦθα δὲ τύραννος. Τί οὖν αὐτὸν οὐκ ἀπήγαγε, προλαβὼν [a]εἶπεν, ὅτι οὐχ ὡς θεῷ ἔσπενδεν ἐπὶ ἀνατροπῇ τοῦ σεβάσματος, ἀλλ' ἐπὶ μείζονι θαύματι. Πῶς; [b]Τοῦ θεοῦ ἕνεκεν διάταγμα [c]τέθεικεν· ὥστε οὐκ [d]ἠκρωτηρίαζε B
τὴν τιμήν. Ἐκεῖνοι δὲ οὐχ οὕτως, ἀλλ' αὐτοὺς ἐνόμιζον εἶναι [e]τοὺς θεούς· διὰ τοῦτο διεκρούοντο. [f]Ἐνταῦθα δὲ προσκυνήσας, τότε ταῦτα ποιεῖ· οὐδὲ γὰρ ὡς θεῷ προσεκύνησεν, ἀλλ' ὡς ἀνθρώπῳ σοφῷ. Οὐ δῆλον [g]δὲ οὐδὲ ὅτι ἔσπεισεν· [h]εἰ δὲ καὶ ἔσπεισεν, ἀλλ' οὐ δεχομένου τοῦ Δανιήλ. [i]Τί δὲ, ὅτι αὐτὸν καὶ Βαλτάσαρ ἐκάλεσεν, τοῦ θεοῦ αὐτοῦ τὸ ὄνομα; Οὕτως οὐδὲν θαῦμα ἡγοῦντο αὐτῶν τοὺς θεοὺς, ὅπου γε [k]καὶ τὸν αἰχμάλωτον οὕτως ἐκάλει ὁ πάντας κελεύων τὴν εἰκόνα προσκυνεῖν τὴν [l]παντοδαπὴν καὶ ποικίλην, καὶ τὸν δράκοντα [m]σέβων.
Καὶ [n]ἐκείνων πολὺ ἦσαν ἀνοητότεροι οἱ Βαβυλώνιοι τῶν ἐν C
Λύστρᾳ· διὸ οὐκ ἐνῆν [o]εὐθέως ἐνάγειν αὐτοὺς εἰς τοῦτο. Καὶ πολλὰ ἄν τις εἴποι· τέως δὲ ταῦτα ἀρκεῖ. Ἂν τοίνυν βουλώμεθα πάντων ἐπιτυχεῖν τῶν ἀγαθῶν, τὰ κατὰ θεὸν ζητῶμεν. Ὥσπερ γὰρ οἱ τὰ τοῦ κόσμου ζητοῦντες, καὶ τούτων καὶ ἐκείνων ἐκπίπτουσιν· οὕτως οἱ τὰ κατὰ θεὸν προτιμῶντες, ἀμφοτέρων ἐπιτυγχάνουσι. Μὴ δὴ [p]ταῦτα ζητῶμεν, ἀλλ' ἐκεῖνα, ἵνα καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΖ. 245

[1]Πίστει πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν. Πίστει διέβησαν τὴν ἐρυθρὰν θάλασσαν, ὡς διὰ ξηρᾶς γῆς· ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι, [a]κατεποντίσθησαν. Πίστει τὰ

[1] Cap. XI. v. 28—31.

[a] εἶπον K.N.Q. Sav. cet. invito Mut. Mox ἔσπευδεν A. [b] τοῦ] ὅτι τοῦ K.Q. Sav. cet. Post ἕνεκεν add. καὶ K.Q. [c] τέθεικεν] + ὁμολογῶν αὐτοῦ τὴν δεσποτείαν K.Q. Sav. cet. [d] ἠκροτηρίαζε A. ἠκροτηριάζετο K.Q. [e] [τοὺς] Sav. τοὺς om. K.Q. Mox διὰ τ. καὶ διεκρ. R. [f] ἐντ. δὲ προσκ.] ἄλλως δὲ καὶ προσκ. ἐντ. K.Q. Sav. cet. [g] δὲ οὐδὲ] οὖν K.Q. οὐδὲ om. N. [h] εἰ δὲ καὶ ἔσπεισεν om. N. Statim ἀλλ' om. R. et olim O. [i] τί δὲ, ὅτι (ὅτι om. R. et olim O.)—ὄνομα] κατὰ τοῦτο δὲ καὶ τὸ τοῦ θεοῦ αὐτοῦ ὄνομα τὸ Βαλ. αὐτὸν ἐκάλεσεν K.Q. [k] καὶ om. A.R. Veron. [l] παντοδαπῆ A.R. [m] ἔσεβεν N. ἔσεβον R. ἔσεβεν aut ἔσεβον a pr. m. O. [n] ἐκείνων] + δὲ K.Q. Statim πολλοὶ A. Mox οἱ om. A. Veron. [o] αὐτοὺς εὐθέως ἐνάγειν hoc ord. K.N.Q. [p] ταῦτα] + λοιπὸν K.Q. Sav. cet. Hom. XXVII. [a] κατεπόθησαν N.O.R. Cat. Mut. Ben.

Digitized by Google

τείχη Ἱεριχὼ [b]*ἔπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας. Πίστει
Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι,* [c]*δεξαμένη
τοὺς κατασκόπους μετ' εἰρήνης.*

B ΠΟΛΛΑ *μεταξὺ κατασκευάζειν ὁ Παῦλος εἴωθε, καὶ
πυκνός ἐστι τοῖς νοήμασι. Τοιαύτη γὰρ ἡ τοῦ πνεύματος
χάρις· οὐκ ἐν πλήθει λόγων ὀλίγα* [d]*περιέχει νοήματα,* [e]*ἀλλ' ἐν
βραχύτητι ῥημάτων μεγάλην καὶ πολλὴν διάνοιαν ἐντίθησιν.
Ὅρα γοῦν πῶς ἐν τάξει παρακλήσεως* [f]*καὶ περὶ πίστεως δια-
λεγόμενος, οἵου ὑπομιμνήσκει τύπου καὶ μυστηρίου, οὗ τὴν ἀλή-
θειαν ἔχομεν. "*[g]*Πίστει, φησὶ, πεποίηκε τὸ πάσχα καὶ τὴν
πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων* [h]*τὰ πρωτότοκα*
C *θίγῃ αὐτῶν." Τί δέ ἐστιν* [i]*ἡ πρόσχυσις τοῦ αἵματος;* [k]*Ἀρ-
νειὸς ἐθύετο κατ' οἰκίαν, καὶ τὸ* [l]*αἷμα ἐπεχρίετο ταῖς φλιαῖς,*
[m]*καὶ τοῦτο ἦν ἀποτείχισις τῆς ἀπωλείας τῆς Αἰγυπτιακῆς. Εἰ
τοίνυν αἷμα* [n]*ἀρνειοῦ ἐν μέσοις Αἰγυπτίοις καὶ ἐπ' ὀλέθρῳ
τοσούτῳ ἀσινεῖς διεφύλαττε τοὺς Ἰουδαίους· πολλῷ μᾶλλον
διασώσει ἡμᾶς, οὐκ* [o]*ἐπὶ φλιῶν, ἀλλ' ἐν ταῖς ψυχαῖς τὸ αἷμα
ἐπιχριομένους τοῦ Χριστοῦ. Καὶ γὰρ* [p]*καὶ νῦν ὁ ὀλοθρεύων
ἐν τῇ βαθείᾳ νυκτὶ ταύτῃ περιέρχεται·* [q]*ἀλλ' ὁπλιζώμεθα ἐκείνῃ
τῇ θυσίᾳ. Πρόσχυσιν τὴν χρῖσιν καλεῖ· ἀπὸ γὰρ Αἰγύπτου
ἐξήγαγεν ἡμᾶς ὁ θεὸς, ἀπὸ τοῦ σκότους, ἀπὸ τῆς* [r]*εἰδωλολα-*
D *τρείας. Καίτοι τὸ γενόμενον οὐδὲν ἦν, τὸ δὲ κατορθούμενον
μέγα· τὸ μὲν γὰρ γενόμενον αἷμα, τὸ δὲ κατορθούμενον
σωτηρία, καὶ ἔμφραξις καὶ κώλυμα ἀπωλείας. Ἐφοβήθη τὸ
αἷμα ὁ ἄγγελος· ᾔδει γὰρ τίνος ἦν* [s]*τύπος· ἔφριξε, τὸν δεσπο-
τικὸν θάνατον ἐννοήσας· διὰ τοῦτο οὐκ ἔθιγε* [t]*τῶν φλιῶν.
Εἶπε Μωϋσῆς,* [v]*ὅτι χρίσατε· καὶ ἔχρισαν, καὶ* [w]*ἐθάῤῥησαν·* (566)
[x]*ὑμεῖς δὲ αὐτοῦ τοῦ ἀμνοῦ ἔχοντες τὸ αἷμα, οὐ θαῤῥεῖτε;*

[b] *ἔπεσον* N. Mox *ἡμέραις* K. [c] *ὑποδεξαμένη* N.Q. [d] *περιέχειν* A.N. *περιβάλλει* K.Q. Statim *νοήματα* om. K. [e] *ἀλλ' ἐν*] *ἀλλὰ* N. Sav. cet. [f] [*καὶ*] Sav. *καὶ* om. K.Q. [g] *π. φησὶ*] *λέγων, π.* K.Q. [h] *τὰ πρ. θίγῃ αὐτῶν*] *θίγῃ τὰ πρ.* O.R. [i] *ἡ* om. N. [k] *ἀρνειὸς*] Sic Cat. et ex corr. N. *ἀρνὸς* A. Veron. et ex corr. O. *agni* Mut. *ἄρνιον* K.Q.R. Sav. cet. Sic in marg. O. Mox *κατ' οἰκίαν* K. Cat. *κατὰ οἰκίαν* Edd. [l] *αἷμα*] + *αὐτοῦ* K. Sav. cet. Statim *περιεχρίετο* K.N.Q. et ex corr. O. [m] *καὶ* om. K.Q. [n] *ἀρνειοῦ*] Sic Cat. *ἀρνείου* N. *ἀρνίου* Edd. Mox *ἐν ὀλέθρῳ* K.N. Sav. cet. invita Cat. [o] *ἐπὶ φλιῶν, ἀλλ' ἐν* (*ἐπὶ* K.N Q.)] Sic K.N.Q. Cat. *ἐν ταῖς* (*ταῖς* om. R.) *φλιαῖς, ἀλλ' ἐπὶ* (*ἐν* O.R. Veron.) Edd. Mox *ἐπιχριομένους* A.K.O.Q.R. Cat. Mut. *ἐπιχριόμενον* Edd. [p] *καὶ* om. R. [q] *ἀλλὰ ὁπλ.* A.R. Veron. *ἀλλ' ὁπλιζόμεθα* N. [r] *εἰδωλολατρίας* K.R. Veron. [s] *ὁ τύπος* R. [t] *ταῖς φλιαῖς* A.K.Q.R. Veron. Sic etiam O. sed altero ab eadem m. superscripto. [v] *ὅτι* accessit ex A.K.N.Q. [w] *ἐθάρρησαν*] + *χρίσαντες* K.Q. Sav. cet. [x] *ἡμεῖς* O.R. Mox *θαρροῦμεν* iidem. *θαρσεῖτε* Edd. invitis nostris.

Digitized by Google

"Πίστει διέβησαν τὴν ἐρυθρὰν θάλασσαν, ὡς διὰ ξηρᾶς γῆς."
Πάλιν λαὸν ὁλόκληρον παραβάλλει λαῷ, ἵνα μὴ λέγωσιν, ὅτι 246
οὐ δυνάμεθα κατὰ τοὺς ἁγίους γενέσθαι. "Πίστει, φησὶ, διέ-
βησαν τὴν ἐρυθρὰν θάλασσαν, ὡς διὰ ξηρᾶς γῆς· ἧς πεῖραν
λαβόντες οἱ Αἰγύπτιοι [y]κατεποντίσθησαν." Ἐνταῦθα αὐτοὺς
[z]καὶ εἰς ὑπόμνησιν ἄγει τῶν παθημάτων τῶν ἐν Αἰγύπτῳ.
Πῶς πίστει; Ὅτι ἤλπισαν διὰ τῆς θαλάσσης διαβήσεσθαι, καὶ
διὰ τοῦτο ηὔχοντο· μᾶλλον δὲ Μωϋσῆς ἦν ὁ εὐχόμενος. Ὁρᾷς
ὅτι πανταχοῦ ἡ πίστις τοὺς λογισμοὺς ὑπερβαίνει τοὺς ἀνθρω-
πίνους καὶ τὴν ἀσθένειαν καὶ τὴν ταπεινότητα; ὁρᾷς, ὁμοῦ καὶ
ἐπίστευον, καὶ [a]τὴν κόλασιν ἐδεδοίκεσαν, ἔν τε τῷ αἵματι τῶν
θυρῶν, ἔν τε τῇ ἐρυθρᾷ θαλάττῃ; [b]Καὶ τοῦτο ἐδήλου, ὅτι B
ὕδωρ ἦν, διὰ τῶν ἐμπεσόντων καὶ ἀποπνιγέντων· [c]ὅτι οὐκ ἦν
φαντασία, [d]ἀλλ' ὥσπερ ἐπὶ τῶν λεόντων [e]οἱ ἀναλωθέντες ἐδεί-
κνυον [f]τῶν πραγμάτων τὴν ἀλήθειαν, καὶ ἐπὶ τῆς καμίνου οἱ
καέντες· οὕτω καὶ νῦν ὁρᾷς τὰ αὐτὰ πράγματα τοῖς μὲν πρὸς
σωτηρίας καὶ εὐδοκιμήσεως, τοῖς δὲ πρὸς [g]ἀπωλείας γινόμενα.
Τοσοῦτόν ἐστιν ἡ πίστις ἀγαθόν· [h]καὶ ὅταν εἰς ἀμηχανίαν
ἐμπέσωμεν, τότε ἀπαλλαττόμεθα, κἂν πρὸς αὐτὸν τὸν θάνατον
ἔλθωμεν, κἂν ἀπογνωσθῇ τὰ καθ' ἡμᾶς. Τί γὰρ ἄλλο ἦν λοι-
πόν; Αἰγύπτιοι καὶ θάλασσα αὐτοὺς [i]ἀόπλους ἐκύκλουν, καὶ ἢ
ἀποπνιγῆναι ἐχρῆν φεύγοντας, ἢ εἰς τὰς Αἰγυπτιακὰς χεῖρας C
ἐμπεσεῖν. Ἀλλ' ὅμως ἀπὸ [k]ἀμηχάνων αὐτοὺς διέσωσεν· [l]ἡ αὐτὴ
τοῖς μὲν ὑπεστρώννυτο καθάπερ γῆ, τοὺς δὲ κατεπόντιζε καθά-
περ θάλαττα· ἐκεῖ μὲν τῆς φύσεως ἐπελανθάνετο, ἐνταῦθα δὲ
καὶ ὡπλίζετο κατ' αὐτῶν. "Πίστει τὰ τείχη Ἰεριχὼ [m]ἔπεσε,
κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας." Οὐ γὰρ δὴ σαλπίγγων ἠχὴ
λίθους οἷά τε [n]καταβάλλειν ἐστὶ, κἂν μυρία τις ἔτη σαλπίζῃ,
ἀλλ' ἡ πίστις πάντα δύναται. Ὁρᾷς πανταχοῦ, οὐχὶ ἀκολου-
θίᾳ, [o]οὐδὲ φύσεως νόμῳ μεταβαλλομένην αὐτὴν, ἀλλὰ παρὰ D
προσδοκίαν ἅπαντα γινόμενα; Οὐκοῦν [p]καὶ ἐνταῦθα παρὰ
προσδοκίαν ἅπαντα γίνεται. Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἔλε-
γεν, ὅτι δεῖ πιστεύειν ταῖς ἐλπίσι ταῖς μελλούσαις, εἰκότως

[y] κατεπόθησαν K.N.O.Q.R. Mut. Ben. [z] καὶ om. N. [a] τὴν κόλασιν om. R. Statim ἐδεδοίκεισαν olim O. [b] καὶ om. Q. τότε pro τοῦτο R. et olim O. [c] ὅτι] καὶ ὅτι K.Q. Sav. cet. [d] ἀλλ' ὥσπερ] ἀλλ' ἀλήθεια. ὥσπερ δὲ K.Q. Sav. cet. [e] οἱ ante ἐπὶ τῶν λ. transp. N. Statim ἀλωθέντες R. [f] τῶν] διὰ τῶν K.Q. [g] ἀπώλειαν A. [h] καὶ] ὅτι καὶ K.Q. καὶ γὰρ Sav. cet. invitis libris. [i] ἀόπλ. ἐκύκλουν] ἐκύκλουν (–λου R. et olim O.) ἀόπλ. K.O.Q.R. [k] μηχανῶν A. Mox ἔσωσεν N. [l] ἡ αὐτὴ τοῖς μὲν (τοῖς μὲν ἡ αὐτὴ Veron.)] τὸ αὐτὸ ὕδωρ τοῖς μὲν K.Q. Sav. cet. [m] ἔπεσον K.Q. ἔπεσαν N. et ex corr. O. [n] καταβαλεῖν N.R. ἐστι κατ. pro κατ. ἐστὶ K.O.Q.R. [o] οὐδὲ φ.] φ. οὐδὲ K.Q. οὐδὲ om. Cat. [p] καὶ om. A. Mox πάντα K.N.Q.

Digitized by Google

τοῦτον ἅπαντα τὸν λόγον [q] ἐκίνησε, δεικνὺς ὅτι οὐ νῦν, ἀλλὰ
καὶ ἐξ ἀρχῆς πάντα τὰ θαύματα [r] διὰ ταύτης ἤνυσται καὶ κατ-
ώρθωται. "Πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο [s] τοῖς ἀπει-
θήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης." Οὐκοῦν αἰ-
σχρὸν, εἰ καὶ πόρνης ἀπιστότεροι φανείητε· [t] καίτοιγε ἐκείνη
τῶν ἀνδρῶν ἤκουσεν ἀπαγγελλόντων, καὶ [v] εὐθέως ἐπίστευσε.
247 Τοιγαροῦν καὶ τὸ τέλος ἐπηκολούθησε· πάντων γὰρ ἀπολω-
λότων, μόνη διεσώθη. Οὐκ εἶπε πρὸς ἑαυτὴν, ὅτι μετὰ πολλῶν
ἔσομαι τῶν ἐμῶν· οὐκ εἶπεν, ἐγὼ [w] τούτων φρονιμωτέρα δύνα-
μαι εἶναι ἀνδρῶν [x] συνετῶν, οἵτινες ἀπιστοῦσι, [y] καὶ ἐγὼ πι-
στεύσω; Οὐδὲν τοιοῦτον [z] εἶπεν, [a] ἀλλὰ τοῖς γενομένοις ἐπίστευ-
σεν, ὅπερ εἰκὸς ἦν αὐτοὺς παθεῖν.

[2] "Καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρό-
νος." Οὐκέτι λοιπὸν τὰ ὀνόματα τίθησιν, ἀλλὰ τελευτήσας εἰς
τὴν πόρνην, καὶ ἐντρέψας διὰ τῆς τοῦ προσώπου ποιότητος,
οὐκέτι πλατύνει τὰς ἱστορίας, ἵνα μὴ δόξῃ μακρηγορεῖν· οὐ μὴν
B αὐτὰς ἀφίησιν, ἀλλ' ἐπιτρέχει, σφόδρα [b] συνετῶς ἀμφότερα,
καὶ τὸν κόρον φεύγων, καὶ τὴν πυκνότητα οὐ λυμαινόμενος·
[c] οὔτε πάντη ἐσίγησεν, οὔτε λέγων ἠνώχλησεν· [d] ἀμφότερα γὰρ
ποιεῖ. Ὅταν γάρ τις ἰσχυρῶς ἀγωνίζηται, ἂν [e] ἐπιμένῃ ἀγωνι-
ζόμενος, ἀποκναίει τὸν ἀκροατὴν, πεπεισμένον λοιπὸν ἐνοχλῶν,
καὶ φιλοτιμίας λαμβάνων δόξαν· δεῖ [f] γὰρ πρὸς τὸ λυσιτελὲς
ἁρμόζεσθαι. "Καὶ τί ἔτι λέγω, [g] φησίν; ἐπιλείψει γάρ με
διηγούμενον ὁ χρόνος περὶ Γεδεὼν, Βαράκ τε καὶ Σαμψὼν καὶ
Ἰεφθάε, Δαυῒδ τε καὶ Σαμουὴλ καὶ τῶν προφητῶν." Ἐγκα-
C λοῦσι τῷ Παύλῳ τινὲς, [h] εἰ τὸν Βαρὰκ καὶ τὸν Σαμψὼν καὶ
τὸν Ἰεφθάε ἐν τούτοις τίθησι τοῖς τόποις. Τί λέγεις; [i] τὴν
πόρνην θεὶς, τούτους οὐ θήσει; Μὴ γάρ μοι [k] τὸν ἄλλον αὐτῶν
βίον εἴπῃς, ἀλλ' εἰ μὴ ἐπίστευσαν καὶ ἔλαμψαν [l] ἐν τῇ πίστει.
"Καὶ τῶν προφητῶν, φησὶν, [3] [m] οἵτινες διὰ πίστεως κατηγωνί-
σαντο βασιλείας." Ὁρᾷς ὅτι οὐχὶ βίον [n] αὐτοῖς ἐνταῦθα μαρ- (567)

[2] v. 32. [3] v. 33.

[q] ἐκίνει O.R. [r] δι' αὐτῆς R. [s] τοῖς ἀπειθ. om. K. [t] καίτοι γὰρ A. Mox ἐπαγγ. N. [v] εὐθέως om. R. [w] τοσούτων K.Q. Sav. cet. Mox δύναμαι om. R. [x] συνετῶν om. K.Q. [y] κἀγὼ N. Statim πιστεύω R. Veron. et olim O. [z] εἶπεν om. Sav. cet. invitis omnibus. [a] ἀλλὰ τοῖς γενομένοις (λεγομένοις N.)—παθεῖν (μαθεῖν R.)] ὅπερ εἰκὸς ἦν ἄλλον καὶ εἰπεῖν καὶ παθεῖν, ἀλλὰ τοῖς λεγομένοις ἐπίστευσε K.Q. Sav. cet. [b] συνετῶς] + τηρῶν K.Q. Sav. cet. [c] οὐδὲ A. Veron. [d] ἀμφ. γὰρ] ἀλλ' ἀμφ. K.Q. Sav. cet. [e] ἐπιμείνῃ A. [f] γὰρ] δὲ K.Q. [g] φησὶν om. N. [h] εἰ] ὅτι A(?). Mor. Ben. [i] τὴν] ὁ τὴν N.O. Cat. Sav. cet. [k] τῶν ἄλλων A. Mox εἴποις A.R. Veron. [l] [ἐν] Sav. ἐν om. N. [m] οἵτινες] οἱ K.Q. Sav. cet. [n] αὐτοῖς ἐντ. pro ἐντ. αὐτοῖς omnes.

Digitized by Google

τυρεῖ λαμπρόν· οὐδὲ γὰρ [o]τοῦτο ἦν τὸ ζητούμενον, ἀλλὰ πί-
στεως [p]τέως ἐξέτασις ἦν. Εἰπὲ γάρ μοι, εἰ μὴ πίστει τὸ πᾶν
[q]ἤνυσαν; "Διὰ πίστεως, φησὶ, κατηγωνίσαντο βασιλείας·" οἱ
περὶ τὸν Γεδεών. "Εἰργάσαντο δικαιοσύνην·" τίνες; Αὐτοὶ
οὗτοι· ἤτοι τὴν φιλανθρωπίαν [r]φησὶν [s]ἐνταῦθα. Περὶ τοῦ D
Δαυῒδ οἶμαι [t]αὐτὸν λέγειν. "[v]Ἐπέτυχον ἐπαγγελιῶν·" ποίων
δὴ τούτων; Ὧν ἔλεγεν, ὅτι τὸ σπέρμα αὐτοῦ καθίσει ἐπὶ τὸν
θρόνον αὐτοῦ. "Ἔφραξαν στόματα λεόντων, [4]ἔσβεσαν δύνα-
μιν πυρὸς, ἔφυγον στόματα μαχαίρας." Ὅρα πῶς ἐν αὐτῷ τῷ
θανάτῳ ἦσαν, ὁ Δανιὴλ κυκλούμενος ὑπὸ τῶν λεόντων, οἱ παῖ-
δες οἱ τρεῖς ἐν τῇ καμίνῳ διατρίβοντες, [w]οἱ Ἰσραηλῖται, ὁ
Ἀβραὰμ, [x]ὁ Ἰσαὰκ, ὁ Ἰακὼβ ἐν διαφόροις πειρασμοῖς, καὶ οὐδὲ
οὕτως ἀπέγνωσαν. Τοῦτο γὰρ πίστις· ὅταν τὰ πράγματα 248
πρὸς τὸ ἐναντίον ἐκβαίνῃ, τότε [y]δεῖ πιστεύειν ὅτι οὐδὲν ἐναν-
τίον γέγονεν, ἀλλὰ πάντα ἀκόλουθα. "Ἔφυγον στόματα μα-
χαίρας." Περὶ τῶν τριῶν πάλιν οἶμαι παίδων λέγειν αὐτόν.
"Ἐνεδυναμώθησαν ἀπὸ [z]ἀσθενείας." Τὰ κατὰ τὴν ἐπάνοδον
τὴν [a]ἀπὸ Βαβυλῶνος ἐνταῦθα αἰνίττεται. Ἀπὸ ἀσθενείας [b]γὰρ
τοῦτ' ἔστιν, ἀπὸ αἰχμαλωσίας· ὅτε ἤδη ἀπέγνωστο τὰ Ἰου-
δαϊκὰ, ὅτε [c]ὀστῶν νεκρῶν οὐδὲν διενηνόχεσαν. [d]Τίς ἂν ἤλπισεν
ἀπὸ Βαβυλῶνος ἐπανήκειν αὐτούς; καὶ οὐκ [e]ἐπανήκειν μόνον, B
ἀλλὰ καὶ ἰσχυροὺς γενήσεσθαι, καὶ κλῖναι παρεμβολὰς ἀλλο-
τρίων; Ἀλλ' ἡμῖν οὐδὲν [f]τοιοῦτον συνέβη, φησίν. Ἀλλὰ ταῦτα
τύποι τῶν μελλόντων εἰσίν. "Ἔλαβον γυναῖκες ἐξ ἀναστά-
σεως τοὺς νεκροὺς αὐτῶν." Τὰ κατὰ τοὺς προφήτας ἐνταῦθα
λέγει, τὸν Ἐλισσαῖον, τὸν Ἠλίαν· νεκροὺς γὰρ [g]ἀνέστησαν.
[5]"Ἕτεροι δὲ ἐτυμπανίσθησαν, [h]οὐ προσδεξάμενοι τὴν ἀπολύ-
τρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν." Ἀλλ' οὐχ ἡμεῖς
[i]ἀναστάσεως ἐτύχομεν. Ἀλλ' ἔχω δεῖξαι καὶ ἐκείνους, [k]φησὶν,

[4] v. 34. [5] v. 35.

[o] τοῦτο] + προηγουμένως K.Q. Sav. cet. Statim νῦν pro ἦν N. et corr. O. [p] τέως om. A.N.R. Veron. Mut. [q] ἤνυσαν] + πῶς; O. Sav. cet. [r] φησὶν om. K.Q. Sav. cet. [s] ἐνταῦθα] + δικαιοσύνην εἶπεν. ἐπέτυχον ἐπαγγελιῶν iidem. [t] αὐτὸν] + τοῦτο iidem. [v] ἐπέτυχον—δὴ (δὲ A.) τούτων] ποίων δὲ τούτων ἔτυχεν ἐπαγγελιῶν iidem. [w] οἱ Ἰσραηλῖται accessit ex A.N.O.R. Cat. Mut. [x] ὁ] καὶ O. Mox καὶ ὁ Ἰακὼβ idem. [y] δεῖ] δὴ A. [z] ἀσθενείας] + ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων Edd. Haec desunt in A.R. Cat. Mut. [a] ἀπὸ] ἐκ R. Veron. et ex corr. O. [b] γὰρ] Sic A.N.O.R. Cat. γὰρ om. Veron. φησὶ pro γὰρ K.Q. Sav. cet. [c] ὀστῶν] τῶν A. Mut. Mox διενηνόχεισαν K.Q. Post h. v. add. τότε αὐτοῖς γέγονε τὰ τῆς ἐπανόδου K.Q. Sav. cet. [d] τίς] + γὰρ K.Q. Cat. Sav. cet. [e] ἐπανήκειν] + αὐτοὺς K.N.Q. Mox γενέσθαι K.N.O. [f] τοιοῦτο O. Cat. [g] ἀνέστησαν] + οὗτοι K.Q. Sav. cet. Statim ἄλλοι pro ἕτεροι K.N.Q. Sav. cet. [h] οὐ] μὴ N. [i] ἀναστ.] τῆς ἀναστ. O. [k] φησὶν om. K.Q.

Digitized by Google

ἀποτμηθέντας, καὶ μὴ δεξαμένους, ἵνα κρείττονος ἀναστάσεως
C τύχωσι. Διὰ τί γάρ, εἰπέ μοι, [l]παρὸν ζῆσαι, οὐκ ἐβουλήθησαν;
οὐκ [m]ἄρα κρείττονα προσεδόκων ζωήν; Καὶ οἱ τοὺς ἄλλους
ἀναστήσαντες, αὐτοὶ εἵλοντο ἀποθανεῖν, ὥστε κρείττονος ἀνα-
στάσεως τυχεῖν, οὐ τοιαύτης, οἵας τὰ παιδία τῶν γυναικῶν.
Ἐνταῦθά μοι δοκεῖ [n]καὶ τὸν Ἰωάννην αἰνίττεσθαι, καὶ τὸν Ἰάκω-
βον· ἀποτυμπανισμὸς γὰρ [o]τοῦτο λέγεται, ὁ ἀποκεφαλισμός.
Ἐξῆν αὐτοῖς [p]ὁρᾷν τὸν ἥλιον, [q]ἐξῆν μὴ ἐλέγξαι, [r]καὶ εἵλοντο
ἀποθανεῖν, καὶ οἱ ἀναστήσαντες ἄλλους, αὐτοὶ εἵλοντο [s]ἀπο-
θανεῖν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν. [6]"Ἕτεροι δὲ ἐμ-
παιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ [t]φυ-
D λακῆς." Ἐν τούτοις τελευτᾷ, ἐν τοῖς οἰκειοτέροις. Μάλιστα
γὰρ ταῦτα φέρει τὴν παράκλησιν, ὅταν τῆς αὐτῆς ὑποθέσεως ἡ
λύπη ᾖ· ἐπεὶ κἂν σφοδρότερον εἴπῃς, μὴ ᾖ δὲ ἐκ τῆς αὐτῆς ὑπο-
θέσεως [v]τεχθεῖσα, οὐδὲν [w]ἐποίησας. Διὰ τοῦτο εἰς τοῦτο τὸν
λόγον [x]ἐτέλεσε, δεσμὰ λέγων, φυλακάς, μάστιγας, λιθασμούς,
[y]τὰ κατὰ τὸν Στέφανον, τὰ κατὰ τὸν Ζαχαρίαν αἰνιττόμενος.
Διὸ ἐπήγαγεν, "Ἐν φόνῳ μαχαίρας ἀπέθανον." Τί λέγεις;
249 οἱ μὲν ἔφυγον στόματα μαχαίρας, οἱ δὲ ἐν φόνῳ μαχαίρας ἀπέ-
θανον; τί [z]ἐστι; ποῖον ἐπαινεῖς, ποῖον θαυμάζεις; τοῦτο, ἢ
ἐκεῖνο; Ναί, φησί· [a]τοῦτο μὲν ὑμῖν οἰκεῖον, ἐκεῖνο δέ, ὅτι καὶ
πρὸς αὐτὴν τὴν τελευτὴν ἴσχυσεν ἡ πίστις, καὶ τύπος τῶν μελ-
λόντων ἐστί. Δύο [b]γάρ ἐστι τὰ θαυμαστὰ τῆς πίστεως, ὅτι
[c]καὶ ἀνύει μεγάλα, καὶ πάσχει μεγάλα, [d]καὶ οὐδὲν ἡγεῖται
πάσχειν. [e]Καὶ οὐκ ἔχεις εἰπεῖν, φησὶν, ὅτι ἁμαρτωλοί τινες
ἦσαν καὶ οὐδαμινοί· κἂν [f]γὰρ τὸν κόσμον ἀντιστήσῃς ὅλον,
ἐκείνους εὑρίσκω καθέλκοντας τὸν ζυγόν, καὶ τιμιωτέρους [g]ὄν-
B τας. Τί τοίνυν ἔμελλον [h]ἐνταῦθα ἀπολαμβάνειν; Ἐνταῦθα (568)

[6] v. 36.

[l] παρὸν] τὸ παρὸν K.O.Q. Mox ἠβουλήθησαν K.N.O.Q. Sav. cet. [m] ἄρα] + ὅτι K.Q. Sav. cet. [n] καὶ om. K.N.Q. [o] τοῦτο assumtum ex K.N.O.Q. Cat. [p] ὁρᾷν τὸν ἥ.] σιγῆσαι K.Q. [q] ἐξῆν] + αὐτοῖς K.N.Q. Sav. cet. [r] καὶ] + ὅμως K.Q. Sav. cet. [s] ἀπελθεῖν R. Veron. et olim O. [t] φυλακῆς] + ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν Edd. Haec om. A.O. Cat. Mut. Post ἐπειράσθησαν insuper add. ἐν φόνῳ μαχαίρας ἀπέθανον K.N.Q. [v] ταχθεῖσα Cat. et a pr. m. O. τεθεῖσα K.N.Q. et ex corr. O. [w] ἐποίησε A.R. Veron. *prodest* Mut. [x] ἐτέλεσε] συνέκλεισε K.Q. Sav. cet. [y] τὰ] τοὺς O. Mox τὸν om. bis K.N.Q. [z] ἐστι] + τοῦτο K.Q. Sav. cet. [a] τοῦτο μὲν] καὶ τοῦτο κἀκεῖνο· τοῦτο μὲν ὅτι iidem. [b] γὰρ om. K.Q. Mox θαυμαστὰ K.N.O.Q.R. θαύματα Edd. [c] καὶ] τε K.Q. καὶ om. N. [d] καὶ] + ὅτι K.Q. Sav. cet. Statim ἡγεῖται πάσχειν οὐδὲν hoc ord. K.Q. [e] καὶ om. K.Q. [f] γὰρ] + τις K.N.Q. Mox ἀντιστήσῃ iidem. [g] ὄντας] + διὰ τοῦτο καὶ οὕτως εἶπεν· ὧν οὐκ ἦν ἄξιος ὁ κοσμὸς K.Q. Sav. cet. [h] ἐνταῦθα] ὧδε K.Q. Post ἀπολαμβάνειν add. ὧν οὐδὲν τῶν ἐν τῷ κόσμῳ ἦν ἄξιον K.Q. Sav. cet.

Digitized by Google

αὐτῶν διανίστησι τὴν διάνοιαν, παιδεύων μὴ [i]προσηλῶσθαι τοῖς
παροῦσιν, ἀλλὰ πάντων [k]μείζω φρονεῖν τῶν ἐν τῷ παρόντι
βίῳ, εἴγε ὁ πᾶς κόσμος οὐκ ἔστιν αὐτῶν ἄξιος. Τί τοίνυν [l]βού-
λει ἐνταῦθα λαβεῖν; ὕβρις γάρ ἐστιν, ἐὰν ἐνταῦθα λάβῃς τὸν
μισθόν.

[m]Μὴ τοίνυν κοσμικὰ φρονῶμεν, μηδὲ ἐνταῦθα ζητῶμεν τὴν
ἀνταπόδοσιν, μηδὲ οὕτως ὦμεν πένητες· εἰ γὰρ [n]ὁ πᾶς κόσμος
οὐκ ἄξιος αὐτῶν, τί τὸ μέρος ἐπιζητεῖς; Καὶ εἰκότως· φίλοι C
γάρ εἰσι τοῦ θεοῦ. Κόσμον δὲ [o]ἐνταῦθα ἆρα τὸ πλῆθός φησιν,
ἢ τὴν κτίσιν αὐτήν; [p]Ἀμφότερα· ἀμφότερα γὰρ οἶδε λέγειν
ἡ γραφή. [q]Εἰ πᾶσα ἡ [r]κτίσις μετὰ [s]τῶν ἀνθρώπων, φησὶ, στῇ
τῶν αὐτῆς, οὐδέπω ἀντάξιοι [t]ἦσαν τούτων· εἰκότως. Ὥσπερ
γὰρ μύριοι σταθμοὶ ἀχύρου καὶ χόρτου δέκα μαργαριτῶν οὐκ
ἂν εἶεν ἀντάξιοι, οὕτως οὐδὲ ἐκεῖνοι· [7]“[v]Κρείσσων γὰρ εἷς
ποιῶν θέλημα κυρίου, ἢ μυρίοι παράνομοι” μυρίους οὐχὶ τοὺς
πολλοὺς [w]λέγων, ἀλλὰ τὸ πλῆθος τὸ ἄπειρον. Ἐννόησον ὅσον
ἐστὶν ὁ δίκαιος. Εἶπεν Ἰησοῦς ὁ τοῦ Ναυῆ· [8]“Στήτω ὁ ἥλιος
κατὰ Γαβαὼν, καὶ ἡ σελήνη κατὰ φάραγγα [x]Ἐλώμ·” καὶ ἐγέ- D
νετο. Ἡκέτω τοίνυν πᾶσα ἡ οἰκουμένη, μᾶλλον δὲ δύο, [y]καὶ
τρεῖς, καὶ τέσσαρες, καὶ δέκα, καὶ εἴκοσι οἰκουμέναι, καὶ λεγέτω-
σαν, καὶ ποιείτωσαν τοῦτο· [z]ἀλλ' οὐ δυνήσονται. Ὁ δὲ τοῦ
θεοῦ φίλος τοῖς τοῦ φίλου κτίσμασιν ἐπέταττε, μᾶλλον δὲ τὸν
φίλον παρεκάλει, καὶ εἶκε τὰ δοῦλα, καὶ ὁ κάτω τοῖς ἄνω προσ-
έταττεν. Ὁρᾷς ὅτι εἰς δουλείαν ταῦτα γέγονε, τὸν δρόμον
τὸν διατεταγμένον πληροῦντα; Τοῦτο [a]τῶν Μωϋσέως μεῖζον.
Τί δήποτε; [b]Οὐ γάρ ἐστιν ἴσον θαλάττῃ [c]ἐπιτάξαι, καὶ τοῖς 250
κατ' οὐρανόν· μέγα μὲν γὰρ [d]κἀκεῖνο, καὶ σφόδρα μέγα, πλὴν
ἀλλ' οὐδὲν [e]ἴσον. Τί δήποτε; Τύπος ἦν [f]τοῦ Ἰησοῦ τὸ ὄνομα.

7 Sirac. xvi. 3. 8 Jos. x. 12.

[i] προσηλοῦσθαι A.K.N.Q. et ex corr. O. receptum a Sav. cet. [k] μείζων A.K.Q. [l] βούλει ἐντ.] ἐντ. βούλει K.N.Q. [m] ΗΘΙΚΟΝ. Περὶ τοῦ μὴ φρονεῖν κοσμικὰ, μηδὲ ζητεῖν ἐνταῦθα τὴν ἀνταπόδοσιν· καὶ ὅτι οὐ σφαῖρα ὁ οὐρανός· καὶ περὶ Ἰησοῦ τοῦ Ναυῆ, καὶ τῶν σημεῖα ποιούντων. Veron. [n] ὁ πᾶς] πᾶς ὁ A. [o] ἐντ. ἆρα (ἄρα N.)] ἆρα ἐντ. ἢ K.Q. φησὶν post αὐτὴν transp. iidem. [p] ἀμφότερα om. K.N.O.Q. Mor. Ben. [q] εἰ] + τοίνυν K.Q. [r] κτίσις] + φησὶ N.O. Mox φησὶ om. K.N.O.Q. [s] τῶν om. A. Mox στήτω pro στῇ τῶν idem. [t] ἦσαν] φανοῦνται K.Q. Sav. cet. Mox καὶ εἰκότως iidem. [v] κρεῖσσον A.K. Mox θεοῦ pro κυρίου N. [w] λέγει K.N.Q. Sav. cet. Sic a pr. m. O. [x] Ἀλὼν A. Ἀλὼμ R. [y] καὶ] ἢ ex corr. O. Mox εἴκοσι K.N. εἴκοσιν Edd. [z] ἀλλὰ οὐ K.N.O.Q. Sav. cet. [a] τῶν] τοῦ K.N.Q.R. Statim Μωϋσέος A.R. Veron. Μωσέως N. [b] οὐ γὰρ] ὅτι οὐκ K.Q. οὐ γὰρ—τί δήποτε om. A. [c] ἐπιτάττειν N. et marg. O. [d] ἐκεῖνο K. [e] ἴσον] + ἄκουε δὲ καὶ πόθεν τοιοῦτος γέγονε K.Q. Sav. cet. Statim τί δήποτε om. K.Q. [f] τοῦ Ἰησοῦ τὸ ὄνομα] τοῦ Χριστοῦ τὸ τοῦ Ἰησοῦ ὄνομα K.Q. Sav. cet.

Digitized by Google

Διὰ τοῦτο [g]τοίνυν, [h]καὶ διὰ τὴν προσηγορίαν αὐτὴν ᾐδέσθη ἡ
κτίσις. Τί οὖν; ἄλλος οὐκ ἐκλήθη Ἰησοῦς; Ἀλλ' οὗτος ἐπὶ
[i]τούτῳ ἐκλήθη ἐν τύπῳ· καὶ [k]γὰρ Αὐσῆς ἐλέγετο· διὰ τοῦτο
[l]μετεβλήθη τὸ ὄνομα· πρόρρησις γὰρ ἦν καὶ προφητεία. [m]Αὐ-
τὸς εἰσήγαγε τὸν λαὸν εἰς τὴν ἐπαγγελίαν, ὥσπερ [n]Ἰησοῦς εἰς
B τὸν οὐρανὸν, οὐχ ὁ νόμος, ὥσπερ οὐδὲ Μωϋσῆς, [o]ἀλλ' ἔξω ἔμε-
νεν· οὐκ ἰσχύει νόμος εἰσαγαγεῖν, ἀλλ' ἡ χάρις. Ὁρᾷς τοὺς
τύπους ἄνωθεν προδιαγραφομένους; Ἐπέταξε τῇ κτίσει, μᾶλ-
λον δὲ τῷ [p]καιρίῳ τῆς κτίσεως μέρει, αὐτῇ τῇ κεφαλῇ κάτω
ἑστώς· [q]ἵνα, ὅταν ἴδῃς ἐν ἀνθρώπου σχήματι τὸν Ἰησοῦν [r]τὰ
αὐτὰ λέγοντα, μὴ θορυβηθῇς μηδὲ ξενισθῇς. Αὐτὸς, καὶ Μωϋ-
σέως ζῶντος, ἐτροπώσατο τοὺς [s]πολέμους· [t]οὕτως, καὶ τοῦ
νόμου ζῶντος, αὐτὸς τὰ πάντα διοικεῖ, ἀλλ' οὐ φανερῶς. Πλὴν
ἴδωμεν ὅση [v]ἡ ἀρετὴ τῶν ἁγίων. Εἰ ἐνταῦθα τοιαῦτα [w]ἐργά-
C ζονται, εἰ ἐνταῦθα τοιαῦτα ποιοῦσιν, ἅπερ ἄγγελοι, τί ἄρα
ἐκεῖ; πόσην ἔχουσι τὴν λαμπρότητα; Τάχα τις ὑμῶν ἕκαστος
ἐβούλετο εἶναι τοιοῦτος, ὥστε [x]δύνασθαι ἐπιτάττειν τῷ ἡλίῳ
καὶ τῇ σελήνῃ. Ἐνταῦθα οἱ λέγοντες [y]τὸν οὐρανὸν σφαῖραν
εἶναι, [z]τί ἂν εἴποιεν; [a]Διὰ τί γὰρ μὴ εἶπε, στήτω [b]ὁ ἥλιος,
ἀλλὰ προσέθηκε, "[c]Στήτω κατὰ φάραγγα [d]Ἐλώμ;" τουτέστι,
μείζονα τὴν ἡμέραν [e]ἐργάσεται. Τοῦτο καὶ ἐπὶ τοῦ Ἐζεκίου
γέγονεν· [f]ἀνεπόδισεν ὁ ἥλιος. [g]Τοῦτο ἐκείνου [h]θαυμασιώτερον
πάλιν, τὸ τὴν ἐναντίαν ἐλθεῖν ὁδὸν, μήπω περιελθόντα τὸν
D δρόμον. Ἀλλὰ [i]τούτων μείζονα ἐπιτευξόμεθα, [k]ἐὰν ἐθέλωμεν.
[l]Τίνα γὰρ ἡμῖν ἐπηγγείλατο ὁ Χριστός; [m]Οὐχὶ ἥλιον στή-

[g] τοίνυν om. K.Q. [h] καὶ διὰ (διὰ om. N.) τὴν πρ. αὐτὴν] ἐπεὶ τὴν τοιαύτην κλῆσιν ἔσχεν ἐν τύπῳ, ἣν (τὴν K.Q.) Ἰησοῦς, αὐτὴν τὴν πρ. K.Q. Sav. cet. [i] τοῦτο A.K.Q. [k] γὰρ] + καὶ Edd. καὶ om. K.N.O.Q. [l] μετεκλήθη A. [m] οὗτος K.Q. Sav. cet. [n] ὁ Ἰησοῦς et mox ὁ Μωϋσῆς K.N.O.Q. Sav. cet. [o] ἀλλ' ἔξω] ἔξω γὰρ K.Q. [p] κυρίῳ K.Q. Sav. cet. [q] ἵν' ὅταν K.N. [r] τὰ αὐτὰ] ταῦτα A. Veron. Mox μηδὲ ξενισθῇς om. A.R. Veron. invito Mut. [s] πολεμίους K.N.O.Q. Sav. cet. invito Mut. Cf. p. 252 A. [t] οὕτως] Sic N. Mut. et ex corr. O. οὗτος Edd. Mox αὐτὸς accessit ex K.N.O.Q. Mut. [v] ἡ om. A.R. Veron. [w] ἐργάζονται et ποιοῦσιν transp. R. Mox ἅπερ οἱ ἄγγ. K.Q. Sav. cet. [x] δυνηθῆναι a pr. m. O. [y] τὸν οὐρ. σφ.] σφ. τὸν οὐρ. N. [z] τί] πρὸς τοῦτο τί K.Q. Sav. cet. [a] διὰ insert. in O. [b] ὁ om. N. eras. in O. [c] στήτω] + ἥλιος κατὰ Γαβαὼν, καὶ ἡ σελήνη alia m. N. + ὁ ἥλιος—σελήνη in rasura a 2da m. O. receptum a Sav. cet. consentiente Mut. [d] ἀλὼμ A. ἀλῶν R. Veron. Sic, sed ex corr. ἐλὼν O. [e] ἐργάσεται] Sic A.N.O.R. ἐργάσηται Veron. ἐργασάτω K.Q. ἐργασάσθω Sav. cet. [f] ἀνεπόδησεν N. ἀνεπόδισε γὰρ K.Q. Sav. cet. [g] τοῦτο] ἀλλὰ τοῦτο Q. Sav. cet. [h] θαυμαστότερον A.N. Sav. cet. Statim πάλιν post ἐλθεῖν transp. K.Q. Sav. cet. [i] τούτων] + ἡμεῖς iidem. [k] ἂν N. Statim θέλωμεν K.Q. [l] τίνα γὰρ] καὶ K.Q. [m] οὐχὶ] οὐχ N. ἀλλ' οὐχ K.Q. Statim ἡλίου στάσιν οὐδὲ σελήνης N.

Digitized by Google

σειν, οὐδὲ σελήνην, [n]οὐδὲ ἀναποδισμὸν ἡλίου, ἀλλὰ τί; [9]"Ἐλευ-
σόμεθα πρὸς αὐτὸν ἐγὼ καὶ ὁ πατὴρ, φησὶ, καὶ μονὴν παρ'
αὐτῷ ποιήσομεν." Τί μοι δεῖ ἡλίου καὶ σελήνης, καὶ τῶν θαυ-
μάτων τούτων, αὐτοῦ τοῦ δεσπότου πάντων παρ' ἐμοὶ κατα-
γομένου καὶ [o]ἐνιδρυμένου· οὐ δεῖ μοι τούτου. [p]Τί γὰρ δεῖ μοί
τινος τούτων; αὐτὸς ἔσται μοι [q]εἰς [r]ἥλιον καὶ εἰς φῶς. Εἰπὲ
γάρ μοι, τί ἐβούλου, εἰς [s]βασίλεια εἰσελθὼν, δυνηθῆναί τι τῶν
πεπηγότων μεταρρυθμίσαι, ἢ τὸν βασιλέα οὕτως οἰκειώσασθαι, 251
ὡς πεῖσαι πρὸς σὲ καταχθῆναι; [t]Πολλῷ μᾶλλον τοῦτο, ἢ
ἐκεῖνο. [v]Τί δὲ θαυμαστὸν, εἰ ἅπερ ἄνθρωπος ἐπιτάττει, φησὶ,
(569) ταῦτα καὶ ὁ Χριστός; Ἀλλ' ὁ Χριστὸς, φησὶν, οὐ δεῖται τοῦ
πατρὸς, ἀλλ' αὐθεντικῶς ποιεῖ, [w]φησί. Καλῶς· οὐκοῦν ὁμολό-
γησον πρῶτον καὶ εἰπὲ, ὅτι οὐ δεῖται τοῦ πατρὸς, καὶ αὐθεντι-
κῶς ποιεῖ· καὶ τότε σε ἐρήσομαι, [x]ἆρα ἡ εὐχὴ συγκαταβάσεως
καὶ οἰκονομίας ἐστίν· οὐ γὰρ δὴ τοῦ Ἰησοῦ τοῦ Ναυῆ [y]ἐλάτ-
των ἦν ὁ Χριστός· [z]καὶ τοῦ δύνασθαι διδάσκειν ἡμᾶς; Ὥσπερ B
γὰρ διδασκάλου ἀκούων ψελλίζοντος καὶ τὰ στοιχεῖα κατα-
λέγοντος, οὐ φῂς αὐτὸν ἀγνοεῖν, καὶ ὅταν ἐρωτᾷ, ποῦ ἔστι τόδε
τὸ στοιχεῖον; οἶδας ὅτι οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλὰ τὸν μαθη-
τευόμενον θέλων [a]ἐναγαγεῖν· οὕτω καὶ ὁ [b]Χριστὸς οὐ δεόμενος
εὐχῆς ἐποιεῖτο τὴν εὐχὴν, ἀλλὰ σὲ θέλων ἐναγαγεῖν, ἵνα συνε-
χῶς προσέχῃς τῇ εὐχῇ, ἵνα ἀδιαλείπτως, ἵνα νηφόντως, καὶ μετὰ
πολλῆς τῆς ἀγρυπνίας ταύτην [c]ποιῇ. Ἀγρυπνεῖν δὲ οὐ τὸ
νυκτὸς ἐγείρεσθαι [d]λέγω μόνον, ἀλλὰ καὶ τὸ ἐν ἡμέρᾳ νήφειν
ἐν ταῖς προσευχαῖς· ἄγρυπνος γὰρ καλεῖται ὁ τοιοῦτος. Ἐπεὶ C
ἔστι καὶ νυκτὸς εὐχόμενον καθεύδειν, καὶ ἐν ἡμέρᾳ [e]εὐχόμενον
[f]ἀγρυπνεῖν, ὅταν ἡ ψυχὴ [g]τεταμένη ᾖ πρὸς τὸν θεὸν, ὅταν
ἐννοῇ τίνι διαλέγεται, πρὸς τίνα [h]ὁ λόγος αὐτῇ, ὅταν λάβῃ ἐν
νῷ ὅτι ἄγγελοι παρεστήκασι μετὰ [i]φόβου καὶ τρόμου, αὐτὸς

[9] Joan. xiv. 23.

[n] οὐδὲ] οὐχὶ O. [o] ἐνιδρυομένου K.Q. [p] τί—τινος] μᾶλλον δὲ οὐδένος K.Q. [q] εἰς] καὶ εἰς N. [r] ἥλιον] σελήνην K.Q. σελήνην καὶ (+ εἰς N.) ἥλιον N. Sav. Mor. ἥλιον καὶ σελήνην Ben. Statim καὶ φῶς Veron. [s] βασιλείαν N. *in regnum coelorum* Mut. [t] πολλῷ] οὐ πολλῷ K.Q. Sav. cet. [v] τί δὲ—ταῦτα] τί δαί; οὐ θαυμαστὸν εἴπερ ἄνθ. ἐπιτάττει ταῦτα ἃ K.Q. Sav. cet. φησὶν, ἐπιτ. pro ἐπιτ. φησὶ N.O. [w] φησὶ om. K.Q. Sav. cet. [x] ἆρα (ἄρα N.O.) ἡ εὐχὴ] πάλιν, μᾶλλον δὲ διδάξω περὶ τῆς εὐχῆς ἧς ποιεῖται, ὅτι iidem. Mox ἦν pro ἐστὶν iidem. [y] ἔλαττον A. [z] καὶ om. K.Q. Post ἡμᾶς add. χωρὶς εὐχῆς K.Q. Sav. cet. [a] ἀναγαγεῖν bis N. et ex corr. O. [b] Χριστὸς] θεὸς A.R. Veron. [c] ποιῇ] Sic R. Veron. ποιεῖ A. ποιῇς K.N. O.Q. Sav. cet. [d] λέγω μ.] μ. λέγω K.N.Q. [e] εὐχ.] μὴ εὐχ. K.N.Q. Sav. cet. Sic marg. O. [f] ἀγρυπνεῖν] + πῶς τοῦτο; πῶς ἐκεῖνο; K.Q. Sav. + πῶς τοῦτο ἐκεῖνο; Mor. [g] τεταμένη] μεταμένη R. ᾖ om. A.R. ᾖ τεταμ. hoc ord. K.O.Q. [h] ὁ om. A.R. Veron. [i] φ. καὶ τρ. pro τρ. καὶ φ. A.K.N.Q.

Digitized by Google

δὲ [k]πρόσεισι χασμώμενος [l]καὶ κνώμενος. Μέγα ὅπλον εὐχὴ, ἐὰν μετὰ τῆς προσηκούσης γίνηται διανοίας. Καὶ ἵνα μάθῃς αὐτῆς τὴν [m]ἰσχὺν, ἀναισχυντίας καὶ ἀδικίας καὶ ὠμότητος καὶ ἰταμότητος ἐκράτησεν ἡ συνεχὴς ἔντευξις· [10]"Ἀκούσατε γὰρ, φησὶ, τί ὁ κριτὴς [n]λέγει τῆς ἀδικίας." Καὶ ὄκνου πάλιν ἐκρά-
D τησε, καὶ ὅπερ οὐκ ἐποίησε φιλία, τοῦτο ἐποίησεν ἔντευξις συνεχής· καὶ [11]"Εἰ μὴ διὰ τὸ φίλον αὐτοῦ εἶναι, φησὶ, δώσει αὐτῷ, ἀλλά γε διὰ τὴν ἀναίδειαν αὐτοῦ ἀναστὰς δώσει αὐτῷ." Καὶ [o]ἀναξίαν οὖσαν ἀξίαν ἐποίησεν [p]ἡ συνεχὴς προσεδρεία· [12]"Οὐκ ἔστι, φησὶ, καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ [q]δοῦναι τοῖς κυναρίοις. [r]Ναὶ, φησὶ, κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν."

252 [s]Προσέχωμεν τῇ εὐχῇ· μέγα ὅπλον ἐστὶν, ἐὰν μετὰ ἐκτενείας γίνηται, ἐὰν χωρὶς κενοδοξίας, ἐὰν μετὰ ψυχῆς εἰλικρινοῦς. Αὕτη [t]πολέμους ἐτροπώσατο, αὕτη ἔθνος ὁλόκληρον καὶ ἀνάξιον εὐηργέτησεν· [13]"Ἤκουσα, φησὶ, τοῦ στεναγμοῦ αὐτῶν, καὶ κατέβην [v]ἐξελέσθαι αὐτούς." Αὕτη φάρμακόν ἐστι [w]σωτήριον, καὶ κωλυτικὸν τῶν ἁμαρτημάτων, καὶ ἰατρεῖον τῶν πλημμελημάτων· ταύτῃ [x]ἡ χήρα ἡ μεμονωμένη προσήδρευεν. Ἐὰν [y]γὰρ μετὰ ταπεινοφροσύνης εὐχώμεθα, ἐὰν τὸ στῆθος πλήττοντες ὡς ὁ τελώνης, ἐὰν ἐκεῖνα [z]φθεγγώμεθα ἅπερ ἐκεῖνος, ἂν λέγωμεν, [14]"Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ," πάντων ἐπιτευξό-
B μεθα. Εἰ γὰρ καὶ μὴ τελῶναί ἐσμεν, ἀλλ' ἕτερα ἔχομεν ἐκείνου οὐχ [a]ἥττονα ἁμαρτήματα. Μὴ γάρ μοι εἴπῃς, ὅτι ἐν μικρῷ τινι [b]διήμαρτες· τὴν γὰρ αὐτὴν ἔχει τὸ πρᾶγμα φύσιν. Καθάπερ γὰρ ὁμοίως ἀνδροφόνος λέγεται, ὅ τε [c]παῖδα ἀνελὼν, ὅ τε ἄνδρα· οὕτω καὶ πλεονέκτης, καὶ ὁ πολλὰ καὶ ὁ μικρὰ πλεονεκτῶν. Καὶ ἡ μνησικακία δὲ οὐ μικρὸν, ἀλλὰ καὶ μέγα ἁμάρτημα· [15]"Μνησικάκων [d]γὰρ, φησὶν, ὁδοὶ εἰς θάνατον·" [e]καὶ, "Ὁ ὀργιζόμενος εἰκῇ τῷ ἀδελφῷ αὐτοῦ, ἔνοχος ἔσται τῇ

10 Luc. xviii. 6. 11 Ibid. xi. 8. 12 Matth. xv. 26, 27. 13 Exod. iii. 7, 8. 14 Luc. xviii. 13. 15 Prov. xii. 28. Matth. v. 22.

[k] προσίῃ K.Q. Sav. cet. [l] καὶ om. A.R. Veron. καὶ κν. om. in text. O. [m] ἰσχὺν] + σκόπει ἐντεῦθεν K.Q. Sav. cet. Statim ἀναισχυντίας καὶ et mox καὶ ἰταμότητος om. K.Q. [n] λέγει τῆς ἀ.] τῆς ἀ. λέγει K.N.Q. [o] ἀνάξιον A.R. Veron. [p] ἡ om. A. [q] δοῦναι] βαλεῖν N. Sav. cet. [r] ναὶ] ἡ δὲ, ναὶ K.Q. Sav. cet. Statim φησὶ om. K.Q. Mox ὦ κύριε N. [s] προσέχωμεν] + τοίνυν K.Q. Sav. cet. [t] πολεμίους N. Sav. cet. [v] τοῦ ἐξελέσθαι N.Q. Sav. cet. Sic ex corr. O. [w] σωτηρίας A. [x] ἡ] καὶ ἡ K.Q. Sav. cet. [y] γὰρ] οὖν iidem. [z] φθεγγόμενοι A.R. Veron. Mox ἐὰν pro ἂν K. Sav. cet. [a] ἧττον olim O. [b] ἥμαρτες K.O.Q. Mox φύσιν ἔχει τὸ πρ. hoc ord. K.N.Q. et ex corr. O. [c] παιδία A.R. Veron. Mox καὶ ὁ πλ. N. [d] γὰρ om. K.Q. φησὶν post ὁδοὶ transp. K.N.Q. post θάνατον O. [e] καὶ] ἀλλὰ καὶ K.Q.

Digitized by Google

γεέννῃ·" καὶ ὁ καλῶν τὸν ἀδελφὸν [f] αὐτοῦ μωρὸν καὶ ἀνόητον,
καὶ [g] μυρία ὅσα. Μεταλαμβάνομεν δὲ καὶ τῶν φρικτῶν μυστη- C
ρίων ἀναξίως, καὶ φθονοῦμεν καὶ [h] λοιδοροῦμεν· τινὲς δὲ ἡμῶν
καὶ ἐμεθύσθησαν πολλάκις. Τούτων δὲ ἕκαστον καὶ αὐτὸ καθ'
ἑαυτὸ ἱκανὸν ἐκβαλεῖν τῆς βασιλείας· ὅταν δὲ καὶ ὁμοῦ [i] συμ-
φορῆται, τίνα ἕξομεν [k] παραμυθίαν; Πολλῆς ἡμῖν δεῖ τῆς μετα-
νοίας, ἀγαπητοὶ, πολλῆς τῆς εὐχῆς, πολλῆς τῆς καρτερίας, πολ-
λῆς τῆς προσεδρείας, ἵνα δυνηθῶμεν [l] ἐπιτυχεῖν τῶν ἐπηγγελμέ-
νων ἡμῖν ἀγαθῶν. Εἴπωμεν οὖν καὶ ἡμεῖς, "'Ιλάσθητί μοι τῷ
ἁμαρτωλῷ·" μᾶλλον δὲ μὴ εἴπωμεν μόνον, ἀλλὰ καὶ οὕτω φρο-
νῶμεν· κἂν [m] ἕτερος ἡμᾶς καλέσῃ, μὴ ὀργιζώμεθα. [n] Ἤκουσεν D
ἐκεῖνος, ὅτι "Οὐκ εἰμὶ ὡς οὗτος ὁ τελώνης," καὶ οὐ παρωξύνθη,
ἀλλὰ κατενύγη· ἐδέξατο [o] τὸ ὄνειδος, καὶ ἀπέθετο τὸ ὄνειδος.
Εἶπεν ἐκεῖνος τὸ τραῦμα, ἐζήτησεν οὗτος τὸ φάρμακον. Λέ-
γωμεν τοίνυν, "'Ιλάσθητί μοι τῷ ἁμαρτωλῷ·" πλὴν κἂν ἕτερος
εἴπῃ, μὴ ἀγανακτῶμεν. [p] Ἂν δὲ αὐτοὶ μὲν λέγωμεν μυρία ἑαυ-
τοὺς κακὰ, [q] παρ' ἑτέρων δὲ ἀκούοντες δυσχεραίνωμεν, οὐκέτι
(570) τοῦτο ταπεινοφροσύνη ἐστὶν οὐδὲ ἐξομολόγησις, ἀλλ' ἐπίδειξις 253
καὶ κενοδοξία. Ἐπίδειξις, [r] φησὶν, ἐστὶν ἁμαρτωλὸν ἑαυτὸν καλεῖν;
[s] Ναί· ταπεινοφροσύνης γὰρ λαμβάνομεν δόξαν, θαυμαζόμεθα,
ἐγκωμιαζόμεθα· ἐὰν δὲ τοὐναντίον εἴπωμεν ἑαυτοὺς, καταφρο-
νούμεθα. Ὥστε καὶ τοῦτο δόξης ἕνεκεν ποιοῦμεν. Τί δέ ἐστι
[t] ταπεινοφροσύνη; [v] Τὸ ἑτέρου ὀνειδίζοντος φέρειν, τὸ ἐπιγι-
νώσκειν τὸ ἁμάρτημα, τὸ φέρειν τὰς [w] κακηγορίας. Καὶ οὐδὲ
τοῦτο [x] ταπεινοφροσύνης ἂν εἴη, ἀλλ' εὐγνωμοσύνης. Νῦν δὲ
ἑαυτοὺς μὲν λέγομεν ἁμαρτωλοὺς, ἀναξίους, μυρία ὅσα· ἂν δὲ
ἕτερός [y] τις ἡμῖν ἓν τούτων προενέγκῃ, χαλεπαίνομεν, [z] ἀγρι- B
αίνομεν. Ὁρᾷς ὅτι οὐκ ἔστιν ἐξομολόγησις, οὐδὲ εὐγνωμοσύνη;
Εἶπες σαυτὸν εἶναι τοιοῦτον· μὴ ἀγανάκτει καὶ παρ' ἑτέρων
ἀκούων, καὶ ἐλεγχόμενος· οὕτω [a] σοι τὰ ἁμαρτήματα κουφίζε-
ται, ὅταν ἕτεροι ὀνειδίζωσιν· ἑαυτοῖς μὲν γὰρ βάρος ἐπιτιθέασι,

[f] αὐτοῦ om. A.R. Veron. [g] μυρία ὅσα] ὅσα τοιαῦτα N. et ex corr. O. receptum a Sav. cet. [h] λοιδορούμεθα N. et olim O. [i] συμφορῆται] Sic N. συμφορεῖται A.R. Veron. συμφύρηται (corr. ex συμφέρηται) O. συμφέρηται K. Q. Sav. cet. [k] παραμυθίαν] ἀπολογίαν K.N.Q. et marg. O. receptum a Sav. cet. [l] τυχεῖν K.N.O.Q. Mox ἡμῖν om. K.N. [m] ἕτερος] + τις N. Sav. cet. Sic ex corr. O. Mox ἐγκαλέσῃ A.Q. Sav. cet. [n] ἤκουεν R. Veron. et olim O. [o] τὸ om. N. expunctum in O. νῖκος pro ὄνειδος Ben. [p] ἂν pro ἐὰν omnes. Mox ἑαυτοῖς Q. [q] παρ' om. A.R. Veron. [r] φ. ἐστὶν pro ἐστι, φ. omnes. Statim ἁμ. ἑαυτὸν A.K.N.O.R. ἑαυτὸν ἁμ. Edd. [s] ναὶ om. a pr. m. O. [t] ταπεινοφροσύνης R. [v] τὸ] τοῦ O. [w] κατηγορίας K.N.O.Q. [x] ταπεινοφροσύνη et εὐγνωμοσύνη A. [y] τις om. N. Mox προσενέγκῃ Edd. et Codd. Vid. Annot. [z] ἀγριαίνομεν] Sic K.N.Q.R. ἀγριαίνωμεν A. ἀγριαινόμεθα Edd. [a] σοι om. N.

Digitized by Google

σὲ δὲ εἰς φιλοσοφίαν ἐνάγουσιν. Ἄκουε τί φησιν ὁ μακάριος
Δαυῒδ, ἡνίκα κατηρᾶτο αὐτῷ ὁ Σεμεεί. [16] « [b]Ἄφες αὐτὸν, φησὶ,
κύριος ἐνετείλατο αὐτῷ, ὅπως ἴδῃ, [c]φησὶ, τὴν ταπείνωσίν μου·
καὶ ἀνταποδώσει μοι κύριος ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ τῆς
C ἐν τῇ ἡμέρᾳ ταύτῃ." Σὺ δὲ περὶ σαυτοῦ λέγων καὶ ὑπερβολὴν
κακῶν, ἐὰν μὴ τὰ τῶν μεγάλων δικαίων ἐγκώμια παρ' ἑτέρων
ἀκούῃς, ἀγριαίνεις. Ὁρᾷς ὅτι παίζεις ἐν οὐ παικτοῖς πράγμασι;
καὶ γὰρ τοὺς ἐπαίνους ἐπαίνων ἑτέρων ἐπιθυμίᾳ [d]διακρουόμεθα,
ἵνα μειζόνων πάλιν τύχωμεν ἐγκωμίων, ἵνα μᾶλλον θαυμασθῶ-
μεν. Ὥστε, [e]οὐ προσιέμενοι τὰ ἐγκώμια, ἵνα αὐξήσωμεν αὐτὰ,
τοῦτο ποιοῦμεν· καὶ πάντα πρὸς δόξαν ἡμῖν γίνεται, [f]οὐ πρὸς
ἀλήθειαν. Διὰ τοῦτο πάντα κενὰ, πάντα ἄπορα. Διὸ παρα-
καλῶ νῦν γοῦν ἀποστῆναι τῆς μητρὸς τῶν κακῶν, τῆς κενο-
D δοξίας, καὶ ζῆσαι κατὰ τὸ [g]τῷ θεῷ δοκοῦν· ὥστε καὶ τῶν μελ-
λόντων [h]ἐπιτυχεῖν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν,
μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ καὶ [i]ἀγαθῷ αὐτοῦ πνεύ-
ματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

254

ΛΟΓΟΣ ΚΗ.

[1]Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, [a]θλιβόμενοι, κακουχούμενοι· ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος [b]οὗτος· ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.

ἈΕΙ μὲν, μάλιστα δὲ ὅταν τῶν ἁγίων ἐννοήσω τὰ κατορ-
B θώματα, τότε μοι ἐπέρχεται ἀπαγορεύειν τὰ [c]καθ' ἑαυτὸν, ὅτι
οὐδὲ ὄναρ πεῖραν ἐλάβομεν οἷς ἐκεῖνοι τὸν ἅπαντα χρόνον ἐν-
διέτριψαν ἄνδρες, οὐχ ἁμαρτημάτων τίνοντες δίκην, ἀλλ' ἀεὶ
κατορθοῦντες, καὶ ἀεὶ θλιβόμενοι. Ἐννόησον γάρ μοι τὸν
Ἠλίαν, εἰς ὃν ἡμῖν ὁ λόγος περιήκει [d]τήμερον· [e]αὐτὸν γάρ
φησιν ἐνταῦθα, καὶ εἰς αὐτὸν αὐτῷ τελευτᾷ τὰ [f]ὑποδείγματα·
ὅπερ οἰκεῖον αὐτοῖς ἦν. Καὶ εἰπὼν τὰ κατὰ τοὺς ἀποστόλους,
ὅτι ἐν φόνῳ μαχαίρας ἀπέθανον, [g]ἐλιθάσθησαν, ἄνεισι πάλιν

16 2 Reg. xvi. 11, 12. 1 Cap. XI. v. 37, 38.

[b] ἄφετε K.O.Q. Mox φησὶ om. K.Q. Statim ὁ κύριος K.Q. Sav. cet. [c] φησὶ om. iidem. [d] δακρυόμεθα ante corr. K. Mox ἐπιτύχωμεν K.O.Q. [e] οὐ] οἱ olim O. οὐ om. K.Q. [f] οὐ] καὶ οὐ ex corr. O. [g] τῷ om. A. [h] τυχεῖν N. [i] ἀγαθῷ] ζωοποιῷ K.Q. καὶ ἀγαθῷ αὐτοῦ om. N. invito Mut.
Hom. XXVIII. [a] θλιβόμενοι om. Q. Post κακουχ. add. διωκόμενοι N. [b] οὗτος om. A.K.N.O.Q. invito Mut. [c] κατ' ἐμαυτὸν K.N.Q. Sav. cet. [d] σήμερον K.N.Q. [e] αὐτὸν] περὶ αὐτοῦ K.Q. Sav. cet. Post ἐνταῦθα add. τὸ, περιῆλθον ἐν μηλωταῖς iidem. [f] ὑποδείγματα] + οὐδὲ αὐτὸ καταλιπὼν iidem. [g] ἐλιθ.] ὅτι ἐλιθ. iidem.

Digitized by Google

ἐπὶ τὸν Ἠλίαν, τὸν τὰ αὐτὰ παθόντα τούτοις. Ἐπειδὴ γὰρ C
εἰκὸς ἦν αὐτοὺς οὐδέπω περὶ [h]τῶν ἀποστόλων δόξαν ἔχειν τοσαύτην, ἀπὸ τοῦ ἀναληφθέντος καὶ μάλιστα θαυμασθέντος φέρει τὴν παράκλησιν καὶ τὴν παραμυθίαν. "[i] Περιῆλθον γὰρ, φησὶν, ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, [k] θλιβόμενοι, κακουχούμενοι· ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος [l]οὗτος." Οὐδὲ ἱμάτιον εἶχον, φησὶν, [m]ὑπερβολῇ θλίψεως, οὐ πόλιν, οὐκ οἰκίαν, οὐ καταγώγιον· τοῦτο [n]ὅπερ ὁ Χριστὸς ἔλεγεν, [2] "Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν [o]κλῖναι." Τί D
λέγω, οὐ καταγώγιον; οὐ στάσιν· οὐδὲ [p]γὰρ τὴν ἐρημίαν καταλαβόντες, ἡσυχίαν ἦγον· οὐ γὰρ εἶπεν, ἐν [q]ἐρήμῳ ἐκάθηντο, ἀλλὰ καὶ ἐκεῖ ὄντες ἔφευγον καὶ ἐκεῖθεν ἠλαύνοντο, οὐκ ἐκ τῆς οἰκουμένης μόνον, ἀλλὰ καὶ ἐκ τῆς ἀοικήτου. Καὶ ἀναμιμνήσκει τόπων αὐτοὺς ἔνθα ἐκάθηντο, καὶ πραγμάτων ἐκεῖ [r]γενομένων.
(571) [s]Εἶτα, φησὶν, ὑμῖν ἐγκαλοῦσι διὰ τὸν Χριστόν· τῷ Ἠλίᾳ τί ἔχοντες ἐγκαλεῖν, ἤλαυνον αὐτὸν καὶ ἐδίωκον, καὶ λιμῷ παλαίειν ἠνάγκαζον; [t]Ὃ καὶ οὗτοι τότε [v]ἔπασχον· ἔκριναν γοῦν πέμψαι 255
αὐτοῖς οἱ ἀδελφοὶ, φησὶ, τοῖς θλιβομένοις τῶν μαθητῶν· [3] "[w]Καθὼς ηὐπορεῖτό τις, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς·" [x]ὃ καὶ τούτων ἦν. "Κακουχούμενοι," [y]φησί· κακῶς πάσχοντες, ἐν ταῖς ὁδοιπορίαις, ἐν τοῖς κινδύνοις. Τὸ δὲ, "[z]περιῆλθον," τί ἐστιν; "Ἐν ἐρημίαις, [a]φησὶ, πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς [b]γῆς·" καθάπερ φυγάδες καὶ μετανάσται, καθάπερ ἐπὶ τοῖς αἰσχίστοις ἑαλωκότες, καθάπερ οἱ οὐδὲ τὸν ἥλιον B
ὁρᾶν ἄξιοι, [c]οὐδὲ ἀπὸ τῆς ἐρημίας εὕρισκον καταφυγὴν, ἀλλ'

2 Matth. viii. 20. 3 Act. xi. 29.

[h] τῶν om. A. [i] περ. γὰρ, (γὰρ om. N.) φ.] τί λέγων; περιῆλθον K.Q. [k] θλιβ. κακουχ.] κακουχ. θλιβ. διωκόμενοι N. [l] οὗτος om. A. οὗτος. οὐδὲ] οὕτως οὐδὲ N.O. Cat. οὕτως ἦσαν ἀπέριττοι ὅτι οὐδὲ K.Q. [m] ὑπερβολῇ (-λὴ A.) θλίψεως] Sic A.R. Veron. Cat. περιβαλέσθαι (in marg. a 2da m. O.) ὑπερβ. θλίψεως N.O. περιβαλέσθαι, ὅπερ ἐστὶν ὑπερβολὴ θλίψεως K.Q. περιβαλέσθαι τῇ ὑπ. τῶν θλίψεων Sav. cet. [n] ὅπερ om. A. [o] κλίνει N. et olim O. κλίνῃ K.Q. Sav. cet. [p] γὰρ om. N. Statim τὴν ἔρημον K.N.O.Q. Sav. cet. invita Cat. [q] ἐρημίᾳ N. [r] γενομένων] + ὑστερούμενοι, θλιβόμενοι K.Q. Sav. cet. [s] εἶτα] ἔστω K.Q. Sav. Mor. Mox ἐνεκάλουν K.Q. Sav. cet. Post Χριστὸν add. καὶ ταῦτα ἐποίουν iidem. [t] ὃ] ταῦτα διέξεισιν ἃ iidem. Mox αὐτοὶ pro οὗτοι K.O.Q. [v] ἔπασχον] + διὰ τοῦτο ἔλεγεν ἀλλαχοῦ K.Q. Sav. cet. Mox αὐτοῖς et φησὶ om. iidem. [w] καθὼς (+ γὰρ A.N.O. Sav. cet.)] καὶ πάλιν, καθὼς K.Q. Statim εὐπορεῖτο N.O. ἠπολεῖτο (sic) A. [x] ὃ καὶ τούτων (τοῦτο olim O.) ἦν om. K.Q. inclusum a Sav. Mox post κινδύνοις add. ὃ καὶ αὐτὸ τούτων ἦν K.Q. Sav. cet. [y] φησὶ om. R. Post φησὶ add. τουτέστι K.N.Q. Sav. cet. [z] περιῆλθον, τί ἐστιν om. K.Q. Sav. Mor. [a] φησὶ om. K.N.Q. Sav. cet. Sic olim O. [b] γῆς] + οὐδὲν ἄλλο ἢ τοῦτο μονονουχὶ ἐμφαίνει, ὅτι περιῆλθον K.Q. Sav. cet. [c] οὐδὲ] καὶ οὐδὲ iidem.

Digitized by Google

[d]ἔδει φεύγειν ἀεὶ, ἔδει καταδύσεις ζητεῖν, ἔδει ζῶντας εἰς τὴν γῆν κατορύττειν ἑαυτοὺς, ἀεὶ ἐν φόβῳ [e]εἶναι. Τίς οὖν ὁ μισθὸς
C τῆς τοσαύτης [f]ἀμοιβῆς; τίς ἡ [g]ἀνταπόδοσις; Οὐδέπω ἀπέλαβον, ἀλλ' ἔτι μένουσι· καὶ οὕτω τελευτήσαντες ἐν τοσαύτῃ θλίψει, [h]οὐδέπω ἀπέλαβον. Ἐκεῖνοι χρόνους ἔχουσι τοσούτους νικήσαντες, καὶ οὐδέπω ἀπέλαβον· ὑμεῖς δὲ [i]ἐν τῷ ἀγῶνι ὄντες, ἀσχάλλετε; Ἐννοήσατε [k]καὶ ὑμεῖς τί ἐστι, καὶ ὅσον ἐστὶ τὸν Ἀβραὰμ καθῆσθαι καὶ τὸν ἀπόστολον Παῦλον, περιμένοντας πότε σὺ τελειωθῇς, ἵνα [l]δυνηθῶσι τότε λαβεῖν τὸν μισθόν. Ἐὰν [m]γὰρ μὴ καὶ ἡμεῖς παραγενώμεθα, προεῖπεν αὐτοῖς ὁ
D [n]σωτὴρ μὴ δώσειν· [o]καθάπερ πατὴρ φιλόστοργος παισὶν εὐδοκίμοις, καὶ τὸ ἔργον ἠνυκόσι [p]λέγοι, μὴ διδόναι φαγεῖν, ἐὰν μὴ ἔλθωσιν αὐτῶν οἱ ἀδελφοί. [q]Σὺ ἀσχάλλεις, ὅτι οὐδέπω τὸν μισθὸν ἔλαβες; Τί οὖν ποιήσει Ἄβελ ὁ πρὸ πάντων νικήσας, καὶ ἀστεφάνωτος καθήμενος; τί δὲ Νῶε; τί δὲ οἱ κατ' ἐκείνους τοὺς χρόνους γεγονότες, ὅτι σὲ καὶ τοὺς μετὰ σὲ ἀναμένουσιν; Ὁρᾷς ὅτι ἡμεῖς πλεονεκτοῦμεν αὐτῶν; [4]"[r]Περὶ ἡμῶν γάρ, φησὶ, κρεῖττόν τι προεβλέψατο ὁ θεός." Ἵνα μὴ δοκῶσι πλεονεκτεῖν [s]ἡμῶν τῷ πρῶτοι στεφανοῦσθαι, ἕνα ὥρισε πᾶσι τῶν στεφάνων [t]τὸν καιρὸν, καὶ ὁ πρὸ τοσούτων ἐτῶν νενικηκὼς,
256 μετὰ σοῦ λαμβάνει τὸν στέφανον. Ὁρᾷς κηδεμονίαν; Καὶ οὐκ εἶπεν, ἵνα μὴ χωρὶς ἡμῶν στεφανωθῶσιν, ἀλλ', "Ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν·" [v]ὥστε καὶ τέλειοι τότε φαίνονται. Προέλαβον κατὰ τοὺς ἀγῶνας, ἀλλ' οὐ προλαμβάνουσι κατὰ τοὺς στεφάνους. [w]Οὐκ ἐκείνους ἠδίκησεν, ἀλλ' ἡμᾶς ἐτίμησε· καὶ [x]γὰρ αὐτοὶ τοὺς ἀδελφοὺς ἀναμένουσιν. Εἰ γὰρ σῶμα ἕν οἱ πάντες ἐσμὲν, μείζων γίνεται τῷ σώματι τούτῳ ἡ ἡδονὴ, ὅταν

[4] v. 40.

[d] ἔδει φ. ἀεὶ in text. om. O. [e] εἶναι] + καὶ οὗτοι πάντες—τελειωθῶσι (v. 39, 40.) K.Q. Sav. cet. [f] ἀμοιβῆς] φησὶν, ἐλπίδος iidem. [g] ἀνταπόδοσις] + μεγάλη, καὶ οὕτω μεγάλη, ὡς μηδὲ λόγῳ δύνασθαι δηλωθῆναι· ἃ γὰρ, φησὶν, ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ταῦτά ἐστιν ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν iidem. Statim ἀλλ' οὔπω ἀπέλαβον iidem. [h] οὐδέπω ἀπέλαβον om. iidem. Statim καὶ ἐκεῖνοι μὲν χρόνους iidem. Mox τοσούτους ἔχουσι hoc ord. K.O.Q. Haec ἐκεῖνοι—ἀπέλαβον om. A. [i] ἐν τῷ ἀγ.] ἔτι ἐν τῷ ἀγ. Q. ἐν τῷ ἀγ. ἔτι K. Sav. cet. [k] καὶ ὑμεῖς τί ἐστι, καὶ om. K.Q. inclusum a Sav. [l] δυν. τότε λαβεῖν] τότε λάβωσι K.Q. [m] γὰρ μὴ καὶ ἡ.] Sic A.K.O.Q. γὰρ καὶ μὴ ἡ. R. Veron. γὰρ καὶ ἡ. μὴ N. μὴ γὰρ καὶ ἡ. Sav. cet. [n] σωτὴρ] πατὴρ A.O.R. Mut. [o] καθάπερ] + εἰ K.Q. Sav. cet. [p] λέγει a pr. m. O. [q] σὺ] + δὲ Edd. invitis omnibus. Mox μηδέπω N.O. [r] περὶ ἡμῶν—ὁ θεὸς] καὶ καλῶς διὰ τοῦτο εἶπε, τοῦ θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου K.Q. Sav. cet. Statim ἵνα γὰρ μὴ iidem. [s] [ἡμῶν] Sav. ἡμῶν om. K.Q. Statim τὸ πρῶτοι O.R. [t] τὸν om. K. [v] ὥστε] ὡς A. [w] οὐκ om. A. [x] γὰρ] + καὶ N.O. Sav. cet.

Digitized by Google

κοινῇ [y]στεφανῶται, καὶ μὴ κατὰ μέρος. Καὶ γὰρ οἱ δίκαιοι [z]καὶ ἐν τούτῳ εἰσὶ θαυμαστοὶ, ὅτι χαίρουσιν ὡς ἐπὶ οἰκείοις ἀγαθοῖς τοῖς τῶν ἀδελφῶν. Ὥστε κἀκείνοις τοῦτο κατὰ γνώμην ἐστὶ, τὸ μετὰ τῶν μελῶν τῶν ἰδίων στεφανωθῆναι· [a]τὸ B
ὁμοῦ δοξασθῆναι, μεγάλη ἡδονή.

[5]"Τοιγαροῦν, [b]φησὶ, καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων." Πολλαχοῦ ἡ γραφὴ [c]τὴν παραμυθίαν λαμβάνει τὴν ἐν τοῖς κακοῖς [d]ἀπὸ τῶν συμβαινόντων πραγμάτων, ὡς ὅταν λέγῃ [e]ὁ προφήτης, [6]"Ἀπὸ καύματος [f]καὶ σκληρότητος [g]καὶ ὑετοῦ." Τοῦτο γοῦν καὶ ἐνταῦθα λέγει, ὅτι ἡ μνήμη τῶν ἁγίων ἐκείνων, ὥσπερ νέφος [h]φλεγόμενον ὑπὸ C
ἀκτῖνος θερμοτέρας, οὕτω τὴν ὑπὸ τῶν κακῶν καταπεπονημένην [i]ἀνίστησι καὶ ἀνακτᾶται ψυχήν. Καὶ οὐκ εἶπεν, [k]ὑπεραιωρούμενον ἡμῶν, ἀλλὰ, "περικείμενον ἡμῖν," ὃ ἐκείνου [l]πλέον ἦν,
(572) [m]ὥστε ἐν μείζονι εἶναι ἀδείᾳ. Ποῖον νέφος; "Μαρτύρων [n]ὄγκον." Εἰκότως μάρτυρας οὐχὶ τοὺς ἐν τῇ καινῇ λέγει μόνον, ἀλλὰ καὶ τοὺς ἐν τῇ παλαιᾷ· καὶ γὰρ καὶ αὐτοὶ ἐμαρτύρησαν τῇ τοῦ θεοῦ μεγαλειότητι· οἷον ὡς οἱ τρεῖς παῖδες, οἱ περὶ τὸν Ἠλίαν, οἱ προφῆται πάντες. "[o]Ἀποθέμενοι πάντα." [p]Πάντα, τίνα; Τουτέστι, τὸν ὕπνον, τὴν ὀλιγωρίαν, τοὺς λογισμοὺς τοὺς εὐτελεῖς, πάντα τὰ ἀνθρώπινα. "Καὶ τὴν εὐπερί- D
στατον ἁμαρτίαν." "Εὐπερίστατον," ἤτοι τὴν εὐκόλως περιϊσταμένην ἡμᾶς, ἢ τὴν εὐκόλως περίστασιν δυναμένην [q]παθεῖν· μᾶλλον δὲ τοῦτο· ῥᾴδιον γὰρ, [r]ἐὰν θέλωμεν, περιγενέσθαι τῆς ἁμαρτίας. "Δι' ὑπομονῆς, [s]φησὶ, τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα." Οὐκ εἶπε, [t]πυκτεύωμεν, [v]οὐδὲ, παλαίωμεν, οὐδὲ, πολεμῶμεν, ἀλλ', ὃ πάντων κουφότερον ἦν τὸ τοῦ δρόμου, τοῦτο εἰς μέσον τέθεικεν. Οὐδὲ εἶπε, προσθῶμεν τῷ δρόμῳ,

[5] Cap. XII. v. 1. [6] Esai. iv. 6.

[y] στεφανοῦται A.R. Veron. et olim O. στεφανῶνται K.Q. et ex corr. O. [z] καὶ om. K. [a] τὸ] + γὰρ Edd. γὰρ deest in nostris. Mox μεγ. ἡ ἡδονὴ N. et ex corr .O. [b] φησὶ om. K.Q. Sav. cet. [c] τὴν om. bis K.Q. [d] ἀπὸ] καὶ ἀπὸ K.Q. et ex corr. O. [e] ὁ προφήτης] σοφός τις K.Q. [f] καὶ ἀπὸ σκλ. A. Cat. [g] καὶ om. K.N.Q. καὶ ἀπὸ ὑ. Cat. Post ὑετοῦ add. ῥύσεταί σε· καὶ ὁ Δαυῒδ, ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα K.Q. Sav. cet. [h] τὸν φλεγόμενον iidem. Post θερμοτέρας add. σκιάζει K.N.Q. Sav. cet. invitis Cat. Mut. [i] ἀνίστησιν] + αὕτη K.Q. [k] ὑπεραιρόμενον N. et ex corr. O. [l] πλέον] μεῖζον K.Q. [m] ὥστε—εἰκότως μάρτυρας] ὥστε δηλῶσαι διὰ τούτου, ὅτι περικείμενον κύκλῳ, ἐν μείζονι ἀδείᾳ εἰκότως εἶναι ποιήσει. μάρτυρας δὲ K.Q. Sav. cet. [n] ὄγκον om. Cat. Veron. [o] ὄγκον ἀποθ. πάντα Edd. ὄγκον deest in nostris omnibus. *deponentes omnia* Mut. [p] [πάντα] Sav. πάντα om. N. • [q] παθεῖν] + λέγει K.N.Q. Sav. cet. [r] ἂν N. Statim ἐθέλωμεν K.O.Q.R. [s] φησὶ om. K.Q. [t] πυκτεύομεν ... παλαίομεν ... πολεμοῦμεν O. [v] οὐδὲ om. K.Q. Mox οὐδὲ πολεμῶμεν om. N.

Digitized by Google

ἀλλ', [w]ἐν αὐτῷ τούτῳ ὑπομείνωμεν, μὴ ἐκλυθῶμεν· "[x]Τρέχω-
μεν, φησὶ, τὸν προκείμενον ἡμῖν ἀγῶνα." Εἶτα τὸ κεφάλαιον
257 τῆς παρακλήσεως, ὃ καὶ πρῶτον καὶ ὕστερον τίθησι, τὸν Χρι-
στόν· [7]"'Αφορῶντες, [y]φησὶν, εἰς τὸν τῆς πίστεως ἀρχηγὸν
καὶ τελειωτὴν 'Ιησοῦν." Ὅπερ οὖν καὶ αὐτὸς ὁ Χριστὸς τοῖς
μαθηταῖς συνεχῶς ἔλεγεν· [8]"Εἰ τὸν [z]οἰκοδεσπότην Βεελζε-
βοὺλ ἀπεκάλεσαν, πόσῳ μᾶλλον τοὺς [a]οἰκιακοὺς αὐτοῦ;" καὶ
πάλιν· "Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος
ὑπὲρ τὸν κύριον αὐτοῦ." "'Αφορῶντες," φησί· τουτέστιν, ἵνα
μάθωμεν [b]τρέχειν. Καθάπερ γὰρ ἐπὶ τῶν τεχνῶν πασῶν καὶ
τῶν ἀγωνισμάτων πρὸς τοὺς διδασκάλους ὁρῶντες, οὕτως ἐντυ-
B ποῦμεν τῇ διανοίᾳ τὴν τέχνην, διὰ τῆς ὀπτικῆς [c]κανόνας τινὰς
λαμβάνοντες· οὕτω δὴ καὶ ἐνταῦθα, εἰ βουλοίμεθα τρέχειν, καὶ
μαθεῖν [d]καλῶς τρέχειν, πρὸς τὸν Χριστὸν ὁρῶμεν, "Τὸν [e]τῆς
πίστεως ἀρχηγὸν καὶ τελειωτὴν 'Ιησοῦν." Τί ἐστι τοῦτο;
Τουτέστιν, αὐτὸς ἐν ἡμῖν τὴν πίστιν ἐνέθηκε. [f]Καὶ γὰρ πρὸς
τοὺς μαθητὰς ἔλεγεν· [9]"Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ
[g]ἐξελεξάμην ὑμᾶς." Καὶ [h]Παῦλός δέ φησι· "Τότε [i]δὲ ἐπι-
γνώσομαι, καθὼς καὶ ἐπεγνώσθην." [k]Αὐτὸς τὴν ἀρχὴν ἡμῖν
ἐνέθηκεν, αὐτὸς καὶ τὸ τέλος ἐπιθήσει.
C "Ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ, [l]φησὶ, χαρᾶς, ὑπέμεινε
σταυρὸν, αἰσχύνης καταφρονήσας." Τουτέστιν, [m]ἐξῆν αὐτῷ
μηδὲν παθεῖν, εἴπερ ἐβούλετο. Οὐδὲ γὰρ ἁμαρτίαν ἐποίησεν,
οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ· [n]καθὼς καὶ αὐτός
φησιν ἐν τοῖς Εὐαγγελίοις· [10]"Ἔρχεται ὁ τοῦ κόσμου ἄρχων,
καὶ [o]οὐκ ἔχει ἐν ἐμοὶ οὐδέν." Προὔκειτο τοίνυν [p]αὐτῷ, εἴπερ
ἐβούλετο, μὴ ἐλθεῖν εἰς τὸν σταυρόν· [11]"'Εξουσίαν γὰρ [q]ἔχω,
φησὶ, θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν
αὐτήν." Εἰ τοίνυν ὁ μηδεμίαν ἔχων ἀνάγκην τοῦ σταυρωθῆναι,
ἐσταυρώθη ἡμῶν ἕνεκεν· πόσῳ μᾶλλον ἡμᾶς δίκαιον πάντα γεν-
D ναίως ὑπομένειν; "Ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, φη-

7 v. 2. 8 Matth. x. 25, 24. 9 Joan. xv. 16. 1 Cor. xiii. 12. 10 Joan. xiv. 30. 11 Ibid. x. 18.

[w] ἐν] ἐὰν olim O. ἐν om. K.Q. [x] τρέχωμεν, φ.] φ. τρέχωμεν Q. φησὶ om. K. [y] φησὶν om. K.Q. [z] δεσπότην K.Q. Mox ἐκάλεσαν K.Q. ἐπεκάλεσαν olim O. [a] οἰκειακοὺς K.Q.R. Cat. Veron. [b] τρέχειν] + βλέπωμεν εἰς Χριστὸν K.Q. Sav. cet. [c] κανόνας] + ἀεὶ Q. [d] καλῶς—τουτέστιν] τοῦτο καλῶς, πρὸς τὸν τῆς π. ἀρχ. καὶ τελ. 'Ιησοῦν ὁρῶμεν (+ ὡσεὶ ἔλεγεν K.) K.Q. [e] τῆς π. ἀρχ. pro ἀρχ. τῆς π. omnes. [f] καὶ γὰρ—ἔλεγεν] αὐτὸς τὴν ἀρχὴν δέδωκεν. ὃ καὶ πρὸς τοὺς μ. ὁ Χριστὸς εἶπεν K.Q. Sav. cet. [g] ἐξελεξάμην om. N. [h] ὁ Παῦλος K.N.O.Q. Sav. cet. Statim δὲ om. N. [i] δὲ om. A.K.Q. [k] αὐτὸς] εἰ δὲ αὐτὸς K.Q..Sav. cet. [l] φησὶ om. K.Q. [m] ἐξὸν Cat. [n] καθὼς καὶ αὐτὸς] καὶ αὐτὸς δὲ K.Q. [o] οὐκ ἔχει] οὐχ εὑρίσκει N. [p] αὐτῷ in marg. O. [q] ἔχω, φ.] φ. ἔχω K.N.Q.

Digitized by Google

σὶν, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας.” Τί [r]δέ ἐστιν,
“αἰσχύνης καταφρονήσας;” Τὸν ἐπονείδιστον, φησὶν, εἵλετο
θάνατον. Ἔστω γὰρ, ἀπέθνησκε· τί καὶ ἐπονειδίστως; Δι’
οὐδὲν ἕτερον, ἀλλ’ ἡμᾶς διδάσκων μηδὲν ἡγεῖσθαι τὴν [s]παρ’ ἀν-
θρώπων δόξαν. Διὰ τοῦτο, οὐχ [t]ὑποκείμενος εἵλετο αὐτὴν,
[v]παιδεύων ἡμᾶς κατατολμᾶν αὐτῆς, καὶ μηδὲν [w]αὐτὴν τίθεσθαι.
Διὰ τί μὴ [x]εἶπε λύπην, ἀλλὰ αἰσχύνην; Ὅτι οὐ μετὰ λύπης
ταῦτα ἔφερε. Τί οὖν τὸ [y]τέλος; “Ἐν δεξιᾷ τοῦ θρόνου τοῦ
θεοῦ κεκάθικεν.” Ὁρᾷς τὸ ἔπαθλον; Ὅπερ καὶ [z]Παῦλος γρά- 258
φων φησί· [12]“Διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο
αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ
[a]Χριστοῦ πᾶν γόνυ κάμψῃ.” Τὸ κατὰ σάρκα φησί. Μάλιστα
μὲν οὖν, εἰ καὶ μηδὲν [b]ἦν ἔπαθλον, ἱκανὸν τὸ ὑπόδειγμα πεῖσαι
[c]πάντα ἑλέσθαι· νυνὶ δὲ καὶ ἔπαθλα ἡμῖν πρόκειται, οὐ τὰ τυ-
χόντα, ἀλλὰ μεγάλα καὶ ἀπόρρητα. Ὥστε καὶ ἡμεῖς ἐπειδάν
τι πάθωμεν τοιοῦτον, πρὸ τῶν ἀποστόλων [d]ἐννοῶμεν τὸν Χρι-
στόν. Διὰ τί; [e]Ὅλος ὁ βίος αὐτοῦ ὕβρεων ἔγεμε. Καὶ γὰρ B
μαινόμενος [f]ἤκουεν ἀεὶ, καὶ πλάνος, καὶ γόης· [g]καί ποτε μὲν
(573) ἔλεγον οἱ [h]Ἰουδαῖοι, [13]“Οὐχὶ, φησὶν, ἀλλὰ πλανᾷ τὸν [i]ὄχλον·”
καὶ πάλιν, “Ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι [k]ζῶν, μετὰ τρεῖς ἡμέ-
ρας ἐγείρομαι.” Καὶ εἰς γοητείαν δὲ αὐτὸν [l]διέβαλλον λέγον-
τες, “Ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια.” Καὶ ὅτι μαί-
νεται, καὶ δαιμόνιον [m]ἔχει· “Οὐ καλῶς ἐλέγομεν, φησὶν, ὅτι
δαιμόνιον ἔχει, καὶ μαίνεται;” Καὶ ταῦτα [n]ἤκουε παρ’ αὐτῶν,
εὐεργετῶν, θαυματουργῶν, θεοῦ ἔργα ἐπιδεικνύμενος. Εἰ μὲν C
γὰρ μηδὲν ποιῶν ταῦτα ἤκουεν, [o]οὐδὲν οὕτω θαυμαστόν· εἰ δὲ
διδάσκων τὰ πρὸς ἀλήθειαν, πλάνος ἤκουε, καὶ δαίμονας ἐκβάλ-
λων, [p]δαίμονα ἔχειν ἐλέγετο, καὶ πάντα ἀνατρέπων [q]τὰ ἐναν-
τία, γόης [r]ἐλέγετο· ταῦτα γὰρ [s]αὐτοῦ συνεχῶς κατηγόρουν.

12 Philipp. ii. 9, 10. 13 Joan. vii. 12. Matth. xxvii. 63. xii. 24. Joan. viii. 48.

[r] δὲ om. K.Q. *τί δὲ—καταφρονήσας;* om. A. [s] *παρὰ τῶν ἀ.* K.O.Q. [t] *ὑποκείμενος*] + *ἁμαρτίᾳ* K.Q. Sav. cet. *subjectus morti* Mut. [v] *παιδ.*] *ἀλλὰ παιδ.* O. [w] *αὐτῆς* Q. [x] *εἶπε*] + *αὐτὴν* K.N.Q. et marg. O. [y] *τέλος*] + *ἄκουε* O. + *ἄκουε· ἐπάγει γὰρ* K.Q. Sav. cet. [z] *ὁ Παῦλος* K.N.O. Sav. cet. Statim *φησὶ γράφων* K,O.Q. [a] *Χριστοῦ* om. A. [b] *ἦν* om. A. [c] *πάντας* K.O.Q. Cat. Sav. Mor. *omnia* Mut. [d] *τὸν Χρ. ἐννοῶμεν* hoc ord. N. et corr. O. [e] *ὅλος*] *ὅτι ὅλος* K.Q. Sav. cet. [f] *ἤκουσεν* A.K.N.Q. Statim [*ἀεὶ*] Sav. *ἀεὶ* om. K.N. expunct. in O. [g] *καὶ*] + *γὰρ* K.Q. [h] *Ἰουδαῖοι*] + *οὗτος οὐκ ἔστιν ἀπὸ τοῦ θεοῦ· ποτὲ δὲ* K.Q. Sav. cet. [i] *ὄχλον*] *κόσμον* N. [k] *ζῶν*] + *ὅτι* N.O. [l] *διέβαλον* A.N.R. Veron. [m] *ἔχει*] + *φησὶν* N. et corr. O. Mox *λέγομεν* olim O. [n] *ἤκουσε* ter A. [o] *οὐδὲν*] Sic N.O. Mut. *οὐδὲ* R. Veron. *οὐδ’* ex confusa corr. A. *οὐκ ἦν* K.Q. Sav. cet. [p] *δαιμόνιον* N. Statim *ἐλέγετο ἔχειν* hoc ord. A.N.R. *δ. ἔχειν ἐλέγετο*] *ἠκούετο δ. ἔχειν* Veron. [q] *τἀναντία* A.K.Q.R. [r] *ἐλέγετο*] + *ποίαν ὑπερβολὴν θαύματος οὐκ ἔχει* K.Q. Sav. cet. [s] *αὐτῷ* A.R. Veron.

Εἰ δὲ βούλει καὶ τὰ σκώμματα καὶ τὰς εἰρωνείας μαθεῖν, ἃς
κατ᾽ αὐτοῦ ἐποιοῦντο, ὃ μάλιστα δάκνει τὰς ἡμετέρας ψυχὰς,
ἄκουε πρῶτον τὰς ἀπὸ τοῦ γένους· [14]"Οὐχ οὗτος, [t]φησὶν, ἐστὶν
ὁ τοῦ τέκτονος υἱὸς, οὗ ἡμεῖς ἴσμεν τὸν πατέρα καὶ τὴν μητέρα;
D [v]οὐχ οἱ ἀδελφοὶ αὐτοῦ πάντες παρ᾽ ἡμῖν εἰσι;" Καὶ ἀπὸ [w]τῆς
πατρίδος αὐτὸν σκώπτοντες, ἔλεγον ἐκ Ναζαρὲτ [x]αὐτὸν εἶναι·
καὶ πάλιν, [15]"Ἐρώτησον, [y]φησὶ, καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας
προφήτης οὐκ ἐγήγερται·" καὶ ἔφερε τοσαῦτα συκοφαντού-
μενος. Καὶ πάλιν [z]ἔλεγον· "Οὐχὶ ἡ γραφή φησιν, ὅτι ἀπὸ
Βηθλεὲμ τῆς κώμης ἔρχεται ὁ Χριστός;" Βούλει καὶ τὰς εἰρω-
νείας ἰδεῖν ἃς ἐποιοῦντο; [a]Ἐλθόντες, φησὶ, παρ᾽ αὐτὸν τὸν
σταυρὸν, προσεκύνουν [b]αὐτῷ, καὶ ἔπαιον αὐτὸν καὶ ἐκολάφιζον,
καὶ ἔλεγον· [16]"[c]Εἰπὲ ἡμῖν τίς [d]ἐστιν ὁ παίσας σε;" [e]καὶ ὄξος
προσῆγον, καὶ ἔλεγον· "Εἰ υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ
259 τοῦ σταυροῦ." [f]Ἔτι δὲ καὶ ὁ δοῦλος τοῦ ἀρχιερέως [g]ῥάπισμα
ἔδωκεν αὐτῷ, καί φησιν· [17]"Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον
περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με [h]δέρεις;" Καὶ [i]χλευάζοντες,
[k]χλαμύδα περιετίθεσαν αὐτῷ, καὶ ἐνέπτυον εἰς τὸ πρόσωπον
αὐτοῦ· καὶ τὰς [l]πείρας ἀεὶ προσῆγον, πειράζοντες [m]αὐτόν.
Βούλει καὶ τὰς κατηγορίας ἰδεῖν, τὰς [n]λάθρα, τὰς φανερῶς, τὰς
παρὰ [o]τῶν μαθητῶν; [18]"[p]Μὴ καὶ ὑμεῖς, φησὶ, θέλετε ὑπά-
γειν;" καὶ τὸ, "Δαιμόνιον ἔχεις," παρὰ τῶν πιστευσάντων ἤδη
ἐλέγετο. [q]Οὐκ ἀεὶ [r]ἔφευγε καὶ αὐτὸς, ποτὲ μὲν εἰς τὴν Γαλι-
B λαίαν, ποτὲ δὲ εἰς τὴν Ἰουδαίαν; οὐχὶ ἐκ σπαργάνων [s]αὐτῶν
πολὺς ὁ πειρασμός; οὐχὶ παιδίον [t]ὄντα αὐτὸν ἡ μήτηρ λα-
βοῦσα κατῆλθεν εἰς Αἴγυπτον; Διὰ [v]ταῦτα πάντα [w]φησίν·
"Ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰη-
σοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρὸν,

[14] Matth. xiii. 55. coll. Joan. vi. 42. [15] Joan. vii. 52. 42.
[16] Matth. xxvi. 68. xxvii. 40. [17] Joan. xviii. 23. [18] Ibid. vi. 67. vii. 20.

[t] φ. ἐστὶν] ἐστι, φ. K.N.Q. [v] οὐχὶ K.N.O. [w] τῆς πατρίδος (+ δὲ K.N.O.Q.)] τοῦ πατρὸς A. τῆς πατρὸς R. [x] αὐτὸν] δύναταί τι ἀγαθὸν K.Q. [y] φησὶ om. K.Q. [z] ἔλεγον om. K.Q. [a] ἐλθόντες, φησὶ om. K.Q. Sav. cet. Statim παρ᾽ αὐτῷ τῷ σταυρῷ A.R. Veron. [b] αὐτῷ] + ἐμπαίζοντες K.Q. Sav. cet. [c] εἰπὲ—καὶ ἔλεγον om. K. Veron. [d] ἐστιν in marg. O. [e] καὶ] ἔτι τε Q. [f] ἔτι δὲ—καί φησιν] καὶ τῷ δούλῳ δὲ τοῦ ἀρχ. ῥάπισμα δόντι αὐτῷ ἔλεγεν K.Q. [g] ῥαπίσματα N. [h] δαίρεις A.R. Veron. [i] χλευάζοντες] + δὲ K.Q. Sav. cet. [k] χλανίδα R. Veron. κλανίδα (sic) A. Statim περιέθηκαν N.O. Sav. cet. [l] πείρας] + δὲ ἃς K.Q. [m] αὐτὸν] + προσῆγον K. πειρ. αὐτὸν om. Q. [n] λαθραίως K.Q. [o] τῶν om. Q. [p] μὴ] τὸ γὰρ, μὴ K.Q. Sav. cet. Mox φησὶ om. K.O.Q. Sav. cet. [q] οὐκ] εἰπὲ δέ μοι, οὐκ K.Q. Sav. cet. [r] ἔφυγε A. Statim καὶ om. K.Q. [s] αὐτῷ N.O.Q. Sav. cet. [t] αὐτὸν ὄντα λαβοῦσα ἡ μήτηρ hoc ord. K.O.Q. ὄντα om. N. inclusum a Sav. [v] ταῦτα] + τοίνυν K.Q. Sav. cet. [w] φησὶν] λέγει τὸ K.Q.

Digitized by Google

αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε [x]τοῦ θρόνου τοῦ θεοῦ κε-
κάθικεν." [y]Εἰς τοῦτον [z]τοίνυν ἀφορῶμεν καὶ εἰς [a]τὰ τῶν μα-
θητῶν τῶν τούτου, ἀναγινώσκοντες τὰ Παύλου, καὶ ἀκούοντες
αὐτοῦ λέγοντος, [19]"Ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγ-
καις, [b]ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς·" C
καὶ πάλιν, "Μέχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν,
καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κο-
πιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι, εὐλογοῦ-
μεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν."
[c]Ἆρα [d]τίς τὸ πολλοστὸν [e]τούτων μέρος ἔπαθεν; [20]"Ὡς
πλάνοι [f]γάρ, φησὶν, ὡς ἄτιμοι, ὡς μηδὲν ἔχοντες·" καὶ πάλιν,
"Πεντάκις τεσσαράκοντα παρὰ μίαν [g]ὑπὸ Ἰουδαίων ἔλαβον·
τρὶς ἐρραβδίσθην, ἅπαξ [h]ἐλιθάσθην, νυχθήμερον ἐν τῷ βυθῷ
πεποίηκα, ὁδοιπορίαις πολλάκις, [i]θλίψεσι, [k]στενοχωρίᾳ, λιμῷ." D
Καὶ ὅτι ταῦτα τῷ θεῷ ἐδόκει, ἄκουε αὐτοῦ λέγοντος· [21]"Ὑπὲρ
τούτου τρὶς τὸν κύριον παρεκάλεσα, καὶ [l]εἶπέ μοι· ἀρκεῖ σοι ἡ
χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. [m]Διὸ,
φησὶν, εὐδοκῶ ἐν ἀσθενείαις, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στε-
νοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ
δύναμις τοῦ [n]Χριστοῦ." Καὶ αὐτοῦ δὲ ἄκουσον τοῦ Χριστοῦ
λέγοντος, [22]"Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε." [23]"Ἀναλογί-
σασθε γὰρ, [o]φησὶ, [p]τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν 260
ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς
ὑμῶν [q]ἐκλυόμενοι." Εἰ γὰρ τὰ τῶν πλησίον πάθη διανίστησιν
ἡμᾶς, τὰ τοῦ δεσπότου πόσην [r]ἡμῖν οὐ παρέξει προθυμίαν; τί
(574) ἡμᾶς οὐκ ἐργάσεται; [s]Καὶ παρεὶς πάντα εἰπεῖν, διὰ τῆς ἀντιλο-
γίας τὸ πᾶν ἐδήλωσε, καὶ [t]τῷ, "τοιαύτην," προσθεῖναι· [v]τουτέστι,

19 2 Cor. vi. 4, 5. 1 Cor. iv. 11—13. 20 2 Cor. vi. 8, 10. xi. 24—26. 21 Ibid. xii. 8—10. 22 Joan. xvi. 33. 23 v. 3.

[x] τοῦ θρόνου in marg. O. Mox ἐκάθισεν olim A. [y] ΗΘΙΚΟΝ. Ὅτι εἰς Χριστὸν ἀφορῶντας, καὶ εἰς τὰ τῶν μαθητῶν αὐτοῦ, γενναίως ἡμᾶς χρὴ πᾶσαν φέρειν θλῖψιν· καὶ κατὰ καλλωπιζομένων γυναικῶν. Veron. [z] τοίνυν] δὲ K.Q. [a] τὰ τῶν μ. τῶν (τῶν om. O.)] τοὺς μαθητὰς N. Mox ἀναγ. τε τὰ Q. [b] ἐν διωγμοῖς om. N. Post φυλακαῖς add. ἐν ἀκαταστασίαις, ἐν νηστείαις, ἐν κόποις, ἐν ἀγνότητι, ἐν γνώσει N. Sav. cet. [c] ἄρα N.O. [d] τίς] τις O. ἐξ ἡμῶν ἔχει τις εἰπεῖν, ὅτι K.Q. Sav. cet. [e] τούτων μέρος] μέρος τούτων K.Q. τούτων om. O. μέρος om. N. [f] γὰρ om. a pr. m. O. [g] ὑπὸ] + τῶν Q. ὑπὸ Ἰουδ. ἔλαβον om. K. [h] ἐλιθάσθην] + τρὶς ἐναυάγησα N. [i] ἐν θλ. ἐν στεν. ἐν λιμῷ (ἐν λιμῷ, ἐν στεν. K.Q.) K.Q. Sav. cet. ἐν ante θλίψεσι erasum in O. [k] στενοχωρίαις N.O. [l] εἶπε] εἴρηκε K.Q. Sav. cet. [m] διὸ] + καὶ iidem. [n] Χριστοῦ] θεοῦ N. Mox τοῦ Χρ. ἄκουσον alio ord. K.O.Q. [o] φησὶ om. K.Q. [p] τὸν τοιαύτην ὑπομ.] τοιαῦτα ὑπομ. αὐτὸν A.R. Veron. Statim ὑπὲρ τῶν ἁ. A. [q] ἐκλυόμενοι] + εἰκότως ταῦτα ἐπήγαγεν K.Q. Sav. cet. [r] ἡμῖν om. K. [s] καὶ] + σκόπει πῶς K.Q. Sav. cet. [t] τὸ A. Veron. [v] τουτέστι, τὰς] τὰς γὰρ K.Q. Sav. cet. Statim κόρης A.R. Veron.

Digitized by Google

τὰς ἐπὶ κόρρης πληγὰς, τὸν γέλωτα, τὰς ὕβρεις, τοὺς ὀνει-
δισμοὺς, τὰς χλευασίας, [w]ταῦτα πάντα διὰ τῆς ἀντιλογίας
ἐνέφηνε· καὶ οὐκ ἐκεῖνα [x]μόνα, ἀλλὰ καὶ τὰ παρὰ τὸν βίον
ἅπαντα τὸν τῆς [y]διδασκαλίας.
B [z]Μέγα γὰρ, ὄντως μέγα παραμύθιον, καὶ τὰ τοῦ Χριστοῦ
πάθη καὶ τὰ τῶν ἀποστόλων. [a]Οὕτω γὰρ ᾔδει ταύτην βελτίω
τῆς ἀρετῆς οὖσαν τὴν ὁδὸν, ὡς καὶ αὐτὸς ὁ μὴ δεόμενος αὐτῆς
ταύτην ἐλθεῖν· οὕτως οἶδε τὴν θλῖψιν συμφέρουσαν ἡμῖν, [b]καὶ
ἀνέσεως ὑπόθεσιν μᾶλλον γινομένην. Ἄκουε [c]γὰρ [d]αὐτοῦ λέ-
C γοντος· [24]"Ἐὰν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ
ὀπίσω μου, οὐκ ἔστι μου [e]ἄξιος." Εἰ μαθητὴς εἶ, φησὶ, τὸν δι-
δάσκαλον μιμοῦ· τοῦτο γάρ ἐστι [f]μαθητής. Εἰ [g]δὲ αὐτὸς μὲν
διὰ θλίψεως ἦλθε, σὺ δὲ δι' ἀνέσεως, οὐκέτι τὴν αὐτὴν βαδίζεις
ὁδὸν, ἣν ἐκεῖνος ἐβάδισεν, ἀλλ' ἑτέραν. Πῶς οὖν ἀκολουθεῖς,
μὴ ἀκολουθῶν; πῶς [h]ἔσῃ μαθητὴς, μὴ τῷ διδασκάλῳ ἑπόμενος;
Τοῦτο καὶ [i]Παῦλός φησιν· [25]"Ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυ-
ροί· ἡμεῖς ἄτιμοι, ὑμεῖς δὲ ἔντιμοι." [k]Ἢ πῶς ἔχει λόγον, φησὶ,
τἀναντία [l]ἡμᾶς ζηλοῦν, καὶ ὑμᾶς μὲν εἶναι μαθητὰς, ἡμᾶς δὲ
D διδασκάλους; Μέγα ἄρα θλῖψις, ἀγαπητοί· δύο γὰρ τὰ [m]με-
γάλα κατορθοῖ, καὶ ἁμαρτίας ἐξαλείφει, καὶ στερροὺς ποιεῖ.
Τί οὖν, φησὶν, ἂν περιτρέψῃ καὶ ἀπολέσῃ; Οὐχ ἡ θλῖψις
τοῦτο ποιεῖ, ἀλλ' ἡ ἡμετέρα νωθεία. Πῶς, [n]φησίν; [o]Ἐὰν
νήφωμεν, ἐὰν τὸν θεὸν παρακαλῶμεν, ὥστε μὴ ἐάσαι ἡμᾶς πει-
ρασθῆναι [p]ὑπὲρ ὃ δυνάμεθα, ἐὰν [q]ἀεὶ αὐτοῦ ἐχώμεθα, στησό-
μεθα γενναίως, καὶ παραταξόμεθα. [r]Ἕως ἂν αὐτὸν ἔχωμεν
βοηθὸν, κἂν πάντων τῶν ἀνέμων σφοδρότερον πνεύσωσιν οἱ
261 πειρασμοὶ, κάρφος ἡμῖν ἔσονται καὶ φύλλον ἁπλῶς φερόμενον.
Ἄκουε Παύλου [s]λέγοντος· [26]"Ἐν τούτοις, φησὶ, πᾶσιν ὑπερ-
νικῶμεν·" καὶ πάλιν, "Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθή-

24 Matth. x. 38. 25 1 Cor. iv. 10. 26 Rom. viii. 37, 18. 2 Cor. iv. 17.

[w] ταῦτα π.] π. ταῦτα N.R. [x] μόνον K.N.Q. [y] διδασκαλίας] + ταῦτα τοίνυν, ἀγαπητοὶ, ἀεὶ ἀναλογιζώμεθα, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐν ταῖς διανοίαις ἡμῶν στρέφωμεν, εἰδότες ὅτι μεγάλα ἐκ τούτου καρπωσόμεθα ἀγαθὰ, καὶ πολλὴν τὴν ὠφέλειαν ἕξομεν. K.Q. Sav. cet. [z] μ. γὰρ, ὄντως] ὄντως γὰρ N. [a] οὕτω—ὁδὸν] οὕτως ᾔδει ταύτην ὁδὸν K.Q. [b] καὶ om. A.R. Veron. [c] γὰρ om. K.N.Q. [d] αὐτοῦ] τοῦ Χριστοῦ N. αὐτοῦ τοῦ Χρ. K.Q. Sav. cet. τοῦ Χριστοῦ in marg. O. [e] ἄξιος] + μόνον γὰρ οὐχὶ τοῦτο διὰ τῆς τοιαύτης λέγει διδασκαλίας K.Q. Sav. cet. Mox φησὶ om. iidem. [f] μαθητὴς] Sic K.N.Q.R. μαθητοῦ Edd. [g] δὲ] γὰρ K.Q. [h] ἔσῃ] εἶ N. Sav. cet. Mox ἐσόμενος A. [i] ὁ Παῦλος K.N.O.Q. [k] ἢ—φησὶ] ὡσεὶ ἔλεγε, πῶς ἔχει λ. K.Q. [l] ὑμᾶς N. [m] μεγάλα] Sic K.N.O. Mut. μέγιστα Edd. [n] φησὶν om. K.Q. [o] ἐὰν] + γὰρ K.Q. Sav. cet. Mox παρακαλέσωμεν N. [p] ὑπὲρ ὃ] παρ' ὃ A.R. Veron. [q] ἀεὶ om. N. Mox στησώμεθα et παραταξώμεθα A. favente Mut. [r] ἕως] ὡς olim O. Statim ἂν om. N.O. Mox ἔχομεν iidem. [s] λέγοντος] πάλιν K.Q.

Digitized by Google

ματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν [t]δόξαν ἀποκαλύπτε-
σθαι εἰς ἡμᾶς·” καὶ πάλιν, “Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς
θλίψεως, καθ’ ὑπερβολὴν [v]εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης
ἡμῖν κατεργάζεται.” Σκόπει ἡλίκους κινδύνους, ναυάγια, τὰς
ἐπαλλήλους θλίψεις, καὶ ὅσα τοιαῦτα, ἐλαφρὰ καλεῖ· καὶ ζή-
λωσον τὸν ἀδάμαντα τοῦτον, τὸν ἁπλῶς καὶ εἰκῆ τὸ σῶμα
[w]τοῦτο περικείμενον. Ἐν πενίᾳ εἶ; ἀλλ’ [x]οὐ τοσαύτῃ, ὅσῃ
Παῦλος, [y]ὁ καὶ ἐν λιμῷ ἐξεταζόμενος καὶ δίψει καὶ γυμνότητι· B
οὐ γὰρ μίαν ἡμέραν τοῦτο ἔπαθεν, [z]ἀλλὰ διηνεκῶς τοῦτο ὑπέ-
μεινε. Πόθεν τοῦτο δῆλον; Ἄκουε αὐτοῦ λέγοντος· 27“Ἄχρι
τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν.”
Βαβαὶ, πόσην ἔχων ἤδη δόξαν ἐν τῷ κηρύγματι, τοσαῦτα [a]ὑπέ-
μενεν, εἰκοστὸν λοιπὸν ἔτος ἔχων, ὅτε ταῦτα ἔγραφεν. 28“Οἶδα
γὰρ, φησὶν, ἄνθρωπον πρὸ ἐτῶν δεκατεσσάρων, εἴτε ἐν σώματι,
εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα·” καὶ πάλιν, “Μετὰ τρία
ἔτη, [b]φησὶν, ἀνῆλθον εἰς Ἱεροσόλυμα.” Καὶ πάλιν ἄκουε αὐτοῦ C
λέγοντος· “Καλόν μοι ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις
κενώσῃ.” Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ πάλιν γράφων ἔλεγεν·
“[c]Ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν.” Τί λιμοῦ χα-
λεπώτερον; τί κρυμοῦ; τί τῶν ἐπιβουλῶν τῶν παρὰ ἀδελφῶν;
οὓς ψευδαδέλφους [d]λοιπὸν καλεῖ. Οὐχὶ λυμεὼν ἐκαλεῖτο τῆς
οἰκουμένης; οὐχὶ ἀπατεών; οὐχὶ ἀνατροπεύς; οὐχὶ κατεκόπτετο
μαστιζόμενος; Ταῦτα ἐν νῷ λάβωμεν, ἀγαπητοὶ, ταῦτα [e]ἀνα-
λογιζώμεθα, ταῦτα μνημονεύωμεν, καὶ οὐδέποτε ἐκλυθησόμεθα,
κἂν ἀδικώμεθα, κἂν ἁρπαζώμεθα, κἂν μυρία πάσχωμεν [f]κακά. D
Γένοιτο τὰ ἐν τοῖς οὐρανοῖς [g]ἡμᾶς εὐδοκιμεῖν, καὶ πάντα φο-
ρητά· γένοιτο εὖ πράττειν ἐκεῖ, καὶ τῶν ἐνταῦθα λόγος οὐδείς.
Σκιὰ ταῦτά ἐστι καὶ ὄναρ· οἷα ἂν [h]εἴη, ἐλπιζομένων ἐκείνων
καὶ προσδοκωμένων, οὐδέν [i]ἐστιν οὔτε τῇ φύσει, οὔτε τῷ χρόνῳ.
Τί γὰρ βούλει πρὸς τὰ δεινὰ ἐκεῖνα παραβάλωμεν; τί πρὸς
(575) τὸ πῦρ τὸ ἄσβεστον, [k]πρὸς τὸν σκώληκα τὸν ἀτελεύτητον; τί 262
[l]ἴσον δυνήσῃ εἰπεῖν τῶν ἐνταῦθα πρὸς τὸν βρυγμὸν τῶν ὀδόν-
των, πρὸς τὰ δεσμὰ, πρὸς τὸ σκότος τὸ ἐξώτερον, πρὸς τὴν

27 1 Cor. iv. 11. 28 2 Cor. xii. 2. Gal. i. 18. 1 Cor. ix. 15. iv. 13.

[t] δόξαν—ἡμᾶς] ἀποκαλυφθῆναι εἰς ἡμᾶς δόξαν N. [v] εἰς ὑπερβολὴν om. R. [w] τοῦτο om. K.N.O.Q. [x] οὐ τοσ.] οὐκ ἐν τοσ. K.N.Q. Sav. cet. Sic ex corr. O. Mox ὁ Παῦλος N. Edd. [y] ὁ] ὅτι A. Mox δίψῃ K.Q. [z] ἀλλὰ] + καὶ K.Q. et ex corr. O. Mox ὑπέμενε N. [a] ὑπέμεινεν N. [b] φησὶν om. K.Q. Statim ἀνῆλθεν R. [c] ὡς] ὡσπερεὶ K.Q. Mox ἐγενόμεθα Q. et fort. a pr. m. O. [d] λοιπὸν om. K.Q. [e] ἀναλογισώμεθα a pr. m. O. [f] κακὰ] δεινὰ N. [g] ἡμῖν N. [h] εἴη] ᾖ olim O. [i] ἐστι] + τῶν δεινῶν Sav. cet. invitis omnibus. [k] πρὸς] τί (erasum) πρὸς O. [l] ἴσον δυνήσῃ] Sic omnes. δυνήσῃ ἴσον Edd.

Digitized by Google

ὀργὴν, πρὸς τὴν θλῖψιν, πρὸς τὴν στενοχωρίαν. Ἀλλὰ τῷ χρόνῳ; Καὶ τί [m]μύρια ἔτη πρὸς ἀπείρους αἰῶνας καὶ ἀτελευτήτους; οὐχ ὅσον [n]σταγὼν μικρὰ πρὸς ἄβυσσον ἄπειρον; Ἀλλὰ πρὸς τὰ ἀγαθά; Ἀλλ' ἐκεῖ μείζων ἡ ὑπερβολή· [29]"Ὀφθαλμὸς οὐκ εἶδε, φησὶν, [o]οὖς οὐκ ἤκουσεν, ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη." Καὶ [p]ταῦτα ἔσται πάλιν ἐν ἀπείροις αἰῶσιν. Ὑπὲρ τούτων οὖν [q]μυριάκις κατακοπῆναι οὐ καλὸν, ἀναιρεθῆναι, κατακαῆναι, μυρίους ὑποστῆναι θανάτους, πᾶν ὁτιοῦν ὑπομεῖναι
B δεινὸν καὶ λόγῳ καὶ ἔργῳ; Εἰ γὰρ ἐν πυρὶ ζῆν κατακαιόμενον ἦν, οὐκ ἔδει πάντα ὑπομένειν ὑπὲρ τοῦ τυχεῖν τῶν ἐπηγγελμένων ἐκείνων [r]ἀγαθῶν;

Ἀλλὰ τί λέγω ταῦτα λήρων πρὸς ἀνθρώπους οὐδὲ χρημάτων καταφρονῆσαι [s]αἱρουμένους, ἀλλ' ὡς ἀθανάτων αὐτῶν ἐχομένους, κἂν μικρὰ [t]ἐκ πολλῶν δῶσι, τὸ πᾶν νομίζοντας ἠνυκέναι; Οὐκ ἔστι τοῦτο ἐλεημοσύνη· ἐλεημοσύνη γάρ ἐστιν ἡ τῆς χήρας ἐκείνης, ἥτις τὸν βίον αὐτῆς πάντα ἐκένωσεν. Εἰ δὲ οὐ χωρεῖς τοσοῦτον ὅσον ἡ χήρα καταβαλεῖν, ἀλλὰ κἂν τὸ περίσσευμα ὅλον κατάβαλε· ἔχε τὰ ἀρκοῦντα, μὴ τὰ περιττά. Ἀλλ' οὐδείς [v]ἐστιν οὐδὲ τὸ περίσσευμα καταβάλλων· ἕως γὰρ ἂν ἔχῃς οἰ-
C κέτας [w]πολλοὺς καὶ ἱμάτια σηρικὰ, πάντα ταῦτα περιττεύματά [x]ἐστιν, οὐδὲν ἀναγκαῖον οὐδὲ τῆς χρείας· ὧν ἄνευ δυνάμεθα ζῆν, ταῦτα περιττὰ καὶ ἁπλῶς ἔξω [y]πρόσκειται. Τίνος οὖν ἄνευ οὐ δυνάμεθα ζῆν ἴδωμεν, εἰ δοκεῖ. [z]Κἂν δύο μόνους ἔχωμεν οἰκέτας, δυνάμεθα ζῆν· ὅπου γὰρ εἰσί τινες χωρὶς οἰκετῶν ζῶντες, ποίαν [a]ἔχομεν ἡμεῖς ἀπολογίαν, τοῖς δύο οὐκ ἀρκούμενοι; Δυνάμεθα καὶ ἐκ πλίνθων ἔχειν οἰκίαν τριῶν οἰκημάτων, καὶ τοῦτο [b]ἀρκοῦν ἦν ἡμῖν. [c]Οὐκ εἰσί τινες μετὰ παίδων καὶ γυναικὸς ἕνα οἶκον ἔχοντες; Ἔστωσαν δὲ, εἰ βούλει, καὶ παῖδες δύο. Καὶ
D πῶς οὐκ αἰσχύνη, [d]φησὶ, μετὰ δύο οἰκετῶν τὴν [e]ἐλευθέραν βαδίζειν; [f]Οὐκ ἔστιν αἰσχύνη, μετὰ δύο οἰκετῶν [g]τὴν ἐλευθέραν

29 1 Cor. ii. 9.

[m] μύρια] Sic O.Q. et Sav. in marg. μυρία Edd. [n] σταγὼν μ. pro μ. σταγὼν A.K.N.Q.R. [o] οὖς] καὶ οὖς K.O.Q. Mox καὶ ἐπὶ iidem. [p] ταῦτα] + δὲ K.Q. Statim ἔστι N. [q] μυριάκις κατ. pro κατ. μυριάκις omnes. [r] τῶν ἀγαθῶν A. [s] αἱρουμένων A.R. Mox ἐχομένων K.O.Q. [t] ἐκ τῶν πολλῶν K.N.O.Q. Mox νομίζουσιν K.O.Q. [v] ἐστιν] ἔστι νῦν K.Q. Statim οὐδὲ ὁ τὸ N. [w] πολλοὺς καὶ ἱμ. σ. om. A. [x] εἰσιν A. [y] πρόκειται N. et corr. O. [z] κἂν] ἂν K.Q. [a] ἔχομεν (ἔχωμεν A.N.R.) ἡμεῖς pro ἡμεῖς ἔχομεν omnes. [b] ἀρκοῦν ἦν] ἀρκοῦν O. ἀρκεῖ K.N.Q. Sav. cet. [c] οὐκ] εἰπὲ γάρ μοι, οὐκ K.Q. Sav. cet. [d] φησὶν] + ἐστὶ K.O.Q. + ἐστὶ τὸ Sav. cet. φησὶ—τάχα] φησὶ, τὸ μετὰ πολλῶν προϊέναι, ἀλλ' αἰσχύνη ἐστὶ τὸ μετὰ δύο οἰκετῶν τὴν ἐλ. βαδίζειν. τάχα (si recte capimus) N. [e] ἐλευθερίαν A. [f] οὐκ] ἄπαγε, οὐκ K.Q. Sav. cet. Post ἔστι add. τοῦτο iidem et in marg. O. οὐκ ἔστιν—βαδίζειν om. A. [g] τὴν ἐλ. om. K.Q. inclusum a Sav. Haec μετὰ δύο—βαδίζειν praetermisit Mut.

Digitized by Google

βαδίζειν, ἀλλ' αἰσχύνη ἐστὶ τὸ μετὰ πολλῶν προϊέναι. Τάχα
γελᾶτε τούτων ἀκούοντες. Πιστεύσατε, τοῦτό ἐστιν [h]αἰσχύνη. 263
Ὥσπερ οἱ προβατοπῶλαι, ἢ ὥσπερ οἱ τῶν ἀνδραπόδων κάπη-
λοι, οὕτω μέγα τι [i]ἡγεῖσθε τὸ μετὰ πλειόνων οἰκετῶν προϊέναι;
[k]Τῦφος τοῦτο καὶ κενοδοξία· ἐκεῖνο φιλοσοφία καὶ σεμνότης.
Τὴν [l]γὰρ ἐλευθέραν οὐκ ἀπὸ τοῦ πλήθους τῶν [m]ἀκολούθων
φαίνεσθαι δεῖ· ποία γὰρ ἀρετὴ ἀνδράποδα ἔχειν πολλά; Τοῦτο
οὐκ ἔστι [n]ψυχῆς· ὅπερ δὲ οὐκ ἔστι ψυχῆς, οὐ δείκνυσιν [o]ἐλευ-
θερίαν. Ὅταν ὀλίγοις [p]ἀρκῆται, τότε ἐστὶν ἐλευθέρα ὄντως·
ὅταν δὲ πολλῶν δέηται, δούλη ἐστὶ καὶ ἀνδραπόδων χείρων. B
Εἰπέ μοι, [q]οἱ ἄγγελοι οὐχὶ μόνοι περιπολοῦσι τὴν οἰκουμένην,
καὶ οὐ δέονται οὐδενὸς τοῦ ἑψομένου; ἆρ' οὖν διὰ τοῦτο [r]χείρους
ἡμῶν εἰσι, τῶν δεομένων οἱ μὴ δεόμενοι; Εἰ τοίνυν τὸ μηδὲ
ὅλως δεῖσθαι ἀκολούθου, ἀγγελικὸν, τίς τοῦ ἀγγελικοῦ βίου
ἐγγὺς, ἡ πολλῶν δεομένη, ἢ ἡ ὀλίγων; Οὐκ ἔστι τοῦτο αἰσχύνη·
αἰσχύνη γάρ [s]ἐστιν ἄτοπόν τι πρᾶξαι. Εἰπέ μοι, τίς [t]ἐπι-
στρέφει τοὺς ἐπ' ἀγορᾶς, ἡ πολλοὺς ἐπαγομένη, ἢ ἡ ὀλίγους;
ταύτης δὲ τῆς ὀλίγους ἐπαγομένης, οὐχὶ ἡ μόνη μᾶλλον [v]ἀπρό- C
οπτος φαινομένη; Ὁρᾷς ὅτι ἐκεῖνό ἐστιν αἰσχύνη; [w]Τίς ἐπι-
στρέφει τοὺς ἐπ' ἀγορᾶς, ἡ τὰ καλὰ φοροῦσα ἱμάτια, ἢ [x]ἡ
ἁπλῶς περικειμένη καὶ ἀνεπιτηδεύτως; [y]τίς πάλιν ἐπιστρέφει
τοὺς ἐπ' ἀγορᾶς, ἡ ἐπὶ ἡμιόνων φερομένη, καὶ χρυσοπάστων
παραπετασμάτων, ἢ ἡ ἁπλῶς καὶ ὡς ἔτυχε μετὰ κοσμιότητος
βαδίζουσα; [z]ἢ ταύτην μὲν οὐδὲ ὁρῶμεν, [a]κἂν ἴδωμεν, ἐκείνην δὲ
οὐ μόνον ἰδεῖν βιάζονται οἱ πολλοὶ, ἀλλὰ καὶ ἐρωτῶσι, τίς εἴη,
καὶ πόθεν; Καὶ παρίημι λέγειν ὅσος ὁ φθόνος ἐντεῦθεν τίκτε-
ται. Τί οὖν, εἰπέ μοι, αἰσχρὸν, ὁρᾶσθαι ἢ μὴ ὁρᾶσθαι; πότε D
μείζων ἡ αἰσχύνη, ὅταν πάντες εἰς αὐτὴν βλέπωσιν, ἢ ὅταν
μηδείς; ὅταν [b]μανθάνωσι περὶ αὐτῆς, ἢ ὅταν μηδὲ φροντίζω-
σιν; Ὁρᾷς ὅτι οὐ δι' αἰσχύνην, ἀλλὰ διὰ κενοδοξίαν πάντα
πράττομεν; Πλὴν ἀλλ' [c]ἐπειδὴ ἀδύνατον ὑμᾶς ἀπαγαγεῖν,
ἀρκεῖ μοι τέως τὸ μαθεῖν ὑμᾶς, ὅτι οὐκ ἔστι τοῦτο αἰσχύνη.
(576) Ἁμαρτία μόνη αἰσχύνη ἐστὶν, ἣν οὐδεὶς εἶναι νομίζει αἰσχύνην, 264

[h] αἰσχύνη] + τὸ μετὰ πολλῶν προϊέναι K.Q. Sav. cet. [i] ἡγεῖσθαι R. Mox παίδων pro οἰκετῶν N. [k] τῦφος τοῦτο] τοῦτο τῦφος K.O.Q. [l] γὰρ] δὲ N. [m] ἀκολουθούντων N. ἀκολουθουσῶν K.O.Q. [n] ψυχῆς] ἀρετῆς bis K.Q. [o] ἐλευθερίαν] Sic O.R. Veron. Mut. ἐλευθέραν A.K.N.Q. Sav. cet. [p] ἀρκεῖται A.N. [q] οἱ ἄγγ. οὐχὶ] οὐχὶ ἄγγ. N. Mox τινος pro οὐδενὸς idem. [r] χεῖρον A. [s] ἐστι] + τὸ K. Sav. cet. [t] ἐπιστρέψει olim O. [v] ἀπροόπτως K.Q. [w] τίς] + πάλιν N. πάλιν post ἐπιστρέφει in marg. O. [x] ἡ] + τὰ ex corr. O. Mox ἀνεπιτηδεύματος (sic) A. [y] τί A.R. Veron. [z] ἢ τ. μὲν] τ. μὲν γὰρ K.Q. [a] κἂν ἴδωμεν om. N. inclusum a Sav. [b] μάθωσι ex corr. O. [c] ἐπειδὴ] + τοῦτο A.R. Veron. + τούτου N.O. Sav. cet. Neutrum habent K.Q. Mut. Statim ἡμᾶς A.

Digitized by Google

ἀλλὰ πάντα μᾶλλον ἢ ταύτην. Ἱμάτια ἔστω τὰ τῆς χρείας, μὴ περιττά· πλὴν ἀλλ' ἵνα μὴ εἰς πολλὴν στενοχωρίαν ὑμᾶς κατακλείσωμεν, ἐκεῖνο παρεγγυῶ, ὅτι [d] χρυσίων ἡμῖν οὐ δεῖ, [e] οὐδὲ λεπτῶν ὀθονίων. Καὶ ταῦτα οὐκ ἐγὼ λέγω· ὅτι γὰρ οὐκ ἐμά ἐστι τὰ ῥήματα, ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος, καὶ παρεγγυῶντος ταῖς γυναιξί, [30] "Κοσμεῖν ἑαυτὰς, μὴ ἐν [f] πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ." Ἀλλὰ
B ποταπῷ βούλει, ὦ Παῦλε, εἰπέ· ἴσως γὰρ ἐροῦσιν, ὅτι τὰ [g] χρυσᾶ μόνα ἐστὶ πολυτελῆ, τὰ δὲ σηρικὰ οὐ πολυτελῆ· εἰπὲ [h] καὶ ποταπῷ βούλει. [31] "Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, [i] φησὶ, τούτοις ἀρκεσθησόμεθα." Τοιοῦτον ἔστω τὸ [k] ἱμάτιον, ὥστε σκέπειν μόνον. Διὰ γὰρ τοῦτο [l] ἔδωκεν ἡμῖν αὐτὰ ὁ θεὸς, ἵνα σκέπωμεν τὴν γυμνότητα· τοῦτο δὲ οἱονδήποτε ἱμάτιον ποιῆσαι δύναται [m] εὐτελοῦς ὂν τιμῆς. Τάχα γελᾶτε [n] αἱ τὰ σηρικὰ φοροῦσαι ἱμάτια· γελάσαι γὰρ ὄντως χρὴ, τί μὲν Παῦλος ἐπέταξε, τί δὲ ἡμεῖς πράττομεν. Οὐ [o] πρὸς γυναῖ-
C κας δέ μοι ὁ λόγος μόνον, ἀλλὰ καὶ πρὸς ἄνδρας. Πάντα γὰρ τὰ λοιπὰ, ἅπερ ἔχομεν, περιττά· [p] μόνοι οἱ πένητες οὐ περιττὰ κέκτηνται· τάχα δὲ κἀκεῖνοι δι' ἀνάγκην, ὡς, εἴγε ἐξῆν, οὐκ ἂν οὐδὲ ἐκεῖνοι ἀπέσχοντο. Πλὴν ἀλλ', εἴτε προφάσει, εἴτε ἀληθείᾳ, τέως ἐκεῖνοι [q] τὰ περιττὰ οὐκ ἔχουσι.

Τοιαῦτα τοίνυν φορῶμεν ἱμάτια, τὰ τὴν χρείαν πληροῦντα. Τί γὰρ βούλεται ὁ πολὺς χρυσός; τοῖς ἐπὶ σκηνῆς ταῦτα ἁρμόττει, ταῦτα ἐκείνων τὰ [r] φορήματα, πορνῶν ἐστι γυναικῶν, πάντα πρὸς τὸ θεαθῆναι ποιουσῶν. Καλλωπιζέσθω ἐκείνη ἡ ἐπὶ τῆς σκηνῆς, ἡ ἐπὶ τῆς ὀρχήστρας· πάντας γὰρ βούλεται πρὸς ἑαυτὴν ἐπισπάσασθαι· ἡ δὲ ἐπαγγελλομένη θεοσέβειαν,
D μὴ οὕτω καλλωπιζέσθω, [s] ἀλλὰ ἑτέρως. Ἔχεις καλλωπισμὸν πολὺ ἐκείνης μείζονα, ἔχεις καὶ σὺ θέατρον· πρὸς ἐκεῖνο καλλωπίζου τὸ θέατρον, ἐκεῖνον περιτίθεσο τὸν κόσμον. Ποῖόν [t] σου ἐστὶ τὸ θέατρον; Ὁ οὐρανὸς, ὁ τῶν ἀγγέλων δῆμος· οὐχὶ τῶν

30 1 Tim. ii. 9. 31 Ibid. vi. 8.

[d] *χρυσίων*] Sic K.N.O.Q. *χρυσείων* A.R. Veron. *χρυσοπάστων* Sav. cet. *auro* Mut. Statim *ὑμῖν* N. Mut. [e] *οὐδὲ*] *οὐ* O. [f] *πλέγμασιν*] + *φησὶν* K.Q. [g] *χρυσία* N. Mox *τὰ δὲ σ. οὐ πολυτελῆ* om. A.K. inclusum a Sav. [h] *καὶ* assumtum ex A.K.O.Q.R. Statim *ποταπὰ* K.N.Q. et ex corr. O. [i] *φ. τούτοις*] Sic A.N.O.R. *τούτοις, φ.* Edd. *φησὶ* om. K.Q. [k] *ἱμάτιον*] + *φησὶν* K.Q. Sav. cet. [l] *ἔδωκεν ἡμῖν*] *ἡμῖν ἔδωκεν* K.O.R. Statim *αὐτὰ* superscript. in A. [m] *εὐτ. ὂν τιμῆς*] *τῆς εὐτ. τιμῆς ὂν* N. [n] *αἱ*] *καὶ αἱ* K. *ταῦτα αἱ* O. [o] *πρὸς τὰς γ.* K.N. Sav. cet. Mox *πρὸς τοὺς ἄνδρας* N. Sav. cet. [p] *μόνον* olim O. [q] *τὰ* om. K.Q. [r] *φρονήματα* K.Q.R. Veron. *indumenta* Mut. [s] *ἀλλ' ἑτέρως* N.O. Statim, nulla distinctione, *ἔχει* Edd. *ἔχεις* K.N.O.Q. Mut. [t] *σοι* K.Q.

Digitized by Google

παρθένων λέγω μόνον, ἀλλὰ καὶ τῶν κοσμικῶν· πᾶσαι, ὅσαι
[v]τῷ Χριστῷ πιστεύουσιν, ἐκεῖνο ἔχουσι τὸ θέατρον. Τοιαῦτα
[w]φθεγγώμεθα, ἵνα [x]ἐκείνους τέρπωμεν τοὺς θεατάς· τοιαῦτα
περιτίθεσο, ἵνα ἐκείνους [y]εὐφραίνῃς. Εἰπὲ γάρ μοι, ἐὰν [z]ἡ 265
πόρνη γυνὴ, ἀφεῖσα τὰ χρυσία καὶ τὰ ἱμάτια καὶ τὸν γέλωτα
καὶ τὰ ῥήματα τὰ ἀστεῖα καὶ τὰ αἰσχρὰ, [a]εὐτελὲς ἱμάτιον
περιβάληται, καὶ ἀνεπιτηδεύτως συνθεῖσα ἑαυτὴν εἰσέλθῃ, καὶ
θεοσεβῆ φθέγγηται ῥήματα, καὶ περὶ σωφροσύνης διαλέγηται,
καὶ μηδὲν αἰσχρὸν λέγῃ, οὐχὶ ἀναστήσονται πάντες; οὐχὶ [b]δια-
λυθήσεται τοῦτο τὸ θέατρον; οὐχὶ ἐκβαλοῦσιν αὐτὴν, ὡς οὐκ
εἰδυῖαν ἁρμόσασθαι τῷ δήμῳ, καὶ ἀλλότρια λέγουσαν τοῦ θεά-
τρου ἐκείνου τοῦ σατανικοῦ; [c]Οὕτω καὶ σὺ, ἐὰν τὰ ἐκείνης
περιθεμένη εἰς τὸ [d]τῶν οὐρανῶν θέατρον εἰσέλθῃς, ἐκβαλοῦσί
σε οἱ θεαταί. Ἐκεῖ γὰρ οὐ τῶν χρυσῶν ἱματίων [e]χρεία τούτων, B
ἀλλ' ἑτέρων. Ποίων; Οἵων ὁ προφήτης [f]φησίν· [32]"Ἐν κροσ-
σωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη·" [g]οὐχ ὥστε τὸ
σῶμα λευκὸν ποιῆσαι καὶ ἀποστίλβον, ἀλλ' ὥστε τὴν ψυχὴν
καλλωπίσαι· αὕτη γάρ ἐστιν ἡ ἀγωνιζομένη ἐκεῖ καὶ ἀθλοῦσα.
"Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν," φησί.
Ταῦτα περίθου· μυρίων γὰρ καὶ ἄλλων ἀπαλλάττεις [h]σαυτὴν
κακῶν, καὶ τὸν ἄνδρα μερίμνης, καὶ σαυτὴν φροντίδος. Οὕτω
γὰρ αἰδέσιμος ἔσῃ τῷ ἀνδρὶ, ὅταν μὴ πολλῶν δέῃ. Πᾶς [i]γὰρ
ἄνθρωπος εἴωθεν ἀκκίζεσθαι κατὰ τῶν δεομένων αὐτοῦ· ὅταν δὲ C
ἴδῃ μὴ χρείαν ἔχοντας, κατασπᾷ τὸ φρόνημα, [k]ὥς τε ὁμοτίμοις
διαλέγεται. [l]Ὅταν ἴδῃ ὁ ἀνὴρ ὅτι οὐ χρείαν αὐτοῦ ἔχεις ἐν
οὐδενὶ, ὅτι καταφρονεῖς τῶν παρ' αὐτοῦ δωρεῶν, κἂν σφόδρα ᾖ
[m]φρονηματιῶν, τότε σε αἰδεσθήσεται μᾶλλον, ἢ τὰ χρυσία
περικειμένην· [n]καὶ οὐκέτι ἔσῃ αὐτοῦ δούλη. [o]Ὧν γὰρ ἂν χρείαν
ἔχωμεν, ὑποκύπτειν τούτοις ἀναγκαζόμεθα· ἐὰν δὲ ἀποστήσω-
μεν ἑαυτοὺς, οὐκέτι ἐσόμεθα ὑπόδικοι, [p]ἀλλ' οἶδεν ὅτι διὰ τὸν
τοῦ θεοῦ φόβον ὑπακοήν τινα ἀπονέμομεν αὐτῷ, οὐ διὰ [q]τὰ

32 Psal. xliv. 14.

[v] τῷ eras. in N. [w] φθεγγόμεθα O. φθεγκόμεθα (sic) A. [x] ἐκείνοις Sav. cet. invitis omnibus. [y] εὐφραίνῃς] Sic K.N.Q.R. et corr. O. εὐφραίνεις A. εὐφράνῃς Edd. [z] ἡ om. O. [a] εὐτελῆ ἱμάτιον O.Q. εὐτελῆ ἱμάτια N. Statim περιβάλληται A. [b] διαλυθήσονται olim O. Mox ἐκβάλλουσιν A. [c] οὕτω] καὶ οὕτω R. Mox περιθέμενος Q. [d] τοῦ οὐρανοῦ N.O. [e] χρ. τούτων] τούτων χρ. N.O. [f] φησὶν] + πᾶσα ἡ δόξα τῆς θ. τοῦ β. ἔσωθεν N. et in marg. O. [g] οὐχ] περιβάλλεσθαι γὰρ διδάσκει, οὐχ K.Q. Statim ὡς τὸ σ. N. et corr. O. [h] αὐτὴν Q. [i] γὰρ om. K.Q. [k] Vid. Annot. [l] ὅτε A. [m] φρονήματος ὢν (ὢν eraso) A. [n] καὶ—δούλη om. A. [o] ὧν] καὶ A. Statim ἂν assumtum ex omnibus. Mox ἔχωμεν A.K.N.Q. ἔχομεν Edd. [p] ἀλλ' οἶδεν] οἶδε γὰρ K.Q. [q] τὰ] τὰς R.

Digitized by Google

D παρ' αὐτοῦ. Νῦν μὲν γὰρ ὡς μεγάλα ἡμῖν χαριζόμενος, ὅσης
ἂν ἀπολαύσῃ τῆς τιμῆς, οὐχ ἡγεῖται τῆς πάσης ἀπολελαυκέναι·
τότε δὲ κἂν [r]μικρᾶς τύχῃ, χάριν ἡγήσεται· οὐκ [s]ὀνειδίζει, οὐκ
ἀναγκασθήσεται οὐδὲ αὐτὸς πλεονεκτεῖν διὰ σέ.

Τί γὰρ ἀλογώτερον τοῦ χρυσία εἰς τοῦτο κατασκευάζειν,
266 ἵνα περικέωνται ἐν βαλανείοις καὶ [t]ἐν ἀγοραῖς; [v]Ἀλλ' ἐν βα- (577)
λανείοις καὶ ἐν ἀγοραῖς ἴσως οὐδὲν θαυμαστόν· τὸ δὲ [w]καὶ ἐν
ἐκκλησίᾳ οὕτω σχηματιζομένην προϊέναι, [x]ὁ πολὺς γέλως. Τί
γὰρ δήποτε εἰσέρχεται χρυσία φοροῦσα ἐνταῦθα, ἡ ὀφείλουσα
[y]εἰσελθεῖν, ἵνα ἀκούσῃ κοσμεῖν ἑαυτὰς, μὴ [z]χρυσῷ, μηδὲ μαργα-
ρίταις, μηδὲ ἱματισμῷ πολυτελεῖ; Τίνος οὖν [a]ἕνεκεν εἰσέρχῃ,
ὦ γύναι; ἆρα ὡς μαχομένη τῷ Παύλῳ, καὶ δεικνύουσα ὅτι κἂν
μυριάκις ταῦτα λέγῃ, οὐκ ἐπιστρέφῃ; Ἀλλ' ὡς τοὺς διδασκά-
λους ἡμᾶς ἐλέγξαι βουλομένη μάτην ταῦτα διαλεγομένους;
B Εἰπὲ γάρ μοι, ἐάν τις Ἕλλην καὶ ἄπιστος ἀκούσας ἀναγινω-
σκομένου τοῦ χωρίου τούτου, [b]ἔνθα ταῦτα λέγει ὁ μακάριος
[c]Παῦλος, ἔχων γυναῖκα πιστὴν, ἴδῃ ὅτι πολὺν ποιεῖται λόγον
τοῦ καλλωπισμοῦ, καὶ χρυσία περιτίθεται, ἵνα προέλθῃ ἐν ἐκ-
κλησίᾳ, [d]καὶ ἀκούσῃ τοῦ Παύλου παρεγγυῶντος, μήτε χρυσῷ,
μήτε μαργαρίταις, μήτε ἱματισμῷ πολυτελεῖ κοσμεῖν ἑαυτάς·
ἆρα οὐκ ἐρεῖ πρὸς ἑαυτὸν, ὁρῶν αὐτὴν ἐν τῷ κοιτωνίσκῳ ταῦτα
περιτιθεμένην καὶ διατιθεῖσαν καλῶς, τί [e]ἀναμένει ἔνδον ἡ γυνὴ
εἰς τὸν κοιτωνίσκον; τί βραδύνει; τί περιτίθεται τὰ χρυσία;
ποῦ ἀπελθεῖν ἔχει; [f]ἐν τῇ ἐκκλησίᾳ; διὰ τί; ἵνα ἀκούσῃ,
"Μὴ ἱματισμῷ πολυτελεῖ;" Οὐ γελάσεται; [g]οὐκ ἀνακαγχά-
C σει; οὐ χλεύην καὶ ἀπάτην εἶναι νομιεῖ τὰ ἡμέτερα; Διὸ πα-
ρακαλῶ, τὰ χρυσία ταῖς πομπαῖς ἀφῶμεν, ταῖς σκηναῖς, ταῖς
[h]προθήκαις ταῖς ἐπὶ τῶν ἐργαστηρίων· ἡ δὲ τοῦ θεοῦ εἰκὼν μὴ
[i]τούτοις καλλωπιζέσθω· ἡ ἐλευθέρα τῇ ἐλευθερίᾳ κοσμείσθω·
ἐλευθερία δὲ τὸ ἄτυφον, τὸ ἀκόμπαστον. Εἰ δὲ καὶ δόξης
βούλει τῆς παρὰ ἀνθρώπων ἐπιτυχεῖν, οὕτως ἐπιτεύξῃ. Τὴν
γὰρ ἀνδρὸς πλουτοῦντος οὖσαν γυναῖκα οὐχ οὕτω θαυμασόμεθα

[r] μικρᾶς τύχῃ] μικρὰς ἔχει R. Mox ἡγεῖται K.Q. [s] ὀνειδιεῖ K.N. Sav. cet. et sic ex corr. O. [t] ἐν om. N. [v] ἀλλ' ἐν] καὶ εἰ μὲν ἐν N. et ex corr. O. ἀλλ' ἐν μὲν Q. Mox ἴσως οὐδὲν pro οὐδὲν ἴσως omnes. [w] καὶ om. A.K. [x] ὁ πολὺς] Sic O.R. Veron. (sed ὁ eras. in O.) οὐ πολὺς A. πολὺς ὁ K.N.Q. Sav. cet. Statim τί δήποτε γὰρ K.Q. [y] ἐλθεῖν N. [z] χρυσῷ] Sic A.O.Q.R. χρυσίῳ Edd. μηδὲ μαργ. om. Q. [a] ἕνεκεν εἰσέρχῃ] εἰσέρχῃ ἕνεκεν N. ἕνεκεν om. Veron. [b] ἔνθα τ. λέγει] ἐν ᾧ τ. παραγγέλλει N. [c] Παῦλος] + παρεγγυῶν ταῖς γυναιξὶ, μήτε χρυσῷ, μήτε μ. μήτε ἱμ. π. κοσμεῖν ἑαυτὰς K.Q. Sav. cet. Statim καὶ ἔχων iidem. [d] Haec καὶ ἀκούσῃ—ἑαυτὰς om. iidem. [e] μένει iidem. [f] εἰς τὴν ἐκκλησίαν N. Sav. cet. [g] οὐκ ἀνακαχλάσει olim O. οὐ καγχάσει Q. Mox νομίσει εἶναι pro εἶναι νομιεῖ N. [h] προθήκαις] Sic A.Q.R. προσθήκαις Edd. [i] τούτοις] οὕτω N.

Digitized by Google

χρυσία φοροῦσαν καὶ σηρικά· τοῦτο γὰρ κοινὸν [k]ἁπασῶν· ὡς
ὅταν λιτὸν ἱμάτιον καὶ ἁπλοῦν, καὶ ἐξ ἐρίου εἰργασμένον μόνον
περικειμένη τυγχάνῃ· τοῦτο θαυμάσονται πάντες, τοῦτο κρο-
τήσουσιν. Ἐν ἐκείνῳ μὲν γὰρ τῷ κόσμῳ τῷ τῶν χρυσίων καὶ D
τῶν πολυτελῶν ἱματίων, πολλὰς ἔχει τὰς κοινωνούσας αὐτῇ·
κἂν ταύτην [l]ὑπερβάληται, ὑπὸ τῆς ἑτέρας ἡττᾶται· κἂν πάσας
ὑπερβάληται, ὑπὸ τῆς βασιλίδος αὐτῆς [m]νικᾶται· ἐνταῦθα δὲ
πάσας νικᾷ, καὶ αὐτὴν τὴν τοῦ βασιλέως γυναῖκα· μόνη γὰρ ἐν
[n]πλούτῳ τὰ τῶν πενήτων εἵλετο. Ὥστε [o]καὶ εἰ δόξης ἐρῶμεν, 267
[p]καὶ ἐνταῦθα μείζων ἡ δόξα. Οὐ πρὸς τὰς χήρας λέγω μόνον,
καὶ τὰς πλουσίας· ἐνταῦθα γὰρ δοκεῖ ἡ τῆς χηρείας ἀνάγκη
τοῦτο ποιεῖν· ἀλλὰ καὶ πρὸς τὰς [q]ὑπ' ἄνδρα οὔσας. Ἀλλ' οὐκ
ἀρέσκω, φησὶ, τῷ ἀνδρί. Οὐ τῷ ἀνδρὶ βούλει ἀρέσκειν, ἀλλὰ
τῷ πλήθει τῶν γυναικῶν τῶν πενιχρῶν· μᾶλλον δὲ οὐκ ἀρέ-
σκειν, ἀλλὰ κατατήκειν αὐτὰς καὶ ὀδυνᾶν, καὶ τὴν πενίαν μεί-
ζονα ποιεῖν. Πόσα διὰ σὲ βλάσφημα φθέγγονται; Μὴ ἔστω,
φησὶ, πενία· ὁ θεὸς μισεῖ τοὺς πενομένους, ὁ θεὸς οὐ φιλεῖ τοὺς
ἐν πενίᾳ. Ὅτι γὰρ οὐ τῷ ἀνδρὶ βούλει ἀρέσκειν, καὶ ταύτης
ἕνεκεν τῆς αἰτίας καλλωπίζῃ, ἐξ ὧν αὐτὴ ποιεῖς [r]τοῦτο δῆλον B
ἅπασι καθιστᾷς. Ὅταν γὰρ ὑπερβῇς [s]τὸν οὐδὸν τοῦ θαλάμου,
εὐθέως [t]ἅπαντα ἀποτίθῃ, καὶ τὰ ἱμάτια, καὶ τὰ χρυσία, καὶ
τοὺς μαργαρίτας· καὶ ἐπὶ τῆς οἰκίας μάλιστα οὐ φορεῖς. Εἰ
δὲ ὅλως βούλει ἀρέσκειν τῷ ἀνδρὶ, ἔστι δι' ὧν [v]ἀρέσεις, δι'
ἐπιεικείας, διὰ πραότητος, διὰ κοσμιότητος. Πίστευε γάρ μοι,
γύναι, κἂν μυριάκις [w]ᾖ κατωφερὴς ὁ [x]ἀνὴρ, ταῦτα μᾶλλον αὐ-
τὸν ἐφελκύσεται, ἐπιείκεια, κοσμιότης, τὸ ἄτυφον, τὸ ἀδάπανον,
τὸ εὐτελές. Τὸν μὲν γὰρ ἀκόλαστον, κἂν μυρία τοιαῦτα ἐπι- C
νοῇς, οὐ καθέξεις· καὶ ἴσασιν ὅσαι τοιούτους ἐσχήκασιν [y]ἄνδρας·
ὡς γὰρ ἐὰν καλλωπίσῃς [z]σαυτὴν, ἐκεῖνος ἀκόλαστος ὢν πρὸς
[a]ἑταῖραν ἄπεισι· τὸν δὲ σώφρονα καὶ κόσμιον οὐ τούτοις αἱρή-
σεις, ἀλλὰ τοῖς ἐναντίοις· ἐν τούτοις δὲ καὶ λυπεῖς, [b]σαυτῇ
δόξαν περιτιθεῖσα φιλοκόσμου. [c]Τί γὰρ ἂν αἰδούμενος ὁ ἀνὴρ,

[k] ἅπασιν N. Mox κοινὸν pro λιτὸν Veron. [l] ὑπερβάληται (–λεται Veron.)] ὑπερακοντίσῃ K.Q. Sav. cet. ὑπερβάληται — κἂν πάσας om. A.N. [m] νικᾶται] ἡττᾶται N. [n] πλούτῳ] + πολλῷ N.O. Sav. cet. [o] καὶ εἰ] εἰ καὶ N. εἰ om. Q. [p] καὶ assumtum ex omnibus. [q] ὑπ' ἄνδρα] ὑπάνδρους N. et ex corr. O. receptum a Sav. cet. [r] [τοῦτο] Sav. τοῦτο om. K. Mox καθίσταται N. et ex corr. O. [s] τὸν οὐδῶν A. τῶν οὐδῶν R. Veron. Statim τοῦ ὀφθαλμοῦ A. [t] πάντα ἀποτίθεσαι N. [v] ἀρέσκεις Sav. cet. repugnantibus libris. [w] ᾖ] εἴη N. et corr. O. Statim καταφερὴς K.Q. [x] ἀνὴρ] + καὶ ἀκρατὴς K.O.Q. Sav. cet. [y] ἄνδρας om. A (?) [z] ἑαυτὴν K. [a] ἑταῖραν] Sic K.Q. ἑταίραν A. ἑτέραν Edd. [b] σαυτὴν A. σεαυτῇ (olim σαυτῇ) O. Mox περιθεῖσα R. Veron. et olim O. [c] τί γὰρ ἂν] εἰ γὰρ καὶ Sav. cet. invitis omnibus.

Digitized by Google

καὶ τοῦτο ὡς [d]σώφρων μὴ λέγῃ, ἀλλ' [e]ἔνδοθεν καταγινώσκεταί
σου· τοὺς δὲ φθόνους καὶ τὰς βασκανίας οὐ περιστελεῖται. Οὐ
πᾶσαν ἡδονὴν ἐκβαλεῖς λοιπὸν, φθόνον ἐγείρουσα κατὰ σαυτῆς;
D Τάχα δυσχερῶς ἀκούετε τῶν λεγομένων, καὶ ἀγανακτεῖτε
λέγουσαι, ὅτι τοὺς ἄνδρας παροξύνει μᾶλλον κατὰ τῶν γυναι-
κῶν. Οὐ τοὺς ἄνδρας παροξύνων ταῦτα λέγω, ἀλλὰ παρ' [f]ὑμῶν
βούλομαι ἑκοντὶ ταῦτα γίνεσθαι, δι' ὑμᾶς, οὐ δι' ἐκείνους· οὐχ (578)
ἵνα ἐκείνους ἀπαλλάξω φθόνου, ἀλλ' ἵνα ὑμᾶς ἀπαλλάξω φαν-
268 τασίας βιωτικῆς. Βούλει φανῆναι καλή; κἀγὼ τοῦτο βούλο-
μαι, ἀλλὰ κάλλος ὃ [g]ὁ θεὸς ζητεῖ, κάλλος ὃ ἐπιθυμεῖ ὁ βασι-
λεύς. Τίνα βούλει σχεῖν ἐραστὴν, τὸν θεὸν ἢ ἀνθρώπους; Ἐὰν
ἐκεῖνο ᾖς τὸ κάλλος καλὴ, ὁ θεὸς ἐπιθυμήσει τοῦ κάλλους σου·
ἂν δὲ [h]τοῦτο χωρὶς ἐκείνου, ἐκεῖνος μέν σε βδελύξεται, ἔσονται
[i]δὲ ἐρασταὶ ἄνδρες μιαροί· οὐδεὶς γὰρ ὑπάνδρου γυναικὸς ἐρῶν
ἀγαθός. Τοῦτο καὶ ἐπὶ τοῦ κόσμου τοῦ ἔξωθεν λογίζου.
Ἐκεῖνος μὲν γὰρ ὁ κόσμος, ὁ τῆς ψυχῆς λέγω, τὸν θεὸν ἐπι-
σπᾶται· οὗτος δὲ [k]πάλιν τοὺς μιαροὺς ἄνδρας. Ὁρᾷς ὅτι ὑμῶν
B κήδομαι, ὅτι ὑμῶν φροντίζω, ἵνα καλαὶ ἦτε, ὄντως καλαὶ, [l]ἐπί-
δοξοι, ὄντως ἐπίδοξοι, ἵνα ἀντὶ ἀνδρῶν μιαρῶν τὸν ἁπάντων
δεσπότην [m]θεὸν ἔχητε ἐραστήν; Ἡ δὲ ἐκεῖνον ἔχουσα ἐραστὴν,
τίνι ἔσται ὁμοία; [n]μετὰ ἀγγέλων χορεύει. Εἰ γὰρ παρὰ βα-
σιλέως φιλουμένη τις ὑπὲρ πάντας μακαρίζεται, ἡ παρὰ τοῦ
θεοῦ φιλουμένη φιλίαν πολλὴν, τίνος ἔσται ἀξία; κἂν τὴν οἰ-
κουμένην [o]στήσῃς ὅλην, οὐδὲν τοῦ κάλλους ἐκείνου ἄξιον. Τοῦτο
τοίνυν ἀσκήσωμεν τὸ κάλλος, τούτῳ κοσμώμεθα τῷ κόσμῳ, ἵνα
εἰς τοὺς οὐρανοὺς χωρήσωμεν, εἰς τὰς παστάδας τὰς πνευματι-
C κὰς, εἰς τὸν νυμφῶνα τὸν ἀκήρατον. Τοῦτο μὲν γὰρ τὸ κάλ-
λος ὑπὸ πάντων [p]ἁλίσκεται, καὶ ὅταν παραμείνῃ καλῶς, καὶ
μήτε νόσος ἐνοχλήσῃ μήτε φροντὶς, ὅπερ ἀδύνατον, οὐ παρα-
μένει [r]εἴκοσι ἔτη· ἐκεῖνο δὲ ἀεὶ ἀνθεῖ, ἀεὶ ἀκμάζει. Οὐκ ἔστιν
ἐκεῖ δεῖσαι μεταβολὴν, οὐ γῆρας ἐπελθὸν ῥυτίδα [s]ἤγαγεν, οὐ
νόσος κατασκήψασα ἐμάρανεν, οὐκ ἀθυμίας φροντὶς ἐλυμήνατο,
ἀλλὰ πάντων τούτων ἐστὶν ἀνώτερον. Τοῦτο δὲ [t]πρὶν ἢ φανῆ-

[d] σώφρονα Q. σώφρον (sic) R. Statim μὴ λέγῃ N.O. μὴ λέγει R. οὐ λέγῃ K.Q. Veron. οὐ λέγει A. Sav. cet. [e] ἔνδον N. [f] ὑμῖν O. Statim βουλόμενος K.N.Q. Sav. cet. [g] ὁ θ. ζητεῖ] ἐπιθυμεῖ ὁ θ. N. [h] τούτου K. [i] δὲ] σου δὲ O. δέ σου K.N.Q. Sav. cet. invito Mut. [k] πάλιν om. A.R. Veron. invito Mut. [l] ἐπίδοξοι] καὶ ἐπίδ. N. ἐπίδοξοι om. K.Q. Sav. cet. Locus sic legitur in O. ἵνα καλοὶ ἦτε ὄντως (+ καλαὶ in marg.) καὶ ἐπίδοξοι (+ ὄντως ἐπίδοξοι in marg.) [m] θεὸν om. K.N.Q. [n] μετ' ἀγγ. K.N. [o] ἀναστήσῃς O. ἀντιστήσῃς K.N.Q. Sav. cet. *constituas* Mut. Statim ὅλην om. Sav. cet. repugnantibus libris. [p] ἀναλίσκεται (sic) O. [r] εἴκοσι K.N. εἴκοσιν Edd. [s] ἤγαγεν] προσέρριψεν K.Q. [t] πρὶν ἢ] πρὸ τοῦ O. ἢ om. N.

Digitized by Google

ναι, [v]ἀπέπτη, καὶ φανὲν οὐκ ἔχει πολλοὺς τοὺς θαυμαστάς.
Οἱ μὲν γὰρ κόσμιοι οὐ θαυμάζουσιν, οἱ δὲ θαυμάζοντες, μετὰ
ἀσελγείας θαυμάζουσι. Μὴ τοίνυν τοῦτο ἀσκῶμεν, ἀλλ' ἐκεῖνο· D
ἐκείνου ἐχώμεθα, ἵνα μετὰ λαμπάδων φαιδρῶν ἀπέλθωμεν εἰς
τὸν νυμφῶνα. Οὐ γὰρ ταῖς παρθένοις τοῦτο [w]ἐπήγγελται μό-
νον, ἀλλὰ ταῖς ψυχαῖς ταῖς παρθένοις· ἐπεὶ, εἰ παρθένων ἦν
ἁπλῶς τοῦτο, οὐκ ἂν αἱ πέντε ἀπεκλείσθησαν. [x]Πασῶν τοίνυν
ἐστὶ τοῦτο ὅσαι τὴν ψυχήν εἰσι παρθένοι, ὅσαι τῶν νοημάτων
[y]τῶν βιωτικῶν εἰσιν ἀπηλλαγμέναι· φθείρουσι γὰρ τὰς ψυχὰς
τὰ νοήματα ταῦτα. Ἐὰν τοίνυν ἀκέραιοι [z]μένωμεν, ἀπελευσό- 269
μεθα ἐκεῖ καὶ δεχθησόμεθα. [33]"Ἡρμοσάμην γὰρ ὑμᾶς, φησὶν,
ἑνὶ ἀνδρὶ, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ." Ταῦτα
οὐ πρὸς τὰς παρθένους εἶπεν, ἀλλὰ πρὸς [a]τὸ πλήρωμα τῆς ἐκ-
κλησίας ἁπάσης. Ἡ γὰρ ἄφθορος [b]ψυχὴ παρθένος ἐστὶ, κἂν
ἄνδρα ἔχῃ· [c]παρθένος τὴν ὄντως παρθενίαν, τὴν θαυμαστήν·
αὕτη γὰρ ἡ τοῦ σώματος ἐκείνης ἐστὶν ἐπακολούθημα καὶ σκιὰ,
ἡ δὲ ἀληθὴς παρθενία ἐκείνη ἐστί. Ταύτην [d]ἀσκῶμεν, καὶ οὕτω
δυνησόμεθα μετὰ φαιδροῦ προσώπου τὸν νυμφίον ἰδεῖν, μετὰ
φαιδρῶν εἰσελθεῖν τῶν λαμπάδων, ἐὰν τὸ ἔλαιον ἡμᾶς μὴ [e]ἐπι- B
λίπῃ, ἐὰν τὰ χρυσία χωνεύσασαι ἔλαιον ἐργασώμεθα τοιοῦτον,
ὃ ποιεῖ φαιδρὰς τὰς λαμπάδας· τὸ δὲ ἔλαιον ἐκεῖνό ἐστιν ἡ
φιλανθρωπία. [f]Ἂν ἑτέροις [g]μεταδῶμεν τὰ ὄντα, [h]ἐὰν ἔλαιον
[i]αὐτὰ ἐργασώμεθα, τότε [k]ἡμῶν προστήσεται, καὶ οὐκ ἐροῦμεν
ἐν ἐκείνῳ τῷ καιρῷ, [34]"Δότε ἡμῖν ἔλαιον, ὅτι [l]σβέννυνται ἡμῶν
αἱ λαμπάδες," οὐδὲ ἑτέρων δεηθησόμεθα, οὐδὲ ἀπελθοῦσαι πρὸς
τοὺς πωλοῦντας, [m]ἐκκλεισθησόμεθα, οὐδὲ ἀκουσόμεθα [n]τῆς φρι-
κτῆς ἐκείνης καὶ φοβερᾶς φωνῆς, κρούουσαι τὰς θύρας, "Οὐκ
οἶδα ὑμᾶς·" ἀλλ' ἐπιγνώσεται ἡμᾶς, καὶ συνεισελευσόμεθα τῷ
νυμφίῳ, καὶ εἰσελθόντες εἰς τὸν νυμφῶνα τὸν πνευματικὸν, μυρίων C

33 2 Cor. xi. 2. 34 Matth. xxv. 8, 12.

[v] ἀπέπτη] Sic K.Q. ἀπέστη Edd. [w] ἀπήγγελται A. Mox ἀλλὰ καὶ ταῖς K.Q. [x] πάντων K.O.Q.R. Veron. [y] τῶν β. εἰσιν] εἰσι τῶν β. K.N.Q. [z] μείνωμεν K.N.Q. et ex corr. O. Statim ἀπενεχθησόμεθα K.N.O.Q. [a] τὰ πληρώματα A. [b] ψυχὴ] Sic A.K.N.O.Q. Mut. ψυχῇ R. ψυχὴν Edd. [c] παρθένος] + ἐστὶ K.O.Q. Sav. cet. [d] ἀσκήσωμεν O. [e] ἐπιλείπῃ A.R. Veron. et olim N. ἐπιλείψῃ K.Q. [f] ἐὰν K.N.Q. Sav. cet. [g] μεταδώσομεν R. Veron. μεταδώσωμεν A. Statim τῶν ὄντων Veron. et ex corr. recent. N. [h] ἐὰν om. Veron. Statim ἔλεον A. et a pr. m. O. [i] αὐτὸ A.R. Veron. Statim ἐργασόμεθα R. Veron. [k] ἡμῖν K. et olim N. [l] σβ. ἡμῶν αἱ λ.] αἱ λ. ἡμῶν σβ. K.N.Q. Mox δεησόμεθα A.Q. δεησώμεθα R. Post δεηθησόμεθα add. τότε ἡμῶν προστήσεται N. [m] ἐκκλεισθ.] Sic K.N.O.Q. κλεισθ. R. ἀποκλεισθ. Edd. In A. lacuna est. [n] τῆς φρ. ἐκείνης καὶ φοβ. φωνῆς] Sic A.R. τῆς φρ. καὶ φοβ. ἐκείνης φωνῆς K.N.O.Q. τῆς φωνῆς ἐκείνης τῆς φοβ. καὶ φρ. Edd.

Digitized by Google

[o]ἀπολαύσομεν ἀγαθῶν. Εἰ γὰρ ἐνταῦθα οὕτω φαιδρὸς ὁ νυμ-
φὼν, οὕτω λαμπραὶ αἱ παστάδες, ὡς μηδένα κορέννυσθαι προσέ-
χοντα, [p]πολλῷ μᾶλλον ἐκεῖ. Θάλαμός ἐστιν ὁ οὐρανὸς, καὶ
τοῦ οὐρανοῦ ὁ νυμφὼν βελτίων· ἐκεῖ εἰσελευσόμεθα. Εἰ δὲ ὁ
νυμφὼν οὕτω καλὸς, τίς [q]ἄρα ἔσται ὁ νυμφίος; Καὶ τί λέγω,
τὰ χρυσία ἀποθέμεναι μεταδῶμεν τοῖς δεομένοις; εἰ γὰρ καὶ
[r]ἑαυτὰς πωλεῖν ἐχρῆν, εἰ γὰρ ἀντ' ἐλευθέρων γενέσθαι [s]δούλας,
D ὥστε δυνηθῆναι μετ' ἐκείνου εἶναι τοῦ νυμφίου, τοῦ κάλλους
ἀπολαύειν ἐκείνου, μόνον ὁρᾶν εἰς τὸ πρόσωπον [t]ἐκεῖνο· οὐκ
ἐχρῆν μετὰ προθυμίας [v]ἅπαντα καταδέξασθαι; [w]Βασιλέα τὸν (579)
ἐπὶ γῆς ὁρῶμεν καὶ θαυμάζομεν· ὅταν δὲ καὶ βασιλέα καὶ [x]νυμ-
φίον ἀμφότερα, πολλῷ [y]δὴ μᾶλλον [z]προθύμως καταδέχεσθαι
ἐχρῆν. Ὄντως ταῦτα μὲν σκιὰ, ἐκεῖνα δὲ ἀλήθεια. [a]Καὶ βασι-
λέα καὶ νυμφίον ἐν οὐρανοῖς, καὶ καταξιωθῆναι καὶ προηγεῖσθαι
αὐτοῦ μετὰ λαμπάδων, καὶ ἐγγὺς αὐτοῦ εἶναι, καὶ διαπαντὸς
εἶναι μετ' αὐτοῦ· τί οὐκ ἔδει ποιεῖν; τί δὲ οὐ πράττειν; τί δὲ
οὐχ ὑπομένειν; [b]Παρακαλῶ, λάβωμέν τινα πόθον ἐκείνων τῶν
ἀγαθῶν, ποθήσωμεν ἐκεῖνον τὸν νυμφίον, ὦμεν παρθένοι τὴν
[c]ἀληθῆ παρθενίαν· τὴν γὰρ τῆς ψυχῆς παρθενίαν [d]ἐπιζητεῖ ὁ
δεσπότης. Μετὰ ταύτης εἰσέλθωμεν εἰς τὸν οὐρανὸν, [e]ἵνα μὴ
ἔχωμεν σπῖλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἵνα [f]ἐπιτύχωμεν
τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν,
χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ'
οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν
καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

B ΛΟΓΟΣ ΚΘ.

[1]Οὔπω μέχρις αἵματος [a]ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀν-
ταγωνιζόμενοι· καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν

[1] Cap. XII. v. 4—6.

[o] ἀπολαύσωμεν O. ἀπολαυσόμεθα K.N.Q. Statim τῶν ἀγ. Edd. invitis libris. [p] πολλῷ pro πόσῳ omnes. [q] ἄρα ἔσται] ἔσται ἄρα K.N.Q. et ex corr. O. [r] αὐτὰς K.N.Q. [s] δοῦλος A. [t] ἐκείνου K.N.Q. Sav. cet. [v] πάντα K.N.O.Q. [w] βασιλέα—προηγεῖσθαι] καὶ βασιλέα μὲν τὸν ἐπὶ γῆς ἵνα μόνον ἴδωμεν, πολλάκις ὑπὲρ τοῦ ἰδεῖν αὐτὸν καὶ τὰ ἐν χερσὶ ῥίπτομεν, καὶ ἀναγκαῖα ὄντα· ὑπὲρ δὲ τοῦ (+ καὶ Q.) βασιλέα καὶ νυμφίον ἐν οὐρανοῖς ἀμφότερα ὄντα, ὥστε μὴ μόνον καταξιωθῆναι ἰδεῖν, ἀλλὰ καὶ προηγεῖσθαι K.Q. Sav. cet. [x] νυμφίον] + ἐν οὐρανοῖς N. + ἴδῃς (+ ἐν οὐρανοῖς a 2da m.) O. + ἴδῃς, καὶ βασιλέα καὶ νυμφίον R. Veron. [y] δὴ om. Veron. δὴ μᾶλλον om. N. [z] προθύμως] + ἅπαντα N. Mut. + πάντα O. [a] καὶ] ὅταν δὲ καὶ A. Veron. [b] παρακ.] διὸ παρακ. K.Q. Sav. cet. [c] ἀληθινὴν K.N.Q. [d] ζητεῖ K.N. Statim θεὸς pro δεσπότης K.N.Q. [e] ἵνα μὴ ἔχωμεν] μὴ ἔχοντες K.Q. Sav. cet. [f] ἐπιτ. τῶν ἐπηγ. (+ ἡμῖν N. et marg. O.) ἀγαθῶν] καὶ τῶν ἐπηγ. ἡμῖν ἀγαθῶν ἐπιτ. iidem. Mox μετασχεῖν pro ἐπιτυχεῖν iidem. Hom. XXIX. [a] ἀντεκατέστητε a pr. m. N. Sic semel A. bis Cat.

Digitized by Google

ὡς υἱοῖς διαλέγεται· Υἱέ μου, μὴ ὀλιγώρει παιδείας κυρίου,
μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. [a]Ὃν γὰρ ἀγαπᾷ κύριος,
[b]παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν [c]παραδέχεται.

ἜΣΤΙΝ εἴδη [d]παρακλήσεως δύο, ἐναντία ἀλλήλοις εἶναι C
δοκοῦντα, πολλὴν δὲ [e]ἑαυτοῖς συνεισφέροντα τὴν ἰσχύν· ἅπερ
ἀμφότερα ἐνταῦθα τέθεικε. Τὸ μὲν γάρ ἐστιν, ὅταν πολλὰ
λέγωμεν πεπονθέναι τινάς· ἡ γὰρ ψυχὴ διαναπαύεται, ὅταν
ἔχῃ τῶν οἰκείων παθῶν μάρτυρας πολλούς· ὅπερ [f]ἔθηκεν ἀνω-
τέρω εἰπὼν, "Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς
φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων·" τὸ δὲ,
ὅταν λέγωμεν, ὅτι οὐ μέγα τι [g]πέπονθας· τὸ μὲν τετρυχωμέ- D
νην [h]αὐτὴν διαναπαύει καὶ ἀναπνεῖν ποιεῖ, τὸ δὲ [i]ῥᾳθυμοῦσαν
καὶ ὑπτίαν γενομένην ἐπιστρέφει, καὶ τοῦ φρονήματος κατα-
σπᾷ. Ἵνα [k]γὰρ μὴ ἐξ ἐκείνης τῆς μαρτυρίας φρόνημα [l]αὐτοῖς
τεχθῇ, ὅρα τί ποιεῖ· "Οὔπω, [m]φησὶ, μέχρις αἵματος ἀντικα-
τέστητε πρὸς τὴν [n]ἁμαρτίαν." Καὶ οὐκ εὐθέως ἐπήγαγε τὰ
ἑξῆς, ἀλλὰ δείξας αὐτοῖς πάντας [o]τοὺς μέχρις αἵματος στάντας,
εἶτα ἐπαγαγὼν [p]τὸ καύχημα τοῦ Χριστοῦ τὰ παθήματα, τότε 271
εὐκόλως κατέδραμε. Τοῦτο καὶ Κορινθίοις γράφων λέγει·
[z]"Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος·" τουτέστι,
μικρός. Ἱκανὸν γὰρ τοῦτο διαναστῆσαι καὶ ἀνορθῶσαι ψυχὴν,
ὅταν ἐννοήσῃ, ὅτι οὐ πρὸς τὸ πᾶν [q]ἀνῆλθε, καὶ πείσῃ ἑαυτὴν
ἀπὸ τῶν προλαβόντων. [r]Τουτέστιν, οὔπω θάνατον ὑπέστητε,
μέχρι χρημάτων ὑμῖν ἡ ζημία, μέχρι δόξης, μέχρι τοῦ ἐλαύνε-
σθαι· ὁ μέντοι Χριστὸς ὑπὲρ ὑμῶν τὸ αἷμα ἐξέχεεν, ὑμεῖς δὲ
[s]οὐδὲ ὑπὲρ ἑαυτῶν· αὐτὸς μέχρι θανάτου ἠγωνίσατο περὶ τῆς
ἀληθείας, πολεμῶν [t]ὑπὲρ ὑμῶν· ὑμεῖς δὲ [v]οὐδέπω εἰς κινδύνους B
ἐνέβητε θάνατον ἀπειλοῦντας. "Καὶ ἐκλέλησθε τῆς παρακλή-

[z] 1 Cor. x. 13.

[b] παιδεύῃ N. [c] παραδέχεται] + εἰ παιδείαν—πατήρ; (v. 7.) O. Sav. cet. [d] παρακλήσεων K.Q. [e] αὐτοῖς A.R. Veron. [f] ἔθηκεν ἀν.] Sic omnes. ἀν. ἔθηκεν Edd. [g] πέπονθας] + ἐπιστρεφόμεθα γὰρ (+ εὐθὺς K.Q.) τῷ λόγῳ καὶ διανιστάμεθα, καὶ πάντα πρὸς τὸ παθεῖν γινόμεθα προθυμότεροι K.Q. Sav. cet. Statim καὶ τὸ μὲν iidem. τὸ μὲν γὰρ N. et ex corr. O. [h] αὐτὴν] τὴν ψυχὴν K.Q. Sav. cet. Statim διαναπαύειν ποιεῖ· τὸ δὲ A.R. Veron. [i] ῥᾳθυμοῦσαν] + αὐτὴν K.Q. Sav. cet. [k] γὰρ] τοίνυν iidem. Statim [μὴ] Sav. μὴ om. K.Q. [l] αὐτῆς A. Statim τέκῃ K.N.Q. [m] φ. μεχρὶς αἷμ.] μεχρὶς αἷμ. φ. iidem. Statim ἀντικατέστημεν A. [n] ἁμαρτίαν] + ἀνταγωνιζόμενοι· καὶ ἐκλέλησθε τῆς παρακλήσεως Edd. Haec, inclusa a Sav. desunt in libris omnibus et Mut. [o] τοὺς om. K. [p] τὰ καυχήματα K.N.O.Q. [q] ἦλθε Cat. Mox αὐτὴν N.O. [r] τουτέστιν] ὃ δὲ λέγει, τοῦτό ἐστιν K.Q. Sav. cet. [s] οὐδὲ om. A.R. Veron. [t] ὑπὲρ ὑμῶν om. O. [v] οὔπω Cat. et olim O. Mox ἐνέβητε Cat. ἀνέβητε A.R. Veron. ἐπέβητε K.N.O.Q. Sav. cet.

Digitized by Google

σεως·" τουτέστι, [w]καὶ παρήκατε τὰς χεῖρας, ἐξελύθητε. "Οὔ-
πω, [x]φησὶ, μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν
ἀνταγωνιζόμενοι." Ἐνταῦθα δείκνυσι καὶ τὴν ἁμαρτίαν [y]σφό-
δρα πνέουσαν, καὶ αὐτὴν ὁπλιζομένην. [z]Τὸ "ἀντικατέστητε,"
πρὸς τοὺς ἑστῶτας [a]εἴρηται. "Ἥτις ὑμῖν, [b]φησὶν, ὡς υἱοῖς
διαλέγεται· Υἱέ μου, μὴ ὀλιγώρει παιδείας κυρίου, μηδὲ ἐκλύου
ὑπ' αὐτοῦ ἐλεγχόμενος." Ἐποιήσατο ἀπὸ τῶν πραγμάτων τὴν
παράκλησιν· ἐκ περιουσίας καὶ τὴν ἀπὸ τῶν λόγων ἐπάγει,
C ἀπὸ τῆς μαρτυρίας ταύτης. "Μὴ ἐκλύου, φησὶν, ὑπ' αὐτοῦ (580)
ἐλεγχόμενος." Ἄρα τοῦ θεοῦ ταῦτά ἐστι. Καὶ τοῦτο [c]γὰρ οὐ
μικρὸν εἰς παράκλησιν, ὅταν μάθωμεν, ὅτι τοῦ θεοῦ ἔργον ἐστὶ
τὸ τοιαῦτα [d]δυνηθῆναι, ἐκείνου συγχωροῦντος· καθάπερ καὶ
Παῦλός φησιν· [3] "[e]Εἰπέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ
δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται." [f]Ἐκεῖνός ἐστιν ὁ συγχω-
ρῶν. "Ὃν γὰρ ἀγαπᾷ κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα
[g]υἱὸν ὃν παραδέχεται." Οὐκ [h]ἔχεις εἰπεῖν ὅτι ἔστι τις δίκαιος
D θλίψεως χωρίς· [i]κἂν οὕτω φαίνηται, ἀλλ' οὐκ ἴσμεν ἡμεῖς τὰς
ἄλλας θλίψεις· ὥστε πάντα δίκαιον ἀνάγκη διὰ θλίψεως ἐλ-
θεῖν. Ἀπόφασις γάρ ἐστι τοῦ Χριστοῦ, ὅτι ἡ πλατεῖα καὶ
εὐρύχωρος ὁδὸς ἀπάγει εἰς τὴν ἀπώλειαν, ἡ δὲ στενὴ καὶ
τεθλιμμένη εἰς τὴν ζωήν. Εἰ τοίνυν ἐκεῖθεν [k]ἔστιν ἐλθεῖν εἰς
τὴν ζωὴν, [l]ἀλλαχόθεν δὲ οὐκ ἔστιν, ἄρα διὰ τῆς στενῆς πάντες
[m]εἰσῆλθον, ὅσοι πρὸς τὴν ζωὴν ἀπῆλθον. [4] "[n]Εἰς παιδείαν
ὑπομένετε," [o]φησὶν, [p]οὐκ εἰς κόλασιν, οὐδὲ εἰς τιμωρίαν, οὐδὲ
272 εἰς τὸ κακῶς παθεῖν. [q]Ὅρα, ὅθεν ἐνόμιζον ἐγκαταλελεῖφθαι,
ἀπὸ τούτων [r]φησὶν αὐτοὺς πιστεύειν, ὅτι οὐκ ἐγκαταλελειμμέ-
νοι ἐστέ. Ὡς ἂν εἰ ἔλεγεν, ἐπειδὴ τοσαῦτα ἐπάθετε κακὰ,
νομίζετε ὅτι ἀφῆκεν ὑμᾶς ὁ θεὸς καὶ μισεῖ; Εἰ μὴ ἐπάθετε,
τότε ἔδει τοῦτο ὑποπτεύειν· εἰ γὰρ πάντα υἱὸν μαστιγοῖ, ὃν

[3] 2 Cor. xii. 9. [4] v. 7.

[w] καὶ om. K.Q. [x] φησὶ om. K.Q. [y] σφ. πνέουσαν] πνέουσαν σφ. K.N.Q. [z] τὸ] + γὰρ K.Q. Mut. Sav. cet. [a] εἴρηται] + καὶ ἐκλέλησθε τῆς παρακλήσεως ex corr. recent. N. Sic Mut. [b] φησὶν om. Q. [c] γὰρ] δὲ K.Q. Sav. cet. Statim οὐ μ. εἰς π. pro εἰς π. οὐ μ. omnes. [d] δυνηθῆναι] λυθῆναι A.R. Veron. invitis Cat. Mut. [e] εἰπέ (εἶπέ A.N.) μοι] ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα, καὶ εἴρηκέ μοι K.Q. Sav. cet. [f] ἐκεῖνος] ὥστε ἐκεῖνος iidem. [g] υἱὸν] ἄνθρωπον R. [h] ἔχεις] + φησὶν K.Q. Sav. cet. [i] κἂν] + γὰρ iidem. [k] ἔστιν ἐλθεῖν] ἐλθεῖν ἔστιν K.Q. [l] ἄλλοθεν K.N.Q. Sav. cet. Mox ἔνι pro ἔστιν K.Q. Sav. cet. [m] ἀπῆλθον A.R. Veron. et olim O. Statim ὅσοι εἰς τὴν ζ. A.O.Q. [n] εἰς] Sic A.K.N.O.Q. Cat. Mut. εἰ Edd. Mox φησὶν om. K.Q. [o] φησὶν] + ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ θεός· τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; K.N.Q. Sav. cet. [p] οὐκ] εἰ παιδεύει, ἄρα εἰς διόρθωσιν, ἀλλ' οὐκ K.Q. Sav. cet. inclusa a Sav. [q] ὅρα] ἄρα O. ὁρᾷς K.N. [r] φ. αὐτοὺς] αὐτούς φ. K.N.O.Q. Mox εἰσὶν pro ἐστὲ K.Q. Sav. cet.

Digitized by Google

παραδέχεται, ὁ μὴ μαστιζόμενος, [s]ἴσως οὐχ υἱός. Τί οὖν, φησί; πονηροὶ [t]οὐ πάσχουσι κακῶς; Πάσχουσι μέν· [v]πῶς οὖν; οὐκ εἶπεν, ὅτι πᾶς ὁ μαστιζόμενος, υἱὸς, ἀλλὰ, [w]πᾶς υἱὸς μαστιγοῦται. [x]Πανταχοῦ γὰρ τὸν υἱὸν μαστιγοῖ· [y]τὸ οὖν ζητούμενον δεῖξαι, εἴ τις υἱὸς οὐ μαστιγοῦται. Ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν· εἰσὶ μὲν γὰρ μαστιζόμενοι πολλοὶ καὶ πονηροὶ, οἷον B ἀνδροφόνοι, λησταὶ, γόητες, τυμβωρύχοι. Ἀλλ' ἐκεῖνοι τῆς [z]οἰκείας πονηρίας διδόασι δίκην, καὶ οὐχ ὡς υἱοὶ μαστιγοῦνται, ἀλλ' ὡς κακοὶ κολάζονται· ὑμεῖς δὲ ὡς [a]υἱοί.

Εἶτα πάλιν [b]ἀπὸ τῆς κοινῆς συνηθείας. Ὁρᾷς πῶς πάντοθεν [c]κινεῖ λογισμοὺς, ἀπὸ πραγμάτων τῶν ἐν τῇ γραφῇ, ἀπὸ ῥημάτων, ἀπὸ ἐννοιῶν οἰκείων, ἀπὸ παραδειγμάτων [d]τῶν ἐν τῷ βίῳ; [5]“Εἰ δὲ χωρίς ἐστε [e]παιδείας.” Ὁρᾷς ὅτι ὅπερ [f]ἔφην εἶπεν, ὅτι οὐκ ἔνι μὴ παιδευόμενον εἶναι υἱόν; Ὥσπερ C γὰρ ἐν ταῖς οἰκίαις τῶν νόθων καταφρονοῦσιν οἱ πατέρες, κἂν μηδὲν μανθάνωσι, κἂν μὴ ἔνδοξοι γίνωνται· τῶν δὲ γνησίων ἕνεκεν υἱῶν δεδοίκασι [g]μὴ ῥᾳθυμήσωσιν. Εἰ τοίνυν τὸ μὴ παιδεύεσθαι νόθων ἐστὶ, δεῖ χαίρειν ἐπὶ τῇ παιδείᾳ, εἴγε γνησιότητος [h]τοῦτό ἐστιν. “Ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ θεός·” διὰ τοῦτο [i]αὐτό. [6]“Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς, καὶ [k]ἐνετρεπόμεθα.” Πάλιν ἀπὸ τῶν οἰκείων D παθημάτων, ἀφ' ὧν αὐτοὶ [l]ἔπασχον. Ὥσπερ γὰρ ἐκεῖ λέγει, “Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας·” οὕτω καὶ ἐνταῦθα, “Ὁ θεὸς, φησὶν, ὡς υἱοῖς ὑμῖν προσφέρεται,” καὶ οὐκ ἂν ἔχοιτε εἰπεῖν, ὅτι οὐ δυνάμεθα φέρειν, καὶ ὡς υἱοῖς ποθεινοῖς. Εἰ [m]γὰρ τοὺς πατέρας αἰδοῦνται τοὺς σαρκικοὺς ἐκεῖνοι, [n]πῶς τὸν πατέρα τὸν ἐπουράνιον οὐκ [o]αἰδεσθήσεσθε; Καίτοι οὐκ ἀπὸ τού-

[5] v. 8. [6] v. 9.

[s] [ἴσως] Sav. ἴσως om. K.N.Q. [t] οὐ om. A. [v] πῶς οὖν; οὐκ] πῶς γὰρ οὔ; ἀλλ' οὐκ K.Q. Sav. cet. Mox ὅτι om. K.N.Q. Sav. cet. [w] πᾶς ὁ υἱὸς Edd. ὁ om. N.Q. eras. in O. [x] Haec πανταχοῦ—μαστιγοῦται accesserunt ex K.N.O.Q. Mut. Eadem habet in marg. R. sed inserenda post εἰπεῖν. [y] τὸ] τί O. [z] οἰκείας] ἰδίας K.N.Q. Sav. cet. [a] υἱοὶ] + ὁρᾷς πῶς (ὡς Q.) πάντοθεν—τῶν ἐν τῷ βίῳ; (mox iisdem omissis) K.Q. Sav. cet. [b] ἀπὸ] καὶ ἀπὸ iidem. [c] ἐκίνει O. [d] τῶν om. A. [e] παιδείας] + ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοὶ (νόθοι καὶ οὐχ υἱοί ἐστε N.Q.) Edd. Haec om. A.R. et a pr. m. O. consentientibus Cat. Mut. [f] ἔφην εἶπεν, ὅτι] ἔφθην εἰπὼν K.Q. Sav. cet. Mox μὴ om. Q. [g] μὴ] + ποτε K.Q. Sav. cet. Statim ῥᾳθυμῶσιν N. Post ῥᾳθυμήσωσιν add. τοῦτο καὶ ἐπὶ τοῦ παρόντος Sav. cet. repugnantibus libris et Interpp. [h] τοῦτο — ὑμῖν (ἡμῖν O.)] τοῦτο. τί ἐστιν, ὡς υἱοῖς ὑμῖν K.Q. [i] αὐτὸ] + φησιν K.Q. Sav. cet. αὐτὸ om. R. [k] ἐνετρεπόμεθα] + οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν; K.N.Q. Sav. cet. invitis Cat. Mut. [l] ἔπασχον] + ἡ προτροπὴ K.Q. Sav. cet. [m] γὰρ] δὲ iidem. [n] πῶς] + ὑμεῖς iidem. [o] αἰδήσεσθε R. Veron.

Digitized by Google

του μόνον ἡ διαφορὰ, [p]οὐκ ἀπὸ προσώπων, ἀλλὰ καὶ ἀπ' αὐτῆς
τῆς αἰτίας καὶ ἀπὸ τοῦ πράγματος· οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς
273 [q]οὗτος κἀκεῖνοι παιδεύουσιν· [r]ἀλλ' ἐκεῖνοι μὲν πρὸς τὸ αὐτοῖς
δοκοῦν, τουτέστιν, ἡδονὴν πληροῦντες πολλάκις, [s]οὐ πανταχοῦ
τὸ συμφέρον ὁρῶντες. Ἐνταῦθα δὲ οὐκ ἔστι τοῦτο εἰπεῖν·
[t]οὐδὲ γὰρ διά τι τῶν αὐτοῦ τοῦτο ποιεῖ, ἀλλὰ δι' ὑμᾶς καὶ τὴν
ὠφέλειαν μόνην τὴν ὑμετέραν· ἐκεῖνοι, ἵνα καὶ αὐτοῖς χρήσιμοι
[v]γένησθε, πολλάκις δὲ καὶ [w]εἰκῇ· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν
ἐστιν. Ὁρᾷς ὅτι καὶ τοῦτο φέρει παράκλησιν; Μάλιστα γὰρ
ἐκείνοις οἰκειούμεθα, ὅταν ἴδωμεν [x]ὅτι οὐ διά τι τῶν αὐτῶν ἢ
ἐπιτάττουσιν, ἢ παραινοῦσιν, ἀλλ' ὁλόκληρος ἡ σπουδὴ διὰ τὸ
B ἡμέτερον [y]γίνεται. Τοῦτο γάρ ἐστιν εἰλικρινὴς ἀγάπη, καὶ ὄν-
τως ἀγάπη, ὅταν μηδὲν ὄντες τῷ φιλοῦντι χρήσιμοι, φιλώμεθα (581)
[z]παρ' αὐτοῦ, [a]οὐχ ἵνα λάβῃ, ἀλλ' ἵνα δῷ· παιδεύει, πάντα ποιεῖ,
πάντα σπουδάζει, ὥστε [b]γενέσθαι ἡμᾶς δεκτικοὺς τῶν ἀγαθῶν
τῶν αὐτοῦ. [7]"Οἱ μὲν γὰρ, φησὶ, πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ
δοκοῦν αὐτοῖς ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μετα-
λαβεῖν τῆς ἁγιότητος αὐτοῦ." Τί ἐστι, "τῆς ἁγιότητος [c]αὐ-
τοῦ;" Τουτέστι, τῆς [d]καθαρότητος, ὥστε ἀξίους [e]αὐτοῦ γενέ-
σθαι κατὰ δύναμιν. Ἐκεῖνος σπουδάζει ἵνα λάβητε, καὶ πάντα
C ποιεῖ ἵνα δῷ ὑμῖν· [f]ὑμεῖς οὐ σπουδάζετε ἵνα λάβητε; [8]"Εἶπον,
φησὶ, τῷ κυρίῳ, κύριός μου εἶ σὺ, ὅτι τῶν ἀγαθῶν [g]μου οὐ
χρείαν ἔχεις." "Εἶτα, φησὶ, τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέ-
ρας εἴχομεν [h]παιδεύοντας, καὶ [i]ἐνετρεπόμεθα· οὐ πολλῷ δὲ
μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων, καὶ ζήσο-
μεν;" "Τῷ πατρὶ τῶν πνευμάτων," ἤτοι τῶν [k]χαρισμάτων, ἤτοι
τῶν εὐχῶν, ἤτοι τῶν ἀσωμάτων δυνάμεων. Ἐὰν οὕτως ἀπο-
θνήσκωμεν, τότε ζησόμεθα. [l]Ἐκεῖνοι μὲν γὰρ πρὸς ὀλίγας

[7] v. 10. [8] Psal. xv. 2.

[p] οὐκ] καὶ K.Q. Sav. cet. [q] οὗτος] οὕτως A.N. οὕτω K.Q. Mox ποιοῦσι pro παιδεύουσιν K.Q. παιδεύουσιν· ἀλλ' ἐκεῖνοι om. N. [r] ἀλλ' ἐκεῖνοι—δοκοῦν] διὸ καὶ ἐπάγει· οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον K.Q. Sav. cet. [s] οὐ] καὶ οὐ iidem. [t] οὐδὲ] Sic A.O.R. Mut. οὐ Edd. Mox ταῦτα pro τοῦτο K.N.Q. [v] γένωνται K.N.O.Q. Post γένησθε, ἐκεῖνοι δὲ a 2da m. superscript. in A. Mox δὲ eras. in eodem. [w] εἰκῇ] ἐκεῖνοι K.Q. [x] ὅτι om. K.Q. [y] γίνηται K.Q. [z] παρ' αὐτοῦ om. K.Q. φιλώμεθα παρ' αὐτοῦ] φαινόμεθα παρ' αὐτοῦ χρήσιμοι N. [a] οὐχ] φιλούμεθα γὰρ, οὐχ K.Q. Sav. cet. φαινόμεθα, οὐχ N. [b] γεν. ἡμᾶς] ἡμᾶς γεν. K.N.Q. [c] αὐτοῦ om. A.R. Veron. [d] καθαρότητος] σκληρότητος A. τουτέστι, τῆς κ. om. K.Q. [e] αὐτοὺς A.O. Veron. αὐτῷ K.Q. αὐτοῦ om. Cat. Post γενέσθαι add. φησὶ K.Q. [f] ὑμεῖς] + δὲ K.N.Q. Sav. cet. [g] μου] σου A. Mox φησὶ om. K.Q. [h] παιδευτὰς O. Cat. παιδεύοντας om. K.N.Q. [i] ἐνετρεπόμεθα] + φησὶν K.Q. Mox δὲ om. K.N.Q. Cat. [k] χαρισμάτων] + λέγει K.O.Q. Sav. cet. [l] ἐκεῖνοι μὲν] καὶ καλῶς εἶπεν, οἱ μὲν K.Q. Sav. cet.

Digitized by Google

ἡμέρας ἐπαίδευον κατὰ τὸ δοκοῦν αὐτοῖς· οὐ γὰρ πανταχοῦ τὸ δοκοῦν συμφέρον· οὗτος δὲ [m]πρὸς τὸ συμφέρον.

[n]Ἄρα ἡ παιδεία [o]συμφέρον, ἄρα ἡ παιδεία μετάληψις D
ἁγιότητός ἐστι. Καὶ σφόδρα [p]γε· ὅταν γὰρ ῥαθυμίαν ἐκβάλλῃ, ὅταν ἐπιθυμίαν πονηρὰν, ὅταν ἔρωτα τῶν βιωτικῶν πραγμάτων, ὅταν συστρέφῃ τὴν ψυχὴν, ὅταν ποιῇ καταγνῶναι τῶν ἐνταῦθα πάντων, [q]τοῦτο γὰρ ἡ θλῖψις, οὐχὶ ἁγία γίνεται; οὐχὶ τοῦ πνεύματος ἐπισπᾶται τὴν χάριν; [r]Ἐννοήσωμεν τοὺς δικαίους, [s]πόθεν πάντες ἔλαμψαν· [t]οὐχὶ ἀπὸ θλίψεως; καὶ 274
ἀριθμήσωμεν, [v]εἰ βούλει, ἄνωθεν καὶ ἐξ ἀρχῆς· ὁ Ἄβελ, [w]αὐτὸς ὁ Νῶε· οὐ γὰρ ἔστι τὸν μόνον ὄντα ἐν [x]τῷ τοσούτῳ πλήθει τῶν κακῶν μὴ θλίβεσθαι. 9 "Νῶε γὰρ, φησὶ, [y]μόνος τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ θεῷ εὐηρέστησεν." Ἐννόησον γάρ μοι, εἰ νῦν μυρίους ἔχοντες ὧν ζηλώσομεν τὴν ἀρετὴν, [z]πατέρας καὶ παῖδας καὶ διδασκάλους, οὕτω θλιβόμεθα, τί παθεῖν ἐκεῖνον εἰκὸς ἦν μόνον μεταξὺ τοσούτων; [a]Ἀλλὰ τὰ κατὰ τὸν ὑετὸν εἴπω τὸν ξένον ἐκεῖνον καὶ παράδοξον; ἀλλὰ τὸν Ἀβραὰμ [b]εἴπω, τὰς ἀποδημίας τὰς ἐπαλλήλους, τὴν τῆς γυναικὸς ἁρπα- B
γὴν, τοὺς κινδύνους, τοὺς πολέμους, τοὺς [c]λιμούς; Ἀλλὰ τὸν Ἰσαὰκ, ὅσα πέπονθε δεινὰ, ἐλαυνόμενος πάντοθεν, καὶ πονῶν εἰκῇ, καὶ ἑτέροις μοχθῶν; [d]Ἀλλὰ τὸν Ἰακώβ; [e]πάντα μὲν γὰρ [f]αὐτοῦ καταλέγειν οὐκ ἀναγκαῖον, τὴν δὲ μαρτυρίαν παρενεγκεῖν εὔλογον, [g]ἣν αὐτὸς διαλεγόμενος τῷ [h]Φαραώ· 10 "Μικραὶ καὶ πονηραί [i]εἰσιν αἱ ἡμέραι μου, καὶ οὐκ ἀφίκοντο εἰς τὰς

9 Gen. vi. 9. 10 Ibid. xlvii. 9.

[m] πρὸς] + μόνον Q. οὗτος δὲ πρὸς τὸ σ. om. K. [n] ΗΘΙΚΟΝ. Ὅτι ἡ παιδεία, καὶ ἡ ἐνταῦθα θλῖψις καὶ στενοχωρία προξενεῖ τὴν ἐλπιζομένην μακαριότητα· ἡ δὲ ἀπόλαυσις καὶ τρυφὴ καὶ ἄνεσις τὴν αἰωνίαν κόλασιν. Veron. ἄρα] ἆρα interrogando R. Veron. [o] συμφέρον, ἄρα ἡ π. om. A.O.R. Mut. Veron. [p] γε om. N.O.R. Veron. [q] τοιοῦτο K.O.Q. Sav. cet. [r] ἐννοῶμεν Q. Post h. v. add. τοιγαροῦν ἀεὶ K.Q. Sav. cet. [s] πόθεν] καὶ ἴδωμεν πόθεν iidem. Post ἔλαμψαν add. οὗτοι K.Q. [t] οὐχὶ] καὶ πρὸ πάντων ὁ Ἄβελ, ὁ Νῶε· ἆρα γὰρ οὐχὶ K.Q. Sav. cet. Mox haec καὶ ἀριθμήσωμεν—ὁ Νῶε om. iidem. [v] εἰ] οὐ A. Mox καὶ om. N. [w] αὐτὸς om. N. [x] τῷ om. K.N.Q. [y] [μόνος] Sav. μόνος om. N. Post εὐηρέστησε add. Νῶε A.R. [z] πατέρας καὶ παῖδας] Sic O. καὶ παῖδας A.N.R. Veron. καὶ πατέρας K.Q. Sav. cet. [a] ἀλλὰ τὰ om. K.Q. Mox εἴπωμεν N. [b] [εἴπω] Sav. εἴπω om. K.Q. Statim pergunt καὶ ἃ τοῦτον συνέβη παθεῖν, οἷον, τὰς ἀποδ. K.Q. Sav. cet. [c] λιμοὺς] σεισμοὺς N. πειρασμοὺς K.Q. Sav. cet. Mox Ἰακὼβ pro Ἰσαὰκ iidem. Statim καὶ ὅσα Q. [d] ἀλλὰ (ἀλλὰ om. Veron.) τὸν Ἰακὼβ om. K.Q. Sav. cet. [e] πάντας iidem. Statim μὲν om. a pr. m. O. [f] αὐτοῦ κατ.] κατ. αὐτοῦ τοὺς πειρασμοὺς K.Q. αὐτοῦ τοὺς π. κατ. Sav. cet. [g] ἣν] + καὶ K. Sav. cet. Post διαλεγόμενος add. ἦν Veron. [h] Φαραὼ] + φησὶ O. + ἔλεγε K.Q. Sav. cet. [i] εἰσιν om. K.Q. Sav. cet. μικραὶ—μου] αἱ ἡμέραι, φησὶ, μ. καὶ π. εἰσι Veron.

Digitized by Google

ἡμέρας τῶν πατέρων μου." [k]Ἀλλ' αὐτὸν τὸν Ἰωσὴφ εἴπω;
C ἀλλὰ τὸν Μωϋσέα; ἀλλὰ τὸν Ἰησοῦν; ἀλλὰ τὸν Δαυῒδ;
[l]ἀλλὰ τὸν Ἡλίαν; ἀλλὰ τὸν Σαμουήλ; ἀλλὰ τοὺς προφήτας
[m]ἅπαντας βούλει; [n]οὐ πάντας τούτους ἀπὸ τῶν θλίψεων λαμ-
προὺς εὑρήσεις γενομένους; Εἰπὲ οὖν μοι, σὺ ἀπὸ ἀνέσεως καὶ
τρυφῆς λαμπρὸς βούλει γενέσθαι; Ἀλλ' οὐκ ἂν δύναιο. Ἀλλὰ
τοὺς ἀποστόλους εἴπω; Ἀλλὰ καὶ οὗτοι πάντας [o]ὑπερηκόν-
τισαν· καὶ ὁ Χριστὸς τοῦτό [p]φησιν· 11 "Ἐν τῷ κόσμῳ θλῖψιν
ἕξετε·" καὶ πάλιν, "Κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος
[q]χαρήσεται·" καὶ ὅτι "Στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπά-
D γουσα εἰς τὴν ζωήν." Ὁ τῆς ὁδοῦ κύριος εἶπεν, [r]ὅτι στενὴ καὶ
τεθλιμμένη· [s]σὺ δὲ τὴν πλατεῖαν ζητεῖς; καὶ πῶς οὐκ ἄτοπον;
Διὰ τοῦτο οὐκ ἐπιτεύξῃ τῆς ζωῆς, ἑτέραν βαδίζων, ἀλλὰ τῆς
ἀπωλείας· τὴν γὰρ ἐκεῖ φέρουσαν [t]εἵλου. [v]Εἴπω βούλει καὶ
παραγάγω εἰς μέσον τοὺς ἐν τρυφῇ; Ἀπὸ [w]τῶν ἐσχάτων ἐπὶ
τοὺς πρώτους ἀνέλθωμεν. Ὁ πλούσιος [x]ὁ καιόμενος ἐν τῇ κα-
μίνῳ, οἱ τῇ γαστρὶ ζῶντες [y]Ἰουδαῖοι, ὧν ὁ θεὸς ἡ κοιλία, οἱ ἐν
τῇ ἐρήμῳ [z]ἄνεσιν ἐπιζητοῦντες ἀεὶ ἀπώλοντο, ὥσπερ καὶ [a]οἱ
ἐν Σοδόμοις, διὰ [b]γαστριμαργίαν. Καὶ οἱ ἐπὶ τοῦ Νῶε, οὐκ
ἐπειδὴ τὸν ὑγρὸν τοῦτον καὶ διαλελυμένον εἵλοντο βίον; 12 "Ἐν
275 πλησμονῇ γάρ, φησίν, ἄρτων ἐσπατάλων·" [c]περὶ τῶν ἐν Σο-
δόμοις [d]φησίν. Εἰ δὲ ἄρτων πλησμονὴ τοσοῦτον κακὸν εἰρ-
γάσατο, τί ἂν [e]εἴποιμεν περὶ τῶν ἄλλων καρυκευμάτων; Ὁ
Ἡσαῦ οὐχὶ ἐν ἀνέσει ἦν; τί δὲ οἱ ἰδόντες τὰς γυναῖκας [f]τῶν (582)
υἱῶν τοῦ θεοῦ, καὶ κατὰ κρημνῶν [g]ἐνεχθέντες; τί δὲ οἱ τοῖς

11 Joan. xvi. 33, 20. Matth. vii. 14. 12 Ezech. xvi. 49.

[k] ἀλλ' αὐτὸν τὸν] ἀλλὰ τὸν αὐτὸν (sic) O. ἀλλὰ τὸν K. Q. Sav. cet. Mox Μωσέα K.N.R. Veron. [l] ἀλλὰ τὸν Ἡλ. ἀλλὰ τὸν Σ.] ἀλλὰ τὸν Σ. ἀλλὰ τὸν Ἡλ. N. ἀλλὰ τὸν Σ. ἀλλὰ τὸν Δανιήλ; ἀλλὰ τὸν Ἡλ. K.Q. ἀλλὰ τὸν Σ. ἀλλὰ τὸν Ἡλ. ἀλλὰ τὸν Δανιὴλ Sav. cet. [m] πάντας A.K. Sav. cet. Statim βούλει om. K.Q. Sav. cet. [n] οὐ πάντας τ. (πάντας τ. in rasura O.)] ἀλλὰ τούτους ἅπαντας (πάντας Q.) K.Q. Sav. cet. Mox γινομένους A. [o] ὑπερηκόντισαν] + τοῖς λυπηροῖς. τί ταῦτα λέγω; K.Q. Sav. cet. Proximum καὶ om. K.Q. [p] φησιν] προεῖπεν K.Q. [q] χαρίσεται O. [r] ὅτι στ. καὶ τεθλ. om. A.R. Veron. Ab ἡ ὁδὸς ad τεθλιμμένη in rasura a 2da m. O. [s] σὺ δὲ] καὶ σὺ K.Q. [t] εἷλω O. [v] εἴπω βούλει] εἴπω εἰ β. A. βούλει εἴπω K.N.Q. Sav. cet. Mox παράγω A.R. Veron. [w] τοῦ ἐσχάτου A.R. Veron. Mox ἐπανέλθωμεν K.N.Q. et ex corr. O. [x] ὁ om. K.Q. [y] οἱ Ἰουδ. A. [z] ἄνεσιν ἐπ. ἀεὶ pro ἐπ. ἀεὶ ἄνεσιν omnes. Statim διὰ τί ἀπώλοντο Edd. διὰ τί om. K.N.O.Q.R. Mut. [a] οἱ ἐν (+ τοῖς O.) Σοδόμοις—εἵλοντο (εἷλον τὸν A.) βίον] οἱ ἐπὶ τοῦ Νῶε, οὐκ (οὐκ om. K.Q.) ἐπειδὴ τὸν ὑ. τ. καὶ δ. εἵλοντο βίον; καὶ οἱ ἐν Σ. διὰ γαστριμαργίαν K.Q. Sav. cet. [b] γαστριμαργίας A.R. Veron. [c] περὶ] τοῦτο περὶ K.Q. Sav. cet. [d] φησὶν] εἴρηται K.N.Q. Sav. cet. Vocabulum eras. in O. [e] εἴπωμεν A.O.R. Veron. [f] τῶν] οἱ τῶν R. Veron. [g] ἀχθέντες K.N.Q. Sav. cet.

Digitized by Google

ἄρρεσιν ἐπιμαινόμενοι; πάντες δὲ οἱ βασιλεῖς τῶν ἐθνῶν, Βα-
βυλωνίων, Αἰγυπτίων, οὐχὶ κακῶς [h]κατέστρεψαν; οὐχὶ ἐν κο-
λάσει εἰσί; Τὰ δὲ νῦν, εἰπέ μοι, οὐ τοιαῦτα; Ἄκουε τοῦ Χρι-
στοῦ λέγοντος· [13]" Οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις
τῶν βασιλέων εἰσίν·" [i]οἱ δὲ μὴ τὰ τοιαῦτα, ἐν τοῖς οὐρανοῖς. B
Τὸ γὰρ μαλακὸν ἱμάτιον καὶ τὴν αὐστηρὰν ἐκλύει ψυχὴν, [k]δια-
κλᾷ καὶ διαχεῖ· κἂν τραχὺ λάβῃ σῶμα καὶ σκληρὸν, ταχέως
διὰ τῆς [l]τοιαύτης τρυφεραγωγίας μαλακὸν ποιεῖ καὶ ἀσθενές.
Πόθεν γὰρ οἴεσθε ἑτέρωθεν τὰς γυναῖκας οὕτως εἶναι ἀσθενεῖς,
εἰπέ μοι; ἆρα ἀπὸ τῆς φύσεως μόνης; Οὐδαμῶς, ἀλλὰ καὶ ἀπὸ
τῆς [m]ἀγωγῆς καὶ [n]τῆς ἀνατροφῆς· ἡ γὰρ σκιατροφία, ἡ ἀργία,
τὰ λουτρὰ, τὰ μύρα, τῶν ἀρωμάτων τὸ πλῆθος, τῆς στρωμνῆς
ἡ ἁπαλότης, τοιαύτας αὐτὰς ἀπεργάζεται. Καὶ ἵνα μάθῃς,
πρόσεχε [o]ᾧ λέγω. [p]Ἀπὸ κήπου, εἰπέ μοι, τῶν ἐν τῇ ἐρήμῳ
ἑστώτων, καὶ [q]δερομένων ὑπὸ τῶν ἀνέμων λαβὼν φυτὸν, εἰς C
ὑγρὸν καὶ σύσκιον κατάθου τόπον· καὶ [r]πολὺ ἀνάξιον εὑρήσεις
ἐκείνου, ἀφ' οὗ παρὰ τὴν ἀρχὴν αὐτὸ ἔλαβες. Ὅτι δὲ τοῦτό
ἐστιν ἀληθὲς, αἱ ἐπὶ τῶν ἀγρῶν τρεφόμεναι γυναῖκες, τῶν ἀστι-
κῶν ἀνδρῶν εἰσιν ἰσχυρότεραι, καὶ [s]πολλοὺς ἂν τοιούτους κατα-
παλαίσαιεν ἐκεῖναι. Τοῦ [t]γὰρ σώματος γενομένου μαλακω-
τέρου, ἀνάγκη καὶ τὴν ψυχὴν συναπολαύειν τῆς [v]λύμης· τὰ γὰρ
πολλὰ καὶ συνδιατίθενται αὐτῆς αἱ ἐνέργειαι τῇ τούτου δια-
θέσει. Καὶ γὰρ ἐν νόσοις ἕτεροί ἐσμεν διὰ τὸ μαλακίζεσθαι,
καὶ ὑγιαίνοντες [w]πάλιν ἕτεροι. Καθάπερ [x]γὰρ ἐπὶ νευρᾶς, D
ὅταν ὦσιν οἱ φθόγγοι ἁπαλοὶ καὶ [y]μαλακοὶ, καὶ μὴ διατετα-
μένοι καλῶς, καὶ ἡ τῆς τέχνης ἀρετὴ [z]ὑποτέμνεται, ἀναγκαζο-
μένη δουλεύειν τῇ [a]κακίᾳ τῶν νευρῶν· οὕτω καὶ ἐπὶ τοῦ σώμα-
τος, πολλὰς ἀπ' αὐτοῦ [b]δέχεται βλάβας ἡ ψυχὴ, πολλὰς
ἀνάγκας. Ὅταν γὰρ πολλῆς [c]δέηται θεραπείας, πικρὰν ὑπο-
μένει τὴν δουλείαν [d]ἐκείνη.

13 Matth. xi. 8.

[h] κατέστρεψαν] κατέστειλαν A.N.O.R. Veron. τὴν ζωὴν κατέστρεψαν K.Q. Sav. cet. [i] οἱ δὲ—οὐρανοῖς om. K.Q. inclusum a Sav. [k] καὶ διακλᾷ Edd. καὶ om. K.N.O.Q.R. Mut. [l] τοιαύτης om. N. inclusum a Sav. ταχέως διὰ τ. τ. τρ. om. Veron. [m] ἀγωγῆς] ἄγαν τρυφῆς O. [n] τῆς om. Q. Mox σκιοτροφία R. Veron. [o] ᾧ] ὃ A.K.O.Q. [p] ἀπὸ κ. εἰπέ μοι om. K.N.Q. delet. in O. Etiam Sav. inclusit. Post ἑστώτων add. δένδρων K.Q. Sav. cet. [q] διωρομένων A.R. Veron. Statim τῶν om. A. [r] πολὺ om. A.R. Veron. et in text. O. [s] πολλὰς ἂν τοιαύτας ex corr. R. [t] γὰρ] δὲ K.N.Q. Sav. cet. Mox γινομένου K.N.Q. [v] λύπης R. Mox συνδιατίθεται olim O. [w] πάλιν om. K. [x] γὰρ] + ἐστιν O. [y] μαλθακοὶ O. Flor. p. 188. (Tom. xii. p. 513 B.) [z] διατέμνεται olim O. [a] κακίᾳ] μαλακείᾳ K. μαλακίᾳ N.Q. et ex corr. O. receptum a Sav. cet. invito Flor. *vitio* Mut. [b] δέχ. βλάβας] βλάβας δέχ. K.N.Q. Statim καὶ ἡ ψ. N. Sav. cet. [c] δεῖται K.N.Q. [d] ἐκείνην A.

Διὸ, παρακαλῶ, ἰσχυρὸν αὐτὸ [e] ἐργασώμεθα, καὶ μὴ νοση-
276 λεύωμεν. Οὐ πρὸς ἄνδρας μόνον, ἀλλὰ καὶ πρὸς γυναῖκας ὁ
λόγος [f] ἐμοί. Τί γὰρ συνεχῶς [g] ἐκπλύνεις αὐτὸ τῇ τρυφῇ, καὶ
ἐξίτηλον ποιεῖς, ὦ γύναι; τί τὴν ἰσχὺν [h] λυμαίνῃ στεάτοις; [i] τὸ
στέαρ χαυνότης ἐστὶ τοῦτο, οὐκ ἰσχύς. Ἐὰν δὲ τούτων ἀπο-
στᾶσα, ἑτέρως [k] ἄγῃς σεαυτὴν, τότε καὶ τὸ κάλλος τὸ σωματι-
κὸν [l] προχωρεῖ κατὰ γνώμην, [m] ὅταν ἰσχὺς καὶ εὐεξία παρῇ· ἂν
μέντοι μυρίαις αὐτὸ πολιορκῇς νόσοις, οὔτε ἄνθος χρώματος,
οὔτε εὐεξία τις ἔσται· [n] ἀεὶ γὰρ ἐν κατηφείᾳ ἔσῃ. Ἴστε [o] δὲ
B ὅτι ὥσπερ οἶκον καλὸν, ἐπειδὰν [p] γελάσῃ ὁ ἀὴρ, λαμπρὸν δεί-
κνυσιν, οὕτω καὶ ὄψιν ὡραίαν φαιδρότης [q] ἐπιγενομένη ψυχῆς,
κρείττονα ποιεῖ· ἐὰν δὲ ἐν κατηφείᾳ ᾖ καὶ ὀδύναις, δυσειδεστέρα
γίνεται. Τὴν δὲ κατήφειαν αἱ νόσοι ποιοῦσι [r] καὶ αἱ ὀδύναι, τὰς
δὲ νόσους τὸ μαλακώτερον γενέσθαι τὸ σῶμα ἀπὸ τῆς πολλῆς
τρυφῆς. Ὥστε καὶ κατὰ τοῦτο [s] φεύξεσθε τὴν τρυφὴν, ἐὰν
ἐμοὶ πείθησθε. Ἀλλ' ἡδονὴν, [t] φησὶν, ἔχει τὸ τρυφᾶν. Ἀλλ'
οὐ τοσαύτην, ὅσας δυσκολίας. [v] Ἄλλως δὲ, ἡ ἡδονὴ μέχρι τοῦ
φάρυγγος, μέχρι τῆς γλώττης ἐστί· τῆς [w] δὲ τραπέζης ἀρθεί-
C σης, ἢ τοῦ σιτίου καταποθέντος, ὅμοιος [x] ἔσῃ τῷ μὴ μετεσχη-
κότι, μᾶλλον δὲ πολλῷ χείρων, βάρη φέρων ἐκεῖθεν καὶ διά-
τασιν καὶ καρηβαρίαν καὶ ὕπνον ἐοικότα θανάτῳ, πολλάκις δὲ
καὶ ἀγρυπνίαν ἀπὸ πλησμονῆς, [y] καὶ πνεύματος ἐμφράξεως, καὶ
[z] ἐρυγῆς· καὶ μυρία [a] ἂν κατηράσω τῇ γαστρὶ, δέον τῇ ἀμετρίᾳ
[b] καταράσασθαι. Μὴ λιπαίνωμεν τοίνυν τὸ σῶμα, [c] ἀλλ' ἀκού-
ωμεν τοῦ Παύλου λέγοντος· [14] "Τῆς σαρκὸς πρόνοιαν μὴ ποι-
εῖσθε εἰς [d] ἐπιθυμίας." Ὥσπερ [e] ἂν εἴ τις εἰς [f] ἀμάραν λαβὼν
D [g] τὰ σιτία ἐμβάλῃ, οὕτω καὶ ὁ εἰς τὴν γαστέρα [h] ἐμβάλλων·

14 Rom. xiii. 14.

[e] ἐργασώμεθα K.N.O.Q. ἐργαζώμεθα Edd. καὶ μὴ νοσηλ. om. N. Statim καὶ οὐ πρὸς N. et ex corr. O. [f] ἐμοὶ] ἡμῖν N. [g] ἐκπλύνεις] Sic K.N.O.Q.R. *lavas* Mut. ἐκλύεις Edd. [h] λυμαίνῃ] λυμαινομένη N.R. et olim O. λυμαίνῃς ex corr. O. Statim στέασι K.Q. Sav. cet. λυμαίνῃ στεάτοις] λυμαίνεις τὴν ἑαυτῆς A. [i] τὸ] αὐτὸ τὸ O. Mox τοῦτο K.N.O.Q.R. τούτῳ Edd. [k] ἄγῃς σαυτὴν A.R. Veron. ἄγεις σεαυτὴν (olim ἄγῃς αὐτὴν) O. [l] προσχωρεῖ Veron. προχωρήσει O. [m] ὅταν . . παρῇ] τότε . . πάρεστιν K.Q. [n] ἀεὶ γὰρ] ἀλλ' ἀεὶ K.Q. Statim ἐν τῇ κ. K. [o] δὲ] γὰρ K.Q. Statim ὥσπερ εἰς οἶκον O. [p] γελάσῃ] πελάσῃ N. ἐπιλάμψῃ O. [q] ἐπιγενομένη om. K.N.Q. inclusum a Sav. [r] καὶ αἱ ὀδύναι in marg. O. [s] φεύξεσθαι R. φεύξασθε O. φεύγετε Veron. [t] φ. ἔχει] ἔχει, φ. K.N.Q. ἔχει, φ. πολλὴν O. [v] ἄλλως δὲ] ἀλλ' ὧδε N. Mox τοῦ om. O. [w] δὲ] γὰρ K.N.O.Q. Sav. cet. [x] ἔσῃ] ἐστι K.Q. [y] καὶ] ἐσχηκὼς ᾖ K.Q. [z] ἐρυγὴν O. [a] ἂν om. K.Q. [b] καταρᾶσθαι K.N.O.Q. [c] ἀλλὰ ἀκούσωμεν K.N. ἀλλ' ἄκουε A. [d] ἐπιθυμίαν K.N.Q. [e] ἂν] γὰρ K.N.Q. et ex corr. O. [f] ἀμάραν] ὑδροροὸν ἀμάραν A. ὑδροροῶν ("Volebat ὑδροροόαν." *Heyse*.) in marg. R. [g] τὰ om. N. Statim ἐμβάλῃ A.N.O. ἐμβαλεῖ R. ἐμβάλλῃ Edd. εἴ τις—ἐμβάλῃ] ὁ εἰς ἀμάραν τὰ σ. ἐμβάλλων K.Q. [h] ἐμβάλλων om. K.Q. inclusum a Sav.

Digitized by Google

μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ πολλῷ [i]χεῖρον. Ἐνταῦθα μὲν γὰρ
ἀμάραν ἐργάζεται χωρὶς τῶν οἰκείων κακῶν, ἐκεῖ δὲ καὶ μυρία
τίκτει τὰ νοσήματα. Τὸ γὰρ [k]τρέφον ἡ αὐτάρκειά ἐστιν, ὃ
καὶ κατεργασθῆναι δύναται· τὸ δὲ περιττὸν τῆς χρείας οὐ μόνον
οὐ τρέφει, ἀλλὰ καὶ [l]ἐκεῖνο λυμαίνεται. Ἀλλ' οὐδεὶς ταῦτα
ὁρᾷ [m]ὑπό τινος προλήψεως, ὑπὸ ἀκαίρου ἡδονῆς. Βούλει τρέ-
φειν τὸ σῶμα; [n]περίαιρε τὸ πλέον, τὸ αὔταρκες δίδου, καὶ
ὅσον κατεργάσασθαι δυνατόν· μὴ βάρυνε αὐτὸ, ἵνα μὴ κατα- 277
ποντίσῃς. Τὸ αὔταρκες καὶ τροφή ἐστι καὶ ἡδονή· οὐδὲν γὰρ
(583) οὕτω ποιεῖ ἡδονὴν ὡς [o]σιτίον καλῶς κατεργασθέν· οὐδὲν οὕτως
ὑγείαν, οὐδὲν οὕτως ὀξύτητα αἰσθήσεων, οὐδὲν [p]οὕτως ἐστὶ νόσου
ἀπελαστικόν. [q]Τὸ μὲν γὰρ αὔταρκες καὶ τροφὴ καὶ ἡδονὴ καὶ
[r]ὑγεία, τὸ δὲ πλέον καὶ λύμη καὶ ἀηδία καὶ νόσος. Ἃ γὰρ
ποιεῖ ὁ [s]λιμὸς, ταῦτα ποιεῖ καὶ [t]ἡ πλησμονὴ, μᾶλλον δὲ χαλε-
πώτερα· ἐκεῖνος μὲν γὰρ ἐν ὀλίγαις ἡμέραις ἀπήγαγε καὶ ἀπήλ-
λαξε τὸν ἄνθρωπον, αὕτη δὲ διατρώγουσα καὶ σήπουσα τὸ
σῶμα, μακρᾷ παραδίδωσι νόσῳ, καὶ τότε θανάτῳ χαλεπωτάτῳ. B
Ἡμεῖς δὲ τὸν μὲν λιμὸν ἀπευκτὸν πρᾶγμα νομίζομεν, ἐπὶ δὲ
τὴν τούτου χαλεπωτέραν πλησμονὴν τρέχομεν. [v]Πόθεν αὕτη
ἡ νόσος, πόθεν αὕτη ἡ μανία; Οὐ λέγω κατατρύχειν ἑαυτοὺς,
ἀλλὰ τοσοῦτον σιτεῖσθαι, ὃ καὶ ἡδονὴν ἔχει τὴν ὄντως ἡδονὴν,
καὶ θρέψαι δύναται τὸ σῶμα, καὶ εὔτακτον [w]ἡμῖν καὶ εὐάρμο-
στον πρὸς τὰς ἐνεργείας παρασχεῖν τῆς ψυχῆς, [x]πεπηγὸς καλῶς
καὶ συνηρμοσμένον. [y]Ὅταν δὲ ὑπέραντλον γένηται τῇ [z]τρυφῇ,
τοὺς γόμφους αὐτοὺς, ὡς ἂν τις εἴποι, καὶ τὰς ἁρμονίας [a]τῇ
πλημμύρᾳ κατέχειν οὐ δύναται συμπεπηγυίας· ἐπεισελθοῦσα C
γὰρ ἡ πλήμμυρα τὸ πᾶν διαλύει καὶ διαχεῖ. "Τῆς σαρκὸς,
φησὶ, πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας." [b]Καλῶς εἶπεν· ὕλη
γάρ ἐστιν ἡ [c]τρυφὴ ταῖς ἀτόποις ἐπιθυμίαις· κἂν πάντων ᾖ
φιλοσοφώτερος ὁ τρυφῶν, ἀνάγκη τι παθεῖν αὐτὸν ἀπὸ τοῦ

[i] χείρων A.O.R. Veron. [k] τρέφον] + μόνον N. et marg. O. [l] ἐκείνῳ O. [m] ὑπὸ—ἡδονῆς] ὑπό τινος ἡδονῆς ἀκαίρου καὶ προλήψεως N.O. (sed in O. ἡδονῆς et καὶ προλήψεως in ras. a 2da m.) ὑπὸ τῆς ἀκαίρου ἡδονῆς καὶ τῆς ἐν συνήθει προλήψεως ἀπατώμενος K.Q. Sav. cet. [n] περίελε K.N.O.Q. Sav. cet. Statim τὸ πλεῖον N.Q. [o] σίτον A. σῖτον R. Veron. Mox ὑγίειαν K. [p] οὕτως ἐστὶ] ἐστιν οὕτω K.N.O.Q. [q] τὸ μὲν γὰρ αὔτ.] ἆρα τὸ αὔτ. μὲν K.Q. Sav. cet. Post τροφὴ add. ἐστι N. et ex corr. O. receptum a Sav. cet. invito Flor. [r] ὑγίεια O. Mox πλεῖον idem. [s] λοιμὸς N. et ex corr. O. λογισμὸς (marg. λιμὸς) Q. [t] ἡ om. A.R. [v] πόθεν οὖν αὕτη ἡ ν. in marg. O. [w] ὑμῖν K.N.Q. Sav. cet. invito Flor. [x] πεπηγὼς N. [y] ὅταν] ἐπὰν in ras. Q. [z] τρυφῇ] Sic K.N.O.Q. Flor. *deliciis* Mut. τροφῇ Edd. [a] τῇ πλ. κατέχειν (κατασχεῖν N.) οὐ δ. συμπ.] διαλύσασα τὰς συμπ. τὴν πλήμμυραν οὐ δ. κατασχεῖν K.Q. Sav. cet. invitis Flor. Mut. Haec κατέχειν—ἡ πλήμμυρα om. A. [b] καλῶς] καὶ καλῶς K. Sav. cet. Post εἶπεν add. εἰς ἐπιθυμίας K.Q. Sav. cet. [c] τροφὴ A.R. Veron. Mut.

οἴνου, ἀπὸ τῶν σιτίων, ἀνάγκη [d]διαχεθῆναι, ἀνάγκη τὴν φλόγα μείζονα ἐνεγκεῖν. Ἐντεῦθεν πορνεῖαι, ἐντεῦθεν μοιχεῖαι· οὐ γὰρ δύναται πεινῶσα γαστὴρ ἔρωτα τεκεῖν, μᾶλλον δὲ [e]οὐδὲ αὐταρ-
D κείᾳ κεχρημένη· ἡ δὲ τίκτουσα τὰς ἀτόπους ἐπιθυμίας, ἐκείνη ἐστὶν ἡ [f]πλαδῶσα τῇ τρυφῇ. Καὶ καθάπερ ἡ σφόδρα δίυγρος γῆ [g]τίκτει τοὺς σκώληκας, καὶ ἡ κόπρος [h]ἡ διαβρεχομένη καὶ πολλὴν ἔχουσα τὴν νοτίδα, ἡ δὲ ἀπηλλαγμένη τῆς ὑγρασίας ἐκείνης καρποὺς φέρει πολλούς, ὅταν μὴ ἀμετρίαν ἔχῃ· κἂν [i]μὲν μὴ γεωργῆται, χλόην ἐκδίδωσιν, [k]ἂν δὲ γεωργῆται, [l]καρπούς.
278 Μὴ τοίνυν ἄχρηστον [m]κατασκευάσωμεν τὴν σάρκα, μηδὲ ἀνόνητον, μηδὲ ἐπιβλαβῆ, ἀλλὰ φυτεύσωμεν ἐν αὐτῇ χρησίμους καρποὺς καὶ φυτὰ καρποφόρα, [n]μὴ αὐτὰ ἐκλύσωμεν τῇ τρυφῇ· καὶ γὰρ καὶ ἐκεῖνα σκώληκας ἀντὶ καρπῶν ἐκβάλλει διασαπέντα. Οὕτω καὶ ἡ ἔμφυτος ἐπιθυμία, ἐὰν [o]αὐτὴν διαβρέξῃς, ἀτόπους τίκτει ἡδονάς, καὶ σφόδρα ἀτοπωτάτας. Τὴν [p]οὖν λύμην ταύτην ἐξέλωμεν, ἵνα δυνηθῶμεν [q]τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Λ.

B [1][a]Πᾶσα παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ [b]καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης. Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε· καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

ΟΙ τὰ φάρμακα [c]πίνοντες τὰ πικρά, ἀνέχονταί τινος πρό-
C τερον ἀηδίας, καὶ τότε τῆς ὠφελείας αἰσθάνονται. Τοιοῦτον γὰρ ἡ ἀρετή, τοιοῦτον ἡ κακία· [d]ἐκεῖ πρώτη ἡ ἡδονή, εἶτα ἡ

[1] Cap. XII. v. 11—13.

[d] διαχυθῆναι Sav. cet. repugnantibus libris. [e] οὐδὲ om. K.N.Q. [f] πλαδῶσα] Sic N. καὶ πλεονάζουσα πλαδῶσα (sic) O. σπαταλῶσα Edd. [g] τίκτουσα A. [h] ἡ om. a pr. m. O. [i] μὲν] + γὰρ Edd. γὰρ om. A.K.N.O.Q. [k] ἐὰν K.N.Q. [l] καρπούς] + οὕτω (οὕτως Veron.) καὶ ἡμεῖς Edd. καὶ ἡμεῖς om. A. οὕτω καὶ ἡμεῖς om. K.N.O.Q.R. Mut. Statim εἰ μὴ τοίνυν A. Veron. [m] κατασκ. τὴν σ. pro τὴν σ. κατασκ. omnes. Post ἀνόνητον add. καὶ ἡμεῖς A. [n] μὴ αὐτὰ ἐκλύσωμεν] καὶ ἐπιμέλειαν ποιώμεθα, ὥστε μὴ αὐτὰ ἐκλῦσαι K.Q. Sav. cet. [o] αὐτὴν] + ὑπὲρ μέτρον iidem. [p] οὖν] μὲν οὖν O. Post ἐξέλωμεν add. παντὶ τρόπῳ K.Q. Sav. cet. [q] ἐπιτυχεῖν A.O. Sav. cet. Post ἐπηγγελμένων add. ἡμῖν N. et marg. O. ἵνα καὶ τῶν ἐπ. δυνηθῶμεν τυχεῖν ἀγαθῶν K.Q. Hom. XXX. [a] πᾶσα] + δὲ N.O. Sav. cet. [b] καρποὺς εἰρηνικοὺς ex corr. O. [c] καταπίνοντες ex corr. O. Mox πρότερον om. K.Q. [d] ἐκεῖ] ἐκείνη R. Statim πρῶτον N.

Digitized by Google

ἀθυμία· ἐνταῦθα πρώτη ἡ ἀθυμία, καὶ τότε ἡ ἡδονή. Ἀλλ'
οὐδὲν ἴσον· οὐ γάρ ἐστιν ἴσον πρότερον λυπηθέντα, ὕστερον
ἡσθῆναι, καὶ πρότερον ἡσθέντα, ὕστερον λυπηθῆναι. Πῶς; Ἐν-
ταῦθα μὲν γὰρ ἡ προσδοκία τῆς μελλούσης ἀθυμίας τὴν παροῦ-
σαν ἐλάττονα ποιεῖ ἡδονήν· ἐκεῖ δὲ ἡ προσδοκία τῆς μελλούσης
ἡδονῆς ὑποτέμνεται τὸ σφοδρὸν τῆς παρούσης ἀθυμίας· ὡς
συμβαίνειν ἐκεῖ μὲν μηδέποτε ἡσθῆναι, ἐνταῦθα [e]δὲ μηδέποτε
λυπηθῆναι. Οὐ ταύτῃ δὲ [f]μόνον τὰ τῆς διαφορᾶς, ἀλλὰ καὶ
(584) ἑτέρως. [g]Οἷον πῶς; Ὅτι οὐδὲ τὰ τῶν χρόνων ἴσα, ἀλλὰ πολὺ D
μείζονα καὶ πλείονα. Ἐνταῦθα δὲ καὶ πλέον τι ἐν τοῖς πνευ-
ματικοῖς. Ἀπὸ τούτου τοίνυν ἐπιχειρεῖ ὁ Παῦλος [h]τῇ παρα-
μυθίᾳ, καὶ τὴν κοινὴν [i]πάλιν κρίσιν λαμβάνει, ᾗ οὐδεὶς ἀντιστῆ-
ναι δύναται, οὐδὲ κοινῇ ψήφῳ [k]μάχεσθαι, ὅταν [l]τι παρὰ πάν-
των ὁμολογούμενον εἴπῃ. Λυπεῖσθε, [m]φησί. Τοιοῦτον γὰρ 279
ἡ παιδεία, τὴν ἀρχὴν ἔχει τοιαύτην· "[n]Πᾶσα γὰρ παιδεία
πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης." Καλῶς
εἶπεν, "οὐ δοκεῖ·" [o]οὐκ ἔστι, φησὶ, λύπης ἡ παιδεία, [p]ἀλλὰ
δοκεῖ. "[q]Πᾶσα παιδεία·" οὐχ ἡ μὲν, ἡ δὲ, ἀλλὰ πᾶσα παιδεία,
καὶ ἡ ἀνθρωπίνη, καὶ ἡ πνευματική. Ὁρᾷς αὐτὸν ἀπὸ τῶν κοι-
νῶν ἐννοιῶν [r]ἀγωνιζόμενον; "Δοκεῖ, φησὶ, λύπης εἶναι·" ὥστε
οὐκ ἔστι. Ποία γὰρ λύπη τίκτουσα χαράν; [s]ὥσπερ οὐδὲ ἡδονὴ
τίκτουσα ἀθυμίαν. "Ὕστερον δὲ καρποὺς εἰρηνικοὺς τοῖς δι' B
αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης." Οὐ καρπὸν, ἀλλὰ
καρπούς· [t]πλῆθος πολύ. "Τοῖς δι' αὐτῆς, φησὶ, γεγυμνασμέ-
νοις." [v]Τί ἐστι, "τοῖς δι' αὐτῆς γεγυμνασμένοις;" Τοῖς ἀνα-
σχομένοις [w]ἐπὶ πολὺ καὶ καρτερήσασι. [x]Καὶ εὐφήμῳ ὀνόματι
κέχρηται. Ἆρα γυμνασία ἐστὶν ἡ παιδεία, τὸν ἀθλητὴν ἰσχυ-
ρὸν ἐργαζομένη, καὶ ἀκαταγώνιστον ἐν τοῖς ἀγῶσιν, [y]ἄμαχον

[e] δὲ om. a pr. m. O. [f] μόνῃ A.R. [g] οἷον om. K.N.Q. Sav. cet. πῶς om. Veron. [h] τῇ (+ δὲ Veron.) παραμυθίᾳ] τὴν παραμυθίαν N. et ex corr. O. τὴν παραμυθίαν εἰσαγαγεῖν K.Q. Sav. cet. [i] [πάλιν] Sav. πάλιν om. K.Q. [k] μαχέσασθαι R. Veron. μαχήσασθαι O. [l] τι] γάρ τις K.Q. Sav. cet. Post εἴπῃ add. πάντες συγκατατίθενται, καὶ οὐδεὶς ἀντιπίπτει iidem. [m] φησὶ] + τοῦτο κατὰ λόγον K.Q. Sav. cet. Mox τὴν ἀρχὴν ἔχει τοιαύτην om. K.Q. [n] πᾶσα γὰρ (δὲ N.)] ὅθεν καὶ οὕτως ἐπήγαγε· πᾶσα δὲ K.Q. Sav. cet. [o] οὐκ ἔστι, φ.] οὐδὲ γάρ ἐστι iidem. φησὶ om. A. Statim λύπη O. Cat. λύπης ἡ π. om. K.Q. [p] ἀλλὰ] + μόνον K.Q. Sav. cet. ἀλλὰ δοκεῖ. πᾶσα π. om. O. [q] πᾶσα π. οὐχ (οὐδὲ A.) ἡ μὲν—παιδεία] οὐδὲ ἡ μὲν, ἡ δὲ οὔ, ἀλλὰ πᾶσα· πᾶσα γὰρ, φησὶ, παιδεία οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· τουτέστι K.Q. Sav. cet. [r] ἀγωνιζόμενον] διαλεγόμενον K.N.Q. et ex corr. O. [s] ὥσπερ (+ οὖν O.)] οὐδεμία· ὥσπερ οὖν K.Q. Sav. cet. γεννῶσα pro τίκτουσα K.Q. [t] πλ. πολὺ] πλ. φησιν O. εἶπε, τὸ πλ. ἐμφαίνων (+ πολὺ Sav. cet.) K.Q. Sav. cet. [v] τί ἐστι—γεγυμν.] καλῶς εἶπεν, γεγυμν. N.O. Mut. Haec om. A.R. Veron. [w] ἐπὶ πολὺ] φησὶ, μέχρι τέλους K. Proximum καὶ om. a pr. m. O. [x] καὶ] ὁρᾷς πῶς καὶ K.Q. Sav. cet. [y] ἄμαχον] καὶ ἄμαχον O. Sav. cet.

Digitized by Google

ἐν τοῖς πολέμοις. Εἰ τοίνυν [z] πᾶσα παιδεία τοιαύτη ἐστὶ, καὶ
αὕτη τοιαύτη ἔσται. Ὥστε [a] χρηστὰ χρὴ προσδοκᾶν, [b] καὶ τὸ
C τέλος ἡδὺ καὶ εἰρηνικόν. Καὶ μὴ θαυμάσῃς, εἰ σκληρὰ οὖσα,
καρποὺς ἔχει γλυκεῖς· ἐπεὶ καὶ ἐν τοῖς δένδροις ὁ μὲν φλοιὸς
ἄποιός τις ἐστὶ [c] σχεδὸν καὶ τραχὺς, οἱ δὲ καρποὶ γλυκεῖς.
Ἀλλ' ἔλαβεν αὐτὸ ἀπὸ τῆς κοινῆς ἐννοίας. Εἰ τοίνυν τοιαῦτα
χρὴ προσδοκᾶν, τί ἀλγεῖτε; τί τὰ λυπηρὰ ὑπομείναντες, [d] περὶ
τὰ χρηστὰ ἐκλύεσθε; Ἃ ἐχρῆν ὑπομεῖναι [e] ἀηδῆ, ὑπεμείνατε·
μὴ τοίνυν ἐκλυθῆτε περὶ τὴν [f] ἀνταπόδοσιν. Ὡς πρὸς δρομεῖς
καὶ πύκτας καὶ πολεμιστὰς διαλέγεται. [g] Ὁρᾷς πῶς αὐτοὺς
D καθοπλίζει, [h] πῶς αὐτοὺς ἐπαίρει; [i] Ὀρθὰ βαδίζετε, φησίν. Ἐν-
ταῦθα περὶ τῶν λογισμῶν φησιν αὐτῶν· τουτέστι, μὴ ἀμφι-
βάλλοντες. Εἰ [k] γὰρ ἀγάπης ἡ παιδεία, [l] εἰ ἀπὸ κηδεμονίας
ἄρχεται, εἰ εἰς τέλος χρηστὸν τελευτᾷ, [m] καὶ τοῦτο καὶ διὰ
πραγμάτων, καὶ διὰ ῥημάτων, καὶ διὰ πάντων [n] ἀποδείκνυται·
τίνος ἕνεκεν ἐκλύεσθε; [o] Τοιοῦτον γὰρ οἱ ἀπογνόντες, οἱ μὴ τῇ
280 ἐλπίδι ῥωννύμενοι τῶν μελλόντων. Ὀρθὰ, [p] φησὶ, βαδίζετε·
ὥστε μὴ [q] ἐπιταθῆναι τὴν χωλείαν, ἀλλὰ μεταβληθῆναι ἐπὶ τὰ
πρότερα· ὁ γὰρ μετὰ χωλείας τρέχων, ἐπιτρίβει τὸ κακόν.
Ὁρᾷς ὅτι ἐν ἡμῖν ἐστι τὸ πάντως ἰατρευθῆναι;

[2] "Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, οὗ χω-
ρὶς οὐδεὶς ὄψεται τὸν κύριον." Ὅπερ καὶ ἀνωτέρω ἔλεγε, "Μὴ
[r] ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν," τοῦτο καὶ ἐνταῦθα
αἰνίττεται. Οὐδὲν γὰρ οὕτω μάλιστα ἐν πειρασμοῖς εὐκατα-
γωνίστους ποιεῖ καὶ εὐχειρώτους, ὡς τὸ [s] διεσπάσθαι. [t] Εἰπὲ
γάρ μοι· διάσπασον φάλαγγα ἐν πολέμῳ, καὶ οὐδὲ πόνου [v] δεη-
B θήσονται οἱ πολέμιοι, ἀλλὰ δεδεμένους αὐτοὺς λήψονται, κατ'
ἰδίαν εὑρόντες, καὶ ταύτῃ [w] ὄντας ἀσθενεστέρους. "Εἰρήνην

2 v. 14.

[z] πᾶσα] πόσα Q. παιδεία πᾶσα hoc ord. K.N.Q. [a] χρηστὰ om. K.Q. χρὴ om. N. [b] καὶ] ὅτι καὶ K.Q. [c] σχεδὸν ante ἄποιος transp. K.N.Q. [d] περὶ τὰ χρ.] πρὸς τὸ τέλος K. [e] ἀηδῆ, ὑπ.] ἤδη ὑπ. K.N.Q. et ex corr. O. [f] ἀντίδοσιν K.Q. ἀνταπόδοσιν] + διὸ τὰς παρειμένας χεῖρας N. + διὸ—ἰαθῇ δὲ μᾶλλον K.Q. Sav. cet. invito Mut. Sic in marg. O. [g] ὅρα K.N.Q. [h] πῶς αὐτοὺς] καὶ O. [i] ὀρθὰ β. φ. om. O. ὀρθὰ—φησιν αὐτῶν (αὐτῶν φησι N.O.)] ἐνταῦθα περὶ τῶν λ. αὐτῶν τοῦτο λέγει. ὀρθὰ β. φ. K.Q. Sav. cet. [k] γὰρ om. K.Q. Statim ἀπὸ ἀγάπης K.N.Q. et ex corr. O. receptum a Sav. cet. [l] εἰ] ἢ bis K.N.Q. et ex corr. O. [m] καὶ τοῦτο] τοῦτο γὰρ K.Q. Sav. cet. Mox πραγμάτων et ῥημάτων transp. K.N.Q. [n] ἀποδεικνύει N. et ex corr. O. ἀποδείκνυσι Sav. cet. invitis libris. *ostenditur* Mut. Post ἀποδείκνυται add. εἰ δὲ ἀπὸ ἀγάπης ἡ παιδεία K.Q. [o] τοιοῦτοι K.N.O.Q. Sav. cet. γὰρ om. K.Q. [p] φησὶ om. K.Q. [q] ταθῆναι R. Veron. [r] ἐγκαταλείποντες] Sic Cat. –λιμπάνοντες N. et ex corr. O. –λιπόντες A.K.Q.R. cum Edd. [s] διασπᾶσθαι A.N. [t] εἰπὲ γάρ μοι (μοι γὰρ N.)] καὶ ὅρα πῶς K.Q. Sav. cet. invita Cat. Statim διάσπα τὸν φ. A. [v] δεήσονται Q. [w] ὄντας ἀσθ.] ἀσθ. ὄντας K.N.Q.

Digitized by Google

διώκετε μετὰ πάντων, [x]καὶ τὸν ἁγιασμὸν," φησίν. Ἆρα καὶ
τῶν κακῶς ποιούντων; [3]" [y]Εἰ δυνατὸν, φησὶ, τὸ ἐξ ὑμῶν, μετὰ
πάντων ἀνθρώπων εἰρηνεύοντες." Τὸ σὸν μέρος, φησὶν, εἰρή-
νευε, μηδὲν τὴν εὐσέβειαν παραβλάπτων, ἀλλ' ἐν οἷς πάσχεις
κακῶς, φέρε γενναίως. Μέγα γὰρ ὅπλον ἐν τοῖς πειρασμοῖς
ἀνεξικακία. Οὕτω καὶ ὁ Χριστὸς τοὺς μαθητὰς ἰσχυροὺς ἐποίει
λέγων· [4]"Ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· C
γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι [z]ὡς αἱ περιστε-
ραί." Τί λέγεις; μεταξὺ λύκων ἐσμὲν, καὶ ὡς πρόβατα κελεύεις
εἶναι καὶ ὡς περιστεράς; Ναὶ, φησίν· οὐδὲν γὰρ οὕτως ἐντρέπει
τὸν ποιοῦντα κακῶς, ὡς τὸ φέρειν [a]ἡμᾶς γενναίως τὰ ἐπαγό-
μενα, καὶ μήτε λόγῳ, μήτε ἔργῳ ἀμύνεσθαι. Τοῦτο [b]καὶ ἡμᾶς
φιλοσοφωτέρους ποιεῖ, καὶ μείζονα προξενεῖ τὸν μισθὸν, κἀκεί-
(585) νους ὠφελεῖ. Ἀλλ' ὁ [c]δεῖνα ὕβρισε; Σὺ εὐλόγησον. Ὅρα
πόσα ἀπὸ τούτου [d]κερδανεῖς· τὸ κακὸν ἔσβεσας, μισθὸν [e]σαυτῷ D
προεξένησας, [f]ἐκεῖνον ἐνέτρεψας, [g]δεινὸν πέπονθας οὐδέν. "[h]Εἰ-
ρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν." [i]Τὸν ἁγιασμὸν
τί φησι; Τὴν σωφροσύνην, [k]τὴν κοσμιότητα τὴν ἐν γάμῳ.
Εἴτε τις χωρὶς γάμου [l]ἐστὶ, φησὶν, [m]ἁγνὸς μενέτω, γαμείτω·
εἴτε ἐν γάμῳ, μὴ πορνευέτω, ἀλλὰ κεχρήσθω [n]τῇ γυναικί· καὶ
γὰρ καὶ τοῦτο ἁγιασμός. Πῶς; Οὐχ ὁ γάμος ἁγιασμὸς, ἀλλ'
ὁ γάμος τηρεῖ τὸν ἀπὸ τῆς πίστεως ἁγιασμὸν, οὐκ [o]ἀφιεὶς 281
πόρνῃ προσέχειν. Ὁ [p]γὰρ γάμος τίμιος, οὐχ ἅγιος· καθαρὸς
ὁ [q]γάμος, οὐ μέντοι καὶ ἁγιωσύνην παρέχει, ἢ [r]τῷ κωλύειν τὴν
ἀπὸ τῆς πίστεως δοθεῖσαν μὴ μολύνειν. "Οὗ χωρὶς, φησὶν,
οὐδεὶς ὄψεται τὸν κύριον." Ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους
λέγει· [5]"Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μοιχοὶ, οὔτε εἰδω-
λολάτραι, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, [s]οὔτε πλεονέκται,
οὔτε κλέπται, οὔτε μέθυσοι, [t]οὐ λοίδοροι, οὐχ ἅρπαγες βασι-

3 Rom. xii. 18. 4 Matth. x. 16. 5 1 Cor. vi. 9, 10.

[x] καὶ τὸν ἁγ. om. K.N.Q. Mut. Sav. cet. [y] εἰ δ. φησὶ] τοῦτο καὶ ἀλλαχοῦ φ. εἰ δ. K.Q. Sav. cet. Ad ποιούντων in marg. a 2da m. habet ὥσπερ καὶ ἀλλαχοῦ O. [z] ὡς αἱ] ὡσεὶ ex corr. O. [a] ὑμᾶς A.K.N.Q. Sav. cet. [b] καὶ om. N. [c] δεῖνα] + σε Edd. σε om. K.N.Q. Mut. "Non raro deest accusativus juxta ὑβρίζειν." *Heyse*. [d] κερδαίνεις K.N.O.Q. Sav. cet. [e] σεαυτῷ iidem; sed ἑαυτῷ olim O. Statim προὐξ. N.Q. Sav. cet. [f] κἀκεῖνον K.N.Q. Sav. cet. [g] δεινὸν] καὶ σὺ δεινὸν K.Q. Sav. cet. [h] εἰρήνην] + φησὶ O. [i] τὸν ἁγ. om. A.N.O.R. Veron. invito Mut. τὸν ἁγ. τί φ.] ἁγ. τίνα καλεῖ K.Q. [k] τὴν] καὶ τὴν N. Cat. Mut. Sav. cet. Sic ex corr. O. [l] ἐστὶ, φ.] φ. ἐστὶ K.N.Q. [m] ἁγνὸς μενέτω, γαμ.] ἁγνῶς (ἁγνὸς olim O.) γαμ. N.O. Mut. ἁγνὸς μενέτω, μὴ γαμ. K.Q. ἁγνὸς μεινάτω Cat. [n] τῇ] + ἰδίᾳ K.Q. Sav. cet. [o] ἀφεὶς A.R. Veron. Cat. [p] γὰρ om. K.Q. [q] γάμος] + ἐστὶν K.Q. Statim ὁ μέντοι Q. [r] τῷ] Sic N.O.Q. τὸ Edd. Mox μοι pro μὴ A. [s] οὔτε πλ. οὔτε κλ. om. A. [t] οὐ λ. om. N. Cat. οὐχ ἅρπ. om. K.Q.R. Cat. Mut.

Digitized by Google

λείαν θεοῦ [v]κληρονομήσουσι." [w]Πῶς γὰρ ὁ γενόμενος πόρνης σῶμα, [x]πῶς δυνήσεται εἶναι σῶμα Χριστοῦ; [6]" Ἐπισκοποῦν-
B τες μή τις [y]ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ θεοῦ· μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ [z]διὰ ταύτης μιανθῶσι πολλοί· μή τις πόρνος ἢ [a]βέβηλος." Ὁρᾷς πῶς πανταχοῦ ἑκάστῳ τὴν κοινὴν ἐγχειρίζει σωτηρίαν; "Παρακαλοῦντες, φησὶν, ἀλλήλους καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται."

[b]Μὴ τοίνυν πάντα ἐπὶ τοὺς διδασκάλους ἐπιρρίπτετε, [c]μὴ πάντα ἐπὶ τοὺς ἡγουμένους· δύνασθε καὶ ὑμεῖς, φησὶν, ἀλλήλους οἰκοδομεῖν. [d]Ὃ καὶ Θεσσαλονικεῦσι γράφων ἔλεγεν· [7]" Εἷς
C τὸν ἕνα οἰκοδομεῖτε, καθὼς καὶ ποιεῖτε·" καὶ πάλιν, "[d]Καὶ παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις." Τοῦτο καὶ ὑμῖν παραινοῦμεν [e]νῦν. Πλείονα ἡμῶν, ἐὰν βούλησθε, εἰς ἀλλήλους κατορθώσετε. Καὶ γὰρ πλείονα [f]σύνεστε χρόνον ἀλλήλοις, καὶ τὰ [g]ἀλλήλων μᾶλλον ἡμῶν ἴστε, καὶ τὰ ἀλλήλων [h]ἐλαττώματα οὐκ ἀγνοεῖτε, καὶ πλείονα καὶ παρρησίαν καὶ ἀγάπην ἔχετε καὶ συνήθειαν· οὐ μικρὰ δὲ ταῦτα [i]εἰς διδασκαλίαν, ἀλλ' εἴσοδοι μεγάλαι καὶ εὐκαιρίαι· [k]μᾶλλον ἡμῶν καὶ ἐπιπλῆξαι καὶ παρακαλέσαι δυνήσεσθε. Καὶ οὐ τοῦτο μόνον, ἀλλ' [l]ὅτι
D ἐγὼ μὲν εἷς εἰμι, ὑμεῖς δὲ πολλοὶ, καὶ δυνήσεσθε [m]ὅσοι ἐστὲ πάντες εἶναι διδάσκαλοι. Διὸ, παρακαλῶ, μὴ [n]ἀμελεῖτε τοῦ χαρίσματος τούτου· ἕκαστος γυναῖκα ἔχει, φίλον ἔχει, οἰκέτην ἔχει, γείτονα ἔχει· τούτῳ ἐπιπληττέτω, τούτῳ παραινείτω. Πῶς γὰρ οὐκ ἄτοπον, ὑπὲρ μὲν τροφῆς [o]συσσίτια ποιεῖν καὶ συμπόσια, καὶ ἡμέραν ἔχειν τακτὴν ὥστε [p]συγκροτεῖσθαι, φησὶν, ἀλλήλους, καὶ τὸ ἑκάστῳ λεῖπον καθ' [q]ἑαυτὸν ὄντι ἀναπληροῦσθαι διὰ τῆς κοινωνίας· οἷον, εἴτε εἰς ἐκφορὰν [r]ἀπιέναι δέοι,
282 εἴτε εἰς ἄριστα, εἴτε συμπρᾶξαι ἔν τινι τῷ πλησίον· εἰς δὲ ἀρε-

[6] v. 15, 16. [7] 1 Thess. v. 11. iv. 18.

[v] κληρ.] οὐ κληρ. A.K.O.R. Sav. cet. [w] πῶς] πᾶς olim O. [x] πῶς om. K.N.Q. Sav. cet. πῶς eras. in O. invita Cat. [y] ὕστερον R. [z] δι' αὐτῆς K.N.Q. Statim μιανθῶσιν οἱ π. A.N.R. Veron. et ex corr. O. [a] βέβηλος] + ὡς Ἡσαῦ O. [b] ΗΘΙΚΟΝ. Ὅτι οὐ πάντα δεῖ ἐπὶ τοὺς διδασκάλους ἐπιρρίπτειν, ἀλλὰ πάντας σπεύδειν ἀλλήλους οἰκοδομεῖν, καὶ ἀλλήλων τὰ βάρη βαστάζειν. Veron. [c] μὴ πάντα] μηδὲ K.Q. Mox φησὶ, καὶ ὑμεῖς hoc ord. K.N.Q. [d] καὶ om. K.N. Sav. cet. [e] νῦν] ἡμεῖς K.Q. νῦν ἡμεῖς Sav. cet. invitis nostris. Statim πλ. γὰρ ἡμῶν Sav. cet. repugnantibus libris. [f] σύνεττε A. [g] ἀλλήλων] Ἑλλήνων Q. Statim μᾶλλον—ἀλλήλων om. A.O. [h] ἁμαρτήματα K.N.Q. [i] εἰς διδασκαλίαν] διδασκαλία A.R. Veron. et olim O. invito Mut. [k] μ. ἡμῶν καὶ] καὶ μ. ἡμῶν K.N.Q. et ex corr. O. receptum a Sav. cet. [l] ὅτι] + καὶ Q. [m] ὅσοι ἐστὲ π.] π. ὅσοι ἐστὲ K.N.Q. Sav. cet. Statim εἶναι om. in text. O. [n] ἀμελῆτε A.R. Veron. [o] συσσίτινα N. [p] συγκροτεῖσθε A.R. φησὶν assumtum ex A.N.O.R. [q] ἑαυτὸ O. Statim ὄντι om. K.Q. δεῖ pro ὄντι N. Mox ἀναπληροῦν O.Q. [r] ἐπιέναι A.R. Veron.

Digitized by Google

τῆς διδασκαλίαν [s] μὴ τοῦτο ποιεῖν; Ναὶ, παρακαλῶ, μηδεὶς
ἀμελείτω· μισθὸν γὰρ δέχεται παρὰ θεοῦ πολύν. Καὶ ἵνα μά-
θῃς, ὁ τὰ πέντε τάλαντα ἐμπιστευθεὶς, ἐστὶν ὁ διδάσκαλος· ὁ
δὲ τὸ ἓν, ὁ μαθητής. [t] Ἐὰν εἴπῃ ὁ μαθητὴς, μαθητής εἰμι ἐγὼ,
οὐκ ἔχω κίνδυνον, καὶ ὃν ἔλαβε παρὰ τοῦ θεοῦ λόγον, τοῦτον
τὸν κοινὸν καὶ ψιλὸν, [v] κατακρύψῃ, καὶ μὴ παραινέσῃ, μὴ παρ-
ρησιάσηται, μὴ ἐλέγξῃ, μὴ νουθετήσῃ, [w] εἰ δύναται, ἀλλὰ κατα-
κρύψῃ ἐν τῇ γῇ· γῆ γὰρ ὄντως ἐστὶ καὶ σποδὸς καρδία τὸ
χάρισμα τοῦ θεοῦ κατακρύπτουσα· ἂν [x] τοίνυν κατακρύψῃ ἢ δι' B
ὄκνον, ἢ διὰ πονηρίαν, οὐ προστήσεται αὐτοῦ τὸ εἰπεῖν, ὅτι ἓν
τάλαντον εἶχον. Ἓν τάλαντον εἶχες· ἔδει σε κἂν ἓν προσε-
νεγκεῖν, καὶ διπλασιάσαι τὸ τάλαντον· εἰ [y] προσήνεγκες ἓν, οὐκ
ἂν ἐνεκλήθης. Οὐδὲ γὰρ τῷ τὰ δύο προσενεγκόντι εἶπε, διὰ τί
μὴ πέντε [z] προσήνεγκας; ἀλλὰ τῶν αὐτῶν αὐτὸν ἠξίωσε τῷ τὰ
πέντε προσενεγκόντι. Τί δήποτε; Ὅτι ὅσον εἶχεν εἰργάσατο·
καὶ οὐκ ἐπειδὴ ἐλάττονα τοῦ τὰ πέντε ἐγχειρισθέντος ἔλαβε,
διὰ τοῦτο ἐρραθύμησεν, οὐδὲ τῇ ὀλιγότητι εἰς ἀργίαν ἐχρή- C
σατο. [a] Οὐδὲ σὲ ἐχρῆν πρὸς τὸν τὰ [b] δύο ὁρᾶν· μᾶλλον δὲ
πρὸς ἐκεῖνον ἔδει ἰδεῖν, καὶ ὥσπερ ἐκεῖνος ἐμιμήσατο τὸν τὰ
(586) πέντε, δύο ἔχων, οὕτω καὶ σὲ ζηλῶσαι ἔδει τὸν τὰ δύο ἔχοντα.
Εἰ γὰρ τῷ χρήματα ἔχοντι, καὶ μὴ μεταδιδόντι, [c] κόλασις·
τῷ δυναμένῳ παραινέσαι ὁπωσδήποτε, καὶ μὴ τοῦτο ποιοῦντι,
πῶς οὐ μεγίστη κόλασις; Ἐκεῖ σῶμα τρέφεται, ἐνταῦθα ψυχή·
ἐκεῖ θάνατον κωλύεις τὸν πρόσκαιρον, [d] ἐνταῦθα τὸν αἰώνιον.
[e] Ἀλλ' οὐκ ἔχω λόγον, φησίν. [f] Ἀλλ' οὐ χρεία λόγου, οὐδὲ D
εὐγλωττίας. Ἐὰν ἴδῃς τὸν φίλον πορνεύοντα, εἰπὲ πρὸς αὐτόν·
πονηρὸν πρᾶγμα ὃ μετέρχῃ· οὐκ αἰσχύνῃ; οὐκ ἐρυθριᾷς; κακὸν
τοῦτό ἐστιν. Αὐτὸς γὰρ οὐκ οἶδε, φησὶν, ὅτι κακόν; [g] Ναί·
ἀλλ' ὑπὸ τῆς ἐπιθυμίας ἕλκεται. Καὶ οἱ νοσοῦντες ἴσασιν, ὅτι
ἡ ψυχροποσία κακὸν, ἀλλ' ὅμως δέονται τῶν κωλυσόντων· ὁ 283
γὰρ ἐν τῷ πάθει ὢν, οὐ ταχέως ἑαυτῷ ἀρκέσαι δυνήσεται ἐν τῇ
νόσῳ. [h] Δεῖ τοίνυν σου τοῦ ὑγιαίνοντος πρὸς τὴν ἐκείνου ἰα-
τρείαν· κἂν μὴ πεισθῇ τῷ ῥήματι, παρατήρησον ἀπιόντα καὶ
κάτασχε, ἴσως ἐντραπήσεται. Καὶ τί, φησὶν, ὄφελος, ὅταν δι'

[s] μὴ τοῦτο] τοῦτο μὴ K.N.Q. et ex corr. O. [t] ἐὰν] + δὲ K.N.Q. Sav. cet. Sic ex corr. O. Statim ὁ μαθητὴς om. K.N.Q. [v] Futurum pro conjunctivo sexies habet N. Sic, sed bis ex corr. O. [w] εἰ δύναται om. N. Mox κρύψῃ a pr. m. O. [x] τοίνυν] οὖν O. [y] προσήνεγκας K.Q. Veron. Ante ἓν, ἂν a 2da m. insertum in O. [z] προσήνεγκες R. et olim. O. [a] οὐδὲ σὲ ἐχρῆν] ἐρεῖ τοίνυν καὶ πρὸς ἡμᾶς· οὐκ ἐχρῆν σε K.Q. [b] δύο] + ἔχοντα K.N. O.Q. Sav. cet. [c] κόλασις] + κεῖται K.Q. Sav. cet. Mox post κόλασις add. ἔσται iidem. [d] ἐνταῦθα] + δὲ A. [e] ἀλλ' om. K. [f] ἀλλ' οὐ] οὐδὲ N. [g] ναὶ] + οἶδεν K.Q. Sav. cet. [h] δεῖται ex corr. ab eadem m. O.

ἐμὲ [i]τοῦτο ποιῇ, καὶ διὰ τὸ κατασχεθῆναι παρ' ἐμοῦ; Μὴ
ἀκριβολογοῦ· τέως οἱῳδήποτε τρόπῳ ἀπόστησον αὐτὸν τῆς
πονηρᾶς πράξεως· [k]ἐθισθῇ μὴ ἀπιέναι εἰς ἐκεῖνο τὸ βάραθρον,
εἴτε διὰ σὲ, εἴτε δι' [l]ὁτιδήποτε. [m]Ὅταν ἐθίσῃς αὐτὸν μὴ
B ἀπιέναι, τότε δυνήσῃ μικρὸν ἀναπνεύσαντα λαβὼν, διδάξαι ὅτι
χρὴ διὰ τὸν θεὸν τοῦτο [n]ποιεῖν, καὶ μὴ δι' ἄνθρωπον. Μὴ θε-
λήσῃς ὑφ' ἓν κατορθῶσαι τὸ πᾶν, ἐπεὶ οὐ δυνήσῃ, ἀλλ' ἠρέμα
καὶ κατὰ μικρόν. Ἂν εἰς [o]πότον ἴδῃς [p]καὶ συμπόσια ἀπιόντα
μέθης πεπληρωμένα, κἀκεῖ τὸ αὐτὸ ποίει, καὶ αὐτὸν [q]πάλιν
παρακάλεσον, εἴ τι συνορᾷ ἐλάττωμά σε ἔχοντα, βοηθεῖν καὶ
[r]διορθοῦν. Οὕτω [s]γὰρ καὶ ἀφ' ἑαυτοῦ τὸν ἔλεγχον οἴσει, ὅταν
ἴδῃ καὶ σὲ δεόμενον ἐλέγχων, καὶ μὴ ὡς τὰ πάντα κατωρθω-
κότα, μηδὲ [t]ὡς διδάσκαλον, ἀλλ' ὡς φίλον καὶ ἀδελφὸν βοη-
θοῦντα. Εἰπὲ πρὸς αὐτὸν, ἐγώ σε ὤνησα, ὑπομνήσας τῶν συμ-
C φερόντων· καὶ σὺ, ὅπερ ἂν [v]ἴδῃς ἐλάττωμα ἔχοντά με, ἀναχαί-
τισον, διόρθωσον· [w]ἂν ὀργίλον ἴδῃς, ἂν πλεονέκτην, κάτασχε,
δῆσον τῇ παραινέσει. Τοῦτό ἐστι φιλία· οὕτως [8]"Ἀδελφὸς
ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις [x]ὀχυρὰ γίνεται." Οὐ [y]γὰρ
τὸ φαγεῖν καὶ [z]τὸ πιεῖν ποιεῖ φιλίαν· τοιαύτην γὰρ καὶ λῃσταὶ
ἔχουσι καὶ ἀνδροφόνοι· ἀλλ' εἰ φίλοι ἐσμὲν, εἰ ὄντως ἀλλήλων
κηδόμεθα, εἰς ταῦτα [a]ἀλλήλοις συμβαλλώμεθα· ταῦτα [b]εἰς φι-
λίαν ἡμᾶς ἄγει ἐπωφελῆ· ταῦτα [c]κωλύωμεν ἃ εἰς γέενναν ἀπά-
γει. Μήτε οὖν ὁ ἐλεγχόμενος ἀγανακτείτω· ἄνθρωποι γάρ
ἐσμεν, καὶ ἔχομεν ἐλαττώματα· μήτε ὁ ἐλέγχων ὡς [d]ἐπεγγε-
D λῶν τοῦτο ποιείτω καὶ ἐκπομπεύων, ἀλλὰ κατ' ἰδίαν μετὰ προσ-
ηνείας. [e]Πλείονος δεῖται προσηνείας ὁ ἐλέγχων, ἵνα οὕτω πείσῃ
τὴν τομὴν ἐνεγκεῖν. Οὐχ ὁρᾶτε τοὺς ἰατροὺς, [f]ὅταν καίωσιν,

[8] Prov. xviii. 19.

[i] τοῦτο π.] π. τοῦτο N.O. [k] ἐθισθήτω K.N.Q. Sav. cet. Sic ex corr. O. [l] ὁτιδήποτε] + κωλυθῇ, κέρδος ἔσται ἐκ τούτου K.Q. Sav. cet. invito Mut. [m] ὅταν] + γὰρ iidem. [n] ποιεῖν, καὶ μὴ] μὴ ποιεῖν, καὶ οὐ K. Sav. cet. [o] τόπον Q. [p] καὶ (+ εἰς N.O.) συμπ. ἀπιόντα] ἀπιόντα καὶ εἰς συμπ. K.Q. Sav. cet. [q] πάλιν om. in text. O. πάλιν καὶ αὐτὸν hoc ord. K.Q. [r] ἀνορθοῦν K. [s] γὰρ] καὶ γὰρ A. γὰρ om. a pr. m. O. Statim καὶ ἐπὶ ἑαυτοῦ K.N.Q. Sav. cet. Sic ex corr. O. Mox εἴσῃ pro οἴσει R. Veron. [t] ὡς om. Veron. Mox ἀλλὰ φίλον A.R. Veron. et a pr. m. O. [v] συνίδῃς N.O. Sav. cet. Mox με om. A.N.R. Veron. [w] ἂν] κἂν bis O. [x] ὀχυρὰ] + καὶ ὑψὴ (ιλ superscr.) (sic) O. γίνεται ὀχυρὰ inverso ord. K.Q. [y] γὰρ] om. K.Q. [z] τὸ om. O.R. Veron. [a] ἀλλήλους R. Veron. Statim συμβαλώμεθα N. et ex corr. O. [b] εἰς φ. ἡμᾶς] ἡμᾶς εἰς φ. K.N.O.Q. ἄγει om. K. [c] κωλύωμεν, ἃ εἰς γ. (+ ἡμᾶς K.Q.) ἀπάγει] κωλύει εἰς γ. ἀπελθεῖν N. Sav. cet. invito Mut. [d] ἐπιγελῶν O. Post h. v. add. ἢ (ἢ om. N.O.) ὡς ἐπεμβαίνων K.Q. Sav. cet. Sic in marg. O. [e] πλείονος] + γὰρ K.Q. Sav. cet. + δὲ O. [f] ὅταν κ. om. Veron. ὅταν τ. om. A.R. Veron.

Digitized by Google

ὅταν τέμνωσι, [g]μετὰ πόσης προσηνείας τὴν θεραπείαν ἐπά-
γουσι; πολλῷ μᾶλλον τοὺς ἐλέγχοντας τοῦτο δεῖ ποιεῖν. Καὶ
γὰρ καὶ πυρὸς καὶ σιδήρου σφοδρότερον ἔλεγχος, καὶ σκιρτᾷν 284
ποιεῖ. [h]Διὰ τοῦτο οἱ ἰατροὶ πολλὰ ἐπιτηδεύουσιν, ὥστε ἐνεγ-
κεῖν [i]πράως τὴν τομὴν, καὶ προσηνῶς, ὡς οἷόν τε, ταύτην ἐπά-
γουσι, καὶ μικρὸν [k]ἐνδιδόντες, εἶτα παρέχοντες ἀναπνεῦσαι.
Οὕτω καὶ τοὺς ἐλέγχους δεῖ ποιεῖν, ἵνα [l]καὶ οἱ ἐλεγχόμενοι μὴ
ἀποσκιρτῶσι. Κἂν ὑβρισθῆναι τοίνυν [m]δέῃ, κἂν πληγῆναι, μὴ
παραιτησώμεθα. Καὶ γὰρ ἐκεῖνοι οἱ τεμνόμενοι, μυρία κατα-
βοῶσι τῶν τεμνόντων· ἀλλ' ἐκεῖνοι πρὸς οὐδὲν τούτων ὁρῶσιν,
[n]ἀλλὰ πρὸς τὴν ὑγείαν τῶν καμνόντων μόνον. Οὕτω δὴ καὶ B
ἐνταῦθα πάντα δεῖ ποιεῖν πρὸς τὸ τὸν ἔλεγχον χρησίμως γενέ-
σθαι, πάντα φέρειν πρὸς τὸν μισθὸν ἀφορῶντας τὸν ἀποκεί-
μενον. [9]"Ἀλλήλων, φησὶ, τὰ βάρη βαστάζετε, καὶ οὕτως
ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ." Οὕτως οὖν καὶ ἐλέγ-
χοντες καὶ φέροντες ἀλλήλους, [o]δυνάμεθα ἀναπληρῶσαι τὴν
[p]οἰκοδομήν. Καὶ ἡμῖν οὕτω ποιήσετε κοῦφον τὸν πόνον, ἐν
ἅπασι [q]συλλαμβανόμενοι ἡμῖν, καὶ χεῖρα ὀρέγοντες, καὶ [r]μερι-
σταὶ [s]γινόμενοι καὶ [t]κοινωνοὶ, καὶ τῆς ἀλλήλων σωτηρίας, καὶ
τῆς ἰδίας ἕκαστος. [v]Ὑπομένωμεν τοίνυν καὶ φέροντες τὰ ἀλλή-
λων βάρη, καὶ ἐλέγχοντες, ἵνα τύχωμεν τῶν [w]ἐπηγγελμένων C
ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ
ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(587) ΛΟΓΟΣ ΛΑ.

[1]Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, [a]οὗ χωρὶς D
οὐδεὶς ὄψεται τὸν κύριον.

ΠΟΛΛΑ μὲν [b]ἔστι τὰ χαρακτηρίζοντα τὸν Χριστιανι-

[9] Gal. vi. 2. [1] Cap. XII. v. 14.

[g] μετὰ πόσης] πῶς μετὰ πάσης O. Post ἐπάγουσι add. ὅταν καίωσι Veron. [h] διὰ τ.] καὶ διὰ τ. καὶ K.Q. Sav. cet. Statim οἱ om. A.R. Veron. οἱ in ras. O. [i] ῥᾴως O. [k] ἐκδιδόντες K.N. Statim εἶτα παρέχοντες om. K.N.Q. eras. in O. inclusum a Sav. [l] καὶ om. N. Mox ἀποσκιρτήσωσι N.O. [m] δεῖ R. Veron. κἂν ὑβρ. τοίνυν δ. om. A. [n] ἀλλὰ] ἀλλ' ἢ K.N.O.Q. Sav. cet. [o] δυνησόμεθα K. Sav. cet. [p] οἰκοδομὴν] + τοῦ Χριστοῦ K.N.O.Q. Sav. cet. invito Mut. Statim καὶ μὴν οὕτως A. [q] ἀντιλαμβ. K.N.Q. et marg. O. Statim ἡμῶν N. [r] μεριταὶ R. μερηταὶ A. συμμερισταὶ O. Sed hic in marg. ante συμμερισταὶ inseri vult καὶ μεριταί. [s] γενόμενοι ex corr. O. [t] συγκοινωνοὶ A. καὶ κοινωνοὶ om. K.N.Q. [καὶ κοινωνοὶ καὶ] Sav. [v] ὑπομείνωμεν Q. et ex corr. O. Proximum καὶ om. O. [w] ἐπηγγ.] + ἡμῖν K.N.Q. et ex corr. O. Sic Sav. cet. Hom. XXXI. [a] οὗ—κύριον om. K. [b] εἰσὶ K.N.Q.

Digitized by Google

σμὸν, μᾶλλον δὲ πάντων καὶ κρεῖττον ἁπάντων ἡ πρὸς ἀλλή-
λους ἀγάπη καὶ [c]ἡ εἰρήνη. Διὰ τοῦτο καὶ ὁ Χριστός [d]φησιν·
[2]“Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν·” καὶ πάλιν, “Ἐν τούτῳ γνώ-
σονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους.”
Διὰ τοῦτο καὶ ὁ [e]Παῦλός φησιν· “Εἰρήνην διώκετε μετὰ πάν-
των, καὶ τὸν ἁγιασμὸν,” [f]τουτέστι, τὴν σεμνότητα, “οὗ χωρὶς
285 οὐδεὶς ὄψεται τὸν κύριον. [3]Ἐπισκοποῦντες μή τις ὑστερῶν
ἀπὸ τῆς χάριτος τοῦ θεοῦ.” Καθάπερ ὁδόν τινα μακρὰν [g]ὁδευ-
όντων ἐν συνοδίᾳ πολλῇ, βλέπετε, φησὶ, μή τις ἀπέμεινεν· [h]οὐ
τοῦτο ζητῶ μόνον, ἵνα ὑμεῖς παραγένησθε, ἀλλ' ἵνα καὶ τοὺς
ἄλλους ἐπισκοπῆτε. “Μή τις ὑστερῶν, φησὶν, ἀπὸ τῆς χάρι-
τος τοῦ θεοῦ.” [i]Τὰ μέλλοντά φησιν ἀγαθὰ, τὴν πίστιν [j]τὴν
εὐαγγελικὴν, τὴν ἀρίστην πολιτείαν· πάντα γὰρ τῆς τοῦ θεοῦ
χάριτός ἐστι. [k]Μή μοι εἴπῃς, ὅτι εἷς ἐστιν ὁ ἀπολλύμενος·
καὶ δι' ἕνα ὁ Χριστὸς ἀπέθανε. Δι' [l]ὃν Χριστὸς ἀπέθανε, [m]σὺ
B οὐ φροντίζεις; “Ἐπισκοποῦντες,” φησί· τουτέστιν, ἀκριβῶς
ἐρευνῶντες, ἐπισκεπτόμενοι, καταμανθάνοντες, ὅπερ ἐστὶν ἐπὶ
τῶν ἀσθενῶν, καὶ διὰ πάντων ἐξετάζοντες, [n]καταμανθάνοντες.
[4]“Μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ.” Τοῦτο ἐν τῷ
Δευτερονομίῳ κεῖται· ἔλαβε δὲ αὐτὸ ἀπὸ μεταφορᾶς τῶν φυ-
τῶν. “Μή τις [o]ῥίζα, φησὶ, πικρίας·” ὃ καὶ ἀλλαχοῦ γράφων
[p]λέγει, [5]“Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ.” Οὐκ ἐκείνου
[q]μόνον ἕνεκεν [r]τοῦτο βούλομαι, ἀλλὰ καὶ διὰ τὴν ἐξ αὐτοῦ
γινομένην βλάβην. Τουτέστι, κἂν ᾖ τις ῥίζα τοιαύτη, μηδε-
μίαν βλάστην ἀφῇς ἀνελθεῖν, ἀλλ' [s]ἐκκοπτέσθω μὴ φέρειν τοὺς
C οἰκείους καρποὺς, ὥστε μὴ καὶ τοὺς ἄλλους μολύνειν [t]καὶ μιαί-
νειν. “Μή τις γὰρ, φησὶ, ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ,
καὶ [v]διὰ ταύτης μιανθῶσι πολλοί.” Καὶ [w]εἰκότως πικρὰν τὴν
ἁμαρτίαν ἐκάλεσεν. Οὐδὲν γὰρ [x]ὄντως ἁμαρτίας πικρότερον,

[2] Joan. xiv. 27. xiii. 35. [3] v. 15. [4] Deut. xxix. 18. [5] 1 Cor. v. 6.

[c] ἡ om. iidem. [d] φησιν] ἔλεγεν K.Q. [e] Παῦλος] + νῦν K.N.Q. Sav. cet. [f] τουτέστι, τὴν σ. om. K.Q. [g] ὁδεύοντες olim O. Statim συνοδείᾳ R. Veron. [h] οὐ] + γὰρ K.N.Q. Sav. cet. [i] τὰ μ. φησιν] χάριν τοῦ θεοῦ τὰ μ. καλεῖ K.Q. Sav. cet. [j] τὴν om. R. [k] μὴ] + οὖν N. Sav. cet. μοι om. N. [l] ὃν Χρ.] Sic R. Veron. Mut. ἕνα ὁ Χρ. K.Q. Sav. cet. δι' ὃν Χρ. ἀπέθανε om. A.N.O. sed hic in marg. a 2da m. εἰ δὲ δι' ἕνα ὁ Χρ. ἀπέθανε habet. [m] σὺ] + δὲ super lin. N. receptum a Sav. cet. καὶ σὺ K.Q. Statim οὖν pro οὐ olim O. [n] καταμ.] καὶ καταμ. N.O. καταμ. om. K.Q. inclusum a Sav. Haec καὶ διὰ πάντων—καταμανθάνοντες non vertit Mut. [o] ῥίζα, φ. π.] φ. ῥίζα π. N.Q. ῥίζα π. φ. O. φησὶ om. K. [p] ἔλεγεν O. [q] μόνου A. et ex corr. O. ἕνεκεν μόνου hoc ord. K.N.Q. [r] τοῦτο] + φησὶ K.O.Q. Sav. cet. Mox γενομένην N. [s] ἐγκοπτέσθω R. Statim ὥστε μὴ φ. A.K.Q. Sav. cet. [t] καὶ μιαίνειν om. a pr. m. O. [v] δι' αὐτῆς K.N.O.Q. [w] εἰκότως] + ἄρα in marg. O. Statim πικρίαν ex corr. idem. [x] οὕτως A.

Digitized by Google

καὶ ἴσασιν οἱ μετὰ τὸ πρᾶξαι ὑπὸ τοῦ συνειδότος [y]τηκόμενοι,
οἱ πικρίαν πολλὴν ὑπομένοντες· πικροτάτη γὰρ οὖσα διαστρέ-
φει αὐτὸ τὸ λογιστικόν. Τοιαύτη [z]γὰρ ἡ τοῦ πικροῦ φύσις,
[a]ἐστὶν ἀνόνητος. Καὶ καλῶς εἶπε, "ῥίζα πικρίας." [b]Οὐκ εἶπε,
πικρὰ, ἀλλὰ, "πικρίας·" τὴν μὲν γὰρ πικρὰν ῥίζαν ἔστι καρ-
ποὺς [c]ἐνέγκαι γλυκεῖς, τὴν δὲ πικρίας ῥίζαν καὶ πηγὴν καὶ ὑπό- D
θεσιν, οὐκ [d]ἔνεστί ποτε γλυκὺν ἐνεγκεῖν καρπόν· πάντα γάρ
ἐστι [e]πικρὰ, οὐδὲν ἔχει ἡδὺ, πάντα πικρὰ, πάντα ἀηδῆ, πάντα
μίσους καὶ βδελυγμίας γέμοντα. "Καὶ [f]διὰ ταύτης, φησὶ, μιαν-
θῶσι πολλοί." [g]Τουτέστι, τοὺς ἀσελγεῖς ἐκκόπτετε. [6]"Μή
τις πόρνος, ἢ βέβηλος, ὡς Ἡσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέ-
δοτο τὰ πρωτοτόκια αὐτοῦ." Καὶ ποῦ πόρνος ἦν ὁ Ἡσαῦ;
Οὐ [h]τοῦτό φησιν, ὅτι πόρνος ἦν ὁ [i]Ἡσαῦ. "[k]Μή τις πόρνος," 286
φησίν· εἶτα, "[l]Τὸν ἁγιασμὸν διώκετε·" "Μή τις ὡς [m]Ἡσαῦ
βέβηλος·" τουτέστι, γαστρίμαργος, ἀκρατὴς, [n]κοσμικὸς, τὰ
πνευματικὰ ἀπεμπολῶν. "Ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ
πρωτοτόκια αὐτοῦ·" [o]ὃς τὴν παρὰ τοῦ θεοῦ [p]τιμὴν ταύτην διὰ
τῆς οἰκείας ῥαθυμίας ἀπέδοτο, [q]καὶ μικρᾶς ἡδονῆς τὴν μεγίστην
τιμὴν καὶ δόξαν ἀπώλεσε. Τοῦτο οἰκείως πρὸς αὐτοὺς, τοῦτο
βδελυροῦ, τοῦτο ἀκαθάρτου. Ὥστε οὐχ ὁ πόρνος ἀκάθαρτος B
μόνον, ἀλλὰ καὶ ὁ γαστρίμαργος, [r]ὁ τῆς γαστρὸς δοῦλος.
Καὶ γὰρ καὶ οὗτος [s]ἑτέρας ἐστὶν ἡδονῆς δοῦλος, ἀναγκάζεται
πλεονεκτεῖν, ἀναγκάζεται ἁρπάζειν, μυρία ἀσχημονεῖν, δοῦλος
(588) ὢν τοῦ πάθους ἐκείνου, καὶ [t]βλασφημεῖ πολλάκις. [v]Οὕτως οὐδε-
νὸς ἄξια εἶναι ἐνόμισε τὰ πρωτοτόκια. [w]Τουτέστι, προνοῶν
[x]τῆς ἀναπαύσεως τῆς προσκαίρου, [y]καὶ μέχρι τῶν πρωτοτοκίων
ἔφθασεν. Ὥστε ἡμῶν τὰ πρωτοτόκια λοιπὸν, [z]οὐχὶ Ἰουδαίων.

[6] v. 16.

[y] τηκόμενοι] κεντούμενοι K.Q. Statim [οἱ] Sav. οἱ om. N.O. [z] γὰρ om. K.Q. Sav. cet. [a] ἐστὶν om. K.Q. Statim ἀνόητος R. [b] οὐκ εἶπε] οὐ λέγει K.Q. [c] ἐνεγκεῖν K.N.Q. Sav. cet. invita Cat. [d] ἔστι iidem. [e] πικρὰ] πικρίας O. [f] δι' αὐτῆς K.N.O.Q. Sav. cet. Mox μιανθῶσιν οἱ π. N. Cat. [g] τουτέστιν] + ἵνα μὴ τοῦτο γένηται K.Q. Sav. cet. [h] τοῦτο] + ἐνταῦθα iidem. Statim λέγει pro φησιν K.Q. [i] Ἡσαῦ] + ἀλλὰ πῶς; in marg. N. [k] μή τις (τι A.)—μή τις] ἀλλὰ πρὸς ἀντιδιαστολὴν κεῖται τοῦ, τὸν ἁγ. διώκετε· (hucusque Q.) τὸ δὲ, βέβηλος, ὡς πρὸς ἐκεῖνον εἴρηται. μή τις οὖν ἔστω K.Q. Sav. cet. Post διώκετε lacuna in Q. usque ad p. 306 D. excepto folio uno. [l] τὸν] τὸ R. Veron. [m] ὁ Ἡσαῦ N.O. Sav. cet. [n] κωμικὸς ex corr. O. κοσμικὸς om. K. inclusum a Sav. [o] ὃς] τουτέστιν, ὃς K.Q. Sav. cet. [p] τιμὴν] + δοθεῖσαν αὐτῷ in marg. O. [q] καὶ] + ἀντὶ ex corr. O. Post ἡδονῆς add. χάριν K. Sav. cet. [r] ὁ] ὅς ἐστι K. Sav. cet. [s] ἑτέρας] στερρᾶς R. Veron. invitis Cat. Mut. Mox ἀναγκάζεται πλεονεκτεῖν om. A. [t] βλασφημεῖν N.O. [v] οὕτως] οὗτος N. Sav. cet. ἐκεῖνος K. οὗτος (olim οὕτως) ὁ Ἡσαῦ O. Mox ἐνόμισεν εἶναι hoc ord. K.N.O. [w] τουτέστι] διὸ καὶ K. Sav. cet. [x] τῆς eras. in O. [y] καὶ om. K.N. [z] οὐκ K.N. Mox δὲ om. K.

Digitized by Google

Ἅμα δὲ καὶ πρὸς τὸ πάθος αὐτῶν τοῦτο [a]συμβάλλεται, ὅτι ὁ
πρῶτος ὕστερος γέγονε, καὶ ὁ δεύτερος πρῶτος· [b]διὰ καρτε-
C ρίαν ἐκεῖνος, διὰ ῥαθυμίαν ὕστερος [c]οὗτος.
[7] "Ἴστε γὰρ, φησὶν, ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι
τὴν εὐλογίαν, ἀπεδοκιμάσθη· μετανοίας γὰρ τόπον οὐχ εὗρε,
καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν." Τί δὴ τοῦτό ἐστιν;
ἆρα μὴ τὴν μετάνοιαν [d]ἐκβάλλει; Οὐδαμῶς. Ἀλλὰ πῶς, φησὶ,
μετανοίας τόπον οὐχ εὗρεν; εἰ γὰρ κατέγνω ἑαυτοῦ, εἰ ἀνῴ-
μωξε μέγα, διὰ τί οὐχ εὗρε [e]τόπον μετανοίας; Ὅτι οὐκ ἦν
D μετανοίας τὸ πρᾶγμα. Ὥσπερ γὰρ ἡ λύπη τοῦ Κάϊν οὐκ ἦν
μετανοίας, [f]καὶ ὁ φόνος ἔδειξεν· οὕτω καὶ ἐνταῦθα οὐκ ἦν μετα-
νοίας τὰ ῥήματα, καὶ μετὰ ταῦτα ὁ φόνος ἔδειξε· καὶ γὰρ καὶ
αὐτὸς τῇ προαιρέσει ἀνεῖλε τὸν Ἰακώβ. [8] "[g]Ἐγγίσωσι γὰρ,
φησὶν, αἱ ἡμέραι [h]τοῦ πένθους τοῦ πατρός μου, καὶ [i]ἀνελῶ
Ἰακὼβ τὸν ἀδελφόν μου." [k]Οὐκ ἴσχυσε τὰ δάκρυα μετάνοιαν
αὐτῷ δοῦναι. Καὶ οὐκ εἶπεν [l]ὅτι διὰ μετανοίας ἁπλῶς, ἀλλὰ
καὶ μετὰ δακρύων, μετανοίας τόπον οὐχ εὗρε. Τί δήποτε;
287 Ὅτι οὐ μετενόησεν ὃν ἔδει τρόπον· τοῦτο γάρ ἐστι μετάνοια·
οὐ μετενόησεν ὡς ἐχρῆν. Ἐπεὶ πῶς ταῦτα ἔλεγε; πῶς νωθροὺς
γενομένους [m]παρεκάλει πάλιν; πῶς χωλοὺς γενομένους; πῶς
παραλυθέντας; πῶς παρειμένους; τοῦτο γὰρ ἀρχὴ πτώσεώς
ἐστιν. Ἐμοὶ δοκεῖ αἰνίττεσθαί τινας ἐν αὐτοῖς πόρνους, οὐ
μέντοι βούλεσθαι ἐλέγχειν αὐτοὺς τέως, ἀλλὰ προσποιεῖται
ἄγνοιαν, ἵνα διορθώσωνται. Δεῖ γὰρ πρῶτον μὲν ἄγνοιαν ὑπο-
κρίνεσθαι, μετὰ δὲ ταῦτα, ὅταν [n]ἐπιμένωσι, τότε καὶ τὸν
ἔλεγχον ἐπάγειν, ὥστε μὴ ἀπαναισχυντῆσαι· [o]ὅπερ καὶ Μωϋσῆς
B ἐποίησεν ἐπὶ Ζαμβρὶ καὶ τῆς [p]Χασβίτιδος. "Μετανοίας γὰρ,
[q]φησὶ, τόπον οὐχ εὗρεν." Οὐχ εὗρε μετάνοιαν· ἢ ὅτι μετανοίας
μείζονα [r]ἥμαρτεν. Ἔστιν ἄρα ἁμαρτήματα μετανοίας μείζονα.

[7] v. 17. [8] Gen. xxvii. 41.

[a] συμβάλλεται] + μονονουχὶ τοῦτο γὰρ διὰ τούτου αἰνίττεται K. Sav. cet. [b] διὰ κ. ἐκεῖνος, διὰ] οὗτος διὰ κ. πρῶτος, ἐκεῖνος διὰ K. Sav. cet. [c] οὗτος] υἱὸς O. οὗτος om. K.N. Sav. cet. [d] ἐκβάλλῃ A. et olim O. [e] τόπον μ.] μ. τόπον K.N. [f] καὶ] + γὰρ ex corr. O. Mox φθόνος bis a pr. m. idem. [g] ἐγγίσωσι] Sic A.N. et ex corr. O. ἐγγίσουσι Edd. ἐγγυσάτωσαν (sic) Cat. [h] τοῦ πένθους] τοῦ πάθους Cat. Mut. Ἰσαὰκ N. rasura in text. et Ἰσαὰκ in marg. O. [i] ἀνελῶ] ἀποκτενῶ K.N.O. Cat. Sav. cet. [k] οὐκ] διὰ τοῦτο οὐκ K. Sav. cet. καὶ οὐκ a 2da m. O. Mox ἴσχυσαν K.N.O. Cat. [l] ὅτι διὰ om. K. Sav. cet. Post δακρύων add. ἐκζητήσας iidem. [m] παρακαλεῖ olim O. πάλιν om. N.O. Mox πῶς χ. γενομένους om. A. [n] ἐπιμείνωσι N. Mox ἀναισχυντῆσαι N.O. [o] ὅπερ] ὃ K. [p] Χασβίτιδος] ἐν ἄλλῳ καὶ Μαδιανίτιδος in marg. O. [q] φ. τόπον οὐχ εὗρεν] τόπον οὐχ εὗρε, φ. K.N.O. sed φησὶ om. ante corr. O. [r] ἥμαρτεν] + ἢ ὅτι μετάνοιαν ἀξίαν οὐκ ἐπεδείξατο K. Sav. cet.

Digitized by Google

[s]Τουτέστι, μὴ πέσωμεν πτῶμα ἀνίατον· ἕως ἂν ᾖ [t]χωλεία τὸ πρᾶγμα, εὔκολον γενέσθαι ὀρθόν· ἐὰν δὲ ἐκτραπῶμεν, τί ἔσται λοιπόν; Τοῖς μὲν [v]γὰρ μηδέπω πεσοῦσιν οὕτω διαλέγεται, τῷ φόβῳ συγκροτῶν αὐτοὺς, καί φησιν ὅτι οὐκ ἔστι [w]πεσόντα παραμυθίας τυχεῖν· τοῖς δὲ πεσοῦσιν, ὥστε μὴ εἰς ἀπόγνωσιν ἐμπεσεῖν, τἀναντία [x]φησὶν, οὕτω λέγων· [9]"Τεκνία μου, οὓς C πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν·" καὶ πάλιν, "Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος [y]ἐξεπέσετε." Ἰδοὺ μαρτυρεῖ ὅτι ἐξέπεσον. Ὁ μὲν γὰρ ἑστὼς, ἀκούων ὅτι πεσόντα οὐκ ἔστι συγγνώμης τυχεῖν, σφοδρότερος ἔσται, καὶ ἀσφαλέστερος περὶ τὴν στάσιν· [z]ἂν μέντοι καὶ περὶ τὸν πεπτωκότα τῇ αὐτῇ χρήσῃ σφοδρότητι, οὐδέποτε ἀναστήσεται· ποίᾳ γὰρ ἐλπίδι τὴν μεταβολὴν ἐπιδείξεται; Οὐ μόνον [a]δὲ, φησὶν, ἐδάκρυσεν, ἀλλὰ καὶ ἐξεζήτησεν. Οὐ τοίνυν ἐκβάλλει [b]μετάνοιαν, ἀλλ' ἀσφαλίζεται [c]αὐτοὺς πρὸς τὸ μὴ πεσεῖν. D

[d]Ὅσοι τοίνυν ἀπιστοῦσι τῇ γεέννῃ, ταῦτα ἀναμιμνησκέσθωσαν· ὅσοι νομίζουσιν ἀτιμώρητα ἁμαρτάνειν, ταῦτα λογιζέσθωσαν. Διὰ τί Ἡσαῦ οὐκ ἔτυχε συγγνώμης; Ὅτι οὐ μετενόησεν ὡς ἐχρῆν. Θέλεις ἰδεῖν μετάνοιαν ἀκριβῆ; Ἄκουσον [e]τὴν τοῦ Πέτρου μετάνοιαν μετὰ τὴν ἄρνησιν. Διηγούμενος 288 γὰρ ἡμῖν τὰ κατ' αὐτὸν ὁ εὐαγγελιστὴς, φησὶ, [10]"[f]Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς." Διὰ τοῦτο καὶ ἀφείθη αὐτῷ τὸ τοιοῦτον ἁμάρτημα, ὅτι μετενόησεν ὃν ἔδει τρόπον. Καίτοι οὔπω τὸ θῦμα προσενήνεκτο, οὔπω ἡ θυσία [g]γεγένητο, οὔπω ἦρτο ἡ ἁμαρτία, ἔτι ἐκράτει καὶ ἐτυράννει. Καὶ ἵνα μάθῃς, ὅτι οὐχ [h]οὕτω ῥᾳθυμίας ἦν ἡ ἄρνησις, ὅσον ἐγκαταλείψεως [i]τοῦ θεοῦ παιδεύοντος αὐτὸν εἰδέναι τὰ ἀνθρώπινα μέτρα, καὶ μὴ ἀντιλέγειν τοῖς παρὰ τοῦ διδασκάλου λεγομένοις, [k]μηδὲ μείζονα τῶν ἄλλων φρονεῖν, ἀλλ' εἰδέναι ὅτι [l]θεοῦ χωρὶς οὐδὲν B γενέσθαι δυνατὸν, καὶ ὅτι, [11]"[m]Ἐὰν μὴ κύριος οἶκον οἰκοδο-

9 Gal. iv. 19. v. 4. 10 Matth. xxvi. 75. 11 Psal. cxxvi. 1.

[s] τουτέστι] ὁ δὲ λέγει, τοῦτό ἐστι K. Sav. cet. [t] χωλὸν ex corr. A. [v] γὰρ om. K. [w] πεσόντας K. [x] φησὶν] παραινεῖ K. Sav. cet. Mox τέκνα A.R. Veron. [y] ἐξέπεσατε et mox ἐξέπεσαν R. Cat. [z] ἐὰν olim O. [a] δὲ om. A.R. Veron. invita Cat. οὐ μόνον—ἐξεζήτησεν om. K. inclusum a Sav. [b] μετάνοιαν] + λέγων, μετανοίας τόπον οὐχ εὗρεν K. Sav. cet. [c] αὐτοὺς] + μᾶλλον διὰ τούτου iidem. Statim πρὸς om. O. [d] ΗΘΙΚΟΝ. Περὶ μετανοίας ἀληθοῦς, καὶ ὅτι ἐν παντὶ χρὴ τὸν θεὸν φοβεῖσθαι, καὶ ἐργάζεσθαι τὰς θείας ἐντολὰς ἐπὶ προσδοκίᾳ τῶν ἀθανάτων μισθῶν. Veron. [e] τὴν om. N.O. Statim τοῦ in rasura O. τὴν τοῦ Π. om. R. [f] καὶ om. N. Mox ἔξω om. K.O. [g] γεγένητο] Sic K.N.O. γεγένοιτο A. ἐγεγένητο Edd. [h] οὕτως ἦν ῥᾳθυμίας hoc ord. K.N. [i] τοῦ om. a pr. m. O. [k] μηδὲ] καὶ μηδὲ A.R. Veron. [l] θ. χωρὶς] Sic A.O.R. χωρὶς θ. Edd. [m] ἂν O. Mox ὁ κύριος K.N. Sav. cet. Statim οἰκοδ. οἶκον hoc ord. K.N.O.

Digitized by Google

μήσῃ, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες [n]αὐτόν." [o]διὰ γὰρ (589)
τοῦτο καὶ πρὸς αὐτὸν μόνον εἶπεν ὁ Χριστὸς, ὅτι [12] "Ἤιτησεν
ὁ Σατανᾶς σινιάσαι σε ὡς τὸν σῖτον, [p]καὶ οὐ συνεχώρησα, ἵνα
μὴ ἐκλείπῃ ἡ πίστις σου." Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτὸν μέγα
φρονεῖν, συνειδότα ἑαυτῷ ὅτι μᾶλλον ἁπάντων ἀγαπᾷ τὸν
Χριστὸν, [q]διὰ τοῦτο [r]ἔκλαυσε πικρῶς, καὶ τὰ ἄλλα τὰ ἑξῆς
C τοῦ κλαυθμοῦ [s]ὅμοια πεποίηκε. Τί γὰρ ἐποίησε; Μυρίοις
[t]κινδύνοις ἑαυτὸν παρέβαλε μετὰ ταῦτα, [v]καὶ διὰ πολλῶν δείκνυ-
σιν αὐτοῦ τὴν ἀνδρείαν καὶ τὸ [w]παράστημα τῆς ψυχῆς. Μετε-
νόησε καὶ [x]Ἰούδας, ἀλλὰ κακῶς· ἀπήγξατο γάρ. Μετενόησεν,
ὅπερ ἔφην, καὶ [y]Ἡσαῦ· μᾶλλον δὲ οὗτος οὐδὲ μετενόησε· τὰ
γὰρ δάκρυα οὐκ ἦν μετανοίας, ἀλλὰ ἐπηρείας καὶ θυμοῦ μᾶλ-
λον· καὶ δείκνυσι τὰ ἑξῆς. Μετενόησεν ὁ μακάριος Δαυῒδ, οὕτω
λέγων· [13] "Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δά-
κρυσί μου τὴν στρωμνήν μου βρέξω·" καὶ τὴν πάλαι γεγενη-
D μένην ἁμαρτίαν, μετὰ τοσαῦτα ἔτη, μετὰ τοσαύτας γενεὰς, ὡς
[z]νεωστὶ συμβᾶσαν ἐπένθει. Τὸν γὰρ μετανοοῦντα οὐκ ὀργίζε-
σθαι χρὴ οὐδὲ ἀγριαίνειν, ἀλλὰ συντρίβεσθαι ὡς κατεγνωσμέ-
νον, ὡς οὐκ ἔχοντα παρρησίαν, ὡς καταδεδικασμένον, ὡς [a]ἀπὸ
ἐλέους σωθῆναι ὀφείλοντα μόνου, ὡς ἀγνώμονα περὶ τὸν εὐερ-
γέτην φανέντα, ὡς ἀχάριστον, ὡς ἀδόκιμον, ὡς μυρίων κολά-
σεων ἄξιον. Ἐὰν ταῦτα λογίζηται, οὐκ ὀργισθήσεται, οὐκ
ἀγανακτήσει, ἀλλὰ πενθήσει, κλαύσει, στενάξει καὶ [b]ὀδυρεῖται
289 νύκτα καὶ ἡμέραν. Τὸν μετανοοῦντα οὐδέποτε χρὴ [c]λήθῃ παρα-
δοῦναι τὴν ἁμαρτίαν, ἀλλὰ τὸν μὲν θεὸν παρακαλεῖν μὴ μνησθῆ-
ναι αὐτῆς, αὐτὸν δὲ μηδέποτε ἐπιλαθέσθαι [d]αὐτῆς· ἐὰν ἡμεῖς
αὐτῆς μνημονεύωμεν, ὁ θεὸς αὐτῆς ἐπιλήσεται. Παρ' ἡμῶν αὐ-
τῶν δίκην λάβωμεν, ἡμῶν αὐτῶν κατηγορήσωμεν· οὕτως [e]ἐξι-
λεωσόμεθα τὸν κριτήν. Ἁμαρτία γὰρ ὁμολογουμένη ἐλάττων

12 Luc. xxii. 31, 32. 13 Psal. vi. 7.

[n] *αὐτὸν* om. K. Veron. [o] *διὰ γὰρ—Σατανᾶς*] *ἄκουε πῶς ἀσφαλιζόμενος, καὶ πείθων μετριάζειν, εἶπε πρὸς αὐτὸν μόνον ὁ Χριστός· Σίμων, Σίμων, ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο* K. Sav. cet. [p] *καὶ οὐ συνεχώρησα*] *κἀγὼ ἐδεήθην περὶ σοῦ* iidem. Mox *ἐκλίπῃ* K. N. Sav. cet. [q] *διὰ*] + *γὰρ* erasum O. [r] *ἔκλαυσε*] *συγχωρεῖται πεσεῖν, ἀπαρνήσασθαι τὸν διδάσκαλον, διὰ τοῦτο καὶ κλαίει* K. Sav. cet. [s] *ὅμ. πεποίηκε* (*ἐποίησε* O.). *τί γὰρ ἐποίησε* (*πεποίηκε* Veron.)] *ὁμοίως ποιεῖ. τί γὰρ οὐκ ἐποίησε* K. Sav. cet. [t] *κ. ἑαυτὸν*] *ἑαυτὸν κ.* K.N.O. Statim *παρέβαλε* K.N.O. *παρέλαβε* R. Veron. *commisit* Mut. *περιέβαλε* A. Sav. cet. [v] *καὶ—αὐτοῦ*] *διὰ πολλῶν δεικνὺς ἑαυτοῦ* O. *διὰ πάντων δεικνὺς αὐτοῦ* K.N. Sav. cet. [w] *ἐπανάστημα* ex corr. O. [x] *ὁ Ἰούδας* N. Sav. cet. [y] *ὁ Ἡσαῦ* K.N. et ex corr. O. [z] *νεωστεὶ* R. *νεώστιον* Veron. [a] *ἀπὸ τοῦ ἐλ.* A. Mox *μόνον* K.R. [b] *ὀδυρῆται* A.R. *ὀδύρεται* Veron. et ex corr. O. [c] *λήθῃ παρ.*] *παρ. λήθῃ* A.O. *λήθῃ* om. Veron. [d] *αὐτῆς*] + *ἐὰν ἡμεῖς μὴ αὐτῆς μνημονεύωμεν, ὁ θεὸς αὐτῆς οὐκ ἐπιλήσεται* K.N. et in marg. O. invito Mut. [e] *ἐξιλεωσώμεθα* O.

Digitized by Google

γίνεται, μὴ ὁμολογουμένη δὲ χείρων. Ἂν γὰρ προσλάβῃ ἁμαρ-
τία τὴν ἀναισχυντίαν καὶ τὴν ἀγνωμοσύνην, [f]πῶς ὅλως δυνήσε-
ται φυλάξασθαι πάλιν μὴ τοῖς αὐτοῖς περιπεσεῖν, [g]ὁ τὸ πρότε- B
ρον οὐκ εἰδὼς ὅτι ἥμαρτε; Μὴ τοίνυν ἀρνώμεθα, παρακαλῶ,
μηδὲ ἀναισχυντῶμεν, ἵνα μὴ καὶ ἄκοντες δῶμεν τιμωρίαν. Ἤ-
κουσε Κάϊν παρὰ τοῦ θεοῦ, [14]"Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός
σου;" καί φησιν, "Οὐκ οἶδα· μὴ φύλαξ [h]εἰμὶ τοῦ ἀδελφοῦ
μου;" Εἶδες πῶς [i]τοῦτο χαλεπωτέραν τὴν ἁμαρτίαν εἰργά-
σατο; Ἀλλ' οὐχ ὁ πατὴρ αὐτοῦ οὕτως, [k]ἀλλὰ τί; Ἀκούσας,
[15]"Ἀδάμ, ποῦ εἶ;" φησὶν, "Ἤκουσα [l]τῆς φωνῆς σου, καὶ ἐφο-
βήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην." Μέγα ἀγαθὸν, ἐπιγινώ-
σκειν τὰ ἁμαρτήματα, καὶ [m]μεμνῆσθαι αὐτῶν διηνεκῶς· οὐδὲν
οὕτω θεραπεύει πλημμέλειαν, ὡς μνήμη διηνεκής· οὐδὲν οὕτως
ὀκνηρὸν ἄνθρωπον ποιεῖ πρὸς κακίαν. Οἶδα ὅτι ἀποπηδᾷ, καὶ C
οὐκ ἀνέχεται τὸ συνειδὸς ὑπὸ τῆς μνήμης μαστίζεσθαι τῶν
κακῶν· ἀλλ' ἄγξον τὴν ψυχὴν, καὶ ἐπίθες [n]αὐτῇ κημόν· καθά-
περ γὰρ ἵππος δυσήνιος, οὕτω δυσανασχετεῖ, καὶ οὐ βούλεται
πεῖσαι ἑαυτὴν ὅτι ἥμαρτε. Τοῦτο δὲ ὅλον ἐστὶ σατανικόν.
Ἀλλ' ἡμεῖς αὐτὴν πείθωμεν ὅτι ἥμαρτε· [o]πείθωμεν αὐτὴν ὅτι
ἥμαρτεν, ἵνα [p]καὶ μετανοήσῃ, [q]ἵνα μετανοήσασα ἀπαλλαγῇ τῶν
κολάσεων. Πῶς ἀξιοῖς συγγνώμης τυχεῖν, εἰπέ μοι, ἐπὶ τοῖς
ἁμαρτήμασι, [r]μηδέπω ὁμολογήσας; Πάντως ἐκεῖνός ἐστιν ἐλέ- D
ους καὶ φιλανθρωπίας ἄξιος ὁ ἡμαρτηκώς· σὺ δὲ μηδέπω πείσας
[s]σαυτὸν, πῶς ἀξιοῖς ἐλεηθῆναι, ἐπὶ [t]τίσιν οὕτως ἀναισχυντῶν;
Πείθωμεν ἑαυτοὺς ὅτι ἡμάρτομεν· μὴ τῇ γλώττῃ λέγωμεν μό-
νον, ἀλλὰ καὶ τῇ διανοίᾳ· μὴ ἁμαρτωλοὺς [v]καλῶμεν ἑαυτοὺς,
ἀλλὰ καὶ τὰ ἁμαρτήματα ἀναλογιζώμεθα, κατ' εἶδος [w]ἕκαστον
ἀναλέγοντες. Οὐ λέγω σοι, ἐκπόμπευσον [x]σαυτὸν, οὐδὲ παρὰ
τοῖς ἄλλοις κατηγόρησον, ἀλλὰ [y]πείθεσθαι τῷ προφήτῃ λέ-
γοντι, [16]"Ἀποκάλυψον πρὸς κύριον τὴν ὁδόν σου." Ἐπὶ τοῦ

14 Gen. iv. 9. 15 Gen. iii. 9, 10. 16 Psal. xxxvi. 5.

[f] πῶς ὅλως] οὐδέποτε στήσεται· πῶς δαὶ ὅλως ὁ τοιοῦτος K. Sav. cet. [g] οἱ ... εἰδότες ... ἥμαρτον olim O. [h] ἐγώ εἰμι Edd. ἐγὼ om. A.N.O.R. post μου transp. K. [i] τοῦτο om. K.N. [k] ἀλλὰ τί; om. Veron. [l] τὴν φωνήν R. [m] μεμνῆσθαι] Sic A.O.R. μιμνήσκεσθαι K.N. Sav. cet. ἐπιγινώσκειν—αὐτῶν] ἐπιμεμνῆσθαι τῶν ἁμαρτημάτων Veron. [n] αὐτὴν A. [o] Haec πείθωμεν — ἥμαρτεν accesserunt ex R. Mut. [p] καὶ superscript. in O. [q] ἵνα] καὶ ἵνα K. Sav. cet. [r] μ. ὁμολογήσας] ἃ μ. ὡμολόγησας K.N.O. μ. ταῦτα ὁμολογήσας Sav. cet. invitis omnibus. Mox ἐλέου O.R. [s] σαυτὸν] + ἡμαρτηκέναι K.O. Sav. cet. [t] ἐπὶ τίσιν] ἢ ἐπὶ τίσιν N.O. ἐπὶ τοῖς πλημμελήμασιν K. Sav. cet. [v] καλέσωμεν A. Post ἑαυτοὺς add. μόνον K.N. Sav. cet. Sic in marg. O. [w] ἕκαστα olim O. [x] ἑαυτὸν olim O. [y] πείθεσθαι] + συμβουλεύω K. Sav. cet.

Digitized by Google

290 θεοῦ [z]ταῦτα ὁμολόγησον, ἐπὶ τοῦ δικαστοῦ ὁμολόγει τὰ ἁμαρ-
τήματα, εὐχόμενος, εἰ καὶ μὴ τῇ γλώττῃ, ἀλλὰ τῇ μνήμῃ, καὶ
οὕτως ἀξίου ἐλεηθῆναι. Ἂν ἔχῃς τὰ ἁμαρτήματα διηνεκῶς ἐν
τῇ μνήμῃ, οὐδέποτε τῷ πλησίον μνησικακήσεις. [a]Οὐ λέγω, ἐὰν (590)
ᾖς πεπεισμένος [b]ἑαυτὸν ἁμαρτωλὸν εἶναι· οὐχ οὕτω τοῦτο δύνα-
ται ταπεινῶσαι ψυχὴν, ὡς αὐτὰ ἐφ' ἑαυτῶν τὰ ἁμαρτήματα,
[c]καὶ κατ' εἶδος ἐξεταζόμενα. Οὐ μνησικακήσεις, ταῦτα δι' ὅλου
ἔχων [d]ἐν μνήμῃ, οὐκ ὀργισθήσῃ, οὐ λοιδορήσεις, οὐ φρονήσεις
μέγα, οὐ περιπεσῇ πάλιν [e]τοῖς αὐτοῖς, σφοδρότερος ἔσῃ πρὸς
τὰ ἀγαθά.

B Ὁρᾷς ὅσα ἀπὸ τῆς μνήμης τῶν ἁμαρτημάτων [f]τίκτεται
καλά; Ἐγγράφωμεν τοίνυν [g]αὐτὰ εἰς τὰς διανοίας ἡμῶν.
Οἶδα ὅτι οὐκ ἀνέχεται ἡ ψυχὴ τῆς μνήμης τῆς οὕτω πικρᾶς·
ἀλλὰ ἀναγκάζωμεν αὐτὴν καὶ βιαζώμεθα. Βέλτιον [h]δάκνεσθαι
αὐτὴν τῇ μνήμῃ νῦν, [i]ἢ κατ' ἐκεῖνον τὸν καιρὸν τῇ τιμωρίᾳ.
Νῦν, ἐὰν ᾖς αὐτῶν μεμνημένος, καὶ συνεχῶς αὐτὰς προσφέρῃς
τῷ θεῷ, καὶ ὑπὲρ αὐτῶν δέῃ, ταχέως ἐξαλείψεις αὐτάς· [k]ἐὰν δὲ
C νῦν ἐπιλάθῃ, τότε αὐτῶν ἀναμνησθήσῃ καὶ ἄκων, ἐπὶ τῆς οἰκου-
μένης ἁπάσης εἰς μέσον φερομένων αὐτῶν, [l]ἐκπομπευομένων ἐπὶ
πάντων, καὶ φίλων καὶ ἐχθρῶν καὶ ἀγγέλων. Οὐ γὰρ δὴ πρὸς
Δαυῒδ ἔλεγέ μόνον, [17]"Ἃ σὺ [m]ἐποίησας ἐν κρυφῇ, ἐγὼ ποιήσω
πᾶσι κατάδηλα·" ἀλλὰ καὶ πρὸς πάντας ἡμᾶς. Ἐφοβήθης
ἀνθρώπους, φησὶ, καὶ ᾐσχύνθης τοῦ θεοῦ πλέον· καὶ τοῦ θεοῦ
ὁρῶντος οὐκ ἐφρόντισας, ἀλλὰ τοὺς ἀνθρώπους ᾐδέσθης· "Οἱ
ὀφθαλμοὶ γὰρ, φησὶ, τῶν ἀνθρώπων, [n]τοῦτο ὁ φόβος αὐτῶν."
D Διὰ τοῦτο [o]ἐν τούτῳ αὐτῷ δώσεις δίκην· ἐλέγξω γάρ σε, ὑπὸ
τοῖς ἁπάντων ὀφθαλμοῖς τιθείς σου τὰ ἁμαρτήματα. Ὅτι γὰρ
τοῦτό ἐστιν ἀληθὲς, καὶ κατ' ἐκείνην τὴν ἡμέραν πάντων ἡμῶν
ἐκπομπεύεται τὰ ἁμαρτήματα, ἐὰν [p]μὴ νῦν αὐτὰ τῇ συνεχεῖ
μνήμῃ [q]ἀφανίσωμεν, ἄκουσον πῶς ἐκπομπεύεται ἡ ὠμότης καὶ ἡ
[r]ἀπανθρωπία· [18]"Ἐπείνασα, φησὶ, καὶ οὐκ ἐδώκατέ μοι φα-

17 2 Reg. xii. 12. 18 Matth. xxv. 42.

z ταῦτα] αὐτὰ O. αὐτὰς N. ταῦτα om. K. a οὐ] + τοῦτο δὲ Sav. cet. invitis libris. b σαυτὸν K.N.O. Sav. cet. c καὶ om. K.N. d ἐν τῇ μν. K. Sav. cet. e τοῖς om. A.R. Veron. et a pr. m. O. f τίκτεται] + ἡμῖν in marg. O. g αὐτὰ om. K.N. h δάκνεσθαι αὐτὴν] αὐτὴν δάκνεσθαι αὐτῇ K.N. i ἢ] + τῇ N. Ergo bis habet. k ἂν O. l ἐκπομπ.] καὶ ἐκπομπ. A. Sav. cet. καὶ a 2da m. O. καὶ πομπ. N. m ἐποίησας ἐν κρ.] Sic omnes. ἐν κρ. ἐποίησας Edd. n τοῦτο] οὗτος N. et ex corr. O. o ἐν τούτῳ αὐτῷ] αὐτῷ τούτῳ K. ἐπὶ τούτων αὐτῶν N. et ex corr. O. receptum a Sav. in hoc ipso Mut. p μὴ ν. αὐτὰ] αὐτὰ μὴ ν. N. q ἀπαλείψωμεν K.N. r ἀπανθρωπία] + τῶν ἐνταῦθα μὴ ἐλεησάντων K. Sav. cet. Statim ἐπείνασα γὰρ, φ. N. et ex corr. O.

Digitized by Google

γεῖν.” Πότε ταῦτα λέγεται; ἆρα ἐν γωνίᾳ; ἆρα ἐν παρα-
βύστῳ; Οὐδαμῶς, ἀλλὰ πότε; Ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ [s]ἀνθρώ-
που ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντα τὰ ἔθνη συναγάγῃ, ὅταν 291
ἀφορίσῃ τούτους κἀκείνους, τότε [t]πάντων ἀκουόντων ἐρεῖ, [v]καὶ
στήσει ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων· “Ἐπείνασα, καὶ οὐκ ἐδώκατέ
μοι φαγεῖν.” Ὅρα πάλιν καὶ τὰς πέντε παρθένους ἐπὶ πάντων
ἀκουούσας, “Οὐκ οἶδα ὑμᾶς.” Αἱ γὰρ πέντε, καὶ πέντε, οὐχὶ
τὸν ἀριθμὸν δηλοῦσι τῶν πέντε μόνον, ἀλλὰ [w]τάς τε πονηρὰς
καὶ ὠμοὺς καὶ ἀπανθρώπους τῶν παρθένων, καὶ τὰς μὴ τοιαύτας.
Οὕτω καὶ ὁ τὸ ἓν τάλαντον κατορύξας, [x]ἤκουσεν ἐπὶ πάντων,
καὶ τῶν τὰ πέντε [y]καὶ δύο προσενεγκόντων· [19] “Πονηρὲ δοῦλε
καὶ ὀκνηρέ.” Οὐ διὰ ῥημάτων [z]δὲ μόνον, ἀλλὰ καὶ διὰ πραγμά- B
των τότε ἐλέγχει αὐτούς· καθάπερ καὶ ὁ εὐαγγελιστής φησιν,
[20] “Ὄψονται εἰς ὃν ἐξεκέντησαν.” Ὁμοῦ γὰρ ἡ ἀνάστασις
ἔσται πάντων, [a]ἁμαρτωλῶν καὶ δικαίων· ὁμοῦ παρέσται κρίνων
ἅπασιν. Ἐννόησον οὖν τίνες ἔσονται τότε οἱ ἐν κατηφείᾳ, [b]οἱ
ἐν ὀδύνῃ, οἱ ἑλκόμενοι εἰς τὸ πῦρ, στεφανουμένων ἑτέρων.
[21] “[c]Δεῦτε, φησὶν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονο-
μήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν [d]ἀπὸ καταβολῆς κό-
σμου·” καὶ πάλιν, “Ἀπέλθετε ἀπ’ [e]ἐμοῦ εἰς τὸ πῦρ τὸ ἡτοι-
μασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.” Μὴ ἁπλῶς C
τῶν ῥημάτων ἀκούωμεν, ἀλλ’ ὑπογράψωμεν αὐτὰ καὶ [f]τῇ ὄψει,
καὶ νομίσωμεν νῦν παρεῖναι αὐτὸν, καὶ [g]ταῦτα λέγειν, καὶ ἀπά-
γεσθαι ἡμᾶς εἰς τὸ πῦρ ἐκεῖνο. [h]Τίνα ἕξομεν ψυχήν; ποίαν
παραμυθίαν; Τί δὲ, ὅταν διχοτομώμεθα; τί δὲ, ὅταν ὑπὲρ
ἁρπαγῆς ἐγκαλώμεθα; ποίαν ἕξομεν [i]εἰπεῖν πρόφασιν; τίνα
λόγον εὐπρόσωπον; Οὐδένα· [k]ἀλλ’ ἀνάγκη δεσμουμένους, κάτω
νεύοντας, σύρεσθαι πρὸς τὰ τῶν καμίνων στόματα, πρὸς τὸν
ποταμὸν τοῦ πυρὸς, πρὸς τὸ σκότος, πρὸς τὰς ἀθανάτους κο-
λάσεις, καὶ μηδενὸς [l]δεῖσθαι. [22] Οὐ γὰρ ἔστιν, [m]οὐκ ἔστι, φησὶν, D
ἐντεῦθεν διαβῆναι ἐκεῖ· χάσμα γὰρ μέγα μεταξὺ ἡμῶν τε καὶ ὑμῶν,

19 Matt. xxv. 26. 20 Joan. xix. 37. 21 Matth. xxv. 34, 41. 22 Luc. xvi. 26.

[s] ἀνθρώπου] θεοῦ R. Veron. et in text. O. Mox τῇ om. K. [t] ἁπάντων K.N. [v] καὶ στήσει] στήσας K.N. Sav. cet. Mox ἐπείνασα γὰρ, καὶ A. [w] τάς τε] τὰς N.O. πάσας τὰς K. Sav. cet. [x] ἤκουεν O. [y] καὶ] + τῶν τὰ N. Sav. cet. Sic ex corr. O. Mox προσενεγκάντων K. [z] δὲ om. K. Sav. cet. [a] ἁμ.] καὶ ἁμ. K.N.O. Sav. cet. [b] οἱ ἐν ὀδύνῃ om. A.R. Veron. [c] δεῦτε] + γὰρ O. [d] ἀπὸ] πρὸ A.R. [e] ἐμοῦ] + οἱ κατηράμενοι in marg. O. [f] τῇ om. K. [g] ταῦτα λ.] Sic omnes. λ. ταῦτα Edd. [h] τίνα] ποίαν K.N. [i] εἰπεῖν πρόφασιν] ἀπολογίαν εἰπεῖν K. [k] ἀλλὰ ἀν. bis K.N. [l] δεῖσθαι (δέεσθαι olim. O.)] + πρὸς ἀπαλλαγὴν δύνασθαι K. Sav. cet. [m] οὐκ ἔστι—διαβῆναι] Sic A.R. οὐκ ἔστι, φ. διαβῆναι ἐντεῦθεν O. οὐκ ἔστι διαβῆναι, φ. ἐντεῦθεν K.N. φησὶν, οὐκ ἔστιν ἐντεῦθεν διαβῆναι Edd.

Digitized by Google

καὶ οὐδὲ βουλομένοις ἔνι μεταβῆναι, καὶ ὀρέξαι χεῖρα· ἀλλ᾽
ἀνάγκη καίεσθαι διαπαντὸς, οὐδενὸς ἡμῖν ἀμύνοντος, κἂν πατὴρ
ᾖ, κἂν μήτηρ, κἂν ὁστισοῦν, κἂν πολλὴν ἔχῃ πρὸς τὸν θεὸν
παρρησίαν. [23] "Ἀδελφὸς γάρ, φησὶν, οὐ λυτροῦται· [n]λυτρώ-
σεται ἄνθρωπος;" Ἐπεὶ οὖν οὐκ [o]ἔστιν ἐν ἑτέρῳ τὰς ἐλπίδας
292 [p]ἔχειν τῆς σωτηρίας, ἀλλ᾽ ἐν αὐτῷ μετὰ τὴν τοῦ θεοῦ φιλαν-
θρωπίαν, παρακαλῶ, πάντα πράττωμεν, ὥστε ἡμῖν τὸν βίον (591)
γενέσθαι καθαρὸν καὶ τὴν πολιτείαν ἀρίστην, καὶ μηδὲ παρὰ
τὴν ἀρχὴν δέξασθαι κηλῖδά τινα· εἰ δὲ [q]μὴ, μετὰ γοῦν τὴν κη-
λῖδα μὴ καθεύδωμεν, ἀλλὰ διαπαντὸς ἐπιμένωμεν ἀποπλύνοντες
τὸν ῥύπον διὰ μετανοίας, διὰ δακρύων, [r]διὰ εὐχῶν, διὰ ἐλεημο-
σύνης. Τί οὖν, ἐὰν μὴ ἔχω, [s]φησὶν, ἐλεημοσύνην ἐργάζεσθαι;
Ἀλλὰ [t]ψυχροῦ ποτήριον ἔχεις, [v]ὅσον ἂν ᾖς πένης· [w]ἀλλὰ δύο
λεπτὰ ἔχεις, ὡς ἂν ᾖς ἐν πενίᾳ· ἀλλὰ πόδας ἔχεις ὥστε ἐπι-
B σκέψασθαι ἀρρώστους, ὥστε εἰς δεσμωτήριον εἰσελθεῖν, ἀλλὰ
στέγην ἔχεις ὥστε δέξασθαι [x]ξένους. Οὐ γάρ ἐστιν, οὐκ ἔστι
συγγνώμη οὐδεμία [y]τῷ ἐλεημοσύνην μὴ ἐργαζομένῳ. Ταῦτα
συνεχῶς [z]λέγομεν πρὸς ὑμᾶς, ἵνα κἂν μικρὸν ἀπὸ τῆς συνεχείας
ἀνύσωμεν· ταῦτα λέγομεν, οὐ τῶν εὖ πασχόντων φροντίζοντες,
ὡς ὑμῶν. Ἐκείνοις μὲν γὰρ τὰ ἐνταῦθα [a]δίδοτε, ἀντιλαμβάνετε
δὲ τὰ οὐράνια· ὧν γένοιτο πάντας [b]ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ
Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ
πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

293

ΛΟΓΟΣ ΛΒ.

[1] Οὐ γὰρ προσεληλύθατε [a]ψηλαφωμένῳ καὶ κεκαυμένῳ πυρὶ,
[b]καὶ γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ, καὶ σάλπιγγος ἤχῳ, καὶ
φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο [c]μὴ προστε-
θῆναι αὐτοῖς λόγον· οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον·
Κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται· καὶ, οὕτω
φοβερὸν ἦν τὸ φανταζόμενον, Μωϋσῆς εἶπεν, [d]ἔμφοβός εἰμι
B καὶ ἔντρομος· ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει

23 Psal. xlviii. 8. 1 Cap. XII. v. 18—24.

[n] λυτρώσεται] οὐ λυτρωθήσεται R. [o] ἔνεστιν R. [p] ἔχειν τῆς σ.] τῆς σ. ἔχειν A.K.N.R. Mox ἐν ἑαυτῷ K.N.O. [q] μὴ] ἐδεξάμεθα K. Sav. cet. [r] δι᾽ εὐχῶν, δι᾽ ἐλ. K. [s] φησὶν, ἐλ.] ἐλ. φησὶν K.N. Statim ἐργάσασθαι K.N. et ex corr. O. [t] ψυχρὸν N.O.R. Statim ποτηρίου A. [v] ὅσα R. Veron. [w] ἀλλὰ—πενίᾳ om. R. Veron. ὡς (ὅσῳ O.) ἂν—ἔχεις om. A. [x] ξένον N.O. Mut. [y] τῶν . . . ἐργαζομένων Veron. [z] λέγωμεν bis R. [a] δίδοται, ἀντιλαμβάνεται R. et a pr. m. O. [b] ὑμᾶς K. Hom. XXXII. [a] ψηλ.] ψηλ. ὄρει O. Cat. ὄρει ψηλ. Sav. cet. invitis libris et Mut. [b] καὶ assumtum ex omnibus. Mox σκότει a pr. m. O. [c] μὴ om. N. et in 2do loco K.N. [d] ἔμφοβος] Sic K.N. Cat. et ex corr. O. ἔκφοβος Edd.

Digitized by Google

θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει, καὶ ἐκκλησίᾳ πρωτοτόκων [e]ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων, [f]καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον λαλοῦντι παρὰ [g]τὸν Ἄβελ.

ἫΝ [h]μὲν τὰ κατὰ τὸν ναὸν θαυμαστὰ, [i]τὰ ἅγια τῶν
ἁγίων· ἦν δὲ πάλιν [k]σεμνὰ καὶ ταῦτα τὰ κατὰ τὸ Σινᾶ ὄρος
γεγενημένα, τὸ πῦρ, τὸ σκότος, ὁ γνόφος, ἡ θύελλα· "Ὤφθη C
γὰρ, φησὶν, ὁ θεὸς ἐν [l]Σινᾷ·" [m]καὶ πάλαι ᾔδετο ἅπαντα ταῦ-
τα. Ἡ μέντοι διαθήκη ἡ καινὴ [n]μετ' οὐδενὸς τούτων ἐδόθη,
ἀλλ' ἐν διαλέξει ψιλῇ παρὰ τοῦ [o]θεοῦ δέδοται. Ὅρα τοίνυν
πῶς ποιεῖται τὰς συγκρίσεις [p]καὶ τούτων. Καὶ εἰκότως αὐτὰ
ὕστερα ἔθηκεν. Ὅτε γὰρ αὐτοὺς διὰ μυρίων ἔπεισεν, ὅτε καὶ
τὸ μέσον ἔδειξεν ἑκατέρας τῆς διαθήκης, τότε λοιπὸν [q]προ-
κατεγνωσμένης αὐτῆς, ῥᾳδίως καὶ τούτοις ἐπιχειρεῖ. Καὶ τί
φησιν; "Οὐ γὰρ προσεληλύθατε [r]ψηλαφωμένῳ καὶ κεκαυ-
μένῳ πυρὶ, καὶ γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ, καὶ σάλπιγγος
ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ D
προστεθῆναι αὐτοῖς [s]λόγον." Φοβερὰ ταῦτα, [t]φησὶ, καὶ οὕτω
φοβερὰ, [v]ὡς μηδὲ φέρειν τὴν ἀκοὴν, [w]ὡς μηδὲ θηρίον τολμᾶν
ἀνιέναι· ἀλλ' οὐ τοιαῦτα οἷα τὰ μετὰ ταῦτα. Τί γὰρ τὸ Σινᾶ
πρὸς τὸν οὐρανόν; τί δὲ τὸ ψηλαφώμενον πῦρ πρὸς τὸν ἀψη-
λάφητον θεόν; "Ὁ θεὸς γὰρ [x]πῦρ καταναλίσκον." [2] "Μὴ
λαλείτω [y]γὰρ, φησὶν, ὁ θεὸς, ἀλλὰ λαλείτω ἡμῖν [z]Μωϋσῆς."
"Καὶ, οὕτω φοβερὸν ἦν τὸ [a]διαστελλόμενον· κἂν θηρίον θίγῃ 294
τοῦ ὄρους, [b]λιθοβοληθήσεται· [c]Μωϋσῆς εἶπεν, ἔμφοβός εἰμι καὶ

2 Exod. xx. 19.

[e] ἐν οὐρ. ἀπ.] ἀπ. ἐν οὐρ. N. et in 2do loco K.N. [f] καὶ—Ἰησοῦ om. K. [g] τὸν] τὸ N. et ex corr. O. [h] μὲν τὰ] τὰ μὲν, ut videtur, olim O. [i] τὰ om. A.O.R. τὰ et τῶν om. Veron. [k] σεμνὰ] φοβερὰ K. Sav. cet. [l] Σιναὶ A. Veron. [m] καὶ πάλαι (πάλιν O.)—ταῦτα] διὰ πυρὸς καὶ θυέλλης καὶ γνόφου K. Sav. cet. [n] μετ' om. O. Mox ἐδεήθη pro ἐδόθη idem. ἐδόθη om. K.N. [o] θεοῦ] Χριστοῦ N.O. Mut. Statim δέδοτο N.O. [p] καὶ om. Cat. et olim O. Mox ὕστερον K.N. Cat. [q] προκ.] ὡς προκ. A.K. Sav. cet. invita Cat. [r] ψηλ.] ὄρει ψηλ. K. Sav. cet. Mox πυρὶ in ras. O. [s] λόγον] + οὐκ ἔφερον—λιθοβοληθήσεται K.N. Sav. cet. sed inclusum a Sav. [t] φησὶ om. K. [v] ὡς—ἀνιέναι] ὡς μηδὲ θ. τολμᾶν ἀνιέναι, μηδὲ φέρειν τὴν ἀ. K. [w] ὡς om. Veron. [x] πῦρ κατ.] ἡμῶν πῦρ κατ. φησὶν K. Sav. cet. Post φησὶν add. ὅτι δὲ φρίκης ἔγεμον τὰ ἐν τῷ ὄρει τότε γεγενημένα, δῆλον ἐξ ὧν ἔλεγον iidem. [y] γὰρ] + ἡμῖν N.O. Cat. Mut. γὰρ, φησὶν om. K. Sav. cet. [z] Μωϋσῆς] + οὐκ ἔφερον γὰρ, φησὶ—λιθοβοληθήσεται iidem. [a] διαστελλόμενον] φανταζόμενον K.N. Sav. cet. invita Cat. Statim κἂν—λιθοβοληθήσεται om. K.O. Mut. Sav. cet. invita Cat. [b] λιθοβοληθήσεται] + καὶ οὕτω φοβ. ἦν τὸ διαστελλόμενον (φανταζόμενον Cat.) N.R. Cat. Veron. [c] Μωϋσῆς] ὅτι καὶ Μωϋσῆς K. Mox ἔμφοβος pro ἔκφοβος K. Cat. et ex corr. O.

Digitized by Google

ἔντρομος.” Τί θαυμαστὸν [d]περὶ τοῦ λαοῦ; αὐτὸς [e]ὁ εἰς τὸν
γνόφον εἰσελθὼν, οὗ ἦν ὁ θεὸς, [f]φησὶν, “Ἔμφοβός εἰμι καὶ
ἔντρομος.” “Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει θεοῦ (592)
ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύ-
ρει, καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων,
B καὶ κριτῇ θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων, καὶ
διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον
λαλοῦντι παρὰ [g]τὸν Ἄβελ.” [h]Ἀντὶ Μωϋσέως ὁ Ἰησοῦς· [i]ἀντὶ
τοῦ λαοῦ μυριάδες ἀγγέλων. Πρωτοτόκων τίνων φησί; Τῶν
πιστῶν. “Καὶ πνεύμασι δικαίων τετελειωμένων.” Μετὰ [k]τού-
C των ἐστὲ, φησί. “Καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι
ῥαντισμοῦ, [l]κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ;” Τὸ γὰρ [m]τοῦ
Ἄβελ ἐλάλησε; [n]Ναὶ, φησί· “Καὶ δι’ [o]αὐτῆς ἀποθανὼν ἔτι
λαλεῖ.” [p]Καὶ πάλιν ὁ θεός φησι· [3]“Φωνὴ αἵματος τοῦ ἀδελφοῦ
σου βοᾷ πρός με.” [q]Ἢ τοῦτο, ἢ ἐκεῖνο, ὅτι [r]ἔτι καὶ νῦν ᾄδε-
ται· ἀλλ’ οὐχ οὕτως ὡς τὸ τοῦ Χριστοῦ· τοῦτο γὰρ πάντας
[s]ἐκάθαρε, καὶ φωνὴν ἀφίησι λαμπροτέραν καὶ εὐσημοτέραν, ὅσῳ
μείζονα τὴν μαρτυρίαν ἔχει τὴν διὰ τῶν πραγμάτων.

D [4]“Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. Εἰ γὰρ ἐκεῖνοι
οὐκ [t]ἐξέφυγον, [v]τὸν ἐπὶ γῆς παραιτησάμενοι χρηματίζοντα,
πολλῷ μᾶλλον [w]ἡμεῖς οἱ τὸν ἀπ’ οὐρανοῦ ἀποστρεφόμενοι.
Οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε· νῦν δὲ ἐπήγγελται, λέγων·
Ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν.
Τὸ δὲ, ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν, ὡς
[x]πεποιημένων, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα. Διὸ βασιλείαν

[3] Gen. iv. 10. [4] v. 25—29.

[d] περὶ τοῦ λ.] φησὶν, περὶ τοῦ λ. N.O. Cat. Mut. εἰ περὶ τοῦ λ. τοιαῦτα παθεῖν διαλέγεται, ὅπου καὶ K. Sav. cet. [e] ὁ om. A. [f] φησὶν] λέγει K. [g] τὸν] τοῦ K. τὸ N. et ex corr. O. [h] ἀντὶ (+ τοῦ R. Veron.)] ὅρα διὰ πόσων ἔδειξε τὸ ὑπερέχον τῆς καινῆς πρὸς τὴν παλαιάν. ἀντὶ γὰρ τῆς κάτω Ἱερ. ἡ ἐπουράνιος· προσεληλύθατε γὰρ, φησὶ, πόλει θ. ζ. Ἱερ. ἐπουρανίῳ· ἀντὶ K. Sav. cet. invitis Cat. Mut. [i] ἀντὶ (+ δὲ N.) τοῦ λαοῦ—καὶ αἵματι] καὶ διαθήκης, φησὶ, νέας μεσίτῃ Ἰησοῦ· ἀντὶ δὲ τοῦ λαοῦ πάντες οἱ ἄγγελοι· καὶ μυριάσιν ἀγγέλων πανηγύρει, φησί. τίνας δὲ πρωτοτόκους καλεῖ λέγων, καὶ ἐκκλησίᾳ πρωτοτόκων; πάντας τοὺς χοροὺς τῶν πιστῶν. τοὺς αὐτοὺς δὲ καὶ πνεύματα δικαίων τετελ. λέγει. μὴ τοίνυν ἀσχάλλετε· μετὰ τούτων ἔσεσθε, φησί. τί ἐστιν ὃ λέγει, αἵματι K. Sav. cet. invitis Cat. Mut. [k] τούτων] πάντων A. Statim ἔσται A.R. Veron. et a pr. m. O. *eritis* Mut. [l] κρείττονα N.O. Mox παρὰ τοῦ Ἄ. K. [m] τοῦ] τὸ τοῦ N. [n] ναὶ, φησὶ] φησί; ναὶ N. ναί· καὶ πῶς, ἄκουε Παύλου λέγοντος, πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε, δι’ ἧς ἐμαρτυρήθη εἶναι δίκαιος K. Sav. cet. [o] αὐτῆς] + φησὶν N. et ex corr. O. [p] καὶ—φησι] τοῦτο καὶ ὁ θ. δείκνυσι λέγων K. Sav. cet. [q] ἢ τ. ἢ ἐκεῖνο] ἢ (ἢ om. K.) τοῦτο τοίνυν ἔστιν εἰπεῖν, ἢ iidem. [r] ἔτι καὶ νῦν] καὶ ἔτι καὶ νῦν A. καὶ νῦν ἔτι K. [s] ἐκάθηρε A.N. Cat. Sav. cet. Sic ex corr. O. [t] ἔφυγον O. Cat. [v] τὸν om. N. et ex corr. O. Mox τὸν χρηματίζοντα iidem. [w] ὑμεῖς A.R. Veron. Mox ἀπ’ om. A. ἀπ’ οὐρανῶν ex corr. O. [x] πεποιημένα A. μετα πεποιημένων (sic) N. ἵνα μείνῃ τὰ μὴ σ. om. A.

Digitized by Google

ἀσάλευτον [y]παραλαμβάνοντες, ἔχωμεν χάριν, δι' ἧς [z]λατρεύομεν
εὐαρέστως τῷ θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας. Καὶ γὰρ ὁ θεὸς 295
ἡμῶν πῦρ καταναλίσκον." Φοβερὰ ἐκεῖνα, ἀλλὰ [a]πολλῷ [b]ταῦτα
θαυμασιώτερα καὶ λαμπρότερα· οὐ γὰρ σκότος ἐνταῦθα, οὐδὲ
γνόφος, οὐδὲ [c]θύελλα. Ἐμοὶ δοκεῖ δι' ἐκείνων αἰνίττεσθαι τὸ
ἀσαφὲς τῆς παλαιᾶς, καὶ [d]τὸ συνεσκιασμένον τοῦ νόμου καὶ τὸ
συγκεκαλυμμένον. Ἄλλως δὲ, [e]ὁ νομοθέτης ἐν πυρὶ φαίνεται
φοβερὸς, καὶ κολαστικὸς τοῖς παραβαίνουσι. [f]Τί δὲ οἱ ἦχοι
τῆς σάλπιγγος; Εἰκότως, ἅτε ὡς βασιλέως τινὸς παρόντος.
Τοῦτο γοῦν καὶ ἐπὶ τῆς δευτέρας ἔσται παρουσίας· [g]ἐν τῇ B
ἐσχάτῃ σάλπιγγι πάντας [h]διεγηγέρθαι δεῖ. Ἡ δὲ τῆς φωνῆς
σάλπιγξ τοῦτο ποιεῖ. Πάντα τοίνυν τότε αἰσθητὰ, καὶ ὄψεις
καὶ φωναί· πάντα νοητὰ [i]καὶ ἀόρατα νῦν. Καὶ καπνὸς, φησὶ,
πολὺς ἦν. Ἐπειδὴ γὰρ ὁ θεὸς λέγεται πῦρ εἶναι, καὶ ἐν [k]τῇ
βάτῳ οὕτως ἐφάνη, καὶ διὰ τοῦ καπνοῦ τὸ πῦρ δείκνυσι. Τί δὲ
ὁ γνόφος καὶ τὸ σκότος; Πάλιν τὸ φοβερὸν ἐμφαίνει. Οὕτω
καὶ [l]ὁ Ἡσαΐας φησί· [5] "[m]Καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ."
[n]Καὶ ἡ θύελλα τί βούλεται; Ῥᾴθυμον τὸ γένος τὸ ἀνθρώ-
πινον ἦν· ἔδει τοίνυν αὐτὸ διανίστασθαι τούτοις. Οὐδεὶς γὰρ C
οὕτω νωθὴς, [o]ὃς οὐκ ἄνω τὴν διάνοιαν εἶχε γινομένων τούτων
[p]καὶ νομοθετουμένων. Μωϋσῆς ἐλάλει, ὁ δὲ θεὸς [q]ἀπεκρίνετο
αὐτῷ φωνῇ· ἔδει γὰρ τοῦ θεοῦ φέρεσθαι τὴν φωνήν. [r]Ἐπειδὴ
διὰ Μωϋσέως ἔμελλε νομοθετεῖν, διὰ τοῦτο ἀξιόπιστον αὐτὸν
ποιεῖ. Οὐχ ἑώρων αὐτὸν διὰ τὸν γνόφον, οὐκ ἤκουον αὐτοῦ διὰ

5 Esai. vi. 4.

[y] παραλαβόντες R. Cat. et olim O. Statim ἔχομεν A.O.R. Cat. Veron. Ben. [z] λατρεύωμεν Sav. Mor. Ben. repugnantibus libris et Cat. Statim εὐαρέστως om. N. Mox μετ' εὐλαβείας καὶ δέους idem. [a] πολλῷ] + μᾶλλον K.N.O. invita Cat. [b] τ. θαυμασιώτερα] τ. θαυμαστότερα N. et ex corr. O. φοβερώτερα τ. K. [c] θύελλα] ὥσπερ ἐκεῖ. καὶ τίνος ἕνεκεν διὰ πυρὸς ὤφθη τότε ὁ θεός; K. Sav. cet. [d] τὸ om. O. Mox λόγου pro νόμου N. [e] ὁ ν.—φοβερὸς] ἵνα δείξῃ ὅτι ὁ ν. φοβερὸς ὀφείλει εἶναι K. Sav. cet. [f] τί δὲ—παρόντος] εἰκότως δὲ καὶ ἡ φωνὴ τῆς σ. γίνεται, ἅτε βασιλέως παρουσίαν σημαίνουσα K. [g] ἐν τῇ ἐσχάτῃ—τὸ φ. ἐμφαίνει] σαλπίσει γὰρ, φησὶ, καὶ πάντες ἀναστησόμεθα. ὥστε τῇ τοῦ θεοῦ δυνάμει πάντων ἡ ἀνάστασις ἔσται. ἡ δὲ φωνὴ τῆς σ. οὐδὲν ἕτερον, ἀλλ' ἢ τοῦτο δηλοῖ, ὅτι πάντας ἐγηγέρθαι δεῖ. ἀλλὰ τότε μὲν ἦσαν ἐκεῖνα αἰσθητὰ, καὶ ὄψεις καὶ φωναί· τὰ δὲ μετὰ ταῦτα πάντα, νοητὰ καὶ ἀόρατα. καὶ τὸ μὲν πῦρ τοῦτο δηλοῖ, ὅτι ὁ θ. πῦρ ἐστι. πῦρ γὰρ, φησὶν, ὁ θ. ἡμῶν καταναλίσκον· ὁ δὲ γν. καὶ τὸ σκ. καὶ ὁ καπνὸς πάλιν τὸ φ. ἐμφαίνει K. Sav. cet. [h] ἐγερθῆναι N. [i] καὶ] + τὰ ex corr. O. [k] τῇ] Sic N.O. Cat. τῷ A.R. Veron. [l] ὁ om. O. [m] καὶ] + εἶδον ὅτι K. [n] καὶ ἡ θ.—τούτοις] ἡ θ. δὲ τί δηλοῦν βούλεται; ῥᾴθυμον τὸ γ. τῶν Ἰουδαίων ἦν, καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἀγνωμοσύνῃ βιοῦν· ἐπεὶ τοίνυν τοιοῦτοι ἦσαν ἀεὶ, καὶ ἔδει διανίστασθαι, τοῖς τοιούτοις αὐτοὺς διανίστησιν K. [o] ὃς] ὡς R. Mox ἔσχε K. et ex corr. O. [p] καὶ om. A.R. Veron. invita Cat. [q] ἀπεκρίνατο K.N.O. Cat. Mox ἔδει—φωνὴν om. K. [r] ἐπειδὴ] Sic nostri omnes et Cat. ἐπεὶ δὲ Edd. Mox ἐποίει pro ποιεῖ O. Cat.

τὸ ἰσχνόφωνον. Τί οὖν; [s]Ὁ θεὸς ἀπεκρίνατο φωνῇ δημηγο-
D ρῶν· ἀλλ' ὄνομα αὐτοῦ [t]καλέσεται. "Παρῃτήσαντο, φησὶ, μὴ (593)
προστεθῆναι αὐτοῖς λόγον." Ἄνωθεν ἄρα αὐτοὶ γεγόνασιν
αἴτιοι τοῦ διὰ σαρκὸς φανῆναι τὸν [v]θεόν. "Λαλείτω ἡμῖν,
φησὶ, Μωϋσῆς, καὶ μὴ λαλείτω [w]ἡμῖν ὁ θεός." Οἱ τὰς συγκρί-
σεις ποιοῦντες, [x]μᾶλλον ἐκεῖνα [y]αἴρουσιν, ἵνα ταῦτα πολλῷ
296 μείζονα [z]δείξωσιν· καὶ [a]ταύτῃ [b]καὶ ἡμερώτερα καὶ θαυμασιώ-
τερα τὰ ἡμέτερα. Διπλῇ γὰρ [c]μεγάλα· ὅτι λαμπρὰ ὄντα καὶ
μείζονα, εὐπρόσιτα μᾶλλόν [d]ἐστι. Τοῦτο καὶ ἐν τῇ πρὸς Κο-
ρινθίους ἐπιστολῇ γράφων [e]φησί· [6] "Ἀνακεκαλυμμένῳ προσώ-
πῳ, καὶ οὐχ ὡς Μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ [f]τὸ πρόσωπον
αὐτοῦ." [g]Οὐκ ἠξιώθησαν, φησὶν, [h]ὧν ἡμεῖς ἐκεῖνοι. Τίνος [i]γὰρ
κατηξιώθησαν; Σκότος εἶδον, γνόφον, φωνῆς ἤκουσαν. Ἀλλὰ
καὶ σὺ φωνῆς ἤκουσας, οὐ διὰ γνόφου, ἀλλὰ διὰ σαρκός· οὐ
B διεταράχθης [k]οὐδὲ διεθορυβήθης, ἀλλὰ καὶ ἔστης καὶ διελέχθης
τῷ μεσίτῃ. Ἄλλως δὲ, καὶ τὸ ἀόρατον δείκνυσι διὰ τοῦ σκό-
τους· [7] "Καὶ γνόφος, φησὶν, ὑπὸ τοὺς πόδας αὐτοῦ." Τότε
καὶ Μωϋσῆς ἔδεισε, [l]νυνὶ δὲ οὐδείς· [m]ὥσπερ κάτω εἱστήκει ὁ
λαὸς τότε, [n]οὕτω καὶ ἡμεῖς· οὐκ ἦσαν κάτω, ἀλλ' οὐρανοῦ κάτω.
Ἐγγὺς τοῦ θεοῦ [o]ὁ υἱὸς, ἀλλ' οὐχ ὡς Μωϋσῆς. Ἐκεῖ ἔρημος
ἦν, ἐνταῦθα πόλις. "Καὶ μυριάσιν ἀγγέλων πανηγύρει." Ἐν-
ταῦθα τὴν χαρὰν δείκνυσι, [p]τὴν εὐφροσύνην, ἀντὶ τοῦ γνόφου

[6] 2 Cor. iii. 18, 13. [7] Psal. xvii. 10.

[s] ὁ θ. ἀπεκρίνατο (ἀπεκρίνετο ὁ θ. A.)—ἄνωθεν ἄρα (ἆρα A.O.)] ἀποκρίνεται ὁ θ. φωνῇ φθεγγόμενος, ὥσπερ καὶ δημηγορῶν, καὶ ἐξακουστὰ ποιῶν τὰ νομοθετούμενα. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα· οὐ γὰρ προσεληλύθατε ψηλ. ὄρει, καὶ κεκ. πυρὶ, καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκ. παρῃτήσαντο, φησὶ, μὴ προστεθῆναι αὐτοῖς τὸν λόγον. ἄρα K. Sav. cet. [t] Vid. Annot. [v] θεὸν] + τί δὲ καὶ ἔλεγον; K. Sav. cet. Mox φησὶ om. iidem et in text. O. [w] ἡμῖν om. K. [x] μᾶλλον] + δὲ A.R. Veron. eras. in O. [y] ἀναίρουσιν A. ἀναιροῦσιν K.O.R. Cat. Veron. [z] δείξωσιν] + ἐγὼ δὲ κἀκεῖνα ἡγούμενος θαυμαστά· θεοῦ γὰρ ἔργα, καὶ τῆς αὐτοῦ δυνάμεως ἀπόδειξις· ὅμως K. Sav. cet. [a] ταύτῃ] ταῦτα A.R. Cat. Veron. Sic, sed ῃ a pr. m. superscripto O. [b] καὶ ἡμερ. καὶ θαυμ.] Sic N.O. Cat. Mut. καὶ θαυμ. καὶ ἡμερ. A.R. Sic, sed om. τὰ ἡμέτερα, Veron. καὶ ἡμερώτερα om. K. Sav. cet. Post ἡμέτερα add. δείκνυμι iidem. [c] μεγάλα· ὅτι] μεγαλειότητι N.O. ὅτι λ. ὄντα καὶ μ.] ὅτι τε λ. καὶ ὅτι μ. ὄντα K. Sav. cet. [d] ἐστι] + καὶ ἡμερώτερα iidem. [e] φησὶ] + ἡμεῖς δὲ iidem. Post προσώπῳ add. τὴν δόξαν κυρίου κατοπτριζόμεθα iidem. [f] τὸ assumtum ex A.N.O.R. ἐπὶ τοῦ προσώπου K. [g] οὐκ ἠξ. φ.] δηλῶν ὡς οὐκ ἠξ. K. [h] ὧν ἡμεῖς (ὑμεῖς O.R.) ἐκεῖνοι] ἐκεῖνοι ὧν ἡμεῖς K.N. [i] γὰρ] + καὶ K. [k] οὐδὲ ἐθορ. K. οὐ διεθορ. O. [l] νῦν K. Mox οὐ pro οὐδεὶς Sav. Mor. invitis omnibus. [m] ὥσπερ om. K.N. Sav. cet. erasum in O. Mox ὁ λαὸς om. A.R. Veron. invita Cat. [n] οὕτω καὶ ἡμεῖς· (ὑμεῖς R. Veron.) οὐκ ἦσαν κάτω, ἀλλ' οὐρανοῦ (οὐ pro οὐρανοῦ A.) κάτω] ἡμεῖς δὲ οὐκ ἐσμὲν (haec in ras. a 2da m. O.) κάτω, ἀλλὰ τοῦ οὐρανοῦ (ἀλλ' οὐρανοῦ N.O.) ἀνώτεροι (hoc in rasura, olim κάτω O.) K.N.O. Sav. cet. invita Cat. [o] ὁ υἱὸς] ὡς υἱοὶ K. Sav. cet. [p] τὴν] καὶ τὴν iidem.

Digitized by Google

καὶ τοῦ σκότους καὶ τῆς θυέλλης. "Καὶ ἐκκλησίᾳ πρωτοτόκων [q]ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ θεῷ πάντων." Ἐκεῖνοι οὐ προσῆλθον, ἀλλὰ πόρρω [r]εἱστήκεισαν, καὶ ὁ Μωϋσῆς· ὑμεῖς C
δὲ προσεληλύθατε. Ἐνταῦθα αὐτοὺς φοβεῖ εἰπὼν, "Καὶ κριτῇ θεῷ πάντων·" [s]οὐχὶ Ἰουδαίων μόνον, [t]καὶ τῶν πιστῶν, ἀλλὰ [v]καὶ τῆς οἰκουμένης ἁπάσης. "Καὶ πνεύμασι δικαίων τετελειωμένων." Τὰς ψυχὰς λέγει τῶν εὐδοκίμων. "Καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ·" τουτέστι, καθαρμοῦ· "κρεῖττον λαλοῦντι παρὰ [w]τὸν Ἄβελ." Εἰ δὲ τὸ αἷμα λαλεῖ, πολλῷ μᾶλλον ὁ σφαγιασθεὶς ζῇ. Τί δὲ [x]λαλεῖ; [8]"Καὶ τὸ πνεῦμα, φησὶ, λαλεῖ στεναγμοῖς ἀλαλήτοις." [y]Πῶς λαλεῖ; D
Ἔνθα γὰρ ἂν εἰς εἰλικρινῆ διάνοιαν ἐμπέσῃ, [z]διανίστησιν αὐτὴν, καὶ ποιεῖ λαλεῖν. "Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα·" τουτέστι, μὴ ἀπογνῶτε. "Εἰ γὰρ ἐκεῖνοι οὐκ [a]ἐξέφυγον, τὸν ἐπὶ γῆς παραιτησάμενοι [b]χρηματίζοντα." Τίνα λέγει; Ἐμοὶ δοκεῖ, Μωϋσῆν. Ὁ δὲ λέγει, [c]τοῦτό ἐστιν· εἰ ἐπὶ γῆς νομοθετοῦντα παραιτησάμενοι οὐκ ἐξέφυγον, ἀπὸ τοῦ οὐρανοῦ νομοθετοῦντα πῶς παραιτησόμεθα; [d]Ἐνταῦθα ἐπιδείκνυσιν, [e]οὐχ
ὅτι ἄλλος ἐστὶν ἐκεῖνος· μὴ γένοιτο· οὐκ ἄλλον καὶ ἄλλον 297
[f]δείκνυσιν, [g]ἀλλὰ φοβερὸς φαίνεται, [h]ἐκ τοῦ οὐρανοῦ φωνὴν ἀφιείς. Αὐτὸς [i]μέν ἐστι καὶ οὗτος κἀκεῖνος, φοβερὸς δὲ οὗτος· οὐ γὰρ διαφορὰν [k]λέγει προσώπων, ἀλλὰ δόσεως. Πόθεν [l]δῆλον; "Εἰ γὰρ ἐκεῖνοι οὐκ ἐξέφυγον, [m]παραιτησάμενοι, φησὶ, τὸν ἐπὶ γῆς χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι." Τί οὖν; [n]ἄλλος οὗτός ἐστι παρ' ἐκεῖνον; πῶς οὖν φησιν, "Οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε [o]τότε;" ἡ γὰρ τοῦ τότε δόντος τὸν νόμον φωνὴ τὴν γῆν ἐσάλευσε. B

[8] Rom. viii. 26.

[q] ἐν οὐρ. ἀπογ.] ἀπογ. ἐν οὐρανοῖς K.N. [r] εἱστήκεσαν K. Cat. Statim καὶ Μωϋσῆς K. [s] οὐχὶ (οὐκ N.)] ἆρα οὐχὶ K. Sav. cet. Statim τῶν Ἰουδ. N. Sav. cet. Mox μόνων O. [t] καὶ] οὐδὲ N.O. Sav. cet. [v] καὶ om. N.O. Post ἁπάσης add. καθεδεῖται κριτὴς K. Sav. cet [w] τὸν] τοῦ K. τὸ N. et corr. O. [x] λαλεῖ] + ἄκουε K. Sav. cet. [y] πῶς—γὰρ ἂν (ἂν om. N.)] πῶς; ὅταν γὰρ K. [z] διαν. αὐτὴν] Sic libri omnes et Cat. αὐτὴν διαν. Edd. [a] ἔφυγον K. Statim τὸν om. N. Mox ἐπὶ τῆς γῆς Edd. τῆς om. K.N.O. Cat. [b] χρηματίσαντα A.K.R. Veron. non Cat. [c] τοῦτο] τοιοῦτον K.N.O. invita Cat. Mox εἰ om. a pr. m. O. [d] ἐνταῦθα om. R. Statim δείκνυσιν K. Cat. [e] οὐχ ὅτι] ὅτι καὶ A.R. Veron. ὅτι οὐκ Cat. οὐχ ὅτι in ras. O. [f] δείκνυσιν om. K. [g] ἀλλὰ] + ὅτι K. Sav. cet. Post φαίνεται add. λέγει K. [h] ἐκ τοῦ οὐρ. φ. ἀφιεὶς (ἀφεὶς R.)] Sic omnes. φ. ἀφιεὶς ἐκ τοῦ οὐρ. Edd. [i] μὲν] + οὖν K. Sav. cet. [k] λέγει] εἰσάγει K. [l] δῆλον] + ἐξ ὧν ἐπήγαγε λέγων K. Sav. cet. Mox ἔφυγον K. [m] παρ. φησὶ, τὸν ἐπὶ γ. χρ.] φησὶ, τὸν ἐπὶ γ. παρ. χρ. O. φησὶν, ἐπὶ γ. παρ. τὸν χρ. N. φησὶ om. K. Sav. cet. [n] ἄλλος—φησιν om. K. [o] τότε—ἐσάλευσε om. A.N. ἡ γὰρ—ἐσάλευσε om. K. εἰ γὰρ pro ἡ γὰρ O. Mut. invita Cat.

Digitized by Google

"Νῦν δὲ ἐπήγγελται λέγων· Ἔτι ἅπαξ [p]ἐγὼ σείω οὐ μόνον
τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. Τὸ δὲ, ἔτι ἅπαξ, δῆλοι τῶν
σαλευομένων τὴν μετάθεσιν, ὡς πεποιημένων." Ἄρα ἐκ τοῦ μέ-
σου πάντα ἀρθήσεται, καὶ [q]ἐπὶ τὸ βέλτιον συμπαγήσεται
ἄνωθεν· τοῦτο γὰρ [r]αἰνίττεται ἐνταῦθα. Τί τοίνυν ἀλγεῖς, [s]ἐν
κόσμῳ πάσχων οὐ [t]μένοντι, ἐν κόσμῳ θλιβόμενος μικρὸν ὕστε-
ρον παροδευομένῳ; Εἰ ἐν ὑστέρῳ τοῦ κόσμου [v]ἡ ἄνεσις ἦν, τότε
C θλίβεσθαι ἐχρῆν πρὸς τὸ τέλος ὁρῶντα. "Ἵνα μείνῃ, φησὶ, τὰ
μὴ σαλευόμενα." Ποῖα δέ ἐστι τὰ μὴ σαλευόμενα; Τὰ μέλ-
λοντα.

[w]Πάντα τοίνυν [x]ὑπὲρ τούτου πράττωμεν, ὥστε [y]ἐκείνης τυ-
χεῖν, ὥστε ἐκείνων ἀπολαῦσαι τῶν ἀγαθῶν. Ναὶ, δέομαι καὶ
ἀντιβολῶ, τοῦτο [z]σπουδάζωμεν. Οὐδεὶς ἐν πόλει μελλούσῃ
καταπίπτειν οἰκοδομεῖ. Εἰπὲ δή μοι, παρακαλῶ, εἴ τις ἔλεγεν
[a]ὅτι μετὰ ἐνιαυτὸν αὕτη πεσεῖται ἡ πόλις, ἡ δεῖνα δὲ οὐ πάν-
τως, ἆρα ἂν ᾠκοδόμησας ἐν τῇ μελλούσῃ καταπίπτειν; Ὥστε
D [b]τοῦτο καὶ νῦν λέγω, μὴ οἰκοδομῶμεν ἐν τῷ κόσμῳ τούτῳ· (594)
πεσεῖται μικρὸν ὕστερον, καὶ πάντα ἀπολεῖται. Τί δὲ λέγω,
πεσεῖται; πρὸ τῆς πτώσεως ἡμεῖς ἀπολούμεθα καὶ δεινὰ πει-
σόμεθα, ἡμεῖς [c]αὐτῶν ἐκστησόμεθα. Τί οἰκοδομοῦμεν ἐπὶ τὴν
ἄμμον; Οἰκοδομήσωμεν ἐπὶ τὴν πέτραν· ὅπερ [d]γὰρ ἐὰν ἐπέλθῃ,
ἀνάλωτος ἐκείνη μένει ἡ οἰκοδομὴ, οὐδὲν αὐτὴν [e]δυνήσεται ἑλεῖν,
εἰκότως· πάσαις γὰρ ἐπιβουλαῖς τοιαύταις [f]ἄβατος ὁ χῶρος
ἐκεῖνος, ὥσπερ [g]οὖν ὁ ἐνταῦθα βατός. Καὶ γὰρ σεισμοὶ καὶ
298 ἐμπρησμοὶ καὶ [h]πολεμίων ἔφοδος καὶ ζῶντας ἡμᾶς ἀφαιρεῖται
αὐτὴν, πολλάκις δὲ καὶ [i]μετ' αὐτῆς ἀπόλλυσιν. Ὅταν δὲ καὶ
αὐτὴ [k]ἑστήκῃ, τότε [l]ἡμᾶς ἢ νόσος ἀπήγαγε θᾶττον, ἢ μένον-
τας οὐκ εἴασεν αὐτῆς ἀπολαῦσαι καλῶς. Ποία γὰρ ἡδονὴ, ἔνθα
νόσοι, καὶ συκοφαντίαι, [m]καὶ φθόνος, καὶ ἐπιβουλαί; Ἢ εἰ
[n]μηδὲν τούτων, παιδία πολλάκις μὴ [o]ἔχοντες, ἀλύομεν, δυσανα-

[p] ἐγὼ om. A.R. Veron. [q] ἐπὶ] εἰς R. Veron. Statim τὸ βέλτιστον A.R. Veron. [r] αἰνίττεται] + ταῦτα λέγων K. Sav. cet. [s] ἐν τῷ κ. A. Mox ἐν τῷ κ. K.R. Veron. [t] μένων A.K.R. Veron. invitis Cat. Mut. [v] ἡ om. N.O. [w] ΗΘΙΚΟΝ. Περὶ τοῦ πάντα πράττειν ὥστε μὴ ἐκπεσεῖν τῆς ἀληθινῆς πόλεως· καὶ περὶ ἐλεημοσύνης. Veron. [x] ὑπὲρ τούτου om. A. [y] ἐκείνοις A. ἐκείνων N. Sav. cet. Sic ex corr. O. *illam vitam* Mut. Mox ἐκείνων om. in text. O. [z] σπουδάσωμεν K.N. et ex corr. O. [a] ὅτι om. a pr. m. O. [b] τοῦτο om. A.R. Veron. [c] ἑαυτῶν Veron. αὐτὸν a pr. m. R. ἡμεῖς αὐτῶν ἐκστ. om. A. [d] γὰρ om. K.N. Mox μένει ἐκείνη hoc ord. iidem. [e] δύναται K. Mox εἰκότως γὰρ πάσαις olim O. [f] ἄβατος] + ἐστιν ex corr. O. [g] οὖν] + καὶ ex corr. O. [h] πολέμων olim O. [i] μετὰ ταύτης N. et ex corr. O. [k] ἑστήκει R. Veron. εἱστήκει O. [l] ἡμᾶς ἢ (ἡ R. Veron.) ν.] ἢ ν. ἡμᾶς K.N. Mox ἀπολαῦσαι αὐτῆς hoc ord. iidem. [m] καὶ] ἔνθα K. καὶ om. N. Statim φόνοι O. [n] μηδὲ A.R. Veron. Statim τοῦτο Veron. Post τούτων add. ἢ τὸ ἐνοχλοῦν K. Sav. cet. [o] σχόντες K.R. Veron.

Digitized by Google

σχετοῦμεν, οὐκ [p]ἔχοντες οἷς παραδῶμεν τὰς οἰκίας καὶ [q]τἄλλα
πάντα· καὶ κατατρυχόμεθα λοιπὸν ὡς ἑτέροις πονοῦντες· πολ-
λάκις δὲ καὶ εἰς ἐχθροὺς ἦλθεν ὁ κλῆρος, οὐκ ἀπελθόντων μόνον B
ἡμῶν, ἀλλὰ καὶ ζώντων. Τί τοίνυν ἀθλιώτερον τοῦ τοῖς ἐχθροῖς
κάμνειν, καὶ ἵνα ἐκεῖνοι ἀναπαύσωνται, αὐτοὺς ἁμαρτίας συλλέ-
γειν; Καὶ τούτου τὰ ὑποδείγματα πολλὰ [r]ἐν ταῖς πόλεσιν
ὁρᾶται· καὶ, ἵνα μὴ λυπήσω τοὺς ἀπεστερημένους· [s]ἐπεὶ εἶπον
ἂν ὀνομαστὶ καί τινας ἐξ αὐτῶν, καὶ πολλὰ εἶχον διηγήματα
εἰπεῖν, καὶ πολλὰς [t]ὑποδεῖξαι οἰκίας ὑμῖν, αἳ κυρίους ἔλαβον
τοὺς ἐχθροὺς τῶν περὶ αὐτὰς πονησάντων· οὐκ οἰκίαι δὲ, ἀλλὰ
καὶ ἀνδράποδα καὶ ἅπας ὁ κλῆρος πολλάκις εἰς τοὺς ἐχθροὺς C
περιῆλθε. Τοιαῦτα γὰρ τὰ ἀνθρώπινα. Ἐν τοῖς οὐρανοῖς δὲ
οὐδέν ἐστι δεῖσαι τούτων, μὴ [v]τοῦ τετελευτηκότος ἕτερος ἔλθῃ
[w]ὁ ἐχθρὸς, καὶ τὸν κλῆρον διαδέξηται· οὔτε γὰρ θάνατός ἐστιν
ἐκεῖ, οὔτε ἀπέχθεια· αἱ σκηναὶ τῶν ἁγίων εἰσὶ μόναι· ἐν [x]δὲ
τοῖς ἁγίοις ἐκείνοις ἀγαλλίασις, χαρὰ, εὐφροσύνη· [9]"Φωνὴ
γὰρ, φησὶν, ἀγαλλιάσεως ἐν σκηναῖς δικαίων." Αἰώνιοί εἰσι,
τέλος οὐκ ἔχουσαι. [y]Οὐκ αὗται τῷ χρόνῳ καταπίπτουσιν, οὐ
τοὺς κεκτημένους ἀμείβουσιν, ἀλλ' ἑστήκασιν ἐν ἀκμῇ διηνεκεῖ,
εἰκότως· οὐ γάρ ἐστί τι φθαρτὸν οὐδὲ ἐπίκηρον ἐκεῖ, ἀλλὰ D
πάντα ἀθάνατα καὶ ἀκήρατα. [z]Κενώσωμεν εἰς ταύτην τὴν οἰκο-
δομὴν τὰ χρήματα· οὐ δεῖ τεκτόνων ἡμῖν, [a]οὐδὲ ἐργατῶν· αἱ
τῶν πενήτων χεῖρες τὰς τοιαύτας οἰκοδομοῦσιν οἰκίας, [b]οἱ χω-
λοὶ, οἱ τυφλοὶ, οἱ ἀνάπηροι· οὗτοι [c]ἐκείνας οἰκοδομοῦσι. Καὶ
μὴ θαυμάσῃς, ὅπου γε καὶ βασιλείαν [d]ἡμῖν οὗτοι προξενοῦσι,
καὶ παρρησίαν [e]ἡμῖν διδόασι πρὸς τὸν θεόν.

Ἡ γὰρ ἐλεημοσύνη [f]τέχνη τίς ἐστιν ἀρίστη, καὶ προστάτις
τῶν ἐργαζομένων αὐτήν. Φίλη γὰρ τῷ θεῷ ἐστι, [g]καὶ ἀεὶ πλη-
σίον ἕστηκεν αὐτοῦ, ὑπὲρ ὧν [h]ἂν βούληται, εὐκόλως αἰτοῦσα 299
χάριν, μόνον ἂν μὴ ἀδικῆται παρ' ἡμῶν· ἀδικεῖται δὲ, ὅταν ἐξ
ἁρπαγῆς αὐτὴν ἐργαζώμεθα· ὡς ἐὰν ᾖ καθαρὰ, πολλὴν τοῖς ἀνα-

9 Psal. cxvii. 15.

[p] ἔχομεν A.R. Veron. [q] τὰ ἄλλα ἅπαντα K.N.O. Statim καὶ om. A.R. Veron. [r] ἐν τ. π. ὁρᾶται] ὁρᾶται ἐν τ. π. K.N. Statim καὶ σιγῶ ἵνα K. Sav. cet. [s] ἐπεὶ om. Veron. [t] δεῖξαι idem. Mox πονεσάντων a pr. m. O. [v] τοῦ] τούτου O.R. Veron. [w] ὁ om. A.K.N. eras. in O. [x] δὲ om. K.N. Mox χαρὰ καὶ εὐφρ. O. [y] οὐχ αὗται N. Sav. cet. αὗται et mox οὐ καταπ. K. [z] κεν.] οὐκοῦν κεν. K. Sav. cet. Mox αὐτὴν pro ταύτην N. [a] οὐδὲ] καὶ O. [b] οἱ χ. οἱ τ.] οἱ τ. οἱ χ. K.N. [c] ἐκείνας] ἐκεῖ N. ἐκείνας τὰς οἰκίας K. Sav. cet. [d] ἡμῖν om. O. [e] ἡμῖν] + οὗτοι K. [f] τέχνη τις] τέχνιτις R. Veron. Mox προστάτης A. [g] καὶ ἀεὶ] Sic A.O.R. καὶ om. Veron. ἀεὶ om. K.N. Sav. cet. invito Mut. [h] ἂν om. N. Statim βούλεται N. et ex corr. O.

πέμπουσιν αὐτὴν δίδωσι τὴν παρρησίαν· [i]καὶ ὑπὲρ προσκεκρουκότων δεῖται, τοσαύτη αὐτῆς ἡ ἰσχὺς, καὶ ὑπὲρ ἡμαρτηκότων. [k]Αὕτη διαρρήγνυσι τὰ δεσμὰ, λύει τὸ σκότος, σβέννυσι τὸ πῦρ, θανατοῖ τὸν σκώληκα, ἀπελαύνει τὸν τῶν ὀδόντων βρυγμόν· ταύτῃ μετὰ πολλῆς ἀδείας ἀνοίγονται τῶν οὐρανῶν αἱ πύλαι. Καὶ ὥσπερ βασιλίδος εἰσιούσης οὐδεὶς [l]τολμήσει
B τῶν φυλάκων τῶν ἐπὶ ταῖς θύραις τεταγμένων ἐξετάσαι τίς εἴη καὶ πόθεν, ἀλλὰ πάντες εὐθέως ὑποδέχονται· οὕτω δὴ καὶ τὴν ἐλεημοσύνην· [m]βασιλὶς γάρ ἐστιν ὄντως, ὁμοίους ἀνθρώπους ποιοῦσα θεῷ. [10] "Ἔσεσθε γὰρ, [n]φησὶν, οἰκτίρμονες, ὡς ὁ πατὴρ [o]ὑμῶν ὁ [p]οὐράνιος." Ὑπόπτερός ἐστι καὶ κούφη, πτέρυγας [q]ἔχουσα χρυσᾶς, πτῆσιν ἔχουσα πάνυ τέρπουσαν τοὺς ἀγγέλους. [r]Ἐκεῖ, φησὶ, [11] "Πτέρυγες περιστερᾶς πεσιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου." [s]Καθάπερ περιστερά τις χρυσῆ [t]καὶ ζῶσα, πέταται, ὄμμα προσηνὲς ἔχουσα, ὀφθαλμὸν ἥμερον. Οὐδὲν τοῦ ὀφθαλμοῦ ἐκείνου βέλτιον.
C Καλός ἐστιν [v]ὁ ταὼς, ἀλλὰ πρὸς ἐκείνην κολοιός· οὕτως ἡ ὄρνις αὕτη καλή τις ἐστὶ καὶ θαυμαστή. Ἄνω διὰ πάντος ὁρᾷ, πολλῇ τοῦ θεοῦ τῇ δόξῃ περιστοιχίζεται. Παρθένος ἐστὶ [w]πτέρυγας ἔχουσα χρυσᾶς, περιεσταλμένη, λευκὸν [x]πρόσωπον ἔχουσα καὶ ἥμερον· ὑπόπτερός ἐστι καὶ κούφη, παρὰ τὸν θρόνον ἑστῶσα (595)
τὸν βασιλικόν. Ὅταν κρινώμεθα, ἄφνω [y]ἐφίσταται καὶ φαίνεται, καὶ ἐξαιρεῖται τῆς κολάσεως ἡμᾶς, ταῖς αὐτῆς πτέρυξι περιβάλλουσα. Ταύτην [z]θέλει ὁ θεὸς, [a]ἢ θυσίας· πολλὰ περὶ
D αὐτῆς διαλέγεται· οὕτως αὐτὴν φιλεῖ. [12] "[b]Χήραν καὶ ὀρφανὸν καὶ πένητα, φησὶν, ἀναλήψεται." Ἀπ' αὐτῆς [c]θέλει καλεῖσθαι ὁ θεός· [13] "Οἰκτίρμων καὶ ἐλεήμων ὁ [d]κύριος, μακρόθυμος καὶ πολυέλεος καὶ [e]ἀληθινός·" "Ἔλεος τοῦ θεοῦ ἐπὶ πᾶσαν τὴν γῆν." Αὕτη [f]τὸ τῶν ἀνθρώπων γένος διέσωσεν· εἰ γὰρ μὴ

[10] Luc. vi. 36. [11] Psal. lxvii. 14. [12] Ibid. cxlv. 9. [13] Ibid. cii. 8, 17.

[i] καὶ—ἰσχὺς] τοσ. αὐτῆς ἡ ἰσχὺς, ὅτι καὶ ὑπὲρ πρ. δεῖται K. Sav. cet. [k] αὕτη] + γὰρ O. [l] τολμῆσαι A. [m] βασίλισσα N. Mox ἀνθρώπους om. O. [n] φ. οἰκτ.] οἱ οἰκτ. φ. K.N. [o] ἡμῶν R. Veron. [p] οὐράνιος] ἐν τοῖς οὐρανοῖς A.O.R. Statim add. οἰκτίρμων ἐστὶν K. Sav. cet. [q] ἔχει A.R. Veron. [r] ἐκεῖ, φ. πτ.] πτ. φ. K. [s] καθάπερ] + γὰρ K. Sav. cet. [t] καὶ om. O. Mox πέτεται K.R. πέταται—ἔχουσα om. A. [v] ὁ] καὶ ὁ K. Sav. cet. Post κολοιὸς add. ἐστιν iidem. [w] πτέρυγας ἔχ. χρυσᾶς om. K. inclusum a Sav. χρυσᾶς om. in text. O. [x] πρ. ἔχουσα] ἔχουσα πρ. K.N. Proximum καὶ om. A.R. Veron. [y] ἐφίσταται] Sic N.O.R. ἐπίσταται A. Veron. ἐφίπταται Sav. cet. ἄφνω—περιβάλλουσα] ἐφίπταται ἡμῖν ἄφνω, καὶ ταῖς (τῆς Q.) αὐτῆς πτ. περιβ. τῆς κολ. ἐξαιρεῖται ἡμᾶς K.Q. [z] θέλει] προσίεται K.Q. [a] ἢ] μᾶλλον ἢ K.Q. Sav. cet. [b] χήραν—φησὶν] ὀρφ. φησὶ, καὶ χήραν K.Q. [c] θέλει] φιλεῖ K.O.Q. Sav. cet. Mox θεὸς sine artic. N. θεὸς ὁ θεὸς Veron. [d] κύριος] + φησὶν ὁ Δαυὶδ K.Q. Sav. cet. [e] ἀληθινὸς] + καὶ πάλιν ἕτερος iidem. Mox θεοῦ sine artic. O. [f] τὸ om. R.

Digitized by Google

ἠλέησεν [g]ἡμᾶς, πάντα ἂν ἀπόλωλεν· αὕτη ἐχθροὺς ἡμᾶς ὄντας κατήλλαξεν, αὕτη [h]τὰ μυρία ἀγαθὰ εἰργάσατο, αὕτη [i]τοῦ θεοῦ τὸν υἱὸν ἔπεισε δοῦλον γενέσθαι καὶ κενῶσαι ἑαυτόν. Ταύ-
την [k]ζηλῶμεν, δι' ἧς ἐσώθημεν· ταύτην [l]ἀγαπῶμεν, ταύτην χρη- 300
μάτων προτιμῶμεν, καὶ χωρὶς χρημάτων ψυχὴν ἐλεήμονα [m]ἔχωμεν. Οὐδὲν οὕτω χαρακτηριστικὸν Χριστιανοῦ, ὡς ἐλεημοσύνη· οὐδὲν οὕτω καὶ ἄπιστοι καὶ πάντες θαυμάζουσιν, ὡς ὅταν ἐλεῶμεν. [n]Πολλαχοῦ γὰρ καὶ ἡμεῖς δεόμεθα τοῦ [o]ἐλέους τούτου, καὶ πρὸς τὸν [p]θεὸν λέγομεν· [14] "[q]Κατὰ τὸ μέγα σου ἔλεος ἐλέησον ἡμᾶς." [r]Πρότερον αὐτοὶ ἀρχώμεθα· μᾶλλον δὲ οὐκ [s]ἀρχόμεθα πρότερον· καὶ γὰρ αὐτὸς ἤδη ἐπεδείξατο [t]τὸν ἔλεον αὐτοῦ τὸν
περὶ [v]ἡμᾶς· κἂν δεύτεροι [w]ἐπώμεθα. Εἰ γὰρ ἄνθρωποι τὸν B
ἐλεήμονα, κἂν μυρία ἐργάσηται ἁμαρτήματα, [x]ἐλεοῦσι· πολλῷ μᾶλλον ὁ θεός. Ἄκουε τοῦ προφήτου λέγοντος· [15] "Ἐγὼ δὲ [y]ὡσεὶ ἐλαία, φησὶ, κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ θεοῦ." Τοιοῦτοι γενώμεθα, [z]ὡς ἐλαία γενώμεθα· πάντοθεν βριθώμεθα ταῖς ἐντολαῖς. Οὐ γὰρ ἀρκεῖ ὡς ἐλαίαν εἶναι, ἀλλὰ καὶ κατάκαρπον. Εἰσὶ [a]γὰρ ἐλεοῦντες ὀλίγα [b]διδόντες, διὰ παντὸς τοῦ ἐνιαυτοῦ, ἢ καθ' ἑκάστην ἑβδομάδα, ἢ τὸ τυχὸν προϊέμενοι· [c]οὗτοι ἐλαῖαι
μὲν εἰσὶν, οὐ κατάκαρποι δὲ, ἀλλὰ [d]καὶ ξηραί. Ὅτι μὲν [e]οὖν C
ἐλεοῦσιν, ἐλαῖαι· ὅτι δὲ οὐ φιλοτίμως, οὐ κατάκαρποι ἐλαῖαι. Ἀλλ' ἡμεῖς κατάκαρποι γενώμεθα. [f]Πολλάκις εἶπον, καὶ [g]λέγω καὶ νῦν· οὐ τῷ μέτρῳ τῶν διδομένων τὸ μέγεθος δείκνυται τῆς ἐλεημοσύνης, ἀλλὰ τῇ προαιρέσει τοῦ διδόντος. Ἴστε τὰ κατὰ τὴν χήραν· καλὸν ἀεὶ φέρειν τοῦτο τὸ ὑπόδειγμα, ἵνα [h]μηδὲ ὁ πένης ἀπογινώσκῃ ἑαυτοῦ, ὁρῶν εἰς τὴν τὰ δύο λεπτὰ καταβα-

[14] Psal. l. 3. [15] Ibid. li. 10.

[g] ἡμᾶς] + ὁ θεὸς K.N.Q. Sav. cet. Sic in marg. O. Mox ἀπωλώλει N. Sic ex ἀπωλεῖ corr. O. [h] τὰ om. olim O. [i] τοῦ θ. τὸν υἱὸν] Sic K.N.O.Q.R. τὸν (τὸν om. Veron.) υἱὸν τοῦ θ. Edd. Mox γενέσθαι δοῦλον inverso ord. K. N.Q. [k] ζηλώσωμεν K.N.O.Q. Sav. cet. Post h. v. add. ἀγαπητοὶ K.Q. Sav. cet. [l] ἀγαπήσωμεν . . . προτιμήσωμεν K.N.Q. Sav. cet. Sic ex corr. O. [m] ἔχομεν O. Mox Χριστιανοῦ om. Veron. [n] πανταχοῦ K.Q. [o] ἐλέου R. Veron. et olim O. [p] θεὸν] + καθ' ἑκάστην K.Q. Sav. cet. [q] κατὰ— ἡμᾶς (+ ὁ θεὸς ex corr. O.)] ἐλέησόν με, ὁ θεὸς, κατὰ τὸ μ. ἔ. σου N. ἐλέησον ἡμᾶς κατὰ τὸ μ. σου ἔ. K.Q. [r] πρότερον] + γὰρ O. Mox ἐρχώμεθα olim O. [s] ἀρχώμεθα A. Statim πρότεροι A.O.Q. [t] [τὸν] Sav. τὸν om. K.Q. [v] ἡμᾶς] + ἀλλ' ἀγαπητὸν Q. + ἀλλ' ἀγαπητοὶ K. Sav. cet. [w] ἐσώμεθα K.Q.R. invito Mut. [x] ἐλεῶσι A.R. Veron. [y] ὡσεὶ] ὡς ἡ R. Mox φησὶ om. Q. post κατάκαρπος transp. A. [z] ὡς ἐλαία γενώμεθα om. A.K.N.Q. inclusum a Sav. [a] γὰρ] + οἱ A (?) K.Q. Sav. cet. [b] διδόντες] διδόασιν ἢ K.Q. Sav. cet. Post ἐνιαυτοῦ add. ἅπαξ iidem. [c] οὗτοι] οὕτως N. [d] καὶ om. K. N.Q. [e] οὖν] γὰρ K.Q. Sav. cet. οὖν om. N. Statim ἐλεῶσιν olim O. [f] πολλ.] ὁ πολλ. K.Q. Sav. cet. [g] λέγω καὶ νῦν] Sic A.N.O.R. νῦν λέγω K.Q. λέγω νῦν Edd. [h] μηδὲ ὁ π.] καὶ π. μὴ N.

Digitized by Google

λοῦσαν. [i]Ἤνεγκάν τινες καὶ τρίχας ἐν τῇ τοῦ ναοῦ κατασκευῇ,
καὶ οὐδὲ οὗτοι ἀπεβλήθησαν. Ἀλλ' εἰ μὲν χρυσίον ἔχοντες, τρί-
D χας ἔφερον, ἐπικατάρατοι· εἰ δὲ τοῦτο ἔχοντες μόνον, τοῦτο
ἤνεγκαν, ἀπόδεκτοι. Διὰ τοῦτο καὶ [k]ὁ Κάϊν ἐμέμφθη, οὐκ
ἐπειδὴ φαῦλα προσήνεγκεν, ἀλλ' ἐπειδὴ ὧν εἶχε τὰ φαυλότερα.
[16]"Ἐπικατάρατος, φησὶν, ὃς ἔχει ἄρσεν, καὶ θύει διεφθαρμένον
τῷ θεῷ." Οὐχ ἁπλῶς εἶπεν, ἀλλ' ὁ ἔχων, φησὶ, καὶ φειδόμε-
νος. Εἰ τοίνυν τις οὐκ ἔχει, ἀπήλλακται [l]ἐγκλημάτων, μᾶλλον
δὲ ἔχει μισθόν. Τί γὰρ δύο ὀβολῶν εὐτελέστερον, καὶ τριχῶν
οὐδαμινέστερον; [m]τί σεμιδάλεως κοτύλης; ἀλλ' ὅμως ταῦτα
301 ηὐδοκίμησεν ὁμοίως τοῖς μόσχοις καὶ τῷ χρυσίῳ. [17]"Καθ' ὃ γὰρ
ἔχει τις, εὐπρόσδεκτος, οὐ καθ' ὃ οὐκ ἔχει·" καὶ, "[n]Ὡς ἂν ἔχῃ
ἡ χείρ σου, εὖ ποίει." Διὸ, παρακαλῶ, κενώσωμεν προθύμως τὰ
ὄντα εἰς τοὺς πένητας· κἂν ὀλίγα ᾖ, τὸν αὐτὸν [o]ληψόμεθα
μισθὸν τοῖς τὰ πλείονα καταβάλλουσι, μᾶλλον δὲ πλείονα
[p]τῶν μυρία τάλαντα καταβαλλόντων. Ἂν ταῦτα ποιῶμεν,
ἐπιτευξόμεθα τῶν ἀφάτων θησαυρῶν τοῦ θεοῦ· ἂν μὴ ἀκούωμεν
μόνον, ἀλλὰ καὶ πράττωμεν· [q]ἂν μὴ ἐπαινῶμεν, ἀλλὰ καὶ διὰ
τῶν ἔργων ἐπιδεικνυώμεθα· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν,
ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ
ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΛΓ.

B [1]Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, [a]ἔχωμεν χάριν,
δι' ἧς λατρεύομεν εὐαρέστως τῷ θεῷ [b]μετὰ αἰδοῦς καὶ εὐλα-
βείας. Καὶ γὰρ ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον.

ΟΠΕΡ ἀλλαχοῦ [c]φησι, [2]"Τὰ γὰρ βλεπόμενα πρόσ- (596)
καιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια," καὶ ἀπὸ τούτου [d]ποιεῖται
τὴν παράκλησιν τὴν ἐπὶ τοῖς κακοῖς οἷς κατὰ τὸν παρόντα βίον
ὑπομένομεν, τοῦτο δὴ καὶ ἐνταῦθα [e]πράττει, καί φησι· [f]βέβαιοι

16 Malach. i. 14. 17 2 Cor. viii. 12. Prov. iii. 27. 1 Cap. XII. v. 28, 29. 2 2 Cor. iv. 18.

[i] ἤνεγκον A. ἔφερον K.Q. Sav. cet. [k] ὁ om. K.N.Q. [l] ἐγκλ.] καὶ ἐγκλ. K. Sav. cet. [m] τί] + δὲ K.N.Q. Sav. cet. Sic ex corr. O. Mox εὐδοκ. A.K.N. [n] ὡς] ἕως N. ὅσα K.Q. et ex corr. O. Post ἔχῃ add. φησὶν K.O.Q. Sav. cet. [o] ληψ. μισθὸν] μισθὸν ληψ. K.N.Q. Mox καταβαλοῦσι et καταβαλόντων A.R. Veron. [p] τῶν] + τὰ K.N.Q. et ex corr. O. [q] ἐὰν A.O. Mox ἐπιδεικνύμεθα O. ἐπιδεικνύωμεν K.N.Q. Sav. cet. Hom. XXXIII. [a] ἔχομεν A. Cat. et olim O. Mox λατρεύωμεν Sav. cet. repugnantibus libris et Cat. [b] μετὰ εὐλαβείας καὶ δέους N. [c] φησι] εἶπεν K. Mox γὰρ om. a pr. m. O. [d] ποιούμενος K. Sav. cet. [e] πράττει] ποιεῖ iidem. Statim καί φησιν om. A. (?) [f] βέβαιοι μένωμεν post τῷ θεῷ transp. iidem.

Digitized by Google

μένωμεν· "[g]ἔχωμεν χάριν·" τουτέστιν, εὐχαριστῶμεν τῷ θεῷ.
Οὐ γὰρ μόνον οὐκ ὀφείλομεν ἀποδυσπετεῖν ἐπὶ τοῖς παροῦσιν, C
ἀλλὰ καὶ χάριν αὐτῷ μεγίστην εἰδέναι ἐπὶ τοῖς μέλλουσι.
"Δι' ἧς [h]λατρεύομεν εὐαρέστως τῷ θεῷ·" [i]τουτέστιν, οὕτω γὰρ
ἔστιν εὐαρέστως λατρεύειν τῷ θεῷ, εὐχαριστοῦντα ἐν [k]ἅπασι.
[3]"[l]Πάντα ποιεῖτε, φησὶ, χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν."
Ὃ γὰρ ἂν ἐργάσηταί [m]τις γογγύζων, ὑποτέμνεται καὶ ἀπώ-
λεσε τὸν μισθόν· καθάπερ οἱ Ἰσραηλῖται, [n]ἡλίκην δίκην ἔτισαν
ὑπὲρ γογγυσμῶν. Διό [o]φησι, [4]"Μηδὲ γογγύζετε." Οὐκ ἄρα
ἔστιν εὐαρέστως λατρεῦσαι, μὴ χάριν εἰδότα πάντων αὐτῷ, καὶ
τῶν πειρασμῶν καὶ τῶν [p]ἀνέσεων. Τουτέστι, μηδὲν ἰταμὸν
φθεγγώμεθα, μηδὲν ἀναίσχυντον, ἀλλὰ συστέλλωμεν ἑαυτοὺς, 302
ἵνα αἰδέσιμοι ὦμεν· τοῦτο γάρ [q]ἐστι, "μετ' αἰδοῦς καὶ εὐλα-
βείας."

[5]"Ἡ φιλαδελφία μενέτω. Τῆς φιλοξενίας μὴ ἐπιλανθά-
νεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους."
[r]Ὅρα πῶς τὰ παρόντα προστάττει φυλάττειν αὐτοὺς, [s]οὐχὶ
προστίθησιν ἕτερα. Οὐκ εἶπε, γίνεσθε φιλάδελφοι, ἀλλὰ,
"Μενέτω ἡ φιλαδελφία." Καὶ πάλιν οὐκ εἶπε, φιλόξενοι γί-
νεσθε, ὡς οὐκ οὖσιν, [t]ἀλλὰ, "Τῆς φιλοξενίας μὴ ἐπιλανθάνε-
σθε·" τοῦτο γὰρ εἰκὸς ἀπὸ τῶν θλίψεων γίνεσθαι. [v]Διὰ τοῦτο B
γάρ φησιν, "Ἔλαθόν τινες ξενίσαντες ἀγγέλους." [w]Ὁρᾷς ὅση
ἡ τιμὴ, ὅσον τὸ κέρδος; Τί ἐστιν, "ἔλαθον;" Οὐκ [x]εἰδότες
ἐξένισαν. Διὰ τοῦτο καὶ μέγας ὁ [y]μισθὸς, ὅτι μὴ εἰδὼς ἀγγέ-
λους αὐτοὺς ὄντας, ἐξένισεν· ἐπεὶ, εἰ ᾔδει, οὐδὲν θαυμαστόν.
[z]Τινὲς ἐνταῦθα καὶ τὸν Λὼτ αὐτὸν αἰνίττεσθαί [a]φασι.

[6]"Μιμνήσκεσθε τῶν δεσμίων ὡς συνδεδεμένοι, τῶν κακου-
χουμένων ὡς [b]καὶ αὐτοὶ ὄντες ἐν σώματι. Τίμιος [c]ὁ γάμος ἐν C
πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ

[3] Philipp. ii. 14. [4] 1 Cor. x. 10. [5] Cap. XIII. v. 1, 2. [6] v. 3—5.

[g] ἔχομεν A. καὶ ἔχωμεν N. καὶ ἔχομεν (prius ἔχωμεν sine cop.) O. [h] λατρεύωμεν Sav. cet. invitis omnibus. [i] τουτέστιν, οὕτω γὰρ] τοῦτο γὰρ N. ὡσεὶ ἔλεγεν, οὕτως K. [k] πᾶσι N. [l] π. ποιεῖτε, φ.] οὐκοῦν π. ποιῶμεν K. [m] τις om. A. [n] ἡλίκην] ἴστε γὰρ ἡλίκην K. Sav. cet. Post ἡλίκην add. ἐκεῖνοι N. Sav. cet. Mox γογγυσμοῦ K. et ex corr. O. [o] φ. μηδὲ γ.] μὴ γογγύζωμεν K. [p] ἀνέσεων] + μετὰ αἰδοῦς καὶ εὐλαβείας K. Sav. cet. [q] ἐστιν] + ὃ λέγει iidem. [r] ὁρᾷς A. [s] οὐχὶ] καὶ οὐχὶ K. Sav. cet. Mox οὐ γὰρ εἶπε iidem. [t] ἀλλὰ] + καὶ A. [v] διὰ τοῦτο (ταύτης N. Mut. et ex corr. O.) γάρ φ.] εἶτα καὶ ἐπάγει ὅπερ ἱκανὸν ἦν μᾶλλον προτρέψαι, λέγων (+ διὰ ταύτης γὰρ K.) K. Sav. cet. [w] ὅρα O. Mox ἡ om. O.R. [x] εἰδότες] + φησὶν K. Sav. cet. [y] μισθὸς] + τῷ Ἀβραὰμ δέδοται iidem. [z] τινὲς] τὸ τινὲς K. et ex corr. O. Mox αὐτὸν om. K. αἰνίττεσθαι αὐτὸν hoc ord. N.O. [a] φασι] μοι δοκεῖ K. φησὶ ex corr. O. Statim subjungunt καὶ δι' αὐτὸν εἰρηκέναι αὐτὸ K. Sav. cet. [b] καὶ om. a pr. m. O. [c] ὁ γάμος om. R.

Digitized by Google

θεός. Ἀφιλάργυρος ὁ τρόπος· ἀρκούμενοι τοῖς παροῦσιν."
Ὅρα πόσος περὶ σωφροσύνης [d]λόγος αὐτῷ. "[e]Εἰρήνην, φησὶ,
διώκετε, καὶ τὸν ἁγιασμόν·" "Μή [f]τις πόρνος, ἢ βέβηλος·"
[g]καὶ πάλιν, "Πόρνους καὶ μοιχοὺς κρινεῖ ὁ θεός." [h]Πανταχοῦ
μετὰ ἐπιτιμίου [i]ἡ ἀπαγόρευσις. "Εἰρήνην, [k]φησὶ, διώκετε μετὰ
πάντων, καὶ τὸν [l]ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον·"
D "[m]Πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεός." Καὶ πρότερον θεὶς
[n]τὸ, "Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη [o]ἀμίαντος," δεί-
κνυσιν ὅτι δικαίως τὰ ἑξῆς ἐπήγαγεν. Εἰ γὰρ γάμος συνεχω-
ρήθη, [p]δικαίως ὁ πόρνος κολάζεται, δικαίως ὁ μοιχὸς τιμωρεῖ-
ται. Ἐνταῦθα πρὸς τοὺς αἱρετικοὺς ἀποδύεται. Οὐκ εἶπε πά-
λιν, μηδεὶς ἔστω [q]πόρνος· ἀλλ' ἅπαξ εἰπὼν, τότε ἐπήγαγεν ὡς
κοινὴν παραίνεσιν, [r]οὐχ ὡς πρὸς αὐτοὺς ἀποτεινόμενος. "Ἀφιλ-
άργυρος [s]ὁ τρόπος," φησίν. Οὐκ εἶπεν ὅτι [t]μὴ κέκτησθε,
303 ἀλλ', "Ἀφιλάργυρος ὁ τρόπος [v]ἔστω·" δεικνύτω τὸ φιλόσο-
φον [w]τῆς γνώμης. Καὶ γὰρ ἀνωτέρω [x]φησὶ, "Καὶ τὴν ἁρπα-
γὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε." Ταῦτα
ὥστε μὴ εἶναι φιλαργύρους παραινεῖ. "[y]Ἀρκούμενοι, φησὶ,
τοῖς παροῦσιν." Εἶτα καὶ [z]ἐνταῦθα ἡ παραμυθία· "Αὐτὸς γὰρ, (597)
[a]φησὶν, εἴρηκεν, Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω.
[7]Ὥστε θαρροῦντας ἡμᾶς λέγειν· Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ
φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος." [b]Πάλιν ἐν τοῖς πει-
ρασμοῖς ἡ [c]παραμυθία.
B [8]"Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν." Τοῦτο ἄνωθεν ὤδινεν
εἰπεῖν· διὰ τοῦτο [d]ἔλεγεν, "Εἰρήνην διώκετε μετὰ πάντων."
Τοῦτο καὶ [9]Θεσσαλονικεῦσι παρῄνει, ὥστε ἔχειν αὐτοὺς ἐν τιμῇ

[7] v. 6. [8] v. 7. [9] 1 Thess. v. 13.

[d] ὁ λόγος K.N. Sav. cet. Sic ex corr. O. [e] εἰρήνην, φ.] εἶπεν εἰρήνην K. Sav. cet. Post ἁγιασμὸν add. καὶ πάλιν iidem. [f] τις] + ἢ Edd. ἢ, inclusum a Sav. abest a nostris omnibus. [g] καὶ π.] νῦν π. φησὶ K. Sav. cet. Statim πόρνους δὲ καὶ μ. K.N. et ex corr. O. [h] πανταχοῦ] πᾶσα in text. O. πανταχοῦ δὲ K. Sav. cet. [i] ἡ om. R. Veron. Post ἀπαγόρευσις add. καὶ πῶς, σκόπει ἐντεῦθεν K. Sav. cet. [k] φησὶ] εἰπὼν iidem. φησὶ om. a pr. m. O. [l] ἁγιασμὸν] + ἐπήγαγεν K. Sav. cet. [m] πόρνους δὲ] ἐνταῦθα δὲ, πόρνους (+ [δὲ] Sav. cet.) iidem. [n] τὸ om. N.O. [o] ἀμίαντος] + εἶτα ἐπιτίμιον ἐπαγαγὼν K. Sav. cet. [p] δικαίως ὁ. π. κ. om. K. [q] πόρνος] Sic in marg. φιλάργυρος in text. O. [r] οὐχ] καὶ οὐχ K. Sav. cet. [s] ὁ τρ. φ.] φ. ὁ τρ. N.O. φησὶν] ἀρκούμενοι τοῖς π. K. Sav. cet. [t] μὴ κέκτησθε] μηδὲν κτήσησθε iidem. [v] ἔστω] + τουτέστιν, ἐλεύθερος ὁ νοῦς ἔστω iidem. [w] τῆς γν.] ἡ γνώμη K.N. Sav. cet. Sic ex corr. O. Post γνώμη add. δείξει δὲ, ἐὰν μὴ ζητῶμεν τὰ περιττὰ, ἐὰν τῆς χρείας μόνον γενώμεθα (ἐχώμεθα Mor. Ben.) K. Sav. cet. invitis Interpp. [x] φησὶ] ἔλεγε K.N. Sav. cet. [y] ἀρκ. φ. τοῖς π. om. K. inclusum a Sav. [z] ἐνταῦθα om. K. Post παραμυθία add. ὥστε μὴ ἀπαγορεύειν K. Sav. cet. [a] φησὶν om. K. [b] πάλιν] ἰδοὺ πάλιν K. Sav. cet. [c] παράκλησις K. [d] [ἔλεγεν—τοῦτο] Sav. Haec om. N. invitis Cat. Mut.

Digitized by Google

ὑπερεκπερισσοῦ. «Μνημονεύετε, φησὶ, τῶν ἡγουμένων ὑμῶν,
οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ θεοῦ· ὧν ἀναθεωροῦντες
τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν.» Ποία
[e]ἀκολουθία αὕτη; Ἀρίστη μὲν οὖν· [f]θεωροῦντες γὰρ αὐτῶν τὸν
βίον, φησὶ, μιμεῖσθε τὴν πίστιν· ἀπὸ γὰρ βίου καθαροῦ ἡ
πίστις. Ἢ [g]τὴν πίστιν τὸ βέβαιον λέγει. Πῶς; [h]Ὅτι πι-
στεύουσι τοῖς μέλλουσιν. Οὐ γὰρ ἂν ἐπεδείξαντο βίον καθαρὸν, C
εἴγε ἠμφισβήτουν [i]ὑπὲρ τῶν μελλόντων, εἴγε ἀμφέβαλλον.
Ὥστε καὶ ἐνταῦθα τὸ αὐτὸ θεραπεύει.

[10]«Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς
αἰῶνας. Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε. Κα-
λὸν [k]γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς
οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες.» [l]Ἐνταῦθα, «Ἰησοῦς D
Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας·» τὸ,
«χθὲς,» τὸν παρελθόντα [m]πάντα λέγει χρόνον· τὸ «σήμερον,»
τὸν ἐνεστῶτα· «[n]αἰῶνα,» καὶ τὸν μέλλοντα τὸν ἄπειρον. Τουτ-
έστιν, ἀρχιερέα ἠκούσατε, ἀλλ' οὐκ ἀρχιερέα λήγοντα· [o]ἀεὶ ὁ
αὐτός ἐστι. [p]Ὡς ὄντων τινῶν τῶν λεγόντων, ὅτι οὐκ [q]ἔστιν,
ἕτερος ἥξει, [r]τοῦτο λέγει, ὅτι ὁ χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ
εἰς τοὺς αἰῶνας. Ἐπεὶ καὶ νῦν Ἰουδαῖοι λέγουσιν, ὅτι ἕτερος
ἥξει· [s]καὶ τοῦ ὄντος ἀποστερήσαντες ἑαυτοὺς, τῷ ἀντιχρίστῳ
περιπεσοῦνται. «Διδαχαῖς [t]ποικίλαις καὶ ξέναις μὴ παραφέ- 304
ρεσθε.» Οὐ μόνον [v]ξέναις, ἀλλὰ μηδὲ ποικίλαις. «Καλὸν γὰρ
χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφε-
λήθησαν οἱ [w]περιπατήσαντες.» Ἐνταῦθα ἠρέμα αἰνίττεται τοὺς
τὴν παρατήρησιν τῶν βρωμάτων εἰσάγοντας· τῇ γὰρ πίστει

[10] v. 8, 9.

[e] ἀκ.] ἡ ἀκ. A. Mox μὲν οὖν om. K. [f] θεωροῦντες—φησὶ] λέγει γὰρ, θεωροῦντες αὐτῶν τὴν ἀν. τουτέστι, τὸν βίον K. Sav. cet. [g] τὴν om. K. [h] ὅτι—μέλλουσιν] δείκνυσι γὰρ ὅτι πιστεύσαντες βεβαίως τοῖς μέλλουσι, τὴν ἀρίστην πολιτείαν κατώρθωσαν iidem. [i] ὑπὲρ] περὶ K.N.O. Sav. cet. [k] γὰρ om. K. [l] ἐνταῦθα] τί ἐστιν ὅ φησιν ἐνταῦθα K. ἐνταῦθα om. N. Mut. eras. in O. Sequentia Ἰησοῦς—αἰῶνας desunt in Edd. invitis libris et Mut. [m] πάντα λέγει] σημαίνει K. [n] αἰῶνα—τουτέστιν] ὁ αἰὼν, τὸ ἄπειρον καὶ λῆξιν οὐκ ἔχον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν K. Sav. cet. [o] ἀεὶ] + γὰρ iidem. [p] ὡς] τάχα δὲ ὡς iidem. Mox τῶν om. O. [q] ἔστιν] + ὁ σταυρωθεὶς οὗτος ὁ προσδοκώμενος Χριστὸς, ἀλλ' K. Sav. cet. [r] τοῦτο—αἰῶνας] τὸ χθὲς καὶ σήμερον λέγει, καὶ ὁ αὐτὸς εἰς τοὺς αἰῶνας· δηλῶν διὰ τούτου, ὅτι ὁ ἐλθὼν πάλιν ἥξει, καὶ αὐτὸς οὗτος καὶ προῆν, καὶ ἔστι, καὶ ἔσται εἰς τοὺς αἰῶνας iidem. [s] καὶ] οἱ καὶ iidem. Statim τοῦ ὄντως N. Cat. *qui verus est pontifex* Mut. Mox ἀποστήσαντες ex corr. N. [t] ποικίλαις] + φησὶ N. Mut. Sav. cet. φησὶ post ξέναις habet O. Statim μὴ παραφέρεσθε om. A.R. Veron. [v] ξέναις, ἀλλὰ μηδὲ (ἀλλ' οὐδὲ K. Sav. cet.) ποικίλαις] ποικίλαις, ἀλλὰ καὶ ξέναις A.R. Veron. invitis Cat. Mut. Post ποικίλαις add. διδαχαῖς βούλεται αὐτοὺς παραφέρεσθαι (παρασύρεσθαι K.) οἶδε γὰρ ἐξ ἀμφοτέρων τοῖς παραφερομένοις ὄλεθρον τίκτεσθαι K. Sav. cet. [w] περιπατοῦντες R.

Digitized by Google

πάντα καθαρά· [x]πίστεως οὖν δεῖ, οὐ βρωμάτων. [11]“Ἔχομεν [y]γὰρ θυσιαστήριον, ἐξ οὗ φαγεῖν [z]οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες.” Οὐχ οἷα τὰ [a]Ἰουδαϊκὰ, τοιαῦτα τὰ παρ’
B ἡμῖν, ὡς μηδὲ [b]ἀρχιερεῖ θέμις εἶναι μετέχειν αὐτῶν. Ὥστε ἐπειδὴ εἶπε, μὴ παρατηρεῖτε, ἐδόκει δὲ τοῦτο καταβάλλοντος [c]εἶναι τὰ ἴδια, πάλιν αὐτὸ περιστρέφει. Μὴ γὰρ καὶ ἡμεῖς οὐ παρατηροῦμεν, φησί; Καὶ παρατηροῦμεν, καὶ σφοδρότερον, οὐδὲ αὐτοῖς τοῖς ἱερεῦσι μεταδιδόντες αὐτῶν.

[12]“Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω τῆς πύλης, [d]φησὶν, ἔπαθεν.” Εἶδες τὸν
C τύπον λάμποντα; “[e]Περὶ ἁμαρτίας,” φησὶ, καὶ “Ἔξω τῆς πύλης ἔπαθε.” [13]“Τοίνυν ἐξερχώμεθα πρὸς [f]αὐτὸν, φέροντες τὸν ὀνειδισμὸν αὐτοῦ·” τουτέστι, τὰ αὐτὰ πάσχοντες, κοινωνοῦντες αὐτῷ ἐν τοῖς παθήμασιν. Ὡς κατάδικος ἐσταυρώθη ἔξω· (598)
[g]μὴ τοίνυν μηδὲ ἡμεῖς αἰσχυνώμεθα ἐξιέναι ἔξω. [14]“Οὐ γὰρ
D ἔχομεν ὧδε [h]μένουσαν, φησὶ, πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. Δι’ αὐτοῦ [i]οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ θεῷ· τουτέστι, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ.” [k]Δι’ αὐτοῦ, ὡς δι’ ἀρχιερέως, τὸ κατὰ σάρκα. “Ὁμολογούντων, φησὶ, τῷ ὀνόματι [l]αὐτοῦ.” Μηδὲν βλάσφημον [m]φθεγγώμεθα, μηδὲν ἰταμὸν, μηδὲν θρασὺ, μηδὲν τολμηρὸν, μηδὲν ἀπονενοημένον. [n]Τουτέστι, “μετὰ αἰδοῦς καὶ εὐλα-
305 βείας.” Ψυχὴ [o]γὰρ ἐν ταῖς θλίψεσιν ἀπογινώσκει καὶ ἀπαναι-

[11] v. 10. [12] v. 11, 12. [13] v. 13. [14] v. 14, 15.

[x] π. οὖν] ὥστε π. K. [y] γὰρ om. K.N. Cat. [z] οὐκ ἔχ. ἐξ.] Sic nostri omnes et Cat. ἐξ. οὐκ ἔχ. Edd. [a] Ἰουδαϊκὰ] + φησὶ K. Sav. cet. [b] ἀρχιερεῖς O. [c] εἶναι τὰ ἴ.] τὰ ἴ. εἶναι K.N. [d] φησὶν om. K.N. [e] περὶ ἁμαρτίας — ἔπαθε] ἔξω, φησὶ, τῆς παρεμβολῆς, καὶ ἔξω τῆς πύλης. ἐπεὶ οὖν τὰ προσφερόμενα περὶ ἁμαρτίας τύπος τις ἦσαν, καὶ ἔξω τῆς παρεμβολῆς ὠλοκαυτοῦντο, καὶ ὁ ὑπὲρ ἁμαρτιῶν ἡμῶν προσαχθεὶς Ἰησοῦς εἰκότως ἔξω τῆς πύλης πάσχει. οὐκοῦν καὶ ἡμᾶς τὸν ὑπὲρ ἡμῶν παθόντα μιμεῖσθαι χρὴ, καὶ ἔξω τοῦ κόσμου γίνεσθαι, μᾶλλον δὲ τῶν τοῦ κόσμου πραγμάτων. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγε K. Sav. cet. invitis Cat. Mut. [f] αὐτὸν] + ἔξω τῆς παρεμβολῆς K.N.O. Sav. cet. invitis iisdem. Statim τὸν ὀν. αὐτοῦ φέροντες K.N. et ex corr. O. [g] μὴ—ἔξω om. A. Post ἔξω add. τοῦ κόσμου· τοῦτο γὰρ ᾐνίξατο τῷ εἰπεῖν, ἔξω τῆς παρ. καὶ ἔξω τῆς πύλης K. Sav. cet. [h] μένουσαν, φ.] φ. μένουσαν N. et ex corr. O. φησὶ om. K. et olim O. [i] οὖν om. A.R. Veron. γὰρ pro οὖν N. Statim ἀναφέρομεν A.N. [k] διὰ τούτου A.R. Post αὐτοῦ add. εἶπεν K. Sav. cet. δι’ αὐτοῦ—σάρκα om. Veron. [l] αὐτοῦ] + ὡσανεὶ ἔλεγεν, εἰ ὁμολογεῖν αὐτῷ δεῖ K. Sav. cet. [m] φθεγγώμεθα post ἀπονενοημένον transp. K.N. Sav. cet. [n] τουτέστι] τοῦτό ἐστι N. ἀλλὰ K. Sav. cet. Post εὐλαβείας add. πάντα ποιῶμεν καὶ λέγωμεν. ταῦτα λέγει οὐχ ἁπλῶς, ἀλλ’ ἐπειδὴ οἶδεν αὐτοὺς θλιβομένους K. Sav. cet. [o] γὰρ] δὲ K.N. Sav. cet.

Digitized by Google

σχυντεῖ. Ἀλλὰ μὴ [p] ἡμεῖς. Ἰδοὺ πάλιν τὸ αὐτό [q] φησιν, ὅπερ ἀνωτέρω ἔλεγε· "Μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν." Οὕτω [r] γὰρ δυνάμεθα μετ' αἰδοῦς πάντα ποιεῖν· πολλάκις γὰρ καὶ ἀνθρώπους αἰσχυνόμενοι, πολλὰ οὐ πράττομεν τῶν πονηρῶν.

[15] "Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε." [s] Οὐχὶ πρὸς τοὺς παρόντας λέγω ἀδελφοὺς, ἀλλὰ [t] καὶ πρὸς τοὺς
ἀπόντας. [v] Εἰ δὲ ἕτεροι τὰ ὑπάρχοντα ὑμῶν ἡρπάκασιν, ἐκ τῶν B
ἐνόντων τὴν φιλοξενίαν ἐπιδείκνυσθε. Τίνα [w] οὖν ἕξομεν [x] ἡμεῖς ἀπολογίαν λοιπὸν, τούτων καὶ μετὰ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων [y] ταῦτα ἀκουόντων; Καὶ οὐκ εἶπε, τῆς ξενοδοχίας μὴ ἐπιλανθάνεσθε, ἀλλὰ, "τῆς φιλοξενίας·" τουτέστι, μὴ ἁπλῶς ξενοδοχεῖτε, ἀλλὰ μετὰ τοῦ φιλεῖν τοὺς ξένους. Καὶ οὐκ εἶπε τὴν μέλλουσαν καὶ ἀποκειμένην ἀμοιβὴν, ἵνα μὴ πάλιν αὐτοὺς
ὑπτιωτέρους [z] ἐργάσηται, ἀλλὰ τὴν ἤδη δοθεῖσαν· "[a] Δι' αὐτῆς C
γὰρ ἔλαθον, φησὶ, τινὲς ξενίσαντες ἀγγέλους."

Ἀλλ' [b] ἴδωμεν πῶς "Τίμιος ὁ [c] γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη [d] ἀμίαντος." Ὅτι ἐν σωφροσύνῃ, [e] φησὶ, διατηρεῖ τὸν πιστόν. Ἐνταῦθα καὶ Ἰουδαίους αἰνίττεται, ὅτι βδελυρὰν [f] ἡγοῦντο τὴν λεχώ· καὶ, [16] "Ὃς ἂν ᾖ, φησὶν, ἀπὸ κοίτης, οὐκ [g] ἔστι καθαρός." Οὐκ ἔστι βδελυρὰ [h] τὰ ἀπὸ φύσεως, ὦ ἀγνωμον καὶ ἀναίσθητε Ἰουδαῖε, ἀλλὰ τὰ ἀπὸ προαιρέσεως· εἰ γὰρ [i] τίμιος ὁ γάμος καὶ
καθαρὸς, τί δήποτε [k] καὶ ἐξ αὐτοῦ μιαίνεσθαι νομίζεις; "Ἀφιλ- D
άργυρος, φησὶν, ὁ τρόπος." Ἐπειδὴ πολλοὶ μετὰ τὸ κενῶσαι τὰ ὑπάρχοντα, ὕστερον βούλονται προσχήματι ἐλεημοσύνης

15 v. 16. 16 Levit. xv. 18.

[p] ἡμεῖς] + φησὶν K. Sav. cet. [q] φησιν] εἶπεν iidem. Mox ἐγκαταλιπόντες A.K.R. Veron. [r] γὰρ δυνάμεθα] δυνησόμεθα K. Sav. cet. Statim μετὰ αἰδοῦς K.N.O. Sav. cet. [s] οὐχὶ πρὸς τοὺς π. (+ μόνον N.) λέγω ἀδ.] ταῦτα τότε μὲν ὁ Παῦλος ἔλεγε, νῦν δὲ ἐγὼ λέγω· οὐχὶ πρὸς τοὺς π. μόνον ἀδ. δὲ τὰ αὐτὰ λέγω K. Sav. cet. [t] καὶ om. O. superscript. in N. [v] εἰ δὲ—ἡρπάκασιν (ἥρπασαν in text. O.)] οὐδεὶς τὰ ὑπάρχοντα ὑμῶν ἥρπασεν· εἰ δέ τινες καὶ ἡρπάκασιν K. Sav. cet. [w] οὖν] γὰρ iidem. Statim ἔχομεν A.R. Veron. et a pr. m. O. [x] ἡμεῖς om. R. post ἀπολογίαν transp. O. [y] ταῦτα] τὰ αὐτὰ A. Post ἀκουόντων add. καὶ ὅρα, ἐνταῦθα λέγει, τῆς εὐποιΐας μὴ ἐπιλανθάνεσθε, εἰπὼν ἀνωτέρω, τῆς φιλοξενίας· οὐκ ἄλλο καὶ ἄλλο δηλῶν, ἀλλὰ τὸ αὐτὸ δι' ἑτέρας λέξεως K. Sav. cet. [z] ἐργάσηται om. A. Haec ἀλλὰ τὴν ἤδη δ. post ἀμοιβὴν transp. K. Post δοθεῖσαν add. ἐπήγαγε γὰρ K.O. Sav. cet. [a] διὰ ταύτης O. γὰρ om. K.N. Sav. cet. Mox φησὶ om. K. Sav. cet. [b] ἴδωμεν πῶς] ἴδωμεν, φησὶ, πῶς N. et ex corr. O. ἴδωμεν ἄνωθεν τὰ εἰρημένα K. Sav. cet. [c] γάμος] + φησὶν A.K. Sav. cet. Statim ἐν om. A.R. Veron. [d] ἀμίαντος] + πῶς τίμιος ὁ γάμος; K.O. Sav. cet. [e] φησὶ om. K. [f] ἡγοῦνται olim. O. Statim τὴν λεχὼ K.N.O.R. τὴν κοίτην A. et marg. R. cum Edd. Post κοίτην add. λέγων A. [g] ἔσται K. [h] τὰ om. bis N. Statim ἀπὸ τῆς φ. O. Mox ἀγνώμων N. [i] τίμιον A.K. Mox καθαρὸν A.K.R. Veron. [k] καὶ om. K.N.

Digitized by Google

ἀνακτᾶσθαι πάλιν αὐτὰ, διὰ τοῦτό [l]φησιν, "Ἀφιλάργυρος ὁ
τρόπος·" τουτέστιν, ἵνα τῆς χρείας ὦμεν καὶ τῶν ἀναγκαίων.
Τί οὖν, ἂν μηδὲ τούτων, φησὶν, εὐπορῶμεν; Οὐκ ἔστι τοῦτο,
306 οὐκ ἔστιν· αὐτὸς γὰρ [m]εἶπε, καὶ οὐ ψεύδεται, ὅτι "Οὐ μή σε
ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω." "Ὥστε θαρροῦντας ἡμᾶς λέ-
γειν· Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι
ἄνθρωπος." [n]Τὴν ὑπόσχεσιν ἔχεις παρ' αὐτοῦ, μὴ ἀμφίβαλλε
λοιπόν· αὐτὸς ἐπηγγείλατο, μὴ ἀμφισβήτει. Τὸ δὲ, "Οὐ μή
σε ἀνῶ," οὐ περὶ χρημάτων μόνον φησὶν, ἀλλὰ καὶ περὶ τῶν
ἄλλων [o]ἁπάντων. "Κύριος ἐμοὶ [p]βοηθὸς, καὶ οὐ φοβηθήσομαι
B τί ποιήσει μοι ἄνθρωπος·" [q]εἰκότως. Τοῦτο τοίνυν καὶ ἡμεῖς
ἐν πᾶσι λέγωμεν τοῖς πειρασμοῖς· [r]καταγελῶμεν τῶν ἀνθρω-
πίνων, ἕως ἂν ἔχωμεν [s]τὸν θεὸν εὐμενῆ. [t]Ὥσπερ γὰρ ἐκείνου
ἐχθροῦ ὄντος, κἂν [v]πάντες ἡμῖν ὦσι φίλοι, κέρδος οὐδέν· οὕτως
αὐτοῦ φίλου ὄντος, κἂν ἅπαντες ἡμᾶς πολεμῶσιν, οὐδεμία
[w]βλάβη· "Οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος."

"Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν (599)
τὸν λόγον τοῦ θεοῦ." Ἐνταῦθα καὶ περὶ ἐπικουρίας [x]αὐτὸν
οἶμαι λέγειν· τοῦτο γάρ ἐστι τὸ, "Οἵτινες ἐλάλησαν [y]ὑμῖν τὸν
C λόγον τοῦ θεοῦ." "Ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀνα-
στροφῆς, μιμεῖσθε τὴν πίστιν." Τί ἐστιν, "ἀναθεωροῦντες;"
Συνεχῶς στρέφοντες, παρ' ἑαυτοῖς ἐξετάζοντες, [z]λογιζόμενοι,
ζητοῦντες ἀκριβῶς, ὡς βούλεσθε βασανίζοντες. "[a]Τὴν ἔκβασιν
τῆς ἀναστροφῆς·" τουτέστι, τὴν μέχρι τέλους, ὅτι τέλος ἔσχε
[b]χρηστὸν αὐτῶν ἡ ἀναστροφή. "[c]Ἰησοῦς Χριστὸς χθὲς καὶ
σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς [d]αἰῶνας." Μὴ νομίσητε ὅτι τότε
[e]ἐθαυματούργησε, νῦν δὲ οὐ θαυματουργεῖ· ὁ [f]αὐτός ἐστι.
[g]Τουτέστι, "Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν." "Διδαχαῖς
D ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε." "Ξέναις," [h]τουτέστι,

[l] φησιν] εἶπεν K. [m] εἶπε—ὅτι] εἴρηκε, φησὶν K. [n] τὴν] ὡσεὶ ἔλεγε, τὴν K. Sav. cet. [o] ἁπάντων] + λέγει iidem. [p] βοηθὸς] φησὶ, β. R. β. φησὶ A. [q] εἰκότως] + τὸ τοῦ προφήτου ἐπήγαγεν, ἐπισφραγίζων τούτῳ τὸν λόγον, καὶ προθυμοτέρους μᾶλλον ποιῶν, ὥστε μὴ ἀπαγορεύειν K. Sav. cet. [r] καταγ.] καὶ καταγ. K.N. Sav. cet. Post ἀνθρωπίνων add. πραγμάτων K. Sav. cet. [s] τὸν θ.] ἡμῖν τὸν θ. K. τὸν θ. ἡμῖν Sav. cet. Post εὐμενῆ add. οὐδεὶς ἡμῶν περιέσται K. Sav. cet. [t] ὥσπερ γὰρ] ἀλλ' ὥσπερ K. [v] ἅπαντες N.O. Statim ὦσιν ἡμῖν hoc ord. K.N. [w] βλάβη] + διὰ τοῦτο ἔλεγεν K.O. Sav. cet. [x] αὐτῶν A.K.N.O. [y] ἡμῖν R. [z] λογιζ. ζητοῦντες om. A. [a] τὴν] καλῶς εἶπε, τὴν K. Sav. cet. Post τέλους add. πολιτείαν iidem. [b] χριστὸν R. αὐτῶν om. R. Veron. [c] Ἰησοῦς] + φησὶ K. Sav. cet. [d] αἰῶνας] + ὃ λέγει, τοῦτό ἐστι iidem. [e] ἐθαυματούργει K. [f] αὐτὸ R. [g] τουτέστι] Sic A.N.O.R. καὶ ἐπεὶ ὁ αὐτός ἐστιν, οὐκ ἔστιν ὅτε μὴ δύναται τὰ αὐτὰ ἐνεργεῖν. τάχα πρὸς τοῦτο ἀφορῶν εἶπε K. Sav. cet. τουτέστι—ὑμῶν om. Veron. καὶ ἐπεὶ—ὑμῶν inclusit Sav. Vocabulum τουτέστι non agnoscit Mut. [h] τουτέστι, παρ' ἧς (ὃ ex corr. O.) ἠκούσατε] τί ἐστι; παρ' ὃ ἠκούσατε, φησὶ K.

Digitized by Google

παρ' ἃς ἠκούσατε παρ' ἡμῶν. [i]Τουτέστι, *παντοδαπαῖς·* [k]οὐδὲν
γὰρ βέβαιον ἔχουσιν, ἀλλ' εἰσὶ διάφοροι. [l]Πολύπλοκον γὰρ
τὸ τῶν βρωμάτων [m]μάλιστα· "Καλὸν γὰρ χάριτι βεβαιοῦσθαι
τὴν καρδίαν, οὐ βρώμασιν." Αἱ ποικίλαι αὗται, αἱ ξέναι αὗται·
μάλιστα τοῦ Χριστοῦ εἰπόντος, 17 "Οὐ τὸ εἰσερχόμενον [n]εἰς
τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐξερχόμενον. Καὶ ὅρα 307
αὐτὸν οὐ τολμῶντα φανερῶς εἰπεῖν τοῦτο, ἀλλ' ὡς ἐν αἰνίγματι·
"Καλὸν [o]γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασι."
Τὸ πᾶν πίστις ἐστίν· [p]ἂν αὐτὴ [q]βεβαιώσῃ, ἡ καρδία ἐν ἀσφα-
λείᾳ ἕστηκεν. Ἄρα πίστις βεβαιοῖ· [r]οὐκοῦν λογισμοὶ σαλεύ-
ουσιν· ἐναντίον γὰρ [s]πίστις λογισμῷ. "Ἐν οἷς οὐκ ὠφελή-
θησαν, [t]φησὶν, οἱ περιπατήσαντες." Τί [v]γὰρ τὸ [w]κέρδος ἀπὸ B
τῆς παρατηρήσεως, εἰπέ μοι; οὐχὶ ἀπόλλυσι μᾶλλον; οὐχὶ ὑπὸ
ἁμαρτίαν ἐργάζεται τὸν τοιοῦτον; [x]Εἰ δεῖ παρατηρεῖν, ἔστι
παρατηρεῖσθαι. "Ἐν οἷς, φησὶν, οὐκ ὠφελήθησαν οἱ περιπα-
τήσαντες·" τουτέστιν, οἱ διαπαντὸς φυλάξαντες αὐτά. Μία
[y]ἐστὶ παρατήρησις, τὸ ἁμαρτίας ἀπέχεσθαι. Τί γὰρ ὄφελος,
[z]ὅπου γε οὕτως εἰσί τινες μιαροὶ, ὡς μὴ δύνασθαι μετέχειν τῶν
θυσιῶν; Ὥστε οὐδὲν αὐτοὺς [a]ἔσωζε, καίτοι σπουδὴν ἐποιοῦντο
περὶ τὰς παρατηρήσεις, ἀλλ', ἐπειδὴ πίστιν οὐκ [b]εἶχον, οὐδὲν C
ὠφελήθησαν οὐδὲ οὕτως. Εἶτα ἀναιρεῖ ἀπὸ τοῦ τύπου τὴν θυ-
σίαν, καὶ ἐπὶ τὸ πρωτότυπον [c]ἄγει τὸν λόγον, [d]λέγων· "Ὧν

17 Matth. xv. 11.

[i] *τουτέστι*] Sic A.N.O.R. Mut. *ποικίλαις* Edd. *τούτεστι* om. K. [k] *οὐδὲν γὰρ*] *αἱ τοιαῦται* (+ *γὰρ* Sav. cet.) *οὐδὲν* K. Sav. cet. [l] *πολ. γὰρ τὸ τῶν βρ. μ.* (*μ. τὸ τῶν βρ.* N.)] *μάλιστα δὲ τὸ τῶν βρ. διάφορον· διὸ καὶ πρὸς τοῦτο ἱστάμενος, ἐπάγει* K. Sav. cet. [m] *μάλιστα—πίστις ἐστὶν*] *ἐνταῦθα εἰς* (hic denuo incipit Q.) *παρατήρησιν βρωμάτων αὐτοὺς κωμῳδεῖ· δείκνυσι γὰρ ὅτι ἀπὸ τῆς τῶν βρ. παρατηρήσεως εἰς τὸ ἑτεροδιδασκαλεῖν ἐξέπεσον, καὶ ἀπὸ τούτων πρὸς τὰς ποικίλας καὶ ξένας διδαχὰς ἐξηνέχθησαν* (*ἐξενέχθησαν* Sav. cet.). *καὶ ὅρα αὐτὸν οὐ τολμῶντα φανερῶς εἰπεῖν τοῦτο, ἀλλὰ μόνον ὑπαινισσόμενον·* (*ἀλλ' ὡς ἐν αἰνίγματι·* Sav. cet.) *τῷ γὰρ εἰπεῖν, ποικίλαις καὶ ξ. δ. μὴ παραφ. καὶ, καλὸν χ. β. τὴν κ. οὐ βρώμασι, μονονουχὶ τὸ τοῦ Χριστοῦ λέγει* (+ *αὐτὸ* Q.) *ἐν οἷς ἔλεγεν, οὐ τὸ εἰσ. κοινοῖ τὸν ἄ. ἀλλὰ τὸ ἐξερχόμενον. καὶ δείκνυσιν ὅτι τὸ πᾶν πίστις ἐστὶν* K.Q. Sav. cet. [n] *εἰς τὸ στόμα* om. N. [o] *γὰρ*] + *φησὶ* N.O. Mut. [p] *ἂν*] *καὶ ἂν* K.Q. Statim *αὕτη* A.N.O.Q. Sav. cet. [q] *βεβαιώσῃ*] *βέβαιος ᾖ* N.O. *firmetur* Mut. [r] *οὐκοῦν λ.*] *λ. δὲ* K.Q. [s] *ἡ πίστις* K.N.Q. Sav. cet. Statim *λογισμῶν* K.Q. [t] *φησὶν* om. K.N.Q. Statim *περιπατοῦντες* A.R. Veron. et olim O. [v] [*γὰρ*] Sav. *γὰρ* om. K.Q. et in text. O. [w] *κέρδος*] + *φησὶν* K.Q. Sav. cet. Mox *εἰπέ μοι* om. K.Q. inclusum a Sav. [x] *εἰ δεῖ*] *εἴ γε* N. et ex corr. O. *εἰ δὲ*, ut videtur, olim O. Statim *παρατηρεῖ* (*ν* abraso) iidem. Mox *παρατηρεῖσθε* A.R. et olim O *εἰ δεῖ — παρατηρεῖσθαι* om. Veron. Post *παρατηρεῖσθαι* add. *ὅθεν ὠφέλεια τοῖς παρατηροῦσιν ἔσται. καλὴ παρατήρησις κακίας ἀποφυγὴ, καρδίας εὐθύτης, εὐσέβεια εἰς θεὸν, πίστις ὀρθὴ* K.Q. Sav. cet. [y] *ἐστὶ π.*] *π. ἐστι* K.N.Q. [z] *ὅπου γε*] *ὁπότε* K.Q. [a] *ἔσωσε* K.Q. [b] *ἔσχον* O. [c] *εἰσάγει* N. [d] *λέγων*] + *ὅτι* A.R. Sav. cet. *ὅτι* eras. in O.

Digitized by Google

γὰρ εἰσφέρεται ζώων τὸ αἷμα εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως,
τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς [e]παρεμβολῆς." Ἄρα
τύπος ἐκεῖνα τούτων ἦν, καὶ οὕτω τὰ πάντα ἐπλήρωσεν ὁ Χρι-
στὸς ἔξω παθών. Ἐνταῦθα καὶ τὸ ἑκοντὶ πεπονθέναι [f]δηλοῖ,
D δεικνὺς ὅτι [g]οὐκ ἐκεῖνα ἁπλῶς [h]ἦν, ἀλλὰ καὶ αὐτὴ ἡ οἰκονομία
[i]ἔξω πάθους ἦν· [k]ἔξω, ἀλλ' εἰς τὸν οὐρανὸν τὸ αἷμα ἀνηνέχθη.
Ὁρᾷς [l]οὖν ὅτι αἵματος μετέχομεν τοῦ εἰς τὰ ἅγια εἰσφερο-
μένου, τὰ ἅγια τὰ ἀληθινὰ, τῆς θυσίας ἧς [m]μόνος ἀπέλαυεν ὁ
ἱερεύς. Ἡμεῖς οὖν τῆς ἀληθείας μετέχομεν. Εἰ τοίνυν οὐκ
ὀνειδισμοῦ, ἀλλ' ἁγιασμοῦ μετέχομεν, ὁ ὀνειδισμὸς τοῦ ἁγι-
ασμοῦ [n]αἴτιον· καθάπερ γὰρ αὐτὸς ὠνειδίσθη, οὕτω καὶ ἡμεῖς.
Ἂν ἐξέλθωμεν [o]οὖν, κοινωνοῦμεν αὐτῷ. Τί δέ [p]ἐστιν, "Ἐξερ-
308 χώμεθα πρὸς αὐτόν;" Κοινωνῶμεν αὐτῷ τῶν [q]παθῶν, φέρωμεν
αὐτοῦ τὸν ὀνειδισμόν· οὐ γὰρ ἁπλῶς ἔξω πύλης [r]ἐκέλευσε δια-
τρίβειν, ἀλλ' ὥσπερ ἐκεῖνος ὠνειδίζετο ὡς κατάδικος, οὕτω καὶ
ἡμεῖς. "Καὶ δι' αὐτοῦ θυσίαν [s]ἀναφέρωμεν τῷ θεῷ." [t]Ποίαν
θυσίαν λέγει; "Καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι
[v]αὐτοῦ." Ἐκεῖνοι προσέφερον πρόβατα, μόσχους, καὶ ἐδίδοσαν (600)
B τῷ ἱερεῖ· [w]ἡμεῖς μηδὲν τούτων προσενέγκωμεν, ἀλλ' [x]εὐχαρι-
στίαν· τοῦτο βλαστησάτω ἡμῶν τὰ [y]χείλη. "Τοιαύταις γὰρ
θυσίαις εὐαρεστεῖται ὁ θεός." [z]Δῶμεν αὐτῷ τοιαύτην θυσίαν,
ἵνα ἀνενέγκῃ τῷ πατρί· ἄλλως γὰρ οὐκ ἀναφέρεται, ἂν μὴ διὰ
τοῦ υἱοῦ· μᾶλλον δὲ καὶ διὰ [a]διανοίας συντετριμμένης. Πάντα
ταῦτα [b]διὰ τοὺς ἀσθενεῖς· ἐπεὶ ὅτι τοῦ υἱοῦ ἐστιν ἡ χάρις,
δῆλον· ἐπεὶ πῶς ἔστι τιμὴ ἴση; [18] "Ἵνα πάντες, φησὶ, τιμῶσι

18 Joan. v. 23.

[e] παρεμβολῆς] + διὸ καὶ Ἰησοῦς—ἔπαθε K.Q. Sav. cet. [f] δηλοῦν R. Statim δεικνὺς γὰρ ὅτι N.O. δείκνυσι γὰρ ὅτι K.Q. Sav. cet. [g] οὐκ] οὐδὲ iidem. [h] ἦν, ἀλλὰ καὶ] ἀλλὰ τύπος τις ἦν, καὶ iidem. [i] ἔξω] οὐκ ἔξω K.Q. Sav. Cet. Statim τοῦ πάθους Sav. cet. invitis libris. [k] ἔξω om. K. N.O.Q. Sav. cet. [l] [οὖν] Sav. οὖν om. K.Q. Mox φερομένου Q. [m] μόνης A.O.R. Veron. Vocabulum evanuit in N. Statim ἀπέλαβεν A. ἀπήλαυσεν N.O. Sav. cet. Mox ὁ ἀρχιερεὺς K.N.O.Q. Sav. cet. [n] αἴτιος K.N.O. [o] οὖν, κοιν.] συγκοιν. O. [p] ἐστιν] ἐστι τοίνυν K.Q. Sav. cet. Mox ἐξερχόμεθα et φέρομεν A. [q] παθῶν] παθημάτων N.O. παθημάτων, φησὶν K.Q. [r] ἐκέλευσε δ. ἀλλ' ὥσπερ] ἔπαθεν, ἀλλ' ἵνα καὶ ἡμεῖς τὸν σταυρὸν αὐτοῦ αἴρωμεν, καὶ ἔξω κόσμου μένωμεν, καὶ εἶναι σπουδάζωμεν. ὥσπερ οὖν K.Q. Sav. cet. [s] ἀναφέρομεν A. Mut. [t] π. θ. λέγει] π. δὲ θ. (+ λέγει Sav. cet.) αὐτὸς ἡρμήνευσε λέγων K.Q. Sav. cet. [v] αὐτοῦ] + τουτέστιν, εὐχὰς, ὕμνους, εὐχαριστίαν· ταῦτα γὰρ τῶν χειλέων ὁ καρπὸς iidem. [w] ἡμεῖς δὲ Edd. δὲ om. A.K.N.O.R. Post τούτων abest folium unum Cod. Q. [x] εὐχαριστίαν] + καὶ τὴν ἐν πᾶσιν, ὡς οἷόν τε, μίμησιν τοῦ Χριστοῦ K.Q. Sav. cet. [y] χειλη] + τῆς εὐποιίας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε iidem. [z] δῶμεν] + φησὶν iidem. Statim αὐτῷ τοιαύτην pro τοιαύτην αὐτῷ omnes. [a] διανοίας] καρδίας K.N. et ex corr. O. receptum a Sav. cet. Post καρδίας add. ἂν μὴ K. [b] διὰ τοὺς ἀσθ.] οὕτως εἶπε διὰ τοὺς ἀσθενέστερον διακειμένους ἔτι τῶν ἀκροατῶν K. Sav. cet.

Digitized by Google

τὸν υἱὸν, καθὼς τιμῶσι τὸν [c]πατέρα." Ποῦ ἴση [d]ἡ τιμή; C
"[e]Καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ."

[f]Πάντα φέρωμεν εὐχαρίστως, κἂν πενία, κἂν νόσος [g]ᾖ, κἂν
ὁτιοῦν ἕτερον· τὰ γὰρ ἡμῖν συμφέροντα αὐτὸς οἶδε μόνος·
[19] "[h]Τὸ γὰρ τί προσευξόμεθα καθ' ὃ δεῖ, οὐκ οἴδαμεν." Οἱ οὖν
μηδὲ αἰτῆσαι εἰδότες ὅ τι χρὴ, ἐὰν μὴ τοῦ πνεύματος [i]ἐπιλα-
βώμεθα, [k]σπουδάζωμεν εὐχαριστίαν ὑπὲρ ἁπάντων ἀναφέρειν, D
καὶ γενναίως ἅπαντα [l]φέρωμεν. [m]Ἐν πενίᾳ ἐσμέν; εὐχαριστῶ-
μεν· [n]ἐν νόσῳ ἐσμέν; εὐχαριστῶμεν· [o]συκοφαντούμεθα; εὐχα-
ριστῶμεν· ὅταν κακῶς πάσχωμεν, εὐχαριστῶμεν. Τοῦτο ἡμᾶς
ἐγγὺς [p]εἶναι τοῦ θεοῦ ποιεῖ· τότε καὶ τὸν θεὸν ὀφειλέτην ἔχο-
μεν· ὅταν δὲ καλῶς πάθωμεν, ἡμεῖς ἐσμεν ὀφειλέται καὶ [q]ὑπεύ-
θυνοι. Ὅταν γὰρ καλῶς πάθωμεν, ὀφειλέται ἐσμὲν τοῦ θεοῦ·
[r]καὶ πολλάκις ἡμῖν ταῦτα εἰς κρίμα γίνεται, ἐκεῖνα δὲ εἰς ἔκτι-
σιν ἁμαρτημάτων. Ἐκεῖνα ἔλεον ἐπισπᾶται, ἐκεῖνα φιλανθρω-
πίαν· ταῦτα [s]δὲ καὶ εἰς ἀπόνοιαν αἴρει, ταῦτα [t]καὶ εἰς ῥαθυμίαν
ἐξάγει, καὶ μεγάλα περὶ [v]ἑαυτοῦ παρασκευάζει φαντάζεσθαι, 309
ταῦτα χαυνοῖ. Διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγεν· [20] "Ἀγα-
θόν μοι, [w]κύριε, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαι-
ώματά σου." Ὅτε [x]εὐεργετήθη καὶ ἀπηλλάγη τῶν κακῶν [y]ὁ
Ἐζεκίας, ἐπήρθη εἰς ὕψος ἡ καρδία αὐτοῦ· ὅτε ἠρρώστησε,
τότε ἐταπεινώθη, τότε ἐγγὺς ἐγένετο τοῦ θεοῦ. [21] "[z]Ὅτε, φη-
σὶν, ἀπέκτεινεν αὐτοὺς, τότε ἐξεζήτουν αὐτὸν, καὶ ἐπέστρεφον
καὶ ὤρθριζον πρὸς τὸν θεόν·" καὶ πάλιν, "Ὅτε ἐπαχύνθη καὶ

[19] Rom. viii. 26. [20] Psal. cxviii. 71. [21] Psal. lxxvii. 34. Deut. xxxii. 15. Psal. ix. 17.

[c] *πατέρα*] + *εἰ μὴ τοῦ πατρὸς δοξαζομένου καὶ ὁ υἱὸς συνδοξάζεται* iidem. [d] *ἡ* om. N. *πατρὸς* pro *ἡ* K. [e] *καρπὸν*] *ἐπειδὴ* (*ἐπεὶ δὲ* K.) *καρπὸς* K. Sav. cet. Post *αὐτοῦ* add. *τὸ χάριν αὐτῷ εἰδέναι, τουτέστιν, ὑπὲρ πάντων, καὶ ὑπὲρ ὧν δι' ἡμᾶς ἔπαθε* iidem. [f] ΗΘΙΚΟΝ. *Περὶ τοῦ εὐχαρίστως φέρειν τὰ λυπηρὰ, καὶ ὅτι μόνον ἀγαθὸν τὸ θεῷ εὐαρεστεῖν· καὶ ὅτι ὁ πλοῦτος ἐμποδὼν πρὸς σωτηρίαν.* Veron. [g] *ᾖ*] *εἴη* N. et ex corr. O. [h] *τὸ γὰρ* om. K. Mox *προσευξώμεθα* A. Sav. cet. Post h. v. add. *φησὶ* K. Sav. cet. [i] *ἐπιλαβώμεθα*] + *πῶς ἂν εἰδείημεν τὰ συμφέροντα; οὐκοῦν* K. Sav. cet. [k] *σπουδάσωμεν* K.N. et ex corr. O. Statim *ὑπὲρ πάντων* (sic K.N. et ex corr. O.) *εὐχ.* hoc ord. K.N. [l] *φέρωμεν*] + *τὰ συμπίπτοντα* K. Sav. cet. [m] *ἐν*] *κἂν ἐν* N. et ex corr. O. *ὅταν τοίνυν ἐν* K. Sav. cet. *ὦμεν* pro *ἐσμὲν* K.N. Sav. cet. Proximum *εὐχαριστῶμεν* om. K. Sav. cet. [n] *ἐν ν. ἐσμὲν*] *κἂν ἐν ν. ἐσμὲν* N. et ex corr. O. *ὅταν ἐν ν.* K. Sav. cet. [o] *συκοφαντούμεθα*] Sic A. et olim O. *συκοφαντώμεθα* R. Veron. *κἂν συκοφαντώμεθα* N. et ex corr. O. *ὅταν συκοφαντώμεθα* K. Sav. cet. Statim *εὐχαριστήσωμεν* olim O. [p] [*εἶναι*] Sav. *εἶναι* om. K. [q] *ὑπεύθυνοι*] + *τοῦ θεοῦ* K.N. Sav. cet. Sequentia *ὅταν γὰρ —ἐσμὲν* om. iidem; erasa, ut videtur, in O. [r] *καὶ*] *ἄλλως τε καὶ* K. Sav. cet. [s] *δὲ καὶ* om. K. *καὶ* om. N. [t] *καὶ* om. N. Mox *ἐξάγει* om. A. Veron. [v] *αὐτοῦ* K.N.R. [w] *κύριε* om. K.O. Veron. [x] *εὐηργ.* K. et ex corr. N. [y] *ὁ* om. K. [z] *ὅταν* K.N. Mox *ἀπέκτεννεν* olim O. *ἀπέκτενεν* A. et ex corr. O.

Digitized by Google

ἐλιπάνθη, ἀπελάκτισεν ὁ ἠγαπημένος·" "Γινώσκεται γὰρ κύριος κρίματα ποιῶν." Μέγα [a]θλῖψις ἀγαθόν. Στενή ἐστιν ἡ ὁδός·
B ὥστε ἡ θλῖψις ἡμᾶς ὠθεῖ ἐν τῇ στενῇ· ὁ μὴ θλιβόμενος εἰσελθεῖν οὐ δυνήσεται. Ὁ γὰρ ἐν τῇ στενῇ θλίβων ἑαυτὸν, οὗτός ἐστιν ὁ [b]καὶ ἀνέσεως ἀπολαύων· ὁ δὲ ἐμπλατύνων ἑαυτὸν, οὔτε εἰσέρχεται, καὶ θλίβεται [c]σφηνούμενος, ὡς εἰπεῖν. [d]Ὅρα πῶς εἰσέρχεται τὴν στενὴν ταύτην ὁδὸν Παῦλος· [e]ὑπωπιάζει τὸ σῶμα, ὥστε δυνηθῆναι εἰσελθεῖν· διὰ τοῦτο [f]ἐν πάσαις ταῖς θλίψεσιν εὐχαριστῶν τῷ θεῷ διετέλει. Ἐζημιώθης χρήματα; τοῦτό σοι τὸ πολὺ τῆς εὐρύτητος [g]ἐπεκούφισεν. Ἐξέπεσες δόξης; [h]ἑτέρα εὐρύτης. Ἐσυκοφαντήθης; ἐπιστεύθη κατὰ σοῦ
C τὰ λεχθέντα, ἐν οἷς οὐ σύνοιδας σαυτῷ; χαῖρε καὶ ἀγαλλία. 22 "Μακάριοι [i]γάρ ἐστε, φησὶν, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς." Τί θαυμάζεις εἰ σὺ ἀσχάλλεις, καὶ θέλεις ἀνεθῆναι ἐκ τῶν πειρασμῶν; Παῦλος ἠθέλησεν ἀνεθῆναι, καὶ πολλάκις τὸν θεὸν παρεκάλεσε, καὶ οὐκ ἔτυχε· [k]τὸ γάρ, 23 "Τρὶς ὑπὲρ τούτου τὸν κύριον παρεκάλεσα," τὸ πολλάκις ἐστί· "Καὶ εἶπέ [l]μοι· ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦ-
D ται." Ἀσθένειαν [m]λέγει ἐνταῦθα τὰς θλίψεις. Τί οὖν; Ἐπειδὴ ταῦτα ἤκουσεν, εὐχαρίστως ἤνεγκε, καὶ λέγει· "Διὸ εὐδοκῶ ἐν ἀσθενείαις·" τουτέστιν, ἀρέσκομαι, ἀναπαύομαι ἐν ταῖς θλίψεσιν. Ὑπὲρ πάντων οὖν εὐχαριστῶμεν, ὑπέρ τε ἀνέσεως, ὑπέρ τε θλίψεως· μὴ γογγύζωμεν, μὴ ἀχάριστοι [n]ὦμεν. 24 "Γυμνὸς
310 ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι." Οὐκ [o]ἦλθες ἔνδοξος· μὴ ζήτει δόξαν. Γυμνὸς οὐ χρημάτων μόνον, ἀλλὰ καὶ δόξης καὶ εὐφημίας, εἰς τὸν βίον παρήχθης. Ἐννόη- (601)
σον πόσα πολλάκις ἀπὸ χρημάτων [p]κακὰ γέγονε. 25 "Εὐκοπώτερον [q]γὰρ, φησὶ, κάμηλον εἰσελθεῖν διὰ τρυπήματος ῥαφί-

22 Matth. v. 11, 12. 23 2 Cor. xii. 8—10. 24 Job. i. 21. 25 Matth. xix. 24, 21.

[a] ἡ θλῖψις O. [b] καὶ om. N. [c] σφ. ὡς εἰπεῖν eras. in N. [d] ὅρα πῶς εἰσέρχεται (+ εἰς N. et ex corr. O.)] ἄκουε πῶς εἰσῆλθεν εἰς K. Sav. cet. Post Παῦλος add. ὑπωπιάζω, φησὶ, μοῦ (μου, φησὶ K.) τὸ σῶμα καὶ δουλαγωγῶ iidem. [e] ὑποπιάζει A. ὑποπιέζει olim O. ὑπωπίαζε K. Sav. cet. [f] ἐν] καὶ ἐν K. [g] ὑπεκούφισεν N. [h] ἑτέρα] + αὕτη K. Sav. cet. [i] γὰρ om. O. Statim φησὶν, ἐστὲ hoc ord. K.N.Q. Mox ῥῆμα om. R. [k] τὸ γὰρ —τὸ (τὸ om. O.) πολλάκις ἐστὶ] τὸ γὰρ τρὶς πολλάκις ἐστίν· ὑπὲρ τούτου τρὶς τὸν κ. φησὶ, παρεκάλεσα K.Q. Sav. cet. [l] μοι] + φησὶν N.O. Mut. [m] λέγει ἐντ. τὰς θλ. (τὴν θλῖψιν N.)] ἐντ. τὰς θλ. καλῶν K.Q. [n] ὦμεν] + λέγει καὶ σὺ K.Q. Sav. cet. [o] ἐξῆλθες K.N.Q. Sav. cet. *venisti* Mut. [p] κακὰ γ.] γ. κακὰ K.N.Q. Statim add. μᾶλλον δὲ ἄκουε τί φησιν ὁ Χριστὸς K.Q. Sav. cet.' [q] γὰρ, φησὶ om. K.Q. inclusum a Sav.

Digitized by Google

δος, ἢ πλούσιον [r]εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν."
Ὁρᾷς πόσων ἀγαθῶν ἐμπόδιον ὁ πλοῦτος γίνεται, καὶ σὺ πλου-
τῆσαι ζητεῖς; [s]οὐ χαίρεις ὅτι τὸ κώλυμα ἀνατέτραπται; Οὕτω B
στενή ἐστιν ἡ ὁδὸς ἡ [t]εἰσάγουσα εἰς τὴν βασιλείαν· οὕτω πλα-
τὺς ὁ πλοῦτος, καὶ ὄγκου γέμων καὶ φυσήματος. Διὰ τοῦτό
[v]φησι, "Πώλησόν σου τὰ ὑπάρχοντα," ἵνα σε δέξηται ἡ ὁδὸς
ἐκείνη. Τί ποθεῖς τὰ χρήματα; Διὰ τοῦτό σε [w]ἀφείλετο, ἵνα
σε ἀπαλλάξῃ δουλείας· ἐπεὶ καὶ οἱ πατέρες οἱ γνήσιοι, ἐπειδὰν
ὁ παῖς τύχῃ προσεφθαρμένος ἑταίρᾳ τινὶ, καὶ πολλὰ παραινέ-
σαντες μὴ πείθωσιν αὐτῆς ἀποστῆναι, τὴν ἑταίραν ἐξορίζουσι.
Τοιαύτη ἐστὶ καὶ ἡ εὐπορία τῶν χρημάτων. Κηδόμενος [x]τοίνυν
ἡμῶν ὁ δεσπότης, καὶ ἀπαλλάττων ἡμᾶς τῆς ἐντεῦθεν βλάβης, C
ἀφαιρεῖται ἡμῶν τὰ χρήματα. Μὴ τοίνυν νομίζωμεν πενίαν
[y]εἶναι κακόν· ἁμαρτία κακὸν μόνον. Οὐδὲ γὰρ ὁ πλοῦτος ἀγα-
θὸν καθ' [z]ἑαυτόν· τῷ θεῷ εὐαρεστεῖν ἀγαθὸν μόνον. Τὴν πενίαν
τοίνυν ζητῶμεν, ταύτην διώκωμεν· οὕτω τοῦ οὐρανοῦ ἐπιληψό-
μεθα, οὕτω τῶν [a]ἄλλων ἀγαθῶν ἐπιτευξόμεθα· ὧν γένοιτο πάν-
τας ἡμᾶς [b]ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα,
κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΛΔ. 311

[1] Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο.

ΚΑΚΟΝ [a]μὲν ἡ ἀναρχία, καὶ πολλῶν ὑπόθεσις συμφο-
ρῶν, καὶ ἀρχὴ ἀταξίας καὶ [b]συγχύσεως. Ὥσπερ γὰρ, ἂν χοροῦ B
τὸν κορυφαῖον ἀνέλῃς, οὐχὶ κατὰ μέλος καὶ [c]κατὰ τάξιν ὁ χορὸς
ἔσται, καὶ φάλαγγος στρατοπέδου τὸν στρατηγὸν [d]ἂν ἀπο-
στήσῃς, οὐκέτι ῥυθμῷ καὶ τάξει τὰ τῆς παρατάξεως ἔσται, καὶ

[1] Cap. XIII. v. 17.

[r] εἰσελθεῖν om. Veron. post οὐρανῶν transp. A. [s] οὐ χαίρεις (χαῖρε A.) ὅτι] καὶ οὐ χαίρεις ἐν πενίᾳ ὢν, ὅτι K.Q. Sav. cet. [t] ἀπάγουσα K.Q. [v] φησι] ἔλεγε K.Q. [w] ἀφείλατο R. et a pr. m. O. Mox σε om. K.Q. [x] τοίνυν ἡμῶν] ἡμῶν τοίνυν K.Q. τοίνυν καὶ ἡμῶν Edd. invitis libris. [y] εἶναι κ.] Sic K.N.O.Q. κ. εἶναι Edd. [z] ἑαυτὸ K.O.Q. ἑαυτῷ A.R. Statim τὸ τῷ O. [a] ἄλλων] ἐν οὐρανοῖς K.Q. Sav. cet. [b] ἐπιτυχεῖν] ἀξιωθῆναι K.Q. Post τιμὴ add. καὶ προσκύνησις iidem. Hom. XXXIV. Codices A.K.N.P.Q.R. [a] μὲν ab alia m. in ras. N. Post ἀναρχία add. πανταχοῦ K.Q. Sav. cet. Mox συμφορῶν ὑπόθ. hoc ord. K.N.Q. [b] συγχύσεως] + μάλιστα δὲ ἐν ἐκκλησίᾳ τοσοῦτον ἐπισφαλεστέρα ἐστὶν, ὅσον καὶ τὸ τῆς ἀρχῆς (+ ταύτης K.Q.) μεῖζον καὶ ὑψηλότερον K.Q. Sav. cet. [c] κατὰ om. A.P. Veron. [d] ἂν om. A. Veron.

Digitized by Google

πλοίου τὸν κυβερνήτην [e]ἐὰν περιέλῃς, καταδύσεις τὸ σκάφος·
οὕτω καὶ ποιμνίου τὸν ποιμένα ἐὰν ἀποστήσῃς, πάντα ἀνέτρε-
ψας καὶ ἠφάνισας. Κακὸν μὲν οὖν ἡ ἀναρχία, καὶ ἀνατροπῆς
ὑπόθεσις, κακὸν [f]δὲ οὐχ ἧττον καὶ ἡ ἀπείθεια τῶν ἀρχομένων·
C τὸ αὐτὸ γὰρ γίνεται πάλιν. Λαὸς γὰρ ἄρχοντι μὴ πειθόμενος,
ὅμοιός ἐστι τῷ μὴ ἔχοντι, τάχα [g]δὲ καὶ χείρων· ἐκεῖ μὲν γὰρ
[h]κἂν συγγνώμην ἔχουσιν ὑπὲρ τῆς ἀταξίας, ἐνταῦθα δὲ οὐκέτι,
ἀλλὰ καὶ κολάζονται. Ἀλλ' ἴσως ἐρεῖ [i]τις, ὅτι ἔστι καὶ τρίτον
κακὸν, ὅταν ὁ ἄρχων ᾖ κακός. Οἶδα κἀγὼ, καὶ οὐ μικρὸν τοῦτο
κακὸν, ἀλλὰ καὶ τῆς ἀναρχίας πολλῷ [k]κάκιον· κρεῖττον γὰρ
ὑπὸ μηδενὸς [l]ἄγεσθαι ἢ ὑπὸ κακοῦ ἄγεσθαι. Ὁ μὲν γὰρ πολλά-
κις [m]μὲν ἐσώθη, πολλάκις δὲ ἐκινδύνευσεν· οὗτος δὲ πάντως [n]κιν-
D δυνεύσει, εἰς βάραθρα ἀγόμενος. Πῶς οὖν ὁ Παῦλός φησι, "Πεί-
θεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε;" [o]Ἀνωτέρω εἰπὼν,
"Ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν
πίστιν," τότε εἶπε, "Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, [p]καὶ ὑπεί-
κετε." Τί οὖν, φησὶν, ὅταν πονηρὸς ᾖ; [q]μὴ πειθώμεθα; Πονη-
ρὸς, πῶς λέγεις; εἰ μὲν πίστεως ἕνεκεν, [r]φύγε αὐτὸν καὶ παραί-
τησαι, μὴ μόνον [s]ἂν ἄνθρωπος ᾖ, ἀλλὰ κἂν ἄγγελος ἐξ οὐρανοῦ
κατιών· εἰ δὲ βίου ἕνεκεν, μὴ περιεργάζου. Καὶ τοῦτο οὐκ οἴκο-
312 θεν λέγω τὸ ὑπόδειγμα, ἀλλ' ἀπὸ τῆς θείας γραφῆς. Ἄκουε
[t]γὰρ τοῦ Χριστοῦ λέγοντος· [2] "Ἐπὶ τῆς Μωϋσέως καθέδρας
ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι." Πρότερον εἰπὼν
[v]περὶ αὐτῶν δεινὰ πολλὰ, τότε φησὶν, "Ἐπὶ τῆς Μωϋσέως
καθέδρας ἐκάθισαν. Πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν,
ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε." Ἔχουσι, φησὶ, (602)
τὸ ἀξίωμα, ἀλλὰ βίου εἰσὶν ἀκαθάρτου. Ἀλλὰ μὴ τῷ βίῳ,
ἀλλὰ τοῖς λόγοις [w]πρόσεχε· τῶν μὲν γὰρ ἠθῶν ἕνεκεν οὐδεὶς ἂν
βλαβείη. Τί δήποτε; Ὅτι καὶ δῆλα πᾶσίν [x]ἐστι, καὶ οὐδὲ
B αὐτὸς, κἂν μυριάκις ᾖ πονηρὸς, πονηρὰ διδάξει ποτέ. Πίστεως
δὲ ἕνεκεν, οὔτε δῆλόν ἐστιν ἅπασιν, ὅ τε πονηρὸς οὐ παραιτή-
σεται διδάσκειν· ἐπεὶ καὶ τὸ, [3] "Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε,"
περὶ βίου ἐστὶν, οὐ περὶ πίστεως· τὸ γοῦν ἐπαγόμενον τοῦτο

[2] Matth. xxiii. 2, 3. [3] Ibid. vii. 1, 3.

[e] ἂν P. Mox καταδύσῃς K. [f] δὲ om. K.Q. [g] δὲ om. P. Veron. [h] κἂν] καὶ K.N.Q. Sav. cet. Mox περὶ pro ὑπὲρ K.N.Q. [i] τις] + ἡμῖν K.Q. Sav. cet. invitis Cat. Mut. [k] κάκιστον K.Q. [l] ἄρχεσθαι K.Q. [m] μὲν om. N.P. Veron. [n] κινδυνεύει P. Mox βάραθρον A.N. invito Mut. [o] ἀνώτερον P. [p] καὶ ὑπείκετε om. K.N.Q. Mox φησὶν om. K.Q. [q] μὴ] καὶ μὴ K.Q. Sav. cet. invita Cat. [r] φεῦγε K.N.P.Q. Sav. cet. invita Cat. [s] ἂν] εἰ A. Veron. ἂν om. R. Mox εἰ pro ᾖ R. [t] γὰρ om. A. [v] περὶ αὐτῶν δ. π.] Sic K.N.Q. πολλὰ om. P. Veron. δ. περὶ αὐτῶν π. A.R. δ. π. περὶ αὐτῶν Sav. cet. [w] προσέχετε A.K.Q. Sav. cet. [x] ἐστι om. K.Q. Mox εἴη pro ᾖ K.N.Q.

Digitized by Google

δηλοῖ. "Τί [y]γὰρ βλέπεις, φησὶ, τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ σῷ ὀφθαλμῷ οὐ κατανοεῖς;" "Πάντα οὖν ὅσα ἂν λέγωσιν ὑμῖν, [z]φησὶ, ποιεῖν, ποιεῖτε·" τὸ δὲ ποιεῖν [a]ἔργων ἐστὶν, οὐ πίστεως· "κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε." Ὁρᾷς [b]ὅτι οὐ περὶ δογμάτων ἐστὶν,
ἀλλὰ περὶ βίου [c]καὶ ἔργων; [d]Ἀλλ' ὁ Παῦλος πρότερον συν- C
έστησεν αὐτοὺς, καὶ τότε [e]φησί· "Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· [f]αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες." Ἀκουέτωσαν [g]καὶ οἱ ἄρχοντες, μὴ μόνον οἱ ἀρχόμενοι· ὅτι ὥσπερ πειθηνίους [h]εἶναι δεῖ τοὺς ἀρχομένους, οὕτω καὶ τοὺς ἄρχοντας ἀγρύπνους εἶναι καὶ νηφαλίους. Τί λέγεις; ἀγρυπνεῖ, [i]κίνδυνον ἔχει κατὰ τῆς αὐτοῦ κεφαλῆς, ὑπόκειται ταῖς τιμωρίαις τῶν σῶν ἁμαρτημάτων, καὶ διὰ σὲ τοσούτῳ [k]ἐστὶν ὑπεύθυνος φόβῳ, [l]σὺ δὲ ῥᾳθυμεῖς καὶ
ἀκκίζῃ καὶ βάναυσος [m]εἶ; Διὰ τοῦτό [n]φησιν· "Ἵνα μετὰ χαρᾶς D
